ΦΙΛΟΚΑΛΙΑ ΤΩΝ ΙΕΡΩΝ ΝΗΠΤΙΚΩΝ

ΔΙΑ
ΠΟΝΩΝ ΚΑΙ ΕΠΙΜΕΛΕΙΑΣ

ΤΩΝ ΑΔΕΛΦΩΝ ΤΟΥ ΙΕΡΟΥ ΚΟΙΝΟΒΙΟΥ
ΤΗΣ ΙΕΡΑΣ ΜΟΝΗΣ
ΚΟΙΜΗΣΕΩΣ ΘΕΟΤΟΚΟΥ ΜΠΟΥΡΑ

ΤΟΜΟΣ Β΄

Ἔκδοσις Α΄ 2011

ΔΙΕΥΘΥΝΣΙΣ: Ἱ. Μ. Κοιμήσεως Θεοτόκου Μπούρα–Λεοντάριον Ἀρκαδίας 22 200.
Fax: 27910. 25. 601

ΦΙΛΟΚΑΛΙΑ

ΦΙΛΟΚΑΛΙΑ
ΤΩ͂Ν ΙΕΡΩ͂Ν
ΝΗΠΤΙΚΩΝ

ΣΥΝΕΡΑΝΙΣΘΕΙΣΑ
ΠΑΡΑ ΤΩΝ ΑΓΙΩΝ ΚΑΙ ΘΕΟΦΟΡΩΝ

ΠΑΤΕΡΩΝ ΗΜΩΝ

ΕΝ ΗΙ

Διὰ τῆς κατὰ τὴν Πρᾶξιν κὶ Θεωρίαν Ἠθικῆς Φιλοσοφίας ὁ νοῦς καθαίρεται, φωτίζεται, κὶ τελειοῦται

ΝΥΝ ΔΕ ΠΡΩΤΟΝ ΤΥΠΟΙΣ ΕΚΔΟΘΕΙΣΑ
ΚΕΙΜΕΝῼ ΤΕ ΚΑΙ ΝΕΟΕΛΛΗΝΙΚῌ ΑΠΟΔΟΣΕΙ

ΔΙΑ ΠΟΝΩΝ ΚΑΙ ΕΠΙΜΕΛΕΙΑΣ

ΤΩΝ ΑΔΕΛΦΩΝ ΤΟΥ ΙΕΡΟΥ ΚΟΙΝΟΒΙΟΥ
ΤΗΣ ΙΕΡΑΣ ΜΟΝΗΣ ΚΟΙΜΗΣΕΩΣ ΘΕΟΤΟΚΟΥ ΜΠΟΥΡΑ


ΣΧΟΛΙΑ - ΠΕΡΙΛΗΨΕΙΣ ΕΝΟΤΗΤΩΝ
ΔΗΜΗΤΡΙΟΣ Ι. ΤΣΕΛΕΓΓΙΔΗΣ
ΚΑΘΗΓΗΤΗΣ ΤΗΣ ΘΕΟΛΟΓΙΚΗΣ ΣΧΟΛΗΣ ΤΟΥ Α.Π.Θ

ΕΙΣ ΚΟΙΝΗΝ ΤΩΝ ΟΡΘΟΔΟΞΩΝ ΩΦΕΛΕΙΑΝ

ΤΟΜΟΣ Β΄



͵βια΄. ΕΝ ΑΡΚΑΔΙᾼ, 2011.
ΠΑΡΑ Τῌ ΙΕΡᾼ ΜΟΝῌ ΚΟΙΜΗΣΕΩΣ ΘΕΟΤΟΚΟΥ ΜΠΟΥΡΑ.



ΠΙΝΑΚΑΣ ΠΕΡΙΕΧΟΜΕΝΩΝ

ΠΙΝΑΚΑΣ ΠΕΡΙΕΧΟΜΕΝΩΝ 1

ΒΡΑΧΥΓΡΑΦΙΕΣ - ΕΠΙΣΗΜΑΝΣΕΙΣ 6

ΣΗΜΕΙΩΜΑ ΣΤΟΝ Β΄ ΤΟΜΟ 7

ΑΓΙΟΣ ΗΣΥΧΙΟΣ Ο ΠΡΕΣΒΥΤΕΡΟΣ 9

Α. ΣΥΝΤΟΜΟΣ ΒΙΟΓΡΑΦΙΑ 11

Β. ΛΟΓΟΙ

1. ΠΡΟΣ ΘΕΟΔΟΥΛΟΝ
ΛΟΓΟΣ ΨΥΧΩΦΕΛΗΣ ΚΑΙ ΣΩΤΗΡΙΟΣ
ΠΕΡΙ ΝΗΨΕΩΣ ΚΑΙ ΑΡΕΤΗΣ ΚΕΦΑΛΑΙΩΔΗΣ
ΑΡΧΗ ΦΩΤΙΣΜΟΥ ΨΥΧΗΣ ΚΑΙ ΑΛΗΘΗΣ ΥΠΟΘΗΚΗ
ΤΑ ΛΕΓΟΜΕΝΑ ΑΝΤΙΡΡΗΤΙΚΑ ΚΑΙ ΕΥΚΤΙΚΑ 13

ΣΗΜΕΙΩΣΕΙΣ - ΣΧΟΛΙΑ 110

ΑΓΙΟΣ ΝΕΙΛΟΣ Ο ΑΣΚΗΤΗΣ 121

Α. ΣΥΝΤΟΜΟΣ ΒΙΟΓΡΑΦΙΑ 123

Β. ΛΟΓΟΙ

1. ΠΡΟΛΟΓΟΣ ΤΩΝ ΠΕΡΙ ΠΡΟΣΕΥΧΗΣ ΕΚΑΤΟΝ ΠΕΝΤΗΚΟΝΤΑ ΤΡΙΩΝ ΚΕΦΑΛΑΙΩΝ 125

ΣΗΜΕΙΩΣΕΙΣ - ΣΧΟΛΙΑ 164

2. ΛΟΓΟΣ ΑΣΚΗΤΙΚΟΣ ΠΑΝΥ ΑΝΑΓΚΑΙΟΣ ΚΑΙ ΩΦΕΛΙΜΩΤΑΤΟΣ 173

ΣΗΜΕΙΩΣΕΙΣ - ΣΧΟΛΙΑ 311

ΑΓΙΟΣ ΔΙΑΔΟΧΟΣ ΕΠΙΣΚΟΠΟΣ ΦΩΤΙΚΗΣ 321

Α. ΣΥΝΤΟΜΟΣ ΒΙΟΓΡΑΦΙΑ 323

Β. ΛΟΓΟΙ

1. ΟΡΟΙ 325

ΣΗΜΕΙΩΣΕΙΣ - ΣΧΟΛΙΑ 326

2. ΛΟΓΟΣ ΑΣΚΗΤΙΚΟΣ ΔΙΗΡΗΜΕΝΟΣ ΕΙΣ ΚΕΦΑΛΑΙΑ Ρ΄ ΠΡΑΚΤΙΚΑ ΓΝΩΣΕΩΣ ΚΑΙ ΔΙΑΚΡΙΣΕΩΣ ΠΝΕΥΜΑΤΙΚΗΣ 327

ΣΗΜΕΙΩΣΕΙΣ - ΣΧΟΛΙΑ 445

ΑΓΙΟΣ ΙΩΑΝΝΗΣ Ο ΚΑΡΠΑΘΙΟΣ 449

Α. ΣΥΝΤΟΜΟΣ ΒΙΟΓΡΑΦΙΑ 451

Β. ΛΟΓΟΙ

1. ΠΡΟΣ ΤΟΥΣ ΕΝ ΙΝΔΙᾼ ΜΟΝΑΧΟΥΣ ΓΡΑΨΑΝΤΑΣ ΑΥΤῼ, ΠΑΡΑΜΥΘΗΤΙΚΑ ΚΕΦΑΛΑΙΑ Ρ′ 453

ΣΗΜΕΙΩΣΕΙΣ - ΣΧΟΛΙΑ 516

2. ΛΟΓΟΣ ΑΣΚΗΤΙΚΟΣ, ΚΑΙ ΠΑΝΥ ΠΑΡΗΓΟΡΗΤΙΚΟΣ ΠΡΟΣ ΤΟΥΣ ΑΠΟ ΤΗΣ ΙΝΔΙΑΣ ΠΡΟΤΡΕΨΑΝΤΑΣ ΜΟΝΑΧΟΥΣ, ΤΩΝ Ρ′ ΚΕΦΑΛΑΙΩΝ ΤΟΝ ΑΡΙΘΜΟΝ ΣΥΝΑΠΟΠΛΗΡΩΝ 521

ΣΗΜΕΙΩΣΕΙΣ - ΣΧΟΛΙΑ 533

ΑΓΙΟΣ ΘΕΟΔΩΡΟΣ Ο ΜΕΓΑΣ ΑΣΚΗΤΗΣ ΚΑΙ ΕΠΙΣΚΟΠΟΣ ΕΔΕΣΣΗΣ 535

Α. ΣΥΝΤΟΜΟΣ ΒΙΟΓΡΑΦΙΑ 537

Β. ΛΟΓΟΙ

1. ΚΕΦΑΛΑΙΑ ΠΑΝΥ ΨΥΧΩΦΕΛΗ Ρ′ 539

ΣΗΜΕΙΩΣΕΙΣ - ΣΧΟΛΙΑ 598

2. ΘΕΩΡΗΤΙΚΟΝ 600

ΣΗΜΕΙΩΣΕΙΣ - ΣΧΟΛΙΑ 624

ΒΙΒΛΙΟΓΡΑΦΙΑ 625

ΚΑΤΑΛΟΓΟΙ ΠΕΡΙΛΗΨΕΩΝ ΤΩΝ ΕΝΟΤΗΤΩΝ 629
Δημητρίου Τσελεγγίδη

Καθηγητοῦ τῆς Δογματικῆς Θεολογίας
στὸ Τμῆμα Θεολογίας
τοῦ Ἀριστοτελείου Πανεπιστημίου Θεσσαλονίκης

ΚΑΤΑΛΟΓΟΣ ΑΓΙΟΥ ΗΣΥΧΙΟΥ: ΠΡΟΣ ΘΕΟΔΟΥΛΟΝ 631

ΚΑΤΑΛΟΓΟΣ ΑΓΙΟΥ ΝΕΙΛΟΥ: ΠΕΡΙ ΠΡΟΣΕΥΧΗΣ 642

ΚΑΤΑΛΟΓΟΣ ΑΓΙΟΥ ΝΕΙΛΟΥ: ΛΟΓΟΣ ΑΣΚΗΤΙΚΟΣ 652

ΚΑΤΑΛΟΓΟΣ ΑΓΙΟΥ ΔΙΑΔΟΧΟΥ: ΛΟΓΟΣ ΑΣΚΗΤΙΚΟΣ 661

ΚΑΤΑΛΟΓΟΣ ΑΓΙΟΥ ΙΩΑΝΝΟΥ ΚΑΡΠΑΘΙΟΥ: ΠΑΡΑΜΥΘΗΤΙΚΑ ΚΕΦΑΛΑΙΑ 668

ΚΑΤΑΛΟΓΟΣ ΑΓΙΟΥ ΘΕΟΔΩΡΟΥ: ΨΥΧΩΦΕΛΗ ΚΕΦΑΛΑΙΑ 676

ΚΑΤΑΛΟΓΟΣ ΑΓΙΟΥ ΘΕΟΔΩΡΟΥ: ΘΕΩΡΗΤΙΚΟΝ 683



ΒΡΑΧΥΓΡΑΦΙΕΣ

ΕΠΕ = *Ἕλληνες Πατέρες τῆς Ἐκκλησίας*, Θεσσαλονίκη 1976 κ.ἑ.
PG = *Patrologiae cursus completus, Series Graeca*, Paris 1857- 1866, Ἔκδ. J.P.Migne.

Α' Βασ. = Α' Βασιλειῶν
Ἀββ.= Ἀββακούμ
Ἀγγ.= Ἀγγαῖος
Α' Θεσσ. = Α' πρὸς Θεσσαλονικεῖς
Α' Ἰω.= Α' Ἰωάννου
Α' Κορ.= Α' πρὸς Κορινθίους
Α' Παραλ.= Α' Παραλειπομένων
Α' Πέτρ. = Α' Πέτρου
Ἀποκ.= Ἀποκάλυψις Ἰωάννου
Ἀριθ.= Ἀριθμοί
Ἆσμ.= Ἆσμα Ἀσμάτων
Α' Τιμόθ. = Α' πρὸς Τιμόθεον
Β' Βασ. = Β' Βασιλειῶν
Β' Ἔσδρ.= Β' Ἔσδρας
Β' Θεσσ.= Β' πρὸς Θεσσαλονικεῖς
Β' Κορ.= Β' πρὸς Κορινθίους
Β' Παραλ.= Β' Παραλειπομένων
Β' Πέτρ.= Β' Πέτρου
Β' Τιμόθ. = Β' πρὸς Τιμόθεον
Γαλ. = πρὸς Γαλάτας
Γ' Βασ. = Γ' Βασιλειῶν
Γένεσ. = Γένεσις
Δαν.= Δανιήλ
Δ' Βασ. = Δ' Βασιλειῶν
Δευτερ. = Δευτερονόμιον
Ἑβρ. = πρὸς Ἑβραίους
Ἐκκλησ. = Ἐκκλησιαστής
Ἔξοδ. =Ἔξοδος
Ἐφεσ. = πρὸς Ἐφεσίους
Ζαχ. = Ζαχαρίας
Ἡσ. = Ἡσαΐας
Θρ. Ἱερεμ.= Θρῆνοι Ἱερεμίου
Ἰακ. = Ἰακώβου
Ἰεζεκ. =Ἰεζεκιήλ
Ἱερεμ. =Ἱερεμίας
Ἰησ. Ναυῆ = Ἰησοῦς τοῦ Ναυῆ
Ἰούδ.= Ἰούδα
Ἰω. = κατὰ Ἰωάννην
Κολασσ. = πρὸς Κολασσαεῖς
Κριτ.= Κριταὶ
Λευϊτ. = Λευϊτικόν
Λουκ. = κατὰ Λουκᾶν
Μαλαχ. = Μαλαχίας
Μάρκ.= κατὰ Μάρκον
Ματθ.= κατὰ Ματθαῖον
Παροιμ. = Παροιμίες
Πράξ. = Πράξεις
Ῥωμ. = πρὸς Ρωμαίους
Σοφ. Σειρ. = Σοφία Σειράχ
Σοφ. Σολ. = Σοφία Σολομῶντος
Τίτ.= πρὸς Τίτον
Τωβ.= Τωβίτ
Φιλιππ. = πρὸς Φιλιππησίους
Φιλημ.= πρὸς Φιλήμονα
Ψαλμ. = Ψαλμοί

ΣΥΝΤΕΤΜΗΜΕΝΕΣ ΛΕΞΕΙΣ ΚΑΙ ΛΟΙΠΕΣ ΕΠΙΣΗΜΑΝΣΕΙΣ

Ἁγ. = Ἁγίου
Ἀρχ. = Ἀρχιμανδρίτου
ΑΡ. ΚΕΦ.= ἀριθμὸς κεφαλαίου
Βλ.= βλέπε
Ἔκδ.= Ἔκδοσις/Ἐκδόσεις
ἐν ἄλ. = ἐν ἄλλοις
κ. ἑ. = καὶ ἑξῆς
κεφ. = κεφάλαιο
Μητρ. = Μητροπολίτου
ὅ.π. = ὅπου πιὸ πάνω
Πρβ. = παράβαλε
σ. = σελίς
ΣΕΛ.= σελίς
σ.σ. = σελίδες
ΣΤ.= στίχος
τόμ. = τόμος
recte = τὸ σωστό
delendum = διαγραπτέο
addendum = προσθετέο



ΣΗΜΕΙΩΜΑ ΣΤΟΝ Β΄ ΤΟΜΟ

Κατὰ τὴν πρόοδο τῆς παρουσιάσεως τοῦ ἔργου τῆς *Φιλοκαλίας*, στὰ πλαίσια τῆς ἐκπονήσεως, ἀποδόσεως καὶ ἐπεξεργασίας του ἀπὸ τὶς Ἀδελφὲς τῆς Ἱερᾶς Μονῆς Κοιμήσεως Θεοτόκου Μπούρα, ὁ Ἐλλογιμώτατος Καθηγητὴς τῆς Δογματικῆς Θεολογίας στὸ Τμῆμα Θεολογίας τοῦ Ἀριστοτελείου Πανεπιστημίου Θεσσαλονίκης, κύριος Δημήτριος Τσελεγγίδης, ἐκτὸς τῶν σχολίων του ἐπὶ τοῦ ἔργου, παρεχώρησε εὐγενῶς στὴν ὅλη ἔκδοσι καὶ σειρὰ πινάκων μὲ περιλήψεις τῶν ἐπιμέρους κεφαλαίων τῶν λόγων τῶν Πατέρων. Ἐπιπλέον, ὡς πρὸς τοὺς λόγους, τοὺς ὁποίους οἱ ἴδιοι οἱ Ἅγιοι Πατέρες δὲν εἶχαν κατανείμει σὲ κεφάλαια, ὁ Ἐλλογιμώτατος κ. Καθηγητὴς προέβη στὴν κατάτμησί τους σὲ ἐπιμέρους ἑνότητες, ἀποδίδοντας ἀνὰ ἑνότητα καὶ ἀντίστοιχη περίληψί της. Μὲ τὸν τρόπο αὐτὸ ἀποκαλύπτεται ἡ ἐσωτερικὴ δομὴ μακροσκελῶν πατερικῶν κειμένων καὶ διευκολύνεται σαφῶς ὁ ἀναγνώστης στὴν προσέγγισί τους. Τὸ σύνολο τῶν περιλήψεων παρουσιάζεται σὲ ξεχωριστὸ παράρτημα στὸ τέλος τοῦ τόμου, ὅπου οἱ περιλήψεις τῶν ἐπιμέρους κεφαλαίων γίνονται εὔκολα προσεγγίσιμες γιὰ τὸν ἀναγνώστη ἀπὸ τὶς παρατιθέμενες ἀντίστοιχες ἐνδείξεις σελίδος καὶ στίχου. Οἱ πίνακες αὐτοὶ κατορθώνουν, ἐποπτικῷ τῷ τρόπῳ, νὰ ἀποκαλύπτουν τὴν διάρθρωσι τῶν λόγων τῶν Πατέρων τοῦ κάθε τόμου καὶ δίδουν στὸν ἀναγνώστη τὴν πολύτιμη δυνατότητα νὰ ἀντιληφθῇ ἐν συντόμῳ τὰ ἐννοιολογικὰ πλαίσια, μέσα στὰ ὁποῖα κινεῖται ὁ κάθε λόγος. Ἐπιπλέον φέροντες, οἱ τίτλοι τῶν κεφαλαίων, ἔνδειξι ἀνευρέσεώς τους στὶς ἀντίστοιχες σελίδες καὶ στίχους τοῦ σώματος τοῦ ἔργου, συνιστοῦν ἕνα θαυμάσιο ἐργαλεῖο, τὸ ὁποῖο κατορθώνει ἐμπνευσμένα νὰ παραπέμψῃ ἐπιτυχῶς τὸν ἀναγνώστη στὰ θέματα ἐκεῖνα, τὰ ὁποῖα ὁ ἴδιος ἤθελε προκρίνῃ, ὡς τοῦ εἰδικοῦ του ἐνδιαφέροντος, κατὰ τὴν προσωπική του μελέτη.

ΕΚ ΤΗΣ ΕΚΔΟΣΕΩΣ

ΑΓΙΟΣ ΗΣΥΧΙΟΣ Ο ΠΡΕΣΒΥΤΕΡΟΣ

οὗ ἡ μνήμη ἐν μηνὶ Μαρτίῳ κη´

ΣΥΝΤΟΜΟΣ ΒΙΟΓΡΑΦΙΑ ΚΑΙ ΛΟΓΟΙ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΗΣΥΧΙΟΥ ΤΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ

ΣΥΝΤΟΜΟΣ ΒΙΟΓΡΑΦΙΑ

Ὁ Ὅσιος Πατὴρ ἡμῶν Ἡσύχιος ὁ τῆς ἐν Ἱεροσολύμοις Ἐκκλησίας Πρεσβύτερος γεγονώς, ἤκμασε μὲν ἐπὶ Θεοδοσίου τοῦ νέου, ἀνθῶν τῷ τῆς διδασκαλίας λόγῳ ἐτελεύτησε δὲ περὶ τὸ τετρακοσιοστὸν τριακοστὸν τρίτον ἔτος. Τῶν δὲ συγγραμμάτων αὐτοῦ πολλῶν ὄντων, μόνος ὁ εἰς διακόσια τρία κεφάλαια διαιρούμενος λόγος, ὧδε ἐτάχθη· ὡς χρησιμώτατος, καὶ τοῖς ἀρχαρίοις περὶ νῆψιν, καὶ προσοχὴν νοός, καὶ φυλακὴν καρδίας, εἴπερ τις ἄλλος λυσιτελέστατος. Περὶ οὗ καὶ ὁ κριτικὸς Φώτιος τάδε φησὶν ἐπὶ λέξεως, Ἀναγνώσει ρϟη΄, σελ. 267.

«Καὶ τὸ ἐπὶ πᾶσι δεύτερον καὶ εἰκοστὸν (Κεφάλαιον δηλ.) Ἡσυχίου Πρεσβυτέρου Ἱεροσολύμων περιέχει, ἐν οἷς καὶ ὁ σύμπας

Ὁ Ὅσιος Πατέρας μας Ἡσύχιος, ὁ ὁποῖος ἔχει γίνει Πρεσβύτερος τῆς Ἐκκλησίας στὰ Ἱεροσόλυμα, ἤκμασε μὲν ἐπὶ [τῆς βασιλείας] τοῦ Θεοδοσίου τοῦ Νέου, φημιζόμενος γιὰ τὸν λόγο τῆς διδασκαλίας του, ἐτελειώθη δὲ γύρω στὸ ἔτος 433. Ἀπὸ δὲ τὰ ἔργα του, τὰ ὁποῖα εἶναι πολλά, συγκατελέχθη ἐδῶ, [στὴν συλλογὴ τῆς Φιλοκαλίας], μόνο ὁ λόγος, ὁ ὁποῖος διαιρεῖται σὲ διακόσια τρία κεφάλαια, ὡς χρησιμώτατος καὶ περισσότερο ἀπὸ κάθε ἄλλον ἐπωφελέστατος γιὰ τοὺς ἀρχαρίους, ὅσον ἀφορᾶ τὴν νῆψι καὶ τὴν προσοχὴ τοῦ νοὸς καὶ τὴν φυλακὴν τῆς καρδίας. Σχετικὰ μὲ τὸν ὁποῖο [λόγο], καὶ ὁ κριτικὸς Φώτιος λέγει, κατὰ λέξι στὴν Ἀνάγνωσι 198, σελ. 267, *αὐτά*: «Καὶ κοντὰ σὲ ὅλα περιέχει καὶ τὸ εἰκοστὸ δεύτερο κεφάλαιο τοῦ Πρεσβυτέρου τῶν Ἱεροσολύμων Ἡσυχίου, μὲ τὰ ὁποῖα συμπληρώνε-

τοῦ βιβλίου ἀπαρτίζεται λόγος, χρειωδέστατος καθεστὼς εἴπερ τι ἄλλο τοῖς ἐπὶ τῷ κλήρῳ τῶν Οὐρανῶν τὸν βίον ἀσκουμένοις˙ ἔχει δὲ κατὰ τὴν ἀπαγγελίαν καὶ τὸ σαφές, καὶ τἄλλα τοιοῦτος, οἷος ἂν γένοιτο ἀνδράσιν ἁρμόζων, πρὸς μὲν τὸν κατὰ λόγους ἀγῶνα μηδ᾽ ἐπεστραμμένοις, πάντα δὲ τὸν πόνον, καὶ τὴν σπουδὴν εἰς τὴν ἐπὶ τοῖς ἔργοις ἄσκησιν ἀναδεδειγμένοις».

ται καὶ ὁλόκληρος ὁ λόγος τοῦ βιβλίου, ὁ ὁποῖος ἔχει γίνει ὁ πλέον χρήσιμος περισσότερο ἀπὸ κάθε ἄλλο γιὰ ἐκείνους, οἱ ὁποῖοι ἀσκοῦνται, ὡς πρὸς τὸν τρόπο ζωῆς, [δηλαδὴ τοὺς Μοναχοὺς] ἀποβλέποντας στὸν κλῆρο [τῆς Βασιλείας] τῶν Οὐρανῶν. Ἔχει δὲ καὶ σαφήνεια κατὰ τὴν ἀνάγνωσι καὶ στὰ ἄλλα [εἶναι] τέτοιος, ποὺ ἤθελε ἁρμόζῃ σὲ ἀνθρώπους, οἱ ὁποῖοι δὲν ἐνδιαφέρονται γιὰ δημηγορίες, ἀλλὰ ἔχουν ἀφιερώσει ὅλο τὸν κόπο καὶ τὴν ἐπιμέλειά [τους] στὰ ἔργα τῆς ἀσκήσεως».

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΗΣΥΧΙΟΥ ΤΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ

ΛΟΓΟΙ

I

ΠΡΟΣ ΘΕΟΔΟΥΛΟΝ ΛΟΓΟΣ ΨΥΧΩΦΕΛΗΣ ΚΑΙ ΣΩΤΗΡΙΟΣ ΠΕΡΙ ΝΗΨΕΩΣ ΚΑΙ ΑΡΕΤΗΣ ΚΕΦΑΛΑΙΩΔΗΣ

ΑΡΧΗ ΦΩΤΙΣΜΟΥ ΨΥΧΗΣ ΚΑΙ ΑΛΗΘΗΣ ΥΠΟΘΗΚΗ ΤΑ ΛΕΓΟΜΕΝΑ ΑΝΤΙΡΡΗΤΙΚΑ ΚΑΙ ΕΥΚΤΙΚΑ

α΄. Νῆψις ἐστί, μέθοδος πνευματική, ἐμπαθῶν νοημάτων, καὶ λόγων, καὶ πονηρῶν ἔργων, πάμπαν τὸν ἄνθρωπον, σὺν Θεῷ, ἀπαλλάττουσα, χρονίζουσα, καὶ προθύμως ὁδευομένη· γνῶσίν τε ἀσφαλῆ Θεοῦ τοῦ ἀκαταλήπτου ὁδευομένη χαρίζεται, καθ᾽ ὅσον ἐφικτόν, καὶ μυστηρίων θείων, καὶ ἀποκρύφων λύσιν· ὑπάρχει τε πάσης ἐντολῆς Θεοῦ παλαιᾶς τε καὶ νέας Διαθήκης ποιητική, καὶ παντὸς ἀγαθοῦ τοῦ μέλλοντος αἰῶνος παρεκτική. Αὕτη δὲ κυρίως ἐστὶν ἡ τῆς καρδίας καθαρότης· ἥτις διὰ τὸ μέγεθος καὶ τὴν καλλονὴν αὐτῆς, ἢ κυριώτερον εἰ-

1. Ἡ νῆψι[1] εἶναι ἡ πνευματικὴ μέθοδος, ἡ ὁποία ἀπαλλάσσει μὲ τὴν βοήθεια τοῦ Θεοῦ, παντελῶς τὸν ἄνθρωπο ἀπὸ ἐμπαθῆ νοήματα καὶ λόγους καὶ πονηρὰ ἔργα, ἐὰν διαρκῇ πολὺ καὶ ἐφαρμόζεται μὲ προθυμία. Ἐὰν εὐοδωθῇ [ἐφαρμοσθῇ ἐπιτυχῶς], χαρίζει καὶ τὴν ἀσφαλῆ γνῶσι τοῦ ἀκαταλήπτου Θεοῦ, κατὰ [τὸ μέτρο], ποὺ εἶναι δυνατὸν [σ᾽ ἐμᾶς] καὶ τὴν ἀποκάλυψι θείων καὶ ἀποκρύφων μυστηρίων. Εἶναι ἐπίσης ἱκανὴ νὰ ἐκτελῇ κάθε ἐντολὴ τοῦ Θεοῦ καὶ τῆς Παλαιᾶς καὶ τῆς Νέας Διαθήκης καὶ νὰ παρέχῃ κάθε ἀγαθὸ τοῦ μέλλοντος αἰῶνος. Αὐτὴ [νῆψι] εἶναι ἀσφαλῶς κατ᾽ ἐξοχὴν ἡ καθαρότης τῆς καρδίας, ἡ ὁποία ἐξ αἰτίας τῆς μεγαλειότητος καὶ τῆς καλλονῆς της ἢ γιὰ νὰ ἀκριβολο-

πεῖν, διὰ τὴν ἀμέλειαν ἡμῶν, σπανίζει σήμερον πάνυ ἐν Μοναχοῖς· ἣν ὁ Χριστὸς μακαρίζει λέγων· μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται[1]*. Τοιαύτη οὖν οὖσα, πολλοῦ ἀγοράζεται. Νῆψις ἐν ἀνθρώπῳ χρονίζουσα, ὀρθοῦ καὶ θεαρέστου βίου ὁδηγὸς γίνεται· τοῦτο καὶ ἐπίβασις θεωρίας, καὶ τὸ τριμερὲς τῆς ψυχῆς δικαίως κινεῖν ἡμᾶς ἐκδιδάσκει, τὰς αἰσθήσεις τε ἀσφαλῶς τηρεῖν· καὶ τὰς γενικὰς τέσσαρας ἀρετὰς ἐν τῷ μετόχῳ αὐτῆς καθ᾽ ἡμέραν αὔξει.*

β΄. Ὁ μέγας νομοθέτης Μωσῆς, μᾶλλον δέ, τὸ Πνεῦμα τὸ Ἅγιον, ὑποδεικνύων τὸ ἄμεμπτον, καὶ καθαρόν, καὶ περιεκτικόν, καὶ ὑψοποιὸν τῆς τοιαύτης ἀρετῆς· καὶ διδάσκων ἡμᾶς ὅπως ταύτης ἄρχεσθαι καὶ ἐκτελεῖν δεῖ· πρόσεχε σεαυτῷ, φησί· μὴ γένηται ῥῆμα κρυπτὸν ἐν τῇ καρδίᾳ σου ἀνόμημα[2]*. Ῥῆμα κρυπτὸν τὴν μονολόγιστον ἔμφασιν ὀνομάζων πράγματός τινος πονηροῦ μισουμένου ὑπὸ τοῦ Θεοῦ· ἣν δὴ καὶ προσβολὴν*

γήσωμε, ἐξ αἰτίας τῆς ἀμελείας μας, σπανίζει σήμερα πάρα πολὺ μεταξὺ τῶν Μοναχῶν· αὐτὴν ὁ Χριστὸς μακαρίζει, ὅταν λέγῃ: «Μακάριοι ὅσοι ἔχουν καθαρὴ τὴν καρδία, διότι αὐτοὶ θὰ δοῦν τὸν Θεό». Ἐπειδὴ λοιπὸν εἶναι αὐτοῦ τοῦ εἴδους [ἔχει αὐτὴν τὴν ἀξία], ἀγοράζεται ἀκριβά. Ἡ νῆψι, ἡ ὁποία διαρκεῖ πολὺ ἐντὸς τοῦ ἀνθρώπου [τοῦ γίνεται κατάστασι], ἀποβαίνει ὁδηγὸς ὀρθοῦ καὶ θεαρέστου βίου. Αὐτὸ [εἶναι] καὶ [τὸ θεμέλιο] γιὰ τὸ ἀνέβασμα στὴν θεωρία [θεοπτία] καὶ [αὐτὸ] μᾶς μαθαίνει νὰ ἐνεργοποιοῦμε ἰσορροπημένα τὸ τριμερὲς τῆς ψυχῆς καὶ νὰ φυλάττωμε μὲ ἀσφάλεια τὶς αἰσθήσεις. Καὶ σ᾽ ἐκεῖνον, ὁ ὁποῖος εἶναι μέτοχος σ᾽ αὐτήν, αὐξάνει καθημερινὰ τὶς τέσσερεις γενικὲς ἀρετές[α΄].

2. Ὁ μέγας νομοθέτης Μωυσῆς, μᾶλλον δὲ τὸ Πνεῦμα τὸ Ἅγιον, ὑποδεικνύοντας τὸ ἄμεμπτο καὶ καθαρὸ καὶ περιεκτικὸ[β΄] καὶ ὑψοποιὸ αὐτοῦ τοῦ εἴδους τῆς ἀρετῆς [τῆς νήψεως] καὶ διδάσκοντάς μας μὲ ποιὸ τρόπο πρέπει νὰ βάζωμε ἀρχὴ σ᾽ αὐτὴν καὶ νὰ [τὴν] ἐφαρμόζωμε, λέγει, πρόσεχε στὸν ἑαυτό σου νὰ μὴν γίνῃ [οὔτε] ἕνας κρυφὸς λόγος μέσα στὴν καρδία σου ἀνόμημα· κρυφὸ λόγο ὀνομάζοντας, τὴν ὀλιγόλογο [τὴν ἐλάχιστη] παρουσίασι κάποιου πονηροῦ πράγματος, τὸ ὁποῖο εἶναι μισητὸ ἀπὸ τὸν Θεό. Αὐτὴν μάλιστα οἱ Πατέρες ὀνομάζουν καὶ προσβολή,

λέγουσιν οἱ Πατέρες, προσαγομένην τῇ καρδίᾳ παρὰ τοῦ διαβόλου· ᾗ ἐπακολουθοῦσιν οἱ ἡμῶν λογισμοί, εὐθὺς παραφανείσῃ τῷ νῷ, ἐμπαθῶς τε αὐτῇ προσδιαλέγονται.

γʹ. Νῆψίς ἐστιν, ὁδὸς πάσης ἀρετῆς, καὶ ἐντολῆς Θεοῦ· ἥτις καὶ καρδιακὴ ἡσυχία λέγεται· καὶ ἀφαντάστως τελειωθεῖσα, φυλακὴ νοὸς ἡ αὐτή.

δʹ. Οὐχ ὁρᾷ φῶς ἡλίου ὁ γεννηθεὶς τυφλός, οὕτως ὁ μὴ ὁδεύων ἐν νήψει, οὐχ ὁρᾷ πλουσίως τὰς μαρμαρυγὰς τῆς ἄνωθεν χάριτος· οὔτε ἐλευθερωθήσεται ἐκ πονηρῶν καὶ μισητῶν τῷ Θεῷ ἔργωντε, καὶ λόγων, καὶ ἐννοιῶν· οἳ οὐκ ἐλευθερίῳ τρόπῳ ἐν τῇ ἐξόδῳ τοὺς ταρταρέους παρελεύσονται ἄρχοντας.

εʹ. Προσοχή ἐστι, καρδιακὴ ἀδιάλειπτος ἡσυχία ἀπὸ παντὸς λογισμοῦ· Χριστὸν Ἰησοῦν τὸν Υἱὸν τοῦ Θεοῦ καὶ Θεὸν ἀεί, καὶ ἀενάως, καὶ ἀδιαλείπτως, μόνον αὐτὸν ἀναπνέουσα, καὶ ἐπικαλουμένη· καὶ ἀνδρείως πρὸς

καὶ εἰσάγεται στὴν καρδία ἀπὸ τὸν διάβολο, στὴν ὁποία ἐπακολουθοῦν, ἀμέσως μόλις ἐμφανισθῇ στὸν νοῦ, οἱ λογισμοί μας καὶ συνομιλοῦν ἐμπαθῶς μ᾿ αὐτή.

3. Ἡ νῆψι εἶναι ἡ ὁδὸς κάθε ἀρετῆς καὶ ἐντολῆς τοῦ Θεοῦ, ἡ ὁποία λέγεται καὶ καρδιακὴ ἡσυχία· καὶ ὅταν στὴν πραγματικότητα [ὄχι ἐν τῇ φαντασίᾳ], φθάσῃ στὸ μέτρον τῆς τελειότητος, ἡ ἴδια [λέγεται] φυλακὴ τοῦ νοός.

4. Καθὼς ἐκεῖνος ὁ ὁποῖος γεννήθηκε τυφλὸς δὲν βλέπει τὸ φῶς τοῦ ἡλίου, κατὰ τὸν ἴδιο τρόπο ἐκεῖνος ὁ ὁποῖος δὲν πορεύεται μὲ νῆψι [στὴν πνευματικὴ ὁδὸ] δὲν βλέπει ἀφθόνως τὶς ἐλλάμψεις τῆς ἄνωθεν Χάριτος· οὔτε θὰ ἐλευθερωθῇ ἀπὸ πονηρὰ καὶ μισητὰ στὸν Θεὸ καὶ ἔργα καὶ λόγους καὶ λογισμούς. Αὐτοὶ [οἱ ἄνθρωποι] δὲν θὰ περάσουν ἐλεύθερα κατὰ τὴν ἔξοδο [τῆς ψυχῆς τους] τοὺς φρικτοὺς ἄρχοντες τοῦ Ταρτάρου, [τὰ τελώνια].

5. Προσοχὴ εἶναι ἡ ἀδιάλειπτος καρδιακὴ ἡσυχία ἀπὸ κάθε λογισμό, ἡ ὁποία τὸν Ἰησοῦ Χριστό, τὸν Υἱὸ τοῦ Θεοῦ καὶ Θεὸ συνεχῶς καὶ ἀενάως καὶ ἀδιαλείπτως, μόνον Αὐτὸν ἀναπνέει καὶ ἐπικαλεῖται καὶ ἀνδρείως μαζὶ μ᾿ Αὐτὸν παρατάσσεται ἐναντίον τῶν

τοὺς ἐχθροὺς σὺν αὐτῷ παρατασσομένη· αὐτῷ τε ἐξομολογουμένη τῷ ἐξουσίαν ἔχοντι μόνῳ, συγχωρεῖν ἁμαρτήματα· περιπτυσσομένη συνεχῶς Χριστῷ δι᾽ ἐπικλήσεως, κρυπτῶς μόνῳ τῷ τὰς καρδίας ἐπισταμένῳ, τοὺς ἀνθρώπους τε παντοίως λαθεῖν πειρωμένη ἡ ψυχή, τὴν γλυκύτητα αὐτῆς, καὶ τὸν ἔνδον ἀγῶνα, μήποτε ὁ πονηρὸς λαθὼν εὐοδώσῃ κακίαν, καὶ ἀφανίσῃ καλλίστην ἐργασίαν.

ς΄. Νῆψίς ἐστιν, ἔμμονος λογισμοῦ πῆξις, καὶ στάσις αὐτοῦ ἐν πύλῃ καρδίας· ὃς τοὺς ἐρχομένους λογισμοὺς κλέπτας, ὁρᾷ καὶ ἀκούει τί μὲν λέγουσι, τί δὲ ποιοῦσιν οἱ φόνιοι· καὶ τίς ἐστιν ἡ ἐγγλυφεῖσα καὶ στηλωθεῖσα μορφὴ παρὰ τῶν δαιμόνων, καὶ πειρωμένη δι᾽ ἑαυτῆς φανταστικῶς ἀπατῆσαι τὸν νοῦν. Ταῦτα γὰρ φιλοπονούμενα, τὴν πεῖραν τοῦ νοητοῦ πολέμου ἐπιστημόνως ἄγαν ἡμῖν, ἐὰν θέλωμεν, δεικνύουσι.

ζ΄. Ἣν οἶδε γεννᾶν φόβος ὁ διττός, καὶ αἱ ὑπὸ Θεοῦ ἐγκαταλείψεις, καὶ αἱ παιδευ-

ἐχθρῶν [ἔχει σύμμαχο διὰ τῆς εὐχῆς τὸν Ἰησοῦ]. Καὶ σ᾽ Αὐτὸν ἐξομολογεῖται, στὸν μόνο ποὺ ἔχει ἐξουσία νὰ συγχωρῇ ἁμαρτήματα. Μὲ τὴν ἐπίκλησι [τοῦ Παναγίου Ὀνόματος] περικαλύπτεται ἡ ψυχὴ συνεχῶς ἀπὸ τὸν Χριστό, τὸν μόνο ὁ ὁποῖος γνωρίζει τὰ απόκρυφα τῶν καρδιῶν καὶ ἀποπειρᾶται ἡ ψυχὴ νὰ διαφύγῃ παντοιοτρόπως τὴν προσοχὴ τῶν ἀνθρώπων, μήπως κάποτε ὁ πονηρὸς κρυπτόμενος εὐοδώσῃ τὴν κακία καὶ ἀφανίσῃ τὴν γλυκύτητα αὐτῆς [τῆς ψυχῆς] καὶ τὸν ἐσωτερικὸ ἀγῶνα, [δηλαδὴ] τὴν ἀρίστη ἐργασία.

6. Ἡ νῆψι εἶναι ἡ ἔμμονη προσήλωσι τοῦ λογισμοῦ καὶ στάσι αὐτοῦ στὴν πύλη τῆς καρδίας, ὁ ὁποῖος βλέπει τοὺς λογισμούς, ποὺ ἔρχονται σὰν κλέπτες καὶ ἀκούει ἀφ᾽ ἑνὸς μὲν τί λέγουν, ἀφ᾽ ἑτέρου δὲ τί κάνουν οἱ θανατηφόροι καὶ ποιὰ εἶναι ἡ μορφὴ ποὺ ἐγχαράχθηκε καὶ στήθηκε ἀπὸ τοὺς δαίμονες καὶ ἡ ὁποία ἀποπειρᾶται ἀφ᾽ ἑαυτῆς της μὲ τὴν φαντασία νὰ ἐξαπατήσῃ τὸν νοῦ. Αὐτὰ βέβαια, ἐὰν τὰ ἐργασθοῦμε φιλοπόνως, μᾶς δείχνουν ἄκρως ἐπιστημονικῶς τὴν πεῖρα τοῦ νοητοῦ πολέμου, ἐὰν θέλωμε.

7. Αὐτὴν [τὴν νῆψι] γνωρίζει νὰ γεννᾷ ὁ διπλὸς φόβος καὶ οἱ ἀπὸ τὸν Θεὸ ἐγκαταλείψεις[2] καὶ τὰ παι-

τικαὶ τῶν πειρασμῶν συμβάσεις· συνέχειαν ἐπιστατικὴν προσοχῆς, ἐν τῷ ἡγεμονικῷ τοῦ ἀνθρώπου, πειρωμένου τὴν πηγὴν φρᾶξαι τῶν κακῶν λογισμῶν, καὶ ἔργων· δι᾽ ἣν καὶ αἱ ἐγκαταλείψεις, καὶ οἱ ἀδόκητοι ἀπὸ Θεοῦ πειρασμοί, πρὸς τὴν ἡμῶν τοῦ βίου διόρθωσιν· καὶ μάλιστα τοῖς γευσαμένοις τὴν ἀνάπαυσιν τοῦ καλοῦ τούτου, καὶ ἀμελοῦσιν· ἡ δὲ συνέχεια γεννᾷ ἕξιν· ἡ δέ, φυσικήν τινα πυκνότητα νήψεως· ἡ δέ, θεωρίαν τέως τοῦ πολέμου, ἠρέμα κατὰ ποιότητα γεννᾷ· ἣν διαδέχεται ἐπίμονος Ἰησοῦ εὐχή, καὶ ἀφάνταστος νοὸς γλυκεῖα ἠρεμία, καὶ ἡ κατάστασις ἐξ Ἰησοῦ συνεστῶσα.

η΄. Ἱσταμένη καὶ ἐπικαλουμένη διάνοια Χριστὸν κατὰ τῶν πολεμίων, καὶ καταφεύγουσα πρὸς αὐτόν, οἷον θὴρ τὶς κυκλωθεὶς ὑπὸ κυνῶν πολλῶν, καὶ ἀντιστήσας ἑαυτὸν ἐν ὀχυρώματι, πόρρωθεν δὲ νοητῶς τοὺς νοητοὺς λόχους τῶν ἀοράτων ἐχθρῶν προβλέπουσα· καὶ

δαγωγικὰ ἀποτελέσματα τῶν πειρασμῶν. [Ἡ νῆψι γνωρίζει νὰ γεννᾷ] τὴν ἐποπτικὴ συνέχεια τῆς προσοχῆς μέσα στὸ ἡγεμονικὸ [στὸν νοῦ δηλαδὴ] τοῦ ἀνθρώπου ἐκείνου, ποὺ ἀποπειρᾶται νὰ ἀποφράξῃ τὴν πηγὴ τῶν κακῶν λογισμῶν καὶ ἔργων ἐξ αἰτίας τῆς ὁποίας [συμβαίνουν] καὶ οἱ ἐγκαταλείψεις καὶ οἱ ἀπροσδόκητοι ἀπὸ τὸν Θεὸ πειρασμοὶ μὲ σκοπὸ τὴν διόρθωσι τῆς πολιτείας μας. Καὶ μάλιστα ὅσον ἀφορᾶ ἐκείνους ποὺ γεύθηκαν τὴν ἀνάπαυσι αὐτοῦ τοῦ καλοῦ καὶ ἀμελοῦν. Ἡ δὲ συνέχεια γεννᾶ τὴν συνήθεια. Ἡ δὲ [συνήθεια] κάποια φυσικὴ σταθερότητα τῆς νήψεως. Ἡ δὲ [σταθερότης τῆς νήψεως] γεννᾶ τὴν ἐπισκόπησι [δηλαδὴ τὴν μελέτη] τοῦ προηγουμένου πολέμου μὲ ἤρεμο τρόπο κατὰ ποιότητα [διακρίνει ὁ ἀγωνιστὴς τὰ εἴδη τοῦ πολέμου, τοὺς λόγους, τὶς αἰτίες], τὴν ὁποία [ἐπισκόπησι] διαδέχεται ἡ ἀδιάλειπτη εὐχὴ τοῦ Ἰησοῦ καὶ ἡ χωρὶς φαντασία γλυκεῖα ἠρεμία τοῦ νοὸς καὶ ἡ κατάστασι [Χάριτος], ἡ ὁποία συγκροτεῖται [σχηματίζεται] ἀπὸ τὸν Ἰησοῦ.

8. [Νῆψι εἶναι] διάνοια ποὺ στέκεται καὶ ἐπικαλεῖται τὸν Χριστὸ ἐναντίον τῶν ἐχθρῶν καὶ καταφεύγει σ᾽ Αὐτόν, ὅπως κάποιο θηρίο, ποὺ περικυκλώθηκε ἀπὸ πολλὰ σκυλιὰ καὶ ἔστησε τὸν ἑαυτό του ἀντιμέτωπό τους μέσα σὲ φρούριο, καὶ ἀπὸ μακριὰ μὲ τὸν νοῦ βλέπει ἀπὸ πρὶν τοὺς νοητοὺς λόχους τῶν ἀοράτων ἐχθρῶν [ἡ πρόορασι ποὺ δημιουργεῖται ἀπὸ τὴν νῆψι]· καὶ

διὰ τὸ συνεχῶς ἐντυγχάνειν τῷ εἰρηνοποιῷ Ἰησοῦ κατ᾽ αὐτῶν, ἄτρωτος ἐξ αὐτῶν διαμένουσα.

θ΄. Εἰ ἐπίστασαι, καὶ ἐδόθη σοι εἰς τὰς πρωΐας παρεστάναι καὶ ἐποπτεύεσθαι[3]*, ἀλλὰ καὶ ἐποπτεύειν, οἶδας ὃ λέγω· εἰ δὲ οὔ, νῆφε, καὶ λάβῃς.*

ι΄. Συστήματα θαλασσῶν, ὕδωρ πολύ. Σύστημα δέ, καὶ κραταίωμα νήψεως καὶ νηφαλιότητος, καὶ ψυχικῆς κατὰ βάθος ἡσυχίας, καὶ ἄβυσσος θεωριῶν ἐξαισίωντε καὶ ἀποῤῥήτων, καὶ ἐπιγνωμονικῆς ταπεινώσεως, καὶ εὐθύτητος, καὶ ἀγάπης, νῆψις ἄκρα, καὶ Ἰησοῦ Χριστοῦ, χωρὶς λογισμῶν, εὐχή· καὶ τοῦτο στενῶς[α΄] *καὶ πυκνῶς, καὶ μὴ περιεκκακεῖν.*

ια΄. Οὐ πᾶς ὁ λέγων μοι, Κύριε Κύριε, εἰσελεύσεται, φησίν, εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν· ἀλλ᾽ ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου[4]*. Θέλημα δὲ τοῦ πατρὸς αὐτοῦ τό, οἱ ἀγαπῶντες τὸν Κύριον, μισεῖτε πονηρά*[5]*. Οὐκοῦν σὺν τῇ εὐχῇ Ἰησοῦ Χριστοῦ, μισήσωμεν καὶ πονηροὺς λογισμούς· καὶ ἰδοὺ πε-*

ἐξ αἰτίας τοῦ ὅτι συνεχῶς προσεύχεται στὸν εἰρηνοποιὸ Ἰησοῦ ἐναντίον τους, παραμένει [ἡ διάνοια] ἄτρωτη ἀπ᾽ αὐτούς.

9. Ἐὰν γνωρίζῃς καλῶς καὶ σοῦ ἐδόθη νὰ παρίστασαι [ἐνώπιον τοῦ Θεοῦ] μέχρι τὸ πρωῒ καὶ νὰ βλέπεσαι [ἀπὸ τὸν Θεό], ἀλλὰ καὶ νὰ [Τὸν] βλέπῃς, γνωρίζεις αὐτὸ τὸ ὁποῖο λέγω. Ἐὰν ὅμως ὄχι, νῆφε καὶ θὰ λάβῃς[3].

10. Τὰ συστήματα τῶν θαλασσῶν, [εἶναι] τὸ πολὺ νερό. Ἀλλὰ τὸ σύστημα καὶ ἡ δύναμι τῆς νήψεως καὶ τῆς νηφαλιότητος καὶ τῆς ψυχικῆς κατὰ βάθος ἡσυχίας καὶ ἡ ἄβυσσος τῶν ἐξαισίων καὶ τῶν ἀπορρήτων θεωριῶν καὶ τῆς ἐν γνώσει ταπεινώσεως καὶ τῆς εὐθύτητος καὶ τῆς ἀγάπης [εἶναι] ἡ ἄκρα νῆψι καὶ ἡ χωρὶς λογισμοὺς [ἡ καθαρὰ] εὐχὴ τοῦ Ἰησοῦ Χριστοῦ. Καὶ αὐτὸ συγκροτημένα [ὄχι χαλαρά, ἀλλὰ μὲ ἔντασι] καὶ ἀδιαλείπτως καὶ χωρὶς κανεὶς νὰ ἀπελπίζεται.

11. Εἶπε: «Δὲν θὰ εἰσέλθῃ στὴν Βασιλεία τῶν Οὐρανῶν [ὁ καθένας] ὁ ὁποῖος μοῦ λέγει, Κύριε Κύριε, ἀλλὰ αὐτὸς ὁ ὁποῖος ἐκτελεῖ τὸ θέλημα τοῦ Πατρός μου». Τὸ θέλημα δὲ τοῦ Πατρός Του [εἶναι] τὸ «ὅσοι ἀγαπᾶτε τὸν Κύριο, νὰ μισῆτε τὰ πονηρά». Ἑπομένως, μαζὶ μὲ τὴν εὐχὴ τοῦ Ἰησοῦ, νὰ μισήσωμε καὶ τοὺς πονηροὺς λογισμούς· καὶ ἰδοὺ ἐ-

ποιήκαμεν τὸ θέλημα τοῦ Θεοῦ.

ιβ΄. Ἀρετῆς πάσης ὑπογραμμόν[6], καὶ ὑπόδειγμα γένους ἀνθρώπων, καὶ ἀνάκλησιν τοῦ παλαιοῦ πτώματος, ὁ Δεσπότης ἡμῶν καὶ Θεὸς σαρκωθεὶς προέθηκεν ἡμῖν, ζωγραφήσας τὸν ἐν σαρκὶ αὐτοῦ πανάρετον βίον· σὺν πᾶσι δὲ τοῖς καλοῖς αὐτοῦ, οἷς ἡμῖν ὑπέδειξε, μετὰ τὸ βάπτισμα ἀνελθὼν εἰς τὴν ἔρημον, μετὰ νηστείας ἄρχεται πάλης νοητῆς, τοῦ διαβόλου ὡς ἀνθρώπῳ ψιλῷ αὐτῷ προσελθόντος[7]· καὶ διὰ τοῦ τοιούτου τῆς νίκης τρόπου ἐδίδαξε καὶ ἡμᾶς τοὺς ἀχρείους ὁ Δεσπότης, πρὸς τὰ πνεύματα τῆς πονηρίας ὅπως χρὴ τὴν πάλην ἐνεργεῖν, τουτέστιν ἐν ταπεινώσει, καὶ νηστείᾳ, καὶ εὐχῇ[8], καὶ νήψει· ὁ μὴ χρήζων τῶν τοιούτων, καθὸ Θεός, καὶ Θεὸς τῶν θεῶν.

ιγ΄. Τὸ δὲ πόσοι τρόποι εἰσὶ κατ᾽ ἐμὲ τέως νήψεως, καθαρίζειν ἀπὸ λογισμῶν ἐμπαθῶν τὸν νοῦν κατ᾽ ὀλίγον δυνάμενοι, ἰδοὺ σημᾶναί σοι αὐτοὺς ἀκομψεύτῳ γλώσ-

χομε ἐκτελέσει τὸ θέλημα τοῦ Θεοῦ.

12. Ὁ Δεσπότης μας καὶ Θεός, ἀφοῦ σαρκώθηκε, τύπο κάθε ἀρετῆς καὶ ὑπόδειγμα τοῦ γένους τῶν ἀνθρώπων καὶ ἀνάκλησι τῆς παλαιᾶς πτώσεως, προέβαλε σ᾽ ἐμᾶς ἀπεικονίσας ζωντανὰ τὴν ἔνσαρκό Του πανάρετο πολιτεία. Μαζὶ δὲ μὲ ὅλα τὰ δικά Του καλά, τὰ ὁποῖα ὑπέδειξε σ᾽ ἐμᾶς, ἀνεβαίνοντας μετὰ τὸ βάπτισμα στὴν ἔρημο, ὅταν ἐπετέθη ἐναντίον του ὁ διάβολος σὰν σὲ ἁπλὸ ἄνθρωπο ἀρχίζει μὲ νηστεία τὴν νοητὴ πάλη καὶ μ᾽ αὐτὸν τὸν τρόπο τῆς νίκης, ἐδίδαξε ὁ Δεσπότης καὶ σὲ μᾶς τοὺς ἀχρείους, πῶς πρέπει νὰ διεξάγωμε τὴν πάλη ἐναντίον τῶν πνευμάτων τῆς πονηρίας, δηλαδὴ μὲ ταπείνωσι καὶ νηστεία καὶ εὐχὴ καὶ νῆψι. Ἐκεῖνος [τὰ ἐδίδαξε], ὁ ὁποῖος δὲν εἶχε ἀνάγκη ἀπὸ τέτοια, καθότι [εἶναι] ὁ Θεὸς καὶ ὁ Θεὸς τῶν θεῶν.

13. Ἀλλά, τὸ πόσοι ἐν τῷ μεταξὺ εἶναι, σύμφωνα μ᾽ ἐμένα, οἱ τρόποι νήψεως, οἱ ὁποῖοι δύνανται βαθμηδὸν νὰ καθαρίζουν τὸν νοῦ ἀπὸ ἐμπαθεῖς λογισμούς, ἰδοὺ δὲν θὰ βραδύνω νὰ σοῦ τοὺς ὑποδείξω μὲ γλῶσ-

ση, καὶ ἀποικίλῳ οὐκ ὀκνήσω. Οὐ γὰρ ἔκρινα ἐν τοῖς τοῦ πολέμου καιροῖς ἐν τῷδε τῷ λόγῳ κρύψαι τὴν ὠφέλειαν διὰ τῶν λέξεων, καὶ μάλιστα τοῖς ἁπλουστέροις. Σὺ δὲ τέκνον Τιμόθεε, φησί, πρόσεχε οἷς ἀναγινώσκεις[9].

ιδ'. Εἷς οὖν τρόπος νήψεως, τὸ τὴν φαντασίαν πυκνὰ σκοπεῖν, ἤγουν τὴν προσβολήν, διὰ τὸ μὴ δύνασθαι τὸν σατανᾶν χωρὶς φαντασίας λογισμοὺς δημιουργεῖν, καὶ παραδεικνύειν τῷ νῷ πρὸς ἀπάτην ψευδῆ.

ιε'. Ἕτερος δέ, τὸ ἔχειν καρδίαν βαθέως σιωπῶσαν διὰ παντός, καὶ ἡσυχάζουσαν ἀπὸ παντὸς λογισμοῦ, καὶ εὔχεσθαι.

ις'. Ἄλλος, τὸ παρακαλεῖν τὸν Κύριον Ἰησοῦν Χριστὸν εἰς βοήθειαν συνεχῶς ἐν ταπεινώσει.

ιζ'. Ἕτερος δὲ τρόπος, τὸ μνήμην ἔχειν θανάτου ἀδιάλειπτον ἐν τῇ ψυχῇ.

ιη'. Αὗται πᾶσαι αἱ ἐργασίαι, ἀγαπητέ, τὰς πονηρὰς ἐννοίας δίκην πυλωρῶν κωλύουσι. Τὸ δὲ ὁρᾶν πρὸς Οὐρανόν, καὶ γῆν μηδὲν ἡγεῖσθαι, ὅπερ ἐνεργές ἐστι σὺν

σα ἀνεπιτήδευτη καὶ ἁπλῆ. Διότι δὲν ἔκρινα [σωστὸ] στοὺς καιροὺς τοῦ πολέμου νὰ ἀποκρύψω σ' αὐτὸν ἐδῶ τὸν λόγο τὴν ὠφέλεια ἀπὸ τὶς λέξεις καὶ μάλιστα ἀπὸ τοὺς πιὸ ἁπλοὺς [ἀδελφοὺς – δηλαδὴ νὰ χρησιμοποιήσω δύσκολες καὶ ἐπιτηδευμένες λέξεις]. Λέγει, λοιπόν, [ἡ Ἁγία Γραφή], «Ἐσὺ τέκνον Τιμόθεε πρόσεχε ἐκεῖνα ποὺ διαβάζεις».

14. Ἕνας λοιπὸν τρόπος νήψεως [εἶναι], τὸ νὰ παρακολουθῇς προσεκτικὰ συνεχῶς τὴν φαντασία, δηλαδὴ τὴν προσβολή, ἐξ αἰτίας τοῦ ὅτι, δὲν μπορεῖ ὁ σατανᾶς νὰ δημιουργῇ λογισμοὺς χωρὶς φαντασία καὶ νὰ [τοὺς] παρουσιάζῃ ὑπούλως στὸ νοῦ πρὸς ψεύτικη ἐξαπάτησι.

15. Ἄλλος δὲ [τρόπος νήψεως εἶναι] τὸ νὰ ἔχῃς καρδία, ἡ ὁποία πάντοτε σιωπᾶ εἰς βάθος [ἐσωτερικὰ] καὶ ἡσυχάζει ἀπὸ κάθε λογισμὸ καὶ [τὸ] νὰ εὔχεσαι [μὲ τὸ Πανάγιο τοῦ Κυρίου ὄνομα].

16. Ἄλλος [τρόπος νήψεως εἶναι] τὸ νὰ παρακαλῇς μὲ ταπείνωσι τὸν Κύριο Ἰησοῦ Χριστὸ συνεχῶς σὲ βοήθεια.

17. Ἄλλος δὲ τρόπος [νήψεως εἶναι] τὸ νὰ ἔχῃς στὴν ψυχὴ ἀδιάλειπτη τὴ μνήμη τοῦ θανάτου.

18. Ὅλες αὐτὲς οἱ ἐργασίες, ἀγαπητέ, ἐμποδίζουν τοὺς πονηροὺς λογισμοὺς κατὰ τὸν τρόπο ἐκείνων ποὺ φρουροῦν πύλες. Τὸ νὰ βλέπῃς ὅμως πρὸς τὸν Οὐρανὸ καὶ νὰ θεωρῇς [ὡς] τίποτα τὴν γῆ, τὸ ὁποῖο βέβαια εἶναι [καὶ αὐτὸ] μαζὶ μὲ τὰ ἄλ-

τοῖς ἄλλοις, Θεοῦ διδόντος ῥῆμα, ἐν ἄλλῳ τόπῳ ἐκτελέστερον ἐκθήσομαι.

ιθ'. Ἐὰν πρὸς ὀλίγον τὰς αἰτίας τῶν παθῶν ἐκκόψαντες, τοῖς πνευματικοῖς ἐνασχοληθῶμεν θεωρήμασι· μὴ ἐν αὐτοῖς δὲ διατρίψωμεν, αὐτὸ τοῦτο ἔχοντες ἔργον, εὐχερῶς πάλιν ἐπὶ τὰ τῆς σαρκὸς πάθη περιτρεπόμεθα· μηδὲν ἄλλο ἐκεῖθεν καρπωσάμενοι, ἢ σκότωσιν παντελῆ τοῦ νοῦ, καὶ ἐπὶ τὰ ὑλικὰ ἐκτροπήν.

κ'. Δεῖ τὸν ἀγωνιζόμενον ἔνδον, κατὰ στιγμὴν χρόνου ἔχειν τὰ τέσσαρα ταῦτα· ταπείνωσιν, προσοχήν τε ἄκραν, ἀντίρρησιν, καὶ προσευχήν. Καὶ ταπείνωσιν μέν, ὅτι πρὸς ὑπερηφάνους δαίμονας ἀντιθέτους ἐστὶν αὐτῷ ἡ πάλη· ἵνα τὴν τοῦ Χριστοῦ βοήθειαν ἐν χειρὶ καρδίας ἔχῃ διὰ τό, τὸν Κύριον ὑπερηφάνους μισεῖν[10]. Προσοχὴν δέ, ἵνα ἀεὶ τὴν ἑαυτοῦ καρδίαν ποιῇ μηδένα λογισμὸν ἔχειν, κἂν δῆθεν ἀγαθὸς φαίνηται. Ἀντίρρησιν δέ, ἵνα ὁπηνίκα ὀξέως γνῷ τὸν ἐλθόντα,

λα δραστικό, ὅταν [μοῦ] δίδῃ ὁ Θεὸς τὸν λόγο, σὲ ἄλλο σημεῖο, θὰ [τὸ] ἐκθέσω πληρέστερα.

19. Ἐὰν ἐνασχοληθοῦμε μὲ πνευματικὰ θεωρήματα, ἐνῶ [μόλις] πρὶν ἀπὸ λίγο διακόψαμε τὶς αἰτίες τῶν παθῶν, χωρὶς νὰ ἐνδιατρίψωμε ὅμως πολὺ σ' αὐτά, ἂν καὶ ἔχομε αὐτὸ κυρίως τὸ ἔργο, μὲ εὐκολία ἐπιστρέφομε πάλι στὰ πάθη τῆς σαρκὸς [δηλαδὴ πρὶν τὴν κάθαρσι, μὲ ἐμπαθῆ καρδία, εἶναι ἐπικίνδυνη ἡ ὑψηλὴ θεωρητικὴ ἐνασχόλησι]. Διότι ἀπὸ ἐκεῖ [ἀπὸ τὴν ἐνασχόλησι δηλαδὴ μὲ πνευματικὰ θεωρήματα] δὲν θὰ ἀποκομίσωμε τίποτα ἄλλο παρὰ παντελῆ σκοτασμὸ τοῦ νοῦ καὶ ἐπιστροφὴ πρὸς τὰ ὑλικά.

20. Πρέπει ἐκεῖνος ὁ ὁποῖος ἀγωνίζεται ἐσωτερικὰ κατὰ τὴν διάρκεια τῆς [κάθε] στιγμῆς τοῦ χρόνου νὰ ἔχῃ αὐτὰ τὰ τέσσερα: ταπείνωσι καὶ ἄκρα προσοχή, ἀντίρρησι καὶ προσευχή. Καὶ ταπείνωσι ἀφ' ἑνός, διότι γι' αὐτὸν ἡ πάλη εἶναι ἐναντίον τῶν ὑπερηφάνων ἐχθρῶν δαιμόνων· γιὰ νὰ ἔχῃ τὴν βοήθεια τοῦ Χριστοῦ στὸ ἔργο τῆς καρδίας [του], ἐξ αἰτίας τοῦ ὅτι ὁ Κύριος μισεῖ τοὺς ὑπερηφάνους. Ἀφ' ἑτέρου [πρέπει νὰ ἔχῃ] προσοχή, γιὰ νὰ κάνῃ πάντοτε τὴν καρδία του νὰ μὴν ἔχῃ κανέναν λογισμὸ ἀκόμα κι ἂν δῆθεν φαίνεται ἀγαθός. [Νὰ ἔχῃ] ἐξάλλου ἀντίρρησι, γιὰ νὰ δύναται εὐθύς, μὲ ὀργὴ νὰ φέρνῃ ἀντίλογο στὸν πονηρό, ὁπόταν τὸν ἀντιληφθῇ

εὐθὺς μετ᾿ ὀργῆς ἀντιλογηθείη τῷ πονηρῷ. Καὶ ἀποκριθήσομαί φησι, τοῖς ὀνειδίζουσί μοι κακά· οὐχὶ τῷ Θεῷ ὑποταγήσεται ἡ ψυχή μου[11]*; Εὐχὴν δέ, ἵνα κραυγάσῃ πρὸς Χριστὸν στεναγμῷ ἀλαλήτῳ*[12] *εὐθὺς μετὰ τὴν ἀντίῤῥησιν. Καὶ τότε αὐτὸς ὁ ἀγωνιζόμενος βλέψεται τὸν ἐχθρὸν λυόμενον, ἢ διωκόμενον τῷ προσκυνητῷ ὀνόματι τοῦ Ἰησοῦ, ὡς χοῦν ὑπὸ ἀνέμου, ἢ ὡς καπνὸν ἐκλείποντα μετὰ τῆς φαντασίας αὐτοῦ.*

κα'. Ὁ μὴ ἔχων εὐχήν, καθαρὰν λογισμῶν, ὅπλον οὐκ ἔχει εἰς πόλεμον· εὐχὴν δὲ λέγω ἀενάως ἐνεργουμένην ἐν ἀδύτοις τῆς ψυχῆς, ἵνα τῇ τοῦ Χριστοῦ ἐπικλήσει, ὁ κρυφίως πολεμῶν πολέμιος μαστίζηται, καὶ φλέγηται.

κβ'. Σὺ μὲν γὰρ ὀφείλεις ὀξεῖ καὶ συντόνῳ νοῦ βλέμματι βλέπειν, ὥστε νοεῖν τοὺς εἰσερχομένους· γνοὺς δέ, παρ᾿ αὐτὰ δι᾿ ἀντιῤῥήσεως θλᾶν τὴν τοῦ ὄφεως κεφαλήν· καὶ ἅμα τούτῳ σὺν στεναγμῷ βόησον πρὸς Χριστόν· καὶ λήψῃ πεῖραν τό-

νὰ ἔρχεται μὲ ταχύτητα καὶ δριμύτητα. Καὶ θὰ ἀπαντήσω, λέγει, σ᾿ ἐκείνους ποὺ μὲ κακίζουν· δὲν θὰ ὑποταχθῇ ἡ ψυχή μου στὸν Θεό; [Πρέπει] ἐπίσης [ὁ ἀγωνιζόμενος νὰ ἔχῃ] εὐχή, γιὰ νὰ κραυγάσῃ πρὸς τὸν Χριστὸ ἀμέσως μετὰ τὴν ἀντίρρησι μὲ ἀλάλητο στεναγμό. Καὶ τότε ἐκεῖνος ὁ ἴδιος ποὺ ἀγωνίζεται, θὰ δῇ τὸν ἐχθρὸ νὰ διαλύεται ἢ νὰ ἐκδιώκεται μὲ τὸ προσκυνητὸ ὄνομα τοῦ Ἰησοῦ, ὅπως τὸ χῶμα ἀπὸ τὸν ἄνεμο ἢ ὅπως ὁ καπνός, ὅταν χάνεται μαζὶ μὲ τὴν ἀνυπόστατη παρουσία του.

21. Ἐκεῖνος ποὺ δὲν ἔχει εὐχὴ καθαρὴ ἀπὸ λογισμούς, ὅπλο δὲν ἔχει στὸν πόλεμο. Καὶ λέγω εὐχή, ἐκείνη ἡ ὁποία ἐνεργεῖται ἀδιάλειπτα μέσα στὰ βάθη τῆς ψυχῆς, γιὰ νὰ μαστιγώνεται καὶ νὰ φλέγεται μὲ τὴν ἐπίκλησι τοῦ Χριστοῦ ὁ ἐχθρός, ποὺ πολεμᾶ κρυφά.

22. Διότι ἐσὺ μὲν ὀφείλεις νὰ βλέπῃς μὲ τὸ ὀξὺ καὶ τεταμένο βλέμμα τοῦ νοός, ὥστε νὰ ἀντιλαμβάνεσαι ὅσους [λογισμοὺς] εἰσέρχονται· μαθαίνοντας δὲ ἀμέσως νὰ συντρίβῃς τὸ κεφάλι τοῦ φιδιοῦ μὲ τὴν ἀντίρρησι, συγχρόνως μ᾿ αὐτὸ φώναξε καὶ δυνατὰ μὲ στεναγμὸ πρὸς τὸν Χριστὸ καὶ θὰ λάβῃς τότε πεῖρα

τε θείας ἀοράτου ἀντιλήψεως· καὶ τότε ὁρᾷς τηλαυγῶς εὐθύτητα καρδίας.

κγ΄. Ὥς περ ὁ κρατῶν ἔσοπτρον ἐν χειρί, μέσον δὲ πολλῶν ἱστάμενος, καὶ ἀτενίζων τῷ ἐσόπτρῳ, βλέπει μὲν τὸ ἴδιον πρόσωπον ὁποῖον, βλέπει δὲ καὶ τῶν ἄλλων τῶν ἐγκυπτόντων ἐν τῷ ἑνὶ ἐκείνῳ ἐσόπτρῳ· οὕτως ὁ δι᾽ ὅλου ἐγκύπτων εἰς τὴν καρδίαν αὐτοῦ, βλέπει μὲν τὴν ἑαυτοῦ κατάστασιν ἐν αὐτῇ, βλέπει δὲ καὶ τὰ μέλανα πρόσωπα τῶν νοητῶν αἰθιόπων.

κδ΄. Ἀλλ᾽ οὐ δύναται ὁ νοῦς νικῆσαι φαντασίαν δαιμονίαν δι᾽ ἑαυτοῦ μόνον· μήποτε τοῦτο θαῤῥείτω· πανοῦργοι γὰρ ὄντες, καὶ ἡττᾶσθαι ὑποκρίνονται, ἄλλοθεν διὰ κενοδοξίας ὑποσκελίζοντες· τῇ δὲ Ἰησοῦ Χριστοῦ ἐπικλήσει, στῆναι καὶ δολιεύσασθαί σε, οὐδὲ κἂν πρὸς ὥραν ὑπομένουσιν.

κε΄. Ὅρα μὴ οἰηθῇς κατὰ τὸν πάλαι Ἰσραήλ, καὶ παραδοθήσῃ καὶ αὐτὸς τοῖς νοητοῖς ἐχθροῖς. Ἐκεῖνος γὰρ

τῆς θεϊκῆς ἀοράτου ἀντιλήψεως [βοηθείας] καὶ τότε βλέπεις ὁλοκάθαρα τὴν εἰλικρίνεια τῆς καρδίας.

23. Ὅπως ἀκριβῶς ἐκεῖνος ποὺ στὸ χέρι [του] κρατᾶ καθρέπτη, ὅταν δὲ στέκεται ἀνάμεσα σὲ πολλοὺς καὶ ἀτενίζῃ στὸν καθρέπτη, βλέπει βέβαια ποιὸ [εἶναι] τὸ δικό του πρόσωπο, ἀλλὰ βλέπει καὶ τῶν ἄλλων [τὰ πρόσωπα], ὅσων σκύβουν μέσα σ᾽ ἐκεῖνον τὸν ἕνα καθρέπτη, κατὰ τὸν ἴδιο τρόπο ἐκεῖνος ὁ ὁποῖος ἐγκύπτει στὴν καρδία του [σκύβει μέσα καὶ τὴν παρατηρεῖ], βλέπει βέβαια μέσα σ᾽ αὐτὴν τὴν ἰδική του κατάστασι, βλέπει ὅμως καὶ τὰ μαῦρα πρόσωπα τῶν νοητῶν αἰθιόπων [τῶν δαιμόνων].

24. Ἀλλ᾽ ὁ νοῦς δὲν μπορεῖ νὰ νικήσῃ τὴν δαιμονικὴ φαντασία μόνο μὲ τὴν δύναμι τοῦ ἑαυτοῦ του. Σὲ καμιὰ περίπτωσι νὰ μὴν λαμβάνῃ τοῦτο τὸ θάρρος [νὰ ἐμπιστευθῇ δηλαδὴ τὸν ἑαυτόν του]. Διότι καθὼς εἶναι πανοῦργοι [οἱ δαίμονες], ὑποκρίνονται [ἀκόμα] καὶ ὅτι ὑποχωροῦν νικημένοι, ἐνῶ [σὲ] ὑπονομεύουν ἀπὸ ἄλλο μέρος μέσῳ τῆς κενοδοξίας. Ἀλλὰ μὲ τὴν ἐπίκλησι τοῦ Ἰησοῦ Χριστοῦ, οὔτε κἂν γιὰ μιὰ στιγμὴ δὲν ὑπομένουν νὰ σταθοῦν καὶ νὰ σὲ ἐξαπατήσουν.

25. Πρόσεχε μὴν ὑπερηφανευθῇς, ὅπως παλαιὰ ὁ Ἰσραὴλ [καὶ νομίσῃς ὅτι μὲ τὴν δύναμί σου νίκησες τὸν ἐχθρό], καὶ παραδοθῇς καὶ [ἐσὺ] ὁ ἴδιος στοὺς νοητοὺς ἐχθρούς. Διότι ἐκεῖ-

παρὰ τοῦ Θεοῦ τῶν ὅλων, τῶν Αἰγυπτίων ἀπαλλαγείς, βοηθὸν εἰς ἑαυτὸν ἐπενόησεν εἴδωλον χωνευτόν[13].

κς'. Εἴδωλον δὲ χωνευτὸν νοήσεις, τὸν ἀσθενῆ ἡμῶν νοῦν· ὅς γε ἕως μὲν Ἰησοῦν Χριστὸν παρακαλεῖ κατὰ τῶν τῆς πονηρίας πνευμάτων, εὐκόλως αὐτοὺς καταδιώκει· καὶ μετ' ἐπιστήμης ἐντέχνου τροποῦται τὰς ἀοράτους καὶ πολεμίους τοῦ ἐχθροῦ δυνάμεις. Ἐπὰν δὲ αὐτὸς εἰς ἑαυτὸν ἀφρόνως θαῤῥήσῃ ὅλως, ὡς ὁ λεγόμενος ὀξύπτερος καταράσσεται. Ἐπὶ τῷ Θεῷ, φησίν, ἤλπισεν ἡ καρδία μου, καὶ ἐβοηθήθην, καὶ ἀνέθαλεν ἡ σάρξ μου[14]. *Καὶ τίς πάρεξ τοῦ Κυρίου ἀναστήσεταί με, καὶ συμπαρατάξεταί μοι ἐπὶ πονηρευομένοις ἀπείροις λογισμοῖς*[15]*; Ὁ δ' εἰς ἑαυτὸν θαῤῥῶν, καὶ μὴ εἰς Θεόν, πεσεῖται πτῶμα ἐξαισιώτατον*[16].

κζ'. Καρδιακῆς ἡσυχίας, ὦ οὗτος, τύπος καὶ τάξις (εἰ βούλει ἀθλεῖν) τὸ μικρὸν ζωΰφιον ὁ ἀράχνης ἔστω σοι ἀεὶ τὸ ὑπόδειγμα· εἰδὲ μή, οὔπω ὡς δεῖ ἡσύχασας

νος, ἐνῶ μὲ [τὴν δύναμι] τοῦ Θεοῦ τῶν ὅλων ἀπαλλάχθηκε ἀπὸ τοὺς Αἰγυπτίους, ἐπινόησε ὡς βοηθὸ γιὰ τὸν ἑαυτό του ἕνα εἴδωλο χυτὸ [κατασκευασμένο ἀπὸ χυμένο σὲ καλούπι μέταλλο].

26. Ὡς χυτὸ δὲ εἴδωλο νὰ ἐννοήσῃς τὸν ἀσθενῆ μας νοῦ, ὁ ὁποῖος βεβαίως ἐν ὅσῳ μὲν παρακαλεῖ τὸν Ἰησοῦ Χριστὸ ἐναντίον τῶν πονηρῶν πνευμάτων, καταδιώκει εὔκολα τοὺς [ἐχθρούς]· καὶ μὲ ἔντεχνο ἐπιστημονικὴ γνῶσι κατατροπώνει τὶς ἀόρατες καὶ ἀντίπαλες δυνάμεις τοῦ ἐχθροῦ. Ὅταν ὅμως ἀφρόνως ἀποκτήσῃ ὁ ἴδιος ἐξ ὁλοκλήρου ἐμπιστοσύνη στὸν ἑαυτό του, ὅπως [τὸ πτηνὸ] ὀξύπτερος [μὲ τὶς ταχεῖες πτέρυγές του] κατασυντρίβεται. Λέγει [ὁ Δαυΐδ]: «πάνω στὸν Θεὸ ἐστήριξε τὴν ἐλπίδα της ἡ καρδία μου καὶ βοηθήθηκα καὶ ἀναζωογονήθηκε ἡ ὕπαρξί μου. Καὶ ποιὸς ἐκτὸς τοῦ Κυρίου θὰ ἐγερθῇ ὑπερασπιστής μου καὶ θὰ συμπαραταχθῇ μ' ἐμένα ἐναντίον τῶν ἀπείρων λογισμῶν, οἱ ὁποῖοι ἐργάζονται τὴν πονηρία;» Ἐκεῖνος βέβαια, ποὺ ἔχει ἐμπιστοσύνη στὸν ἑαυτό του καὶ ὄχι στὸν Θεό, θὰ πέσῃ [καὶ θὰ καταντήσῃ] φοβερώτατο πτῶμα.

27. Τῆς καρδιακῆς ἡσυχίας, ὦ αὐτὸ τὸ πρότυπο καὶ ἡ τάξι (ἐὰν ἐπιθυμῇς νὰ ἀγωνίζεσαι),τὸ μικρὸ ζωύφιο, ἡ ἀράχνη ἂς σοῦ εἶναι πάντοτε τὸ ὑπόδειγμα. Ἐὰν ὅμως ὄχι, δὲν ἡσύχασες ἀκόμα

ἐν νῷ. Κἀκεῖνος μὲν μυίας μικρὰς θηρεύει· σὺ δέ, εἰ οὕτως, καὶ ὡς αὐτῇ ἐν ψυχῇ πονῶν ἡσυχάζεις, οὐ παύσῃ κτείνων ἀεὶ νήπια Βαβυλώνια· καθ' ὅν φόνον μακαρίζῃ ὑπὸ τοῦ Πνεύματος τοῦ Ἁγίου διὰ Δαβίδ[17].

κη'. Ὡς οὐ δυνατὸν τὴν ἐρυθρὰν θάλασσαν ἐν τῷ στερεώματι ὀφθῆναι μέσον ἀστέρων· καὶ ὡς οὐκ ἔνι ἄνθρωπον ἐν γῇ περιπατοῦντα μὴ τὸν ἀέρα τοῦτον ἀναπνέειν· οὕτως ἀδύνατον καθαρίσαι τὴν ἡμῶν καρδίαν ἐξ ἐμπαθῶν νοημάτων, καὶ ἀποδιῶξαι νοητοὺς ἐχθροὺς ἐξ αὐτῆς, ἄνευ συχνῆς ἐπικλήσεως Ἰησοῦ Χριστοῦ.

κθ'. Ἐὰν μετὰ ταπεινοῦ φρονήματος, καὶ μνήμης θανάτου, καὶ αὐτομεμψίας, καὶ ἀντιῤῥήσεως, καὶ ἐπικλήσεως Ἰησοῦ Χριστοῦ τὰς διατριβὰς πάντοτε ποιῇς ἐν σῇ καρδίᾳ· καὶ τὴν στενὴν μέν, ἀλλὰ χαροποιόν, καὶ τερπνὴν ὁδὸν τῆς διανοίας καθ' ἡμέραν μετὰ τούτων τῶν ὅπλων ὁδεύῃς νηφόντως, εἰς θεωρίας ἁγίας Ἁγί-

μέσα στὸν νοῦ σου, ὅπως πρέπει. Καὶ ἐκείνη βέβαια κυνηγᾶ μικρὲς μύγες. Ἐσὺ ὅμως, ἐὰν κατὰ τὸν ἴδιο τρόπο καὶ ἀναλόγως ἡσυχάζῃς κοπιάζοντας μέσα σ' αὐτὴν τὴν ἴδια τὴν ψυχή σου, δὲν θὰ σταματήσῃς νὰ σκοτώνῃς διαρκῶς τὰ νήπια τῆς Βαβυλῶνος [τὶς προσβολὲς τῶν πονηρῶν λογισμῶν]· ἕνεκα τοῦ ὁποίου φόνου μακαρίζεσαι ἀπὸ τὸ Πνεῦμα τὸ Ἅγιο μέσῳ τοῦ Δαυΐδ.

28. Ὅπως δὲν εἶναι δυνατὸν νὰ ὁραθῇ ἡ ἐρυθρὰ θάλασσα στὸ στερέωμα ἀνάμεσα στὰ ἀστέρια· καὶ ὅπως δὲν εἶναι δυνατὸν ἄνθρωπος ποὺ περπατάει στὴν γῆ νὰ μὴν ἀναπνέῃ αὐτὸν ἐδῶ τὸν ἀέρα· κατὰ τὸν ἴδιο τρόπο εἶναι ἀδύνατον νὰ καθαρίσωμε τὴν καρδία μας ἀπὸ ἐμπαθῆ νοήματα καὶ νὰ ἀπομακρύνωμε ἀπὸ αὐτὴν τοὺς νοητοὺς ἐχθρούς, χωρὶς τὴν συχνὴ ἐπίκλησι τοῦ Ἰησοῦ Χριστοῦ.

29. Ἐὰν μὲ ταπεινὸ φρόνημα καὶ μνήμη θανάτου καὶ αὐτομεμψία καὶ ἀντίρρησι [στοὺς ἐπερχομένους λογισμοὺς] καὶ ἐπίκλησι τοῦ Ἰησοῦ Χριστοῦ κάνῃς πάντοτε τὸν πνευματικὸ ἀγῶνα μέσα στὴν καρδία σου καὶ μ' αὐτὰ τὰ ὅπλα καθημερινὰ διέρχεσαι μὲ νῆψι τὴν στενὴ μὲν ἀλλὰ χαροποιὸ καὶ τερπνὴ ὁδὸ τῆς διανοίας, θὰ φθάσῃς σὲ ἅγιες θεωρίες

ων ἐλεύσῃ· καὶ φωτισθήσῃ μυστήρια βαθέα παρὰ Χριστοῦ, παρ᾽ ᾧ οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως οἱ ἀπόκρυφοι[18]*· ἐν ᾧ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς Θεότητος σωματικῶς*[19]*. Αἰσθανθήσῃ γὰρ πρὸς Ἰησοῦ, ὅτι Πνεῦμα Ἅγιον ἐφήλατο τῇ ψυχῇ σου· παρ᾽ οὗ νοῦς ἀνθρώπου δαδουχεῖται ὁρᾷν ἀνακεκαλυμμένῳ προσώπῳ. Οὐδείς, φησί, λέγει Κύριον Ἰησοῦν, εἰμὴ ἐν Πνεύματι Ἁγίῳ*[20]*· δηλαδὴ βεβαιῶν μυστικῶς τὸν ζητούμενον.*

λʹ. Πλὴν οὖν καὶ τοῦτο ἰστέον τοὺς φιλομαθεῖς· ὅτιπερ οἱ φθονεροὶ δαίμονες ἐνίοτε πολλάκις καὶ κρύπτουσι, καὶ συστέλλουσιν ἐξ ἡμῶν τὸν νοητὸν πόλεμον· βασκαίνοντες ἡμῖν οἱ δεινοὶ τῆς ἐκ τοῦ πολέμου ὠφελείας τε, καὶ γνώσεως, καὶ πρὸς Θεὸν ἀναβάσεως· καὶ ἵνα ἀμεριμνήσαντας ἡμᾶς ἐξαίφνης τὸν νοῦν ἡμῶν ἁρπάσωσι, καὶ ἀπροσεχεῖς τινας τῇ διανοίᾳ πάλιν ἀπεργάσωνται. Σκοπὸς γὰρ αὐτοῖς ἄληκτος καὶ ἀγὼν φροντίζεται, μηδόλως

Ἁγίων καὶ θὰ λάβῃς φωτισμὸ βαθέων μυστηρίων ἀπὸ τὸν Χριστό, στὸν ὁποῖο [βρίσκονται] οἱ μυστικοὶ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως· μέσα στὸν ὁποῖο σωματικῶς κατοικεῖ ὅλο τὸ πλήρωμα τῆς Θεότητος. Θὰ αἰσθανθῇς δηλαδή, ὅτι ἀπὸ τὸν Ἰησοῦ ἀναπήδησε Πνεῦμα Ἅγιο πάνω στὴν ψυχή σου, ἀπὸ τὸ ὁποῖο ὁ νοῦς τοῦ ἀνθρώπου φωτίζεται νὰ βλέπῃ μὲ ἐντελῶς ἀκάλυπτο πρόσωπο [τελείως καθαρὰ τὰ βαθέα μυστήρια]. Λέγει [ἡ Ἁγία Γραφή]: «Κανεὶς δὲν ὀνομάζει τὸν Ἰησοῦν Κύριον [δηλαδὴ Θεό], παρὰ μόνον ἐν Ἁγίῳ Πνεύματι [μὲ τὴν Χάρι καὶ τὴν ἔμπνευσι τοῦ Ἁγίου Πνεύματος]», δηλαδὴ ἐνόσῳ πιστοποιεῖ μυστικὰ τὸν ἐκζητούμενο [Κύριον Ἰησοῦν].

30. Ἀλλὰ ἐπιπλέον καὶ αὐτὸ πρέπει νὰ γνωρίζουν οἱ φιλομαθεῖς· ὅτι βεβαίως οἱ φθονεροὶ δαίμονες συχνά, πολλὲς φορὲς καὶ ἀποκρύπτουν καὶ περιστέλλουν ἀπὸ ἐμᾶς τὸν νοητὸ πόλεμο· ἐπειδὴ οἱ φρικτοὶ μᾶς φθονοῦν ἕνεκα καὶ τῆς ὠφελείας [ποὺ προκύπτει] ἀπὸ τὸν πόλεμο καὶ τῆς γνώσεως [τῆς πνευματικῆς] καὶ τῆς ἀνυψώσεως πρὸς τὸν Θεό· καὶ γιὰ νὰ ἁρπάξουν ξαφνικὰ τὸν νοῦ μας, ὅταν ἐμεῖς ἀμελήσωμε καὶ νὰ καταστήσουν πάλι κάποιους ἀπρόσεκτους ὡς πρὸς τὴν διάνοια. Διότι εἶναι ἀντικείμενο φροντίδος καὶ προσοχῆς σ᾽ αὐτοὺς ὁ ἀκατάπαυστος σκοπὸς καὶ ἀγώνας, τὸ νὰ μὴν ἐπιτρέ-

ἐᾶν τὴν καρδίαν ἡμῶν προσεχῶς ἄγειν, εἰδόσι τὸν συναγόμενον πλοῦτον τῇ ψυχῇ. Ἀλλ' ἡμεῖς τότεγε μετὰ τῆς μνήμης τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπεκτεινώμεθα εἰς πνευματικὰς θεωρίας· καὶ ὁ πόλεμος πάλιν εἰς τὸν νοῦν ἐπανέρχεται. Μόνον μετὰ βουλῆς, ἵνα οὕτως εἴπω, αὐτοῦ τοῦ Κυρίου, καὶ μετὰ ταπεινώσεως πολλῆς πάντα ποιῶμεν.

λα'. Δεῖ γὰρ ἐν κοινοβίῳ διατρίβοντας, μεθ' ἑκουσίου προαιρέσεως, καὶ προθύμῳ καρδίᾳ πᾶν θέλημα ἡμῶν ἐγκόπτειν τῷ προεστῶτι. Καὶ τοῦ Θεοῦ συγγινομένου, εὐήνιοι καὶ αὐτοί πως γινόμεθα καὶ ἀθέλητοι. Τέχνην δὲ τοῦτο ἔχειν προσήκει, ἵνα μὴ τῷ χόλῳ ταρασσώμεθα, καὶ τὸ θυμικὸν ἡμῶν ἀλόγως καὶ παρὰ φύσιν κινῶμεν· καὶ ἀπαῤῥησίαστοι τὸ λοιπὸν εἰς τὸν ἀόρατον πόλεμον εὑρισκώμεθα. Εἴωθε γὰρ τὸ θέλημα ἡμῶν μὴ κοπτόμενον παρ' ἡμῶν ἑκουσίως, ὀργίζεσθαι πρὸς τοὺς

ψουν καθόλου νὰ διάγῃ ἡ καρδία μὲ προσοχή, ἐπειδὴ γνωρίζουν τὸν πλοῦτο ποὺ συνάγεται στὴν ψυχὴ [ἐκ τῆς νήψεως]. Ἀλλὰ ἐμεῖς τότε ἀκριβῶς, μαζὶ μὲ τὴν μνήμη τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, ἐπεκτεινόμεθα σὲ πνευματικὲς θεωρίες· καὶ ὁ πόλεμος ἐπανέρχεται πάλι στὸ νοῦ. Μόνον, γιὰ νὰ μιλήσω κατ' αὐτὸν τὸν τρόπο, νὰ κάνωμε τὰ πάντα σύμφωνα μὲ τὸ θέλημα αὐτοῦ τοῦ ἰδίου τοῦ Κυρίου καὶ μὲ πολλὴ ταπείνωσι.

31. Διότι πρέπει, ἐὰν ἐγκαταβιώνωμε σὲ κοινόβιο, νὰ κόπτωμε κάθε μας θέλημα ἐνώπιον τοῦ προεστῶτος, μὲ ἑκούσια προαίρεσι καὶ πρόθυμη καρδία. Καὶ ἐρχομένου τοῦ Θεοῦ σὲ βοήθεια, καὶ οἱ ἴδιοι γινόμαστε κάπως ὑπάκουοι καὶ δίχως θέλημα. Αὐτὸ ὅμως ἁρμόζει νὰ γίνεται μὲ τέχνη [νὰ γίνεται ἡ ὑπακοὴ πρόθυμα, χαρούμενα], γιὰ νὰ μὴν ταρασσώμεθα ἀπὸ τὴν πικρία [τῆς ἐκκοπῆς τοῦ θελήματος] καὶ ἐρεθίζομε τὴν διάθεσί μας παράλογα καὶ παρὰ φύσιν· καὶ βρεθοῦμε εἰς τὸ ἑξῆς χωρὶς παρρησία [πρὸς τὸν Θεὸ] στὸν ἀόρατο πόλεμο. Διότι συνηθίζει τὸ θέλημά μας, ὅταν δὲν κόπτεται ἑκούσια ἀπὸ ἐμᾶς, νὰ ὀργίζεται ἐναντίον ἐκείνων,

ἀκουσίως αὐτὸ κόπτειν ἐπιχειροῦντας· καὶ ἐκ τούτου οὖν ὁ θυμὸς κακῶς ὑλακτῶν κινηθείς, ἀπόλλυσι τὴν γνῶσιν τῆς πάλης· ἣν μόλις μετὰ καμάτου πολλοῦ κτήσασθαι ἠδυνήθη. Φθαρτικὸς γὰρ ὁ θυμὸς εἶναι πέφυκε. Εἰ μὲν πρὸς λογισμοὺς κινηθείη δαιμονιώδεις, φθείρει καὶ ἀπολλύει αὐτούς· εἰ δ' αὖ πάλιν κατὰ ἀνθρώπων κυκᾷ, φθείρει καὶ οὕτω τοὺς ἀγαθοὺς λογισμοὺς ἐν ἡμῖν. Πλὴν ὁ θυμός, ὁρῶ, ὅτι φθαρτικὸς τυγχάνει λογισμῶν παντοίων, εἴτε πονηρῶν, εἴτε καὶ δεξιῶν εἰ τύχοι· ὅπλον γὰρ παρὰ Θεοῦ, καὶ τόξον ἡμῖν παρασχεθείς, εἰμὴ ἐπέχεται ἐν ἀμφοτέροις· εἰδὲ καὶ διαφόρως ἐνεργεῖ, ὀλέσκων ἐστί. Ἐγὼ γὰρ οἶδα καὶ κύνα θρασὺν ἴσως[β'] *τοῖς λύκοις τὰ πρόβατα διαφθείραντα.*

λβʹ. Οὕτως ἐχρῆν φεύγειν τὴν παῤῥησίαν, ὡς ἰὸν ἀσπίδος· καὶ ἐκτρέπεσθαι τὰς πολλὰς συντυχίας, ὡς ὄφεις καὶ γεννήματα ἐχιδνῶν[21]*· δυνάμενα ταῦτα σφόδρα εἰς λήθην τάχιον τοῦ ἔνδον πο-*

ποὺ ἐπιχειροῦν νὰ [μᾶς] τὸ κόψουν ἀκούσια. Καὶ ἐξ αἰτίας λοιπὸν αὐτοῦ, ἐπειδὴ κινήθηκε ὁ θυμὸς γαυγίζοντας κακῶς, ἀφανίζει τὴν γνῶσι τῆς πάλης [τὴν ἐπίγνωσι τοῦ ἀγῶνος μας], τὴν ὁποία μόλις καὶ μετὰ βίας μπόρεσε μετὰ ἀπὸ πολὺ κόπο νὰ ἀποκτήση. Διότι ὁ θυμὸς ἔχει ἀπὸ τὴν φύσι του τὴν ἰδιότητα νὰ εἶναι καταστρεπτικός. Ἐὰν μὲν ἤθελε κινηθῆ ἐναντίον δαιμονικῶν λογισμῶν, τοὺς φθείρει καὶ τοὺς καταστρέφει. Ἐὰν ὅμως ἀντίθετα πάλι προξενῆ σύγχυσι καὶ ταραχὴ ἐναντίον τῶν ἀνθρώπων, μὲ τὸν ἴδιο τρόπο φθείρει ἐπίσης τοὺς ἐντός μας ἀγαθοὺς λογισμούς. Ἐπὶ πλέον βλέπω, ὅτι ὁ θυμὸς τυχαίνει καταστρεπτικὸς κάθε εἴδους λογισμῶν, εἴτε πονηρῶν εἴτε ἂν τύχῃ καὶ δεξιῶν [ἀγαθῶν λογισμῶν]. Διότι [ὁ θυμός] προσεφέρθη σ' ἐμᾶς ἀπὸ τὸν Θεὸ ὡς ὅπλο καὶ τόξο, ἐφόσον δὲν χρησιμοποιεῖται καὶ ἀπὸ τὰ δύο [εἴδη λογισμῶν, καλῶν καὶ κακῶν]. Ἐὰν ὅμως ἐνεργῆ καὶ διαφορετικὰ εἶναι καταστρεπτικός. Διότι ἐγὼ γνωρίζω καὶ σκύλο ὁρμητικό, ὁ ὁποῖος φόνευσε τὰ πρόβατα ὅμοια μὲ τοὺς λύκους.

32. Κατ' αὐτὸν τὸν τρόπο χρειάζεται νὰ φεύγωμε τὴν παρρησία, ὅπως τὸ δηλητήριο τοῦ φιδιοῦ· καὶ νὰ ἀποφεύγωμε τὶς πολλὲς συναναστροφές, ὅπως τὰ φίδια καὶ τὰ γεννήματα ἀπὸ τὶς ὀχιές, ἐπειδὴ αὐτὰ μποροῦν νὰ ὁδηγήσουν ὑπερβολικὰ γρήγορα στὴν κατά-

λέμου καταστῆσαι τελείαν· καὶ καταγαγεῖν τὴν ψυχὴν ἀπὸ τῆς ὑψηλῆς χαρᾶς τῆς ἀπὸ τῆς καθαρότητος τῆς καρδίας. Ἀντίκειται γὰρ ἡ ἐπάρατος λήθη τῇ προσοχῇ, ὡς πυρὶ ὕδωρ· καὶ πολέμιος αὐτῇ καθ᾽ ὥραν κραταιὸς τυγχάνει. Ἀπὸ γὰρ λήθης εἰς ἀμέλειαν καταντῶμεν, ἐκ δ᾽ ἀμελείας εἰς καταφρόνησιν καὶ ῥαθυμίαν, καὶ ἀτόπους ἐπιθυμίας. Καὶ οὕτω πάλιν ἐπιστρέφομεν εἰς τὰ ὀπίσω, ὃν τρόπον κύων ἐπὶ τὸν ἴδιον ἐμετόν[22]*. Φύγωμεν τοίνυν τὴν παρρησίαν, ὡς ἰὸν θανάτου. Τὸ δὲ κακὸν κτῆμα τῆς λήθης καὶ τὰ ἐξ αὐτῆς, ἰᾶται ἀκριβὴς λίαν νοὸς φυλακή, καὶ συνεχὴς ἐπίκλησις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Χωρὶς γὰρ αὐτοῦ, οὐ δυνάμεθα ποιεῖν οὐδέν*[23]*.*

λγ΄. Οὐκ ἐνδέχεται, οὔτε μὴν δυνατόν, ὄφει συμφιλιάσαι, καὶ εἰς κόλπον βαστάσαι, οὐδὲ τὸ σῶμα παντοίως κολακεύειν, καὶ θεραπεύειν, καὶ ἀγαπᾶν, ἐκτὸς τῶν χρειωδῶν τε καὶ ἀναγκαίων, καὶ ἐπιμελεῖσθαι

στασι τῆς τελείας λήθης τοῦ ἐσωτερικοῦ πολέμου· καὶ νὰ κατεβάσουν τὴν ψυχὴ ἀπὸ τὴν ὑψηλὴ χαρά, ἐκείνη ποὺ [πηγάζει] ἀπὸ τὴν καθαρότητα τῆς καρδίας. Διότι ἀντιτίθεται ἡ καταραμένη λήθη στὴν προσοχή, ὅπως τὸ νερὸ στὴ φωτιά· καὶ συμβαίνει νὰ βρίσκεται κάθε στιγμὴ ἐναντίον της, ὡς ἰσχυρὸς ἐχθρός. Διότι ἀπὸ τὴν λήθη καταλήγομε στὴν ἀμέλεια, ἀπὸ δὲ τὴν ἀμέλεια στὴν ἀναισθησία καὶ τὴν ῥαθυμία καὶ στὶς ἄτοπες ἐπιθυμίες. Καὶ κατ᾽ αὐτὸν τὸν τρόπο ἐπιστρέφομε πρὸς τὰ πίσω, κατὰ τὸν τρόπο ποὺ ὁ σκύλος [ἐπιστρέφει] στὸν ἐμετό του. Νὰ ἀποφύγωμε λοιπὸν τὴν παρρησία, ὅπως τὸ δηλητήριο [ποὺ προξενεῖ] τὸν θάνατο. Τὸ δὲ κακὸ ἀπόκτημα τῆς λήθης καὶ τὰ [κακὰ ποὺ προκύπτουν] ἀπ᾽ αὐτήν, θεραπεύει ἡ πολὺ ἀκριβὴς φυλακὴ τοῦ νοὸς καὶ ἡ συνεχὴς ἐπίκλησι τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ. Διότι χωρὶς Αὐτόν, δὲν μποροῦμε νὰ κάνωμε τίποτα.

33. Δὲν εἶναι ἐνδεχόμενο, οὔτε ὅμως εἶναι δυνατόν, νὰ συνδεθῇς φιλικὰ μὲ φίδι καὶ νὰ [τὸ] κρατήσῃς στὴν ἀγκαλιά [σου]. Οὔτε [εἶναι δυνατὸ ἢ ἐνδεχόμενο] νὰ κολακεύῃς καὶ νὰ φροντίζῃς καὶ νὰ ἀγαπᾷς τὸ σῶμα [σου] παντοιοτρόπως, παρεκτὸς γιὰ τὰ χρήσιμα μαζὶ καὶ ἀναγκαῖα, καὶ [ταυτοχρόνως] νὰ ἐπιμελῆσαι

καὶ ἀρετῆς οὐρανίου. Πέφυκε γὰρ ὁ μὲν τιτρώσκειν τὸν θάλποντα· τὸ δὲ μολύνειν ἐν ἡδονῇ τὸν θεραπεύοντα. Ἐν οἷς πταίει, μάστιξιν αἰκιζέσθω πὺξ ἀφειδῶς, ὡς δοῦλος δραπέτης γλεύκους μεμεστωμένος, γνώτω μαστιγίαν τὸν Κύριον. Μὴ καπηλοτριβείτω, μὴ ἀγνοείτω τὴν κυρίαν καὶ ἄφθαρτον ἡ φθαρτὴ πηλός, καὶ δούλη, καὶ νυκτερινή. Ἕως ἐξόδου μὴ θαῤῥήσῃς σου τῇ σαρκί. Τὸ θέλημα, φησί, τῆς σαρκός, ἔχθρα εἰς Θεόν. Τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται. Καὶ ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος. Οἱ δὲ ἐν σαρκὶ ζῶντες, Θεῷ ἀρέσαι οὐ δύνανται. Ἡμεῖς δὲ οὐκ ἐσμὲν ἐν σαρκί, ἀλλ' ἐν πνεύματι[24].

λδ'. Τῆς μὲν φρονήσεως ἔργον, τὸ ἀεὶ κινεῖν τὸ θυμικὸν πρὸς συμπλοκὴν τῆς ἔνδον μάχης, καὶ πρὸς αὐτομεμψίαν· τῆς σοφίας δέ, κινεῖν τὸ λογιστικὸν πρὸς νῆψιν ἀκριβῆ καὶ ἐνδελεχῆ, καὶ θεωρίαν πνευματικήν· τῆς δὲ δικαιοσύνης, τὸ ἰθύνειν τὸ ἐπιθυμητικὸν

τὴν οὐράνιο ἀρετή. Διότι εἶναι φυσικὴ ἰδιότης, τὸ μὲν [φίδι] νὰ δαγκώνῃ ἐκεῖνον ποὺ τὸ περιθάλπει, τὸ δὲ [σῶμα] νὰ μολύνῃ μὲ ἡδονὴ ἐκεῖνον ποὺ τὸ φροντίζει. Σὲ ὅσα πταίει [τὸ σῶμα] ἂς χτυπιέται μὲ μάστιγες, μὲ γρόνθους ἀλύπητα, ὅπως ὁ δραπέτης μεθυσμένος δοῦλος, ἂς ἀναγνωρίζῃ μαστιγωτὴ τὸν Κύριό [του]. Ἂς μὴν συχνάζῃ στὰ καπηλειά, ἂς μὴν ἀγνοῇ τὴν οἰκοδέσποινα καὶ ἄφθαρτη [τὴν ψυχή], [ἡ σάρκα], ἡ φθαρτὴ λάσπη καὶ δούλη καὶ νυκτερινή. Μέχρι τὸν θάνατό [σου] νὰ μὴν ἐμπιστευθῇς τὴν σάρκα. Λέγει [ἡ Ἁγία Γραφή]: «τὸ θέλημα τῆς σάρκας εἶναι ἔχθρα στὸ Θεό. Διότι δὲν ὑποτάσσεται στὸν νόμο τοῦ Θεοῦ. Καὶ ἡ σάρκα ἐπιθυμεῖ ἀντίθετα πρὸς τὸ πνεῦμα. Ἐκεῖνοι δέ, ποὺ ζοῦν μὲ τὴν σάρκα [σαρκικὸ φρόνημα], δὲν μποροῦν νὰ ἀρέσουν στὸν Θεό. Ἐμεῖς ὅμως δὲν ἀνήκομε στὴν σάρκα [δὲν ἔχομε σαρκικὸ φρόνημα], ἀλλὰ στὸ Πνεῦμα [ἐμφορούμεθα ἀπὸ τὸ Ἅγιον Πνεῦμα]».

34. Τὸ ἔργο μὲν τῆς φρονήσεως [εἶναι], τὸ νὰ κινῇ πάντοτε τὸ θυμικὸ [τῆς ψυχῆς] μὲ σκοπὸ τὴν σύναψι τοῦ ἐσωτερικοῦ πολέμου καὶ τὴν αὐτομεμψία. [Τὸ ἔργο] δὲ τῆς σοφίας [εἶναι τὸ] νὰ κινῇ τὸ λογιστικὸ σὲ ἀκριβῆ καὶ πολὺ προσεκτικὴ νῆψι καὶ πνευματικὴ θεωρία. Τῆς δικαιοσύνης ἐξ ἄλλου [τὸ ἔργο εἶναι τὸ] νὰ κατευθύνῃ τὸ

πρός τε ἀρετήν, καὶ Θεόν· τῆς δὲ ἀνδρείας, τὰς πέντε αἰσθήσεις κυβερνᾷν καὶ διακατέχειν, ἵνα μὴ ὁ ἐντὸς ἡμῶν ἄνθρωπος μολύνηται δι᾽ αὐτῶν, ἤγουν ἡ καρδία, καὶ ὁ ἐκτός, ἤγουν τὸ σῶμα.

λε΄. Ἐπὶ τὸν Ἰσραὴλ ἡ μεγαλοπρέπεια αὐτοῦ[25]*· ἐπὶ νοῦν ὁρῶντα τὸ κάλλος, ὡς δυνατόν, τῆς δόξης αὐτοῦ τοῦ Θεοῦ. Καὶ ἡ δύναμις αὐτοῦ ἐν ταῖς νεφέλαις*[26]*· ἐν ψυχαῖς φεγγοειδέσιν, ἀτενιζούσαις εἰς τὰ πρωΐας, τὸν ἐν δεξιᾷ τῇ Πατρικῇ ἐφεζόμενον*[27]*, φεγγοβολοῦντα αὐταῖς, ὡς ἥλιος νεφέλαις καθαραῖς ἀκτινοβολῶν, ἐράσμιον ἀποδεικνύει.*

λς΄. Ἁμαρτάνων εἷς, φησὶν ἡ θεία Γραφή, ἀπολέσει δικαιοσύνην μεγάλην. Καὶ ἁμαρτάνων νοῦς, ἐξόλλυσι τὰ ἐν τῷ γεγραμμένῳ κεφαλαίῳ ποτὰ καὶ βρωτὰ ἀμβρόσια.

λζ΄. Οὐκ ἐσμὲν Σαμψὼν δυνατώτεροι, οὐ Σολομῶντος σοφώτεροι, οὐ Δαβὶδ τοῦ θείου γνωστικώτεροι· οὐ Πέτρου μᾶλλον τοῦ κορυφαίου Θεὸν ἀγαπῶντες.

ἐπιθυμητικὸ πρὸς τὴν ἀρετὴ μαζὶ καὶ πρὸς τὸν Θεό. Τῆς δὲ ἀνδρείας, τὸ νὰ κυβερνᾷ καὶ νὰ ἐξουσιάζῃ τὶς πέντε αἰσθήσεις, γιὰ νὰ μὴν μολύνεται μέσῳ αὐτῶν ὁ ἐντός μας ἄνθρωπος, δηλαδὴ ἡ καρδία καὶ ὁ ἐκτὸς [ἄνθρωπος], δηλαδὴ τὸ σῶμα.

35. Ἡ μεγαλοπρέπειά Του *πάνω* στὸν Ἰσραήλ[4]· *πάνω* στὸν νοῦ ποὺ βλέπει, ὅσο δυνατὸν [στὰ ἀνθρώπινα μέτρα] τὸ κάλλος τῆς δόξης αὐτοῦ τοῦ ἴδιου τοῦ Θεοῦ. Καὶ ἡ δύναμί Του μέσα στὶς νεφέλες· [ἡ δύναμί Του] μέσα σὲ ψυχὲς φωτεινές, ποὺ ἀτενίζουν μέχρι τὸ πρωῒ Ἐκεῖνον, ὁ ὁποῖος κάθεται στὴν Πατρικὴ δεξιὰ φεγγοβολώντας σ᾽ αὐτές, ὅπως ὁ ἥλιος ὁ ὁποῖος ἀκτινοβολεῖ σὲ καθαρὲς νεφέλες· [ἡ δύναμί Του] Τὸν Ἐπιθυμητὸ φανερώνει, [τὸν Κύριο ἡμῶν Ἰησοῦ Χριστό].

36. Ὅταν ἁμαρτάνῃ ἕνας, λέγει ἡ Ἁγία Γραφή, θὰ ἀπολέσῃ τὸ ὅλον τῆς ἀρετῆς. Καί, ὅταν ἁμαρτάνῃ ὁ νοῦς, ἐξαφανίζει ἐντελῶς τὰ θεϊκὰ ποτὰ καὶ φαγητά, ἐκεῖνα τὰ ὁποῖα [κηρύττονται] στὸ σημειούμενο [πιὸ πάνω] κεφάλαιο [τῆς Ἁγίας Γραφῆς].

37. Δὲν εἴμαστε τοῦ Σαμψὼν δυνατώτεροι. Δὲν [εἴμαστε] τοῦ Σολομῶντος σοφώτεροι. Δὲν [εἴμαστε] τοῦ θείου Δαυῒδ φρονιμώτεροι. Δὲν [εἴμαστε] ἐκεῖνοι ποὺ ἀγαποῦμε τὸν Θεὸ περισσότερο ἀπὸ τὸν

Μὴ τοίνυν ἑαυτοῖς θαῤῥήσωμεν. Φησὶ γὰρ ἡ Γραφή· ὁ εἰς ἑαυτὸν θαῤῥῶν, πεσεῖται πτῶμα ἐξαίσιον[28].

λη′. Μάθωμεν ἀπὸ Χριστοῦ ταπεινοφροσύνην, καὶ ἐκ Δαβὶδ ταπείνωσιν, καὶ ἐκ Πέτρου δακρύειν ἐπὶ τοῖς συμβαίνουσιν· ἀλλὰ μὴ ἀπογιγνώσκειν, κατὰ Σαμψών, καὶ Ἰούδαν, καὶ Σολομῶντα τὸν λίαν σοφώτατον.

λθ′. Ὁ γὰρ διάβολος ὡς λέων ὠρυόμενος περιπατῶν, ζητεῖ τίνα καταπίῃ[29]*, σὺν ταῖς αὐτοῦ δυνάμεσι. Μήτε οὖν ἡ καρδιακὴ διόλου προσοχή, καὶ νῆψις, καὶ ἀντίῤῥησις, καὶ εὐχὴ πρὸς Χριστὸν Ἰησοῦν τὸν Θεὸν ἡμῶν, ἀργείτω ποτέ. Κρεῖττον γὰρ βοήθημα, πάρεξ Ἰησοῦ, οὐχ εὑρήσεις ἐν ὅλῃ τῇ ζωῇ σου. Αὐτὸς γὰρ μόνος ὁ Κύριος γινώσκει ὡς Θεὸς τὰς τῶν δαιμόνων πανουργίας, καὶ μεθοδίας, καὶ δόλους.*

μ′. Ἡ ψυχὴ τοίνυν θαῤῥείτω εἰς Χριστόν, καὶ παρακαλείτω αὐτόν, καὶ μηδόλως δειλιάτω. Οὐ γὰρ μόνη πολεμεῖ, ἀλλὰ μετὰ φοβεροῦ Βασιλέως Ἰησοῦ

κορυφαῖο [μαθητή], τὸν Πέτρο. Ἂς μὴν ἔχωμε λοιπὸν πεποίθησι στοὺς ἑαυτούς μας. Διότι λέγει ἡ [Ἁγία] Γραφή: «Ἐκεῖνος ποὺ ἔχει πεποίθησι στὸν ἑαυτό του θὰ κατακρημνισθῇ μὲ τεράστια καὶ σφοδρὴ πτῶσι».

38. Νὰ μάθωμε ἀπὸ τὸν Χριστὸ τὴν ταπεινοφροσύνη καὶ ἀπὸ τὸν Δαυῒδ τὴν ταπείνωσι καὶ ἀπὸ τὸν Πέτρο τὸ νὰ χύνωμε δάκρυα γιὰ ὅσα συμβαίνουν· ἀλλὰ νὰ μὴν πέφτωμε στὴν ἀπόγνωσι ὅμοια μὲ τὸν Σαμψὼν καὶ τὸν Ἰούδα καὶ τὸν κατ᾽ ἐξοχὴν σοφώτατο Σολομῶντα.

39. Διότι ὁ διάβολος, ὁ ὁποῖος περιπατεῖ σὰν λιοντάρι, ποὺ βρυχᾶται, μαζὶ μὲ τὶς [δαιμονικὲς] δυνάμεις του, ἐπιζητᾶ ποιὸν νὰ καταπιῇ. Ἑπομένως οὔτε ἐντελῶς ἡ καρδιακὴ προσοχὴ [οὔτε] ἡ νῆψι καὶ ἡ ἀντίρρησι καὶ ἡ εὐχὴ πρὸς τὸν Ἰησοῦ Χριστὸ τὸν Θεό μας, ἂς μὴν μένῃ ποτὲ ἀργή. Διότι παρεκτὸς τοῦ Ἰησοῦ, καλλίτερο βοήθημα, δὲν θὰ βρῇς σὲ ὅλη σου τὴν ζωή. Γιατὶ Αὐτὸς μόνος, ὁ Κύριος, ὡς Θεός, γνωρίζει τὶς πανουργίες τῶν δαιμόνων καὶ τὶς μεθοδίες [τοὺς τρόπους] καὶ τὶς ἀπάτες.

40. Ἡ ψυχὴ λοιπὸν ἂς ἔχῃ τὸ θάρρος της στὸν Χριστὸ καὶ ἂς Τὸν παρακαλῇ καὶ μὴν δειλιάζῃ καθόλου. Διότι δὲν πολεμᾶ μόνη της, ἀλλὰ μαζὶ μὲ τὸν φοβερὸ Βασιλέα, τὸν Ἰησοῦ

Χριστοῦ, Κτίστου πάντων τῶν ὄντων, ἀσωμάτωντε, καὶ ἐνσωμάτων, ἤγουν ὁρατῶν, καὶ ἀοράτων.

μα΄. Ὡς γὰρ ὁ ὑετὸς ὅσῳ πλεῖον ἐπὶ τῆς γῆς καταφέρεται, τοσοῦτον καὶ τὴν γῆν ἁπαλύνει· οὕτω καὶ τὴν γῆν τῆς καρδίας ἡμῶν χαροποιεῖ καὶ εὐφραίνει τὸ ἅγιον ὄνομα τοῦ Χριστοῦ, παρ᾽ ἡμῶν ἐπιβοώμενον, καὶ πυκνότερον αὐτὸ ἐπικαλούμενον.

μβ΄. Καλὸν δὲ καὶ τοῦτο τοὺς ἀπείρους εἰδέναι, ὅτι ἐχθροὺς ἀσωμάτους καὶ ἀοράτους, καὶ κακοθελεῖς καὶ φρονίμους εἰς τὸ κακῶσαι, καὶ ἐντρεχεῖς καὶ κούφους καὶ ἐμπειροπολέμους ἔτεσι τοῖς ἀπὸ τοῦ Ἀδὰμ καὶ μέχρι τῆς δεῦρο, οἱ παχεῖς ἡμεῖς, καὶ πρὸς γῆν βρύθοντες καὶ τῷ σώματι καὶ τῷ φρονήματι, ἔχομεν ἐν οὐδενὶ ἄλλῳ τρόπῳ δυνατὸν αὐτοὺς νικῆσαι, ἀλλ᾽ ἢ δι᾽ ἀενάου νοὸς νήψεως, καὶ ἐπικλήσεως Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ, καὶ Ποιητοῦ ἡμῶν. Καὶ τοῖς μὲν ἀπείροις, Ἰησοῦ Χριστοῦ εὐ-

Χριστό, τὸν Δημιουργὸ ὅλων τῶν ὄντων καὶ τῶν ἀσωμάτων καὶ τῶν ἐνσωμάτων, δηλαδὴ τῶν ὁρατῶν καὶ τῶν ἀοράτων.

41. Διότι ὅπως ἡ βροχή, ὅσο περισσότερο πέφτει κάτω, πάνω στὴν γῆ, τόσο καὶ τὴν γῆ μαλακώνει· κατὰ τὸν ἴδιο τρόπο καὶ τὴν γῆ τῆς καρδίας μας χαροποιεῖ καὶ εὐφραίνει τὸ ἅγιο ὄνομα τοῦ Χριστοῦ, ὅταν ἀπὸ ἐμᾶς ἐκφωνῆται μεγαλοφώνως καὶ συχνότερα αὐτὸ ἐπικαλῆται.

42. Καλὸν [εἶναι] βέβαια οἱ ἄπειροι νὰ γνωρίζουν κι αὐτό, ὅτι δηλαδὴ τοὺς ἀσωμάτους καὶ ἀοράτους καὶ μοχθηροὺς καὶ γνῶστες τοῦ νὰ κάνουν κακὸ καὶ κινούμενους ἐλευθέρως καὶ ἀνάλαφρους καὶ ἐμπειροπόλεμους κατὰ τὰ ἔτη ἀπὸ τὸν Ἀδὰμ καὶ μέχρι τώρα, ἐμεῖς οἱ παχεῖς καὶ οἱ ρέποντες πρὸς τὴ γῆ καὶ ὡς πρὸς τὸ σῶμα καὶ ὡς πρὸς τὸ φρόνημα, δὲν ἔχομε μὲ κανέναν ἄλλον δυνατὸ τρόπο νὰ τοὺς νικήσωμε παρὰ μόνο μὲ τὴν ἀέναη νῆψι τοῦ νοὸς καὶ μὲ τὴν ἐπίκλησι τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ καὶ Ποιητοῦ μας. Καὶ στοὺς μὲν ἄπειρους ἂς εἶναι ἄριστος τρόπος καὶ διδάσκαλος αὐτά: ἡ εὐχὴ τοῦ Ἰη-

χή, καὶ προτροπὴ τοῦ δοκιμάσαι, καὶ γνῶναι τὸ καλόν, ἔστω ταῦτα· τοῖς δὲ ἐμπείροις, ἡ πρᾶξις, καὶ ἡ δοκιμασία, καὶ ἡ ἀνάπαυσις τοῦ καλοῦ, ἄριστος τρόπος, καὶ διδάσκαλος.

μγ΄. Ὥς περ παιδίον μικρόν, ἤγουν, καὶ ἀπόνηρον, φαντασιοποιόν τινα βλέπον ἥδεται, καὶ ἀκολουθεῖ τῷ φαντασιοποιῷ ἐξ ἀκακίας· οὕτω καὶ ἡ ψυχὴ ἡμῶν ἁπλῆ τις οὖσα, καὶ ἀγαθή, οὕτως ὑπὸ τοῦ ἀγαθοῦ Δεσπότου αὐτῆς κτισθεῖσα, ἥδεται ταῖς προσβολαῖς τοῦ διαβόλου ταῖς φανταστικαῖς· καὶ ἀπατωμένη προστρέχει, ὡς καλῷ, τῷ χείρονι, ὡς ἡ περιστερὰ τῷ ἐπιβούλῳ τῶν ἑαυτῆς τέκνων. Καὶ οὕτω μειγνύει τοὺς ἑαυτῆς λογισμοὺς τῇ φαντασίᾳ τῆς δαιμονιώδους προσβολῆς· εἰ τύχοι γυναικὸς εὐμόρφου πρόσωπον, ἢ ἄλλο τι παρὰ τῶν ἐντολῶν τοῦ Χριστοῦ πάμπαν ἀπηγορευμένον· βούλεται ὥς περ μεθοδεῦσαι τοῦ εἰς ἔργον ἀγαγεῖν τὸ ὀφθὲν αὐτῇ ὡραῖον· καὶ τότε εἰς συγκατάθεσιν ἐλθοῦσα, εἰς ἔργον λοιπὸν ἀ-

σοῦ Χριστοῦ καὶ ἡ προτροπὴ τοῦ νὰ δοκιμάσουν καὶ νὰ γνωρίσουν τὸ καλό· στοὺς δὲ ἐμπείρους, ἡ πρᾶξι [τοῦ καλοῦ] καὶ ἡ δοκιμασία [ὁ πειρασμὸς] καὶ ἡ ἀνάπαυσι ἕνεκα τοῦ καλοῦ.

43. Ὅπως ἀκριβῶς ἕνα μικρὸ παιδί, τουτέστιν καὶ ἄκακο, βλέποντας κάποιον ἀπατεῶνα θαυματοποιό, εὐχαριστεῖται καὶ ἀκολουθεῖ τὸν ἀπατεῶνα ἐξ αἰτίας τῆς ἀκακίας [του]. Κατὰ τὸν ἴδιο τρόπο καὶ ἡ ψυχή μας, καθὼς εἶναι κάπως ἁπλῆ καὶ ἀγαθή, ἐπειδὴ δημιουργήθηκε κατ᾽ αὐτὸν τὸν τρόπο ἀπὸ τὸν ἀγαθὸ Κύριό της, ἡδύνεται στὶς προσβολὲς τοῦ διαβόλου, τὶς φανταστικές. Καὶ ἐξαπατουμένη προστρέχει, ὡσὰν πρὸς τὸν καλό, στὸν πλέον κακό, ὅπως [προστρέχει] ἡ περιστέρα σ᾽ ἐκεῖνον ποὺ ἐπιβουλεύεται τὰ παιδιά της· καὶ μ᾽ αὐτὸν τὸν τρόπο ἀναμειγνύει τοὺς λογισμούς της μὲ τὴν φαντασία τῆς δαιμονιώδους προσβολῆς. Ἐὰν τυχὸν συναντήσῃ τὸ πρόσωπο μιᾶς ὄμορφης γυναίκας ἢ κάτι ἄλλο ἐντελῶς ἀπαγορευμένο ἀπὸ τὶς ἐντολὲς τοῦ Χριστοῦ, θέλει τρόπον τινά, ὅπως ἀκριβῶς τὸ ἔχει μεθοδεύσει, νὰ τὴν ὁδηγήσῃ στὸ νὰ πραγματοποιήσῃ ἐκεῖνο τὸ ὁποῖο φάνηκε σ᾽ αὐτὴν ὡραῖο. Καὶ τότε, ἐὰν προχωρήσῃ [ἡ ψυχὴ] στὴν συγκατάθεσι, πραγματοποιεῖ ἔπειτα

γει διὰ τοῦ σώματος τὸ ὀφθὲν αὐτῇ ἀνόμημα κατὰ διάνοιαν, εἰς ἑαυτῆς κατάκρισιν.

μδʹ. Αὕτη ἡ τέχνη τοῦ πονηροῦ· καὶ μετὰ τούτων τῶν βελῶν φαρμακεύει πᾶσαν τὴν ψυχήν. Καὶ διὰ τοῦτο οὐκ ἔστιν ἀσφαλὲς πρὸς [recte: πρὸ] πείρας πολεμικῆς τοῦ νοῦ πολλῆς, εἰσέρχεσθαι ἐᾷν τοὺς λογισμοὺς ἐν τῇ καρδίᾳ ἡμῶν, ἐν ἀρχῇ μάλιστα. Ἐπειδὴ ἀκμὴν ἡ ψυχὴ ἡμῶν τέρπεται ταῖς δαιμονιώδεσι προσβολαῖς, καὶ ἥδεται, καὶ ἀκολουθεῖ αὐταῖς. Ἀλλὰ χρὴ μόνον νοεῖν αὐτούς, καὶ εὐθὺς κόπτειν ἐξ ἀναδόσεως, καὶ προσβολῆς. Ὅταν δὲ χρονίσας ὁ νοῦς εἰς τὸ θαυμαστὸν τοῦτο ἔργον, ἐξασκηθῇ, καὶ νοήσῃ, καὶ ἐν ἕξει ἀδιακόπῳ γένηται τοῦ πολέμου, τοῦ ἀληθῶς τε νοεῖν τούτους· καὶ ὡς ὁ Προφήτης φησί, τοῦ εὐχερῶς δύνασθαι αὐτὸν κρατεῖν τοὺς μικροὺς ἀλώπεκας[30]· τότε μετʼ ἐπιστήμης ἐᾷν δεῖ, καὶ ἐλέγχειν.

μεʹ. Ὡς ἀδύνατον ἐν ἑνὶ σωλῆ-

μὲ τὸ σῶμα ἐκεῖνο τὸ ἀνόμημα τὸ ὁποῖο φάνηκε σʼ αὐτὴν κατὰ τὴν διάνοια, [γεγονὸς ποὺ τὴν ὁδηγεῖ] στὴν καταδίκη της.

44. Αὐτὴ [εἶναι] ἡ τέχνη τοῦ πονηροῦ. Καὶ μʼ αὐτὰ τὰ βέλη δηλητηριάζει ὅλη τὴν ψυχή. Καὶ γιʼ αὐτὸ [τὸ λόγο] δὲν εἶναι ἀσφαλὲς πρὶν [τὴν ἀπόκτησι] πολλῆς πολεμικῆς πείρας τοῦ νοῦ, νὰ ἀφήνωμε νὰ εἰσέρχωνται οἱ λογισμοὶ μέσα στὴν καρδία μας, μάλιστα στὴν ἀρχή. Ἐπειδὴ ἀκόμη ἡ ψυχή μας εὐχαριστεῖται μὲ τὶς δαιμονικὲς προσβολὲς καὶ εὐφραίνεται καὶ τὶς ἀκολουθεῖ. Ἀλλὰ πρέπει μόνον νὰ τοὺς ἀντιλαμβανώμεθα [τοὺς λογισμοὺς] καὶ ἀμέσως νὰ [τοὺς] κόπτωμε ἀπὸ τὴν στιγμὴ τῆς ἐμφανίσεως καὶ τῆς προσβολῆς. Ὅταν ὅμως ὁ νοῦς, ἀφοῦ χρονίσῃ στὸ θαυμάσιο αὐτὸ ἔργο, ἐξασκηθῇ καὶ κατανοήσῃ καὶ διὰ τῆς ἀδιαλείπτου συνηθείας μάθῃ τὸν πόλεμο, ὥστε καὶ νὰ τοὺς ἀντιλαμβάνεται ἀληθινά· καὶ ὅπως ὁ Προφήτης λέγει, τοῦ νὰ μπορῇ αὐτὸς [ὁ ἀγωνιστὴς νοῦς] μὲ εὐχέρεια νὰ νικᾷ τὶς μικρὲς ἀλεποῦδες· τότε μὲ δεξιότητα καὶ πλήρη γνῶσι πρέπει νὰ ἀφήνῃ [τοὺς λογισμοὺς νὰ εἰσέρχωνται] καὶ νὰ [τοὺς] ἐλέγχῃ.

45. Ὅπως σʼ ἕνα σωλῆνα [εἶναι]

νι πῦρ καὶ ὕδωρ ἅμα διέρχεσθαι, οὕτως ἀδύνατον ἐν καρδίᾳ ἁμαρτίαν εἰσελθεῖν, ἐὰν μὴ κρούσῃ πρότερον ἐν θύρᾳ καρδίας διὰ φαντασίας πονηρᾶς προσβολῆς.

μς΄. Ἔστι πρῶτον προσβολή· δεύτερον συνδυασμός, ἤγουν ἀναμὶξ γινόμενοι οἱ ἡμῶν, καὶ τῶν πονηρῶν δαιμόνων λογισμοί· τρίτον συγκατάθεσις, πῶς δεῖ γενέσθαι μεταξὺ τῶν ἀμφοτέρων λογισμῶν βουλευομένων κακῶς· τέταρτον δέ ἐστιν ἡ αἰσθητὴ πρᾶξις, ἤγουν ἡ ἁμαρτία. Ἐὰν οὖν προσέχῃ ὁ νοῦς νήφων, καὶ δι᾽ ἀντιῤῥήσεως, καὶ ἐπικλήσεως τοῦ Κυρίου Ἰησοῦ φυγαδεύῃ ἐξ ἀναδόσεως τὴν προσβολήν, τὰ ἑξῆς αὐτῶν ἀργὰ μένουσι. Νοῦς γὰρ ὢν ἀσώματος ὁ πονηρός, οὐκ ἄλλως δύναται πλανῆσαι ψυχάς, εἰμὴ διὰ φαντασίας, καὶ λογισμῶν. Καὶ περὶ μὲν τῆς προσβολῆς, ὁ Δαβὶδ φησί, εἰς τὰς πρωΐας ἀπέκτεινον καὶ τὰ ἑξῆς[31]*. Ὁ δὲ μέγας φησὶ Μωϋσῆς περὶ συγκαταθέσεως· καὶ οὐ συγκαταθήσῃ, φησίν,*

ἀδύνατον νὰ διέρχωνται μαζὶ ἡ φωτιὰ καὶ τὸ νερό, κατὰ τὸν ἴδιο τρόπο [εἶναι] ἀδύνατον νὰ εἰσέλθῃ ἁμαρτία μέσα στὴν καρδία, ἐὰν δὲν χτυπήσῃ προηγουμένως τὴν πόρτα τῆς καρδίας μὲ τὴν προσβολὴ πονηρῆς φαντασίας.

46. Πρῶτα εἶναι ἡ προσβολή. Δεύτερον ὁ συνδυασμός, δηλαδὴ ὅταν ἀναμειχθοῦν οἱ λογισμοὶ οἱ δικοί μας καὶ τῶν πονηρῶν δαιμόνων. Τρίτον [εἶναι] ἡ συγκατάθεσι, [δηλαδὴ τὸ] πῶς πρέπει νὰ γίνῃ μεταξὺ καὶ τῶν δύο λογισμῶν [δικῶν μας καὶ δαιμονικῶν], ἐνῶ ἀποφασίζουν κακῶς. Τέταρτον δὲ εἶναι ἡ αἰσθητὴ πρᾶξι, δηλαδὴ ἡ ἁμαρτία. Ἐὰν λοιπὸν ὁ νοῦς προσέχῃ μὲ τὴν νῆψι καὶ μὲ τὴν ἀντίρρησι καὶ τὴν ἐπίκλησι τοῦ Κυρίου Ἰησοῦ ἐκδιώκῃ ἀπὸ τὴν στιγμὴ τῆς ἐμφανίσεως τὴν προσβολή, τὰ ἐπακόλουθα αὐτῶν [δηλαδὴ ὁ συνδυασμός, ἡ συγκατάθεσι καὶ ἡ ἁμαρτία] μένουν ἀδρανῆ. Διότι ὁ πονηρὸς [διάβολος], ἐπειδὴ εἶναι ἀσώματος νοῦς, δὲν μπορεῖ μὲ ἄλλο τρόπο νὰ πλανήσῃ ψυχές, παρὰ μόνον μὲ φαντασίες καὶ λογισμούς. Καὶ γιὰ μὲν τὴν προσβολή, λέγει ὁ Δαυΐδ: «μέχρι τὸ πρωΐ σκότωνα» καὶ τὰ ὑπόλοιπα [τοῦ Ψαλμοῦ]. Ὁ δὲ μέγας Μωυσῆς λέγει σχετικὰ μὲ τὴν συγκατάθεσι: «καὶ δὲν θὰ συγκατατεθῇς, λέγει,

αὐτοῖς[32].

μζ'. Νοῦς νοῒ ἀοράτως συμπλέκεται πρὸς μάχην, ὁ δαιμόνιος νοῦς τῷ ἡμετέρῳ. Καὶ διὰ τοῦτο χρεία ἐκ βαθέων καταστιγμὴν βοᾷν πρὸς τὸν Χριστόν, ἀπελάσαι μὲν τὸν δαιμόνιον νοῦν, τὰ νικητήρια δὲ δοῦναι ἡμῖν ὡς φιλάνθρωπος.

μη'. Τύπος σοι ἡσυχίας καρδιακῆς, ὁ κατέχων κάτοπτρον, καὶ πρὸς αὐτὸ ἀτενίζων, ἔστω. Καὶ τότε ὄψει τὰ ἐν σῇ καρδίᾳ νοητῶς ἐγγραφόμενα πονηράτε καὶ ἀγαθά.

μθ'. Τήρει τε ᾀεὶ μηδένα λογισμὸν ἔχειν ἐν σῇ καρδίᾳ, μὴ ἄλογον, μὴ εὔλογον, ἵν' οὕτω γινώσκῃς ῥᾳδίως τοὺς ἀλλοφύλους, ἤγουν τοὺς τῶν Αἰγυπτίων υἱοὺς πρωτοτόκους.

ν'. Ὡς ἀγαθὴ καὶ τερπνή, φωτεινὴ καὶ ἡδίστη, καὶ πάγκαλος, καὶ ἀγλαοφανής, καὶ ὡραία ἀρετὴ νῆψις, ὑπὸ σοῦ Χριστὲ ὁ Θεὸς εὐοδουμένη, καὶ ἐγρηγορότος ἀνθρωπίνου νοὸς ἐν ταπεινώσει πολλῇ ὁδευομένη. Ἐκτείνει γὰρ ἕως θαλάσσης

μ' αὐτούς».

47. Νοῦς συμπλέκεται ἀοράτως σὲ μάχη μὲ νοῦ· ὁ δαιμονικὸς νοῦς μὲ τὸν δικό μας. Καὶ γιὰ τοῦτο [εἶναι] ἀνάγκη νὰ φωνάζωμε ἀπὸ τὰ βάθη [μας] κάθε στιγμὴ πρὸς τὸν Χριστὸ νὰ ἀποδιώξῃ μὲν τὸν δαιμονικὸ νοῦ, νὰ δώσῃ δὲ σ' ἐμᾶς ὡς φιλάνθρωπος τὸ ἔπαθλο τῆς νίκης.

48. Ἂς σοῦ εἶναι πρότυπο καρδιακῆς ἡσυχίας ἐκεῖνος ποὺ κρατᾶ καθρέπτη καὶ προσηλώνει πρὸς αὐτὸν τὸ βλέμμα του μὲ προσοχή. Καὶ τότε θὰ δῇς ἐκεῖνα τὰ ὁποῖα ἐγγράφονται νοητῶς μέσα στὴν καρδία σου καὶ τὰ πονηρὰ καὶ τὰ ἀγαθά.

49. Καὶ φύλαξε πάντοτε νὰ μὴν ἔχῃς ποτὲ μέσα στὴν καρδία σου κανέναν λογισμὸ οὔτε ἄλογο, οὔτε εὔλογο, ὥστε κατ' αὐτὸν τὸν τρόπο νὰ ἀναγνωρίζῃς εὔκολα τοὺς ἐχθρούς, δηλαδὴ τοὺς πρωτοτόκους υἱοὺς τῶν Αἰγυπτίων [τὶς προσβολὲς τῶν δαιμόνων].

50. Πόσο ἀγαθὴ καὶ εὐφρόσυνη, φωτεινὴ καὶ γλυκύτατη καὶ πάγκαλη καὶ ὁλόλαμπρη καὶ ὡραία ἀρετὴ [εἶναι] ἡ νῆψι, ἡ ὁποία ἀπὸ Σένα Χριστὲ ὁ Θεὸς εὐοδώνεται καὶ ὅταν ὁ ἀνθρώπινος νοῦς βρίσκεται σὲ ἐγρήγορσι, εὐοδώνεται [ἐφαρμόζεται] μέσα σὲ πολλὴ ταπείνωσι. Διότι ἁπλώνει μέχρι θαλάσσης

καὶ ἀβύσσου θεωριῶν τὰ κλήματα αὐτῆς, καὶ ἕως ποταμῶν μυστηρίων τερπνῶν τε, καὶ θείων, τὰς παραφυάδας αὐτῆς[33]*· ποτίζει τε νοῦν ἐκ χρόνου πολλοῦ καυσωθέντα τῇ ἀσεβείᾳ ὑπὸ ἅλμης πονηρῶν λογισμῶν πνευμάτων, καὶ τοῦ τῆς σαρκὸς δυσμενοῦς φρονήματος, ὅ ἐστι θάνατος.*

να΄. Νῆψις ἔοικε τῇ τοῦ Ἰακὼβ κλίμακι, ἐφ᾽ ᾗ ὁ Θεὸς ἐπιμένει, καὶ οἱ Ἄγγελοι ἐπιβαίνουσι[34]*. Ἀναιρεῖ γὰρ ἐξ ἡμῶν πᾶν κακόν. Αὕτη γὰρ ἐκκόπτει πολυλογίαν, λοιδορίαν, καταλαλιάν, καὶ πάντων τῶν αἰσθητῶν κακῶν τὸν κατάλογον· οὐκ ἀνασχομένη διὰ ταῦτα οὐδὲ πρὸς ὀλίγον τῆς ἰδίας στερεῖσθαι γλυκύτητος.*

νβ΄. Ταύτην προθύμως, ἀδελφοί μου, μετίωμεν. Καὶ ἐν ταῖς θέαις αὐτῆς καθαρᾷ διανοίᾳ ἐν Χριστῷ Ἰησοῦ πετώμενοι, κινῶμεν τὴν θεωρίαν τῶν ἁμαρτημάτων ἡμῶν, καὶ τοῦ βίου τοῦ προτέρου· ἵνα ἐν τῇ τῶν ἁμαρτιῶν ἡμῶν μνήμῃ συντριβόμενοι, καὶ ταπεινούμενοι, ἀδιάσπαστον ἕξωμεν τὴν Ἰη-

καὶ ἀβύσσου θεωριῶν τὰ κλήματά της καὶ μέχρι ποταμῶν μυστηρίων εὐφρόσυνων μαζὶ καὶ θεϊκῶν τὶς παραφυάδες της. Καὶ ποτίζει τὸν νοῦ, ποὺ ἐπὶ πολὺ χρόνο ὑπέφερε μέσα στὸν καύσωνα τῆς ἀσεβείας, ἀπὸ τὴν ἁλμύρα τῶν λογισμῶν τῶν πονηρῶν πνευμάτων καὶ τοῦ ἐχθρικοῦ φρονήματος τῆς σαρκός, τὸ ὁποῖο εἶναι θάνατος.

51. Ἡ νῆψι εἶναι ὅμοια μὲ τὴν σκάλα τοῦ Ἰακώβ, πάνω στὴν ὁποία παραμένει ὁ Θεὸς καὶ οἱ Ἄγγελοι ἀνεβαίνουν. Διότι ἀφανίζει ἀπὸ ἐμᾶς κάθε κακό. Αὐτὴ πράγματι κόβει τὴν πολυλογία, τὴν λοιδορία, τὴν καταλαλιὰ καὶ ὁλόκληρο τὸν κατάλογο τῶν αἰσθητῶν κακῶν, ἀφοῦ δὲν ἀνεχθῇ οὔτε γιὰ λίγο, νὰ στερηθῇ ἐξ αἰτίας αὐτῶν [τῶν αἰσθητῶν κακῶν] τῆς γλυκύτητός της.

52. Νὰ μετέλθωμε αὐτὴν προθύμως ἀδελφοί. Καὶ καθὼς πετᾶμε ἀνάμεσα στὰ θεάματά[5] της, μὲ καθαρὴ διάνοια ἐν Χριστῷ Ἰησοῦ, νὰ ὑποκινοῦμε τὴν μελέτη τῶν ἁμαρτημάτων μας καὶ τοῦ προγενέστερου βίου μας, γιὰ νὰ ἔχωμε ἀμέριστη τὴν βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ, τοῦ Θεοῦ μας, στὸν ἀόρατο πόλεμο, καθὼς συντριβόμεθα καὶ ταπεινωνόμε-

σοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν βοήθειαν εἰς τὸν ἀόρατον πόλεμον. Στερηθέντες γὰρ τῆς τοῦ Ἰησοῦ βοηθείας δι᾽ ὑπερηφανίας, ἢ κενοδοξίας, ἢ φιλαυτίας, ὑστερήθημεν καθαρότητα καρδίας, δι᾽ ἧς γνωρίζεται ἀνθρώπῳ Θεός· αἴτιον γάρ, ὡς ἡ ὑπόσχεσις[35]*, τοῦ δευτέρου τὸ πρότερον.*

νγ΄. Νοῦς μὴ ἀμελῶν τῆς ἑαυτοῦ κρυπτῆς ἐργασίας, σὺν τοῖς λοιποῖς καλοῖς οἷς ἐκ τῆς διηνεκοῦς ἐργασίας τῆς φυλακῆς, εὑρήσει καὶ τὰς πέντε αἰσθήσεις τοῦ σώματος ἀργὰς τῶν ἔξω κακῶν. Τῇ γὰρ οἰκείᾳ ἀρετῇ καὶ νήψει διόλου προσέχων, καὶ τοῖς νοήμασι τοῖς καλοῖς κατατρυφᾶν θέλων, οὐκ ἀνέχεται κλέπτεσθαι διὰ τῶν πέντε αἰσθήσεων, ἐνύλων καὶ ματαίων αὐτῷ λογισμῶν προσερχομένων· ἀλλὰ γνοὺς αὐτῶν τὸ ἀπατηλόν, καὶ ἔνδον ἑαυτοῦ τὰ πολλὰ συστέλλει αὐτάς.

νδ΄. Παράμενε τῇ διανοίᾳ, καὶ οὐ κοπιάσεις ἐν πειρασμοῖς· ἐκεῖθεν δὲ ἀναχωρῶν, ὑπόμενε τὰ ἐπερχό-

θα μὲ τὴν μνήμη τῶν ἁμαρτιῶν μας. Διότι, ἐὰν στερηθοῦμε τὴν βοήθεια τοῦ Ἰησοῦ ἐξ αἰτίας ὑπερηφάνιας ἢ κενοδοξίας ἢ φιλαυτίας, στερηθήκαμε τὴν καθαρότητα τῆς καρδίας, διὰ μέσου τῆς ὁποίας ἀποκαλύπτεται ὁ Θεὸς στὸν ἄνθρωπο. Διότι αἴτιο τοῦ δευτέρου [δηλαδὴ τῆς γνώσεως τοῦ Θεοῦ εἶναι] τὸ προηγούμενο [δηλαδὴ ἡ καθαρότης τῆς καρδίας], ὅπως [εἶναι] ὑπόσχεσι [τοῦ Θεοῦ].

53. Ὁ νοῦς, ποὺ δὲν ἀμελεῖ τὴν κρυπτὴ ἐργασία του μαζὶ μὲ τὰ ὑπόλοιπα καλά, τὰ ὁποῖα θὰ ἀποκτήσῃ ἀπὸ τὴν συνεχῆ ἐργασία τῆς φυλακῆς [τοῦ νοός], θὰ βρῇ ἐπιπλέον καὶ τὶς πέντε αἰσθήσεις τοῦ σώματος ἀνεπηρέαστες ἀπὸ τὰ ἐξωτερικὰ κακὰ [καθαρότης τῶν αἰσθήσεων]. Διότι ἐὰν [ὁ νοῦς] στρέφῃ τὴν προσοχή του ὁλοκληρωτικὰ στὴν προσωπική του ἀρετὴ καὶ στὴ νῆψι καὶ θέλῃ νὰ ἐντρυφᾷ στὰ νοήματα τὰ καλά, δὲν ἀνέχεται νὰ κλέπτεται ἀπὸ τὶς πέντε αἰσθήσεις, ὅταν τοῦ ἐπιτίθενται ὑλικοὶ καὶ μάταιοι λογισμοί. Ἀλλά, ἀφοῦ ἀντιληφθῇ τὴν παραπλανητική τους τέχνη συστέλλει καὶ στὸ ἐσωτερικό του κατὰ πολὺ αὐτὲς [τὶς αἰσθήσεις].

54. Μεῖνε σταθερὰ στὴν διάνοιά [σου] καὶ δὲν θὰ κουρασθῇς στοὺς πειρασμούς. Ἐὰν ὅμως ἀναχωρήσῃς ἀπὸ ἐκεῖ, ὑπόμενε τὰ ἐπερχό-

μενα.

νε΄. Ὥς περ τοὺς κακοσίτους ἀψίνθιον ὠφελεῖ τὸ πικρόν, οὕτω τοὺς κακοτρόπους κακὰ πάσχειν συμφέρει.

νϛ΄. Εἰ μὴ θέλεις κακοπαθεῖν, μηδὲ κακοποιεῖν θέλε· διότι τοῦτο κᾀκείνῳ ἀπαραβάτως ἀκολουθεῖ· ὃ γὰρ σπείρει ἕκαστος, τοῦτο καὶ θερίσει[36]*. Ἑκουσίως οὖν τὰ φαῦλα σπείροντες, καὶ ἀκουσίως θερίζοντες, τὴν δικαιοσύνην τοῦ Θεοῦ θαυμάζειν ὀφείλομεν.*

νζ΄. Ἐκτυφλοῦται ὁ νοῦς διὰ τῶν τριῶν τούτων παθῶν, φιλαργυρίας λέγω, κενοδοξίας, καὶ ἡδονῆς.

νη΄. Γνῶσις καὶ πίστις, αἱ τῆς φύσεως ἡμῶν σύντροφοι, δι' οὐδὲν ἄλλο, ἢ δι' ἐκείνας ἠμβλύνθησαν.

νθ΄. Θυμός, καὶ ὀργή, καὶ πόλεμοι, καὶ φόνοι, καὶ πᾶς ὁ τῶν λοιπῶν κακῶν κατάλογος, δι' ἐκείνας ἐν ἀνθρώποις σφόδρα ἐκραταιώθησαν.

ξ΄. Ὁ μὴ γινώσκων τὴν ἀλήθειαν, οὔτ' ἀληθῶς πιστεύειν δύναται. Ἡ γὰρ γνῶσις κατὰ φύσιν προηγεῖται τῆς

μενα [δεινά].

55. Ὅπως ἀκριβῶς ὅσους ἔχουν κακὴ ὄρεξι [τοὺς] ὠφελεῖ ἡ πικρὴ ἀψιθιά, κατὰ τὸν ἴδιο τρόπο ὅσους ἔχουν κακοὺς τρόπους [τοὺς] συμφέρει νὰ παθαίνουν κακά.

56. Ἐὰν δὲν θέλῃς νὰ παθαίνῃς κακά, οὔτε νὰ κάνῃς κακὰ θέλε. Διότι αὐτὸ [τὸ νὰ παθαίνῃς κακὰ] ἕπεται ἀπαράβατα καὶ ἐκείνου [τοῦ νὰ κάνῃς κακά]. Διότι ἐκεῖνο τὸ ὁποῖο ὁ καθένας σπέρνει, αὐτὸ καὶ θὰ θερίσῃ. Ἑπομένως σπέρνοντας μὲ τὴν θέλησί μας καὶ θερίζοντας χωρὶς τὴν θέλησί μας τὰ πονηρά, ὀφείλομε νὰ θαυμάζωμε τὴν δικαιοσύνη τοῦ Θεοῦ.

57. Ὁ νοῦς τυφλώνεται μέσῳ τῶν τριῶν αὐτῶν παθῶν, τῆς φιλαργυρίας, λέγω, τῆς κενοδοξίας καὶ τῆς ἡδονῆς.

58. Ἡ γνῶσι καὶ ἡ πίστι, οἱ σύντροφοι τῆς φύσεώς μας, ἐξ αἰτίας κανενὸς ἄλλου ἀλλὰ ἐξ αἰτίας αὐτῶν [τῆς φιλαργυρίας, τῆς κενοδοξίας καὶ τῆς ἡδονῆς] ἔχασαν τὴν δύναμί τους.

59. Ὁ θυμὸς καὶ ἡ ὀργὴ καὶ οἱ πόλεμοι καὶ οἱ φόνοι καὶ ὁλόκληρος ὁ κατάλογος τῶν ὑπολοίπων παθῶν ἐξ αἰτίας ἐκείνων [τῆς φιλαργυρίας, τῆς κενοδοξίας καὶ τῆς ἡδονῆς] ἰσχυροποιήθηκαν τόσο πολὺ μεταξὺ τῶν ἀνθρώπων.

60. Ἐκεῖνος ποὺ δὲν γνωρίζει τὴν ἀλήθεια, οὔτε νὰ πιστεύῃ ἀληθινὰ μπορεῖ. Διότι ἐκ φύσεως ἡ γνῶσι προηγεῖται τῆς

πίστεως. Τὰ γὰρ τῆς Γραφῆς εἰρημένα, οὐχ ἵνα νοήσωμεν μόνον, ἀλλ᾽ ὅπως αὐτὰ ποιήσωμεν εἴρηται.

ξα΄. Ἀρξώμεθα οὖν τοῦ ἔργου. Οὕτω γὰρ ἀκολούθως προκόπτοντες, εὑρήσομεν ὅτι ἡ εἰς Θεὸν ἐλπίς, καὶ ἡ βεβαία πίστις, καὶ γνῶσις ἐσωτέρα, καὶ πειρασμῶν λύτρωσις, καὶ χαρισμάτων δωρήματα, καὶ ἐξομολόγησις καρδιακή, καὶ δάκρυον ἐκτενές, διὰ προσευχῆς τοῖς πιστοῖς παραγίνεται· οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ τῶν ἐπερχομένων θλιβερῶν ὑπομονή, καὶ εἰλικρινὴς τοῦ πλησίον ἄφεσις, καὶ νόμου πνευματικοῦ ἐπίγνωσις, καὶ δικαιοσύνης Θεοῦ εὕρεσις, καὶ Πνεύματος Ἁγίου ἐπιφοίτησις, καὶ θησαυρῶν πνευματικῶν δόσις, καὶ πάντα ὅσα ἐπηγγείλατο ὁ Θεὸς παρέχειν τοῖς πιστοῖς ἀνθρώποις καὶ ὧδε, καὶ ἐν τῷ μέλλοντι αἰῶνι. Καὶ ἁπαξαπλῶς κατ᾽ εἰκόνα Θεοῦ φανῆναι τὴν ψυχὴν ἀδύνατον, εἰμὴ διὰ χαρίσματος Θεοῦ, καὶ πίστεως ἀνθρώπου μετὰ πολ-

πίστεως. Ὅσα βέβαια ἔχουν εἰπωθῆ στὴν [Ἁγία] Γραφή, ἔχουν εἰπωθῆ, ὄχι μόνον γιὰ νὰ [τὰ] κατανοήσωμε ἀλλὰ γιὰ νὰ [τὰ] πράξωμε.

61. Ἂς ἀρχίσωμε λοιπὸν τὴν ἐργασία. Διότι, ἀφοῦ κατ᾽ αὐτὸν τὸν τρόπο ἀκολούθως προοδεύομε, θὰ ἀνακαλύψωμε ὅτι ἡ ἐλπίδα στὸν Θεὸ καὶ ἡ βεβαία πίστι καὶ ἡ πιὸ βαθειὰ γνῶσι καὶ ἡ λύτρωσι ἀπὸ τοὺς πειρασμοὺς καὶ οἱ δωρεὲς τῶν χαρισμάτων καὶ ἡ καρδιακὴ ἐξομολόγησι καὶ τὸ συνεχὲς δάκρυ διὰ τῆς προσευχῆς ἔρχονται στοὺς πιστούς. Καὶ ὄχι μόνον αὐτά, ἀλλὰ καὶ ἡ ὑπομονὴ τῶν θλίψεων ποὺ συμβαίνουν καὶ ἡ εἰλικρινὴς συγχώρησι τοῦ πλησίον καὶ ἡ ἀκριβὴς καὶ ἐνσυνείδητη γνῶσι τοῦ πνευματικοῦ νόμου καὶ ἡ εὕρεσι τῆς δικαιοσύνης τοῦ Θεοῦ καὶ ἡ ἐπιφοίτησι τοῦ Ἁγίου Πνεύματος καὶ ἡ δωρεὰ πνευματικῶν θησαυρῶν καὶ ὅλα ὅσα ὁ Θεὸς ὑποσχέθηκε νὰ παρέχῃ στοὺς πιστοὺς ἀνθρώπους καὶ ἐδῶ καὶ στὸν μέλλοντα αἰῶνα [διὰ τῆς προσευχῆς ἔρχονται]. Καὶ γενικῶς [εἶναι] ἀδύνατον νὰ φανερωθῇ ἡ ψυχὴ [ὅτι εἶναι] κατ᾽ εἰκόνα τοῦ Θεοῦ, παρὰ μόνον διὰ τῆς δωρεᾶς τοῦ Θεοῦ καὶ τῆς πίστεως τοῦ ἀνθρώπου ποὺ ἐμμένει σταθερὰ στὴν διάνοιά [του] μὲ πολ-

λῆς ταπεινοφροσύνης, καὶ ἀμετεωρίστου προσευχῆς τῇ διανοίᾳ παραμένοντος.

ξβ'. Μέγα ὄντως ἀγαθὸν ἐκ πείρας παρειλήφαμεν, τὸ συνεχῶς ἐπικαλεῖσθαι Κύριον Ἰησοῦν κατὰ τῶν νοητῶν πολεμίων, τὸν βουλόμενον τὴν ἑαυτοῦ καρδίαν καθᾶραι. Καὶ ὅρα, πῶς σύμφωνος ὁ λόγος, ὁ ἐκ πείρας παρ' ἐμοῦ ρηθείς, ταῖς γραφικαῖς μαρτυρίαις. Ἑτοιμάζου, φησίν, Ἰσραὴλ τοῦ ἐπικαλεῖσθαι τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σου[37]*, καὶ ὁ Ἀπόστολος· ἀδιαλείπτως προσεύχεσθε*[38]*. Καὶ ὁ Κύριος ἡμῶν φησίν· οὐ δύνασθε ποιεῖν χωρὶς ἐμοῦ οὐδέν. Ὁ μένων ἐν ἐμοί, κἀγὼ ἐν αὐτῷ, οὗτος φέρει καρπὸν πολύν. Καὶ πάλιν· ἐὰν μὴ μείνῃ ἐν ἐμοί, ἐβλήθη ἔξω ὡς τὸ κλῆμα*[39]*. Μέγα ἀγαθὸν εὐχή, καὶ ἀγαθῶν πάντων περιεκτικόν, ὡς καρδίαν καθαῖρον, ἐν ᾗ ὁ Θεὸς ὀπτάνεται τοῖς πιστοῖς.*

ξγ'. Τὸ τῆς ταπεινώσεως χρῆμα, ἐπειδὴ ὑψοποιὸν πέφυκεν εἶναι, καὶ Θεῷ ἀγαπώμενον, καὶ ἀναλωτικὸν σχεδὸν πάντων τῶν ἐν

λὴ ταπεινοφροσύνη καὶ ἀμετεώριστη προσευχή.

62. Μέγα πράγματι ἀγαθὸ ἔχομε παραλάβει ἀπὸ τὴν πεῖρα [τὴν Ἁγία Παράδοσι τῆς Ἐκκλησίας], τὸ νὰ ἐπικαλῆται συνεχῶς τὸν Κύριο Ἰησοῦ ἐναντίον τῶν ἐχθρῶν, ἐκεῖνος ποὺ θέλει νὰ καθαρίσῃ τὴν καρδία του. Καὶ βλέπε, πῶς ὁ λόγος ποὺ εἰπώθηκε ἐκ μέρους μου ἀπὸ τὴν Παράδοσι, εἶναι σύμφωνος μὲ τὶς μαρτυρίες τῆς [Ἁγίας] Γραφῆς. Λέγει [ἡ Ἁγία Γραφή]: «Ἑτοιμάσου Ἰσραὴλ γιὰ νὰ ἐπικαλῆσαι τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σου», καὶ ὁ Ἀπόστολος: «Νὰ προσεύχεσθε ἀδιαλείπτως». Καὶ ὁ Κύριός μας λέγει: «Δὲν μπορεῖτε νὰ κάνετε χωρὶς Ἐμένα τίποτα. Ἐκεῖνος ποὺ μένει μέσα σ' ἐμένα καὶ ἐγὼ μέσα σ' αὐτόν, αὐτὸς φέρει πολὺ καρπό». Καὶ πάλι: «Ἐὰν δὲν μείνῃ μέσα σ' ἐμένα, ἐβλήθη[6] ἔξω, ὅπως τὸ κλῆμα». Μέγα ἀγαθὸ [εἶναι] ἡ εὐχὴ καὶ περιεκτικὸ ὅλων τῶν ἀγαθῶν, διότι εἶναι αὐτὸ ποὺ καθαρίζει τὴν καρδία, μέσα στὴν ὁποία ὁ Θεὸς ἀποκαλύπτεται στοὺς πιστούς.

63. Τὸ πολύτιμο ἀγαθὸ τῆς ταπεινώσεως, ἐπειδὴ ἔχει ἀπὸ τὴν φύσι [του] τὴν ἱκανότητα νὰ ἀνυψώνῃ καὶ νὰ εἶναι ἀγαπώμενο ἀπὸ τὸν Θεὸ καὶ ἱκανὸ νὰ ἐξαλείψῃ σχεδὸν ὅλα τὰ

ἡμῖν κακῶν καὶ μισουμένων Θεῷ, δυσπόριστον διὰ ταῦτα πέφυκεν εἶναι. Καὶ ῥαδίως ἂν εὑρήσῃς ἐν ἀνθρώπῳ ἑνὶ πολλῶν ἐργασίας τινὰς μερικάς, ζητήσας δὲ ἐν αὐτῷ ὀσμὴν ταπεινώσεως μόλις εὑρήσεις. Διὰ τοῦτο χρεία πολλῆς ταπεινώσεως[γ'], *ὥστε κτήσασθαι τοῦτο τὸ κτῆμα. Καὶ γὰρ ἀκάθαρτον καὶ τὸν διάβολον λέγει ἡ Γραφή. Ἐπειδὴ τοῦτο ἐξ ἀρχῆς τὸ ἀγαθὸν τῆς ταπεινοφροσύνης χρῆμα ἀπώσατο, καὶ τὴν ὑπερηφανίαν ἠγάπησε. Διὸ καὶ ἀκάθαρτον πνεῦμα ἐν πάσαις ταῖς Γραφαῖς προσαγορεύεται*[40]. *Ἐπεὶ ποίαν ἀκαθαρσίαν σωματικὴν δύναται ἐργάσασθαι τὸ ἀσώματον πάντῃ, καὶ ἄσαρκόν τε καὶ ἄστατον, ἵνα ἀκάθαρτον ἐκ τούτου λέγηται; Εὔδηλον, ὅτι διὰ τὴν ὑπερηφανίαν ἐκλήθη ἀκάθαρτος, καὶ ἐκ καθαροῦ καὶ φωτεινοῦ ἀγγέλου, βέβηλος ἀπεφάνθη. Καὶ ἀκάθαρτος παρὰ Κυρίῳ πᾶς ὑψηλοκάρδιος*[41]. *Πρώτη γάρ φησιν ἁμαρτία, ἡ ὑπερηφανία*[42].

κακὰ τὰ ὁποῖα [εἶναι] ἐντός μας καὶ μισοῦνται ἀπὸ τὸν Θεό, γιὰ [τοὺς λόγους] αὐτοὺς ἔχει ἀπὸ τὴν φύσι του τὴν ἰδιότητα νὰ κερδίζεται μὲ δυσκολία. Καὶ εὔκολα θὰ μποροῦσες νὰ βρῇς σ᾽ ἕναν ἄνθρωπο κάποιες ἐν μέρει ἀσκήσεις πολλῶν [ἀρετῶν], ἐὰν ὅμως ἀναζητήσῃς σ᾽ αὐτὸν μυρωδιὰ ταπεινώσεως, μὲ δυσκολία θὰ βρῇς. Ἐξ αἰτίας αὐτοῦ [ὑπάρχει] ἀνάγκη πολλῆς ταπεινώσεως, ὥστε νὰ ἀποκτήσωμε αὐτὸν τὸν θησαυρό. Διότι καὶ τὸν διάβολο ἡ [Αγία] Γραφὴ [τὸν] ὀνομάζει ἀκάθαρτο. Ἐπειδὴ ἐξ ἀρχῆς ἀπέκρουσε αὐτὸ τὸ πολύτιμο ἀγαθὸ τῆς ταπεινοφροσύνης καὶ ἀγάπησε τὴν ὑπερηφάνια. Γι᾽ αὐτὸ καὶ σὲ ὅλες τὶς Γραφὲς ὀνομάζεται ἀκάθαρτο πνεῦμα. Ἐπειδή, ποιὰ σωματικὴ ἀκαθαρσία μπορεῖ νὰ ἐργασθῇ τὸ κατὰ πάντα ἀσώματο καὶ ἄσαρκο μαζὶ καὶ ἄστατο [πνεῦμα], γιὰ νὰ λέγεται ἐξ αἰτίας αὐτοῦ ἀκάθαρτο; [Εἶναι] πρόδηλο, ὅτι [ὁ διάβολος] ἐξ αἰτίας τῆς ὑπερηφανίας ὀνομάστηκε ἀκάθαρτος καὶ ἀπὸ καθαρὸς καὶ φωτεινὸς ἄγγελος κατέστη μιαρός. Καὶ κάθε ὑψηλόφρων [εἶναι] ἀκάθαρτος κατὰ τὴν κρίσι τοῦ Κυρίου. Διότι πρώτη, λέγει [ἡ Ἁγία Γραφὴ] ἁμαρτία [εἶναι] ἡ ὑπερηφάνια.

Οὕτω γὰρ ὁ ὑπερήφανος Φαραὼ ἔλεγε· τὸν Θεόν σου, φησίν, οὐκ οἶδα, καὶ τὸν Ἰσραὴλ οὐκ ἐξαστελῶ[43].

ξδ'. Εἰσὶ δὲ πολλὰ τῶν τοῦ νοῦ ἐνεργημάτων, τὰ δυνάμενα ἡμῖν τὸ ἀγαθὸν δῶρον τῆς ταπεινοφροσύνης περιποιεῖσθαι, εἴπερ μὴ ἀμελῶμεν τῆς σωτηρίας ἡμῶν· τουτέστι μνήμη ἁμαρτημάτων ἐν λόγοις, καὶ ἔργοις, καὶ διανοίᾳ, καὶ ἕτερα πλεῖστα εἰς ταπεινοφροσύνην συμβάλλοντα, τῇ θεωρίᾳ ἀναλεγόμενα. Ἐμποιεῖ δὲ ταπείνωσιν ἀληθῆ, καὶ τό, ἵνα τις τῶν πέλας τὰ κατορθώματα καθ' ἑκάστην ἐν νῷ περιστρέφῃ, καὶ ἕτερα φυσικὰ πλεονεκτήματα ἐν ἑαυτῷ μεγαλύνῃ, καὶ συνεξετάζῃ τοῖς ἑαυτοῦ τὰ ἐκείνων· καὶ οὕτω βλέπων ὁ νοῦς τὴν ἑαυτοῦ εὐτέλειαν, καὶ πόσον ἀπολείπεται τῆς τῶν ἀδελφῶν τελειότητος, γῆν καὶ σποδὸν ὁ ἄνθρωπος ἑαυτὸν λογίζεται[44]*, καὶ οὐκ ἄνθρωπον*[45]*· ἀλλὰ κύνα τινά, ὡς πάντων τῶν ἐπὶ γῆς λογικῶν ἀνθρώπων εἰς πάντα ὑστεροῦντα, καὶ ἀπολειπόμενον.*

Κατ' αὐτὸν τὸν τρόπο βέβαια, ὁ ὑπερήφανος Φαραὼ ἔλεγε: «Τὸν Θεό σου», λέγει, «δὲν γνωρίζω, καὶ τὸν Ἰσραὴλ δὲν θὰ [τὸν] στείλω ἔξω [ἀπὸ τὴν Αἴγυπτο]».

64. Εἶναι δὲ πολλὲς ἀπὸ τὶς ἐργασίες τοῦ νοῦ, οἱ ὁποῖες μποροῦν νὰ μᾶς παράσχουν τὸ ἀγαθὸ δῶρο τῆς ταπεινοφροσύνης, ἐφόσον δὲν ἀμελοῦμε τὴν σωτηρία μας· δηλαδὴ ἡ μνήμη τῶν ἁμαρτημάτων [ποὺ πράξαμε] μὲ τὰ λόγια καὶ τὰ ἔργα καὶ τὴν διάνοια καὶ ἄλλα πάρα πολλὰ ὅσα συμβάλλουν στὴν ταπεινοφροσύνη, τὰ ὁποῖα ἐξιστοροῦνται ξανὰ μὲ τὴν θεωρία [τοῦ νοῦ]. Γεννᾶ δὲ τὴν ἀληθινὴ ταπείνωσι καὶ τὸ νὰ περιστρέφῃ κανεὶς καθημερινὰ μέσα στὸ νοῦ [του] τὰ κατορθώματα τῶν συνανθρώπων του καὶ νὰ ἐγκωμιάζῃ μέσα του ἄλλα φυσικὰ προτερήματά [τους] καὶ νὰ συγκρίνῃ τὰ δικά του μὲ τὰ δικά τους. Καὶ μ' αὐτὸν τὸν τρόπο βλέποντας ὁ νοῦς τὴν εὐτέλειά του καὶ πόσο ὑστερεῖ ἀπὸ τὴν τελειότητα τῶν ἀδελφῶν, λογαριάζει ὁ ἄνθρωπος τὸν ἑαυτό του χῶμα καὶ στάχτη καὶ ὄχι ἄνθρωπο· ἀλλὰ σὰν κάποιο σκύλο, ποὺ εἶναι κατώτερος καὶ ὑπολείπεται σὲ ὅλα σὲ σχέσι μὲ ὅλους τοὺς λογικοὺς ἀνθρώπους πάνω στὴν γῆ.

ξε΄. Φησὶ τὸ τοῦ Χριστοῦ στόμα, ὁ στῦλος τῆς Ἐκκλησίας, ὁ μέγας Πατὴρ ἡμῶν Βασίλειος· μέγα ἀγαθὸν πρὸς τὸ μὴ ἁμαρτάνειν, μηδὲ τῇ ἐρχομένῃ ἡμέρᾳ τοῖς αὐτοῖς περιπίπτειν, τὸ μετὰ τὴν ἀποπλήρωσιν τῆς ἡμέρας ἀνακρίνειν ἐν τῷ συνειδότι ἡμῶν ἡμᾶς ἑαυτοὺς τὰ καθ᾽ ἡμᾶς, τί μὲν πεπλημμελήκαμεν, τί δὲ ἐδικαιοπραγήσαμεν; Τοῦτο καὶ ὁ Ἰὼβ ἐποίει περί τε ἑαυτοῦ, καὶ τῶν τέκνων αὐτοῦ[46]· τὰ γὰρ καθ᾽ ἑκάστην λογοθέσια τὸ καθ᾽ ὥραν φωτίζουσι.

ξϛ΄. Καὶ ἕτερος δὲ πάλιν τῶν τὰ θεῖα σοφῶν ἔφη· ἀρχὴ καρποφορίας, ἄνθος· καὶ ἀρχὴ πρακτικῆς, ἐγκράτεια. Οὐκοῦν ἐγκρατευσώμεθα· καὶ τούτῳ μέτρῳ καὶ σταθμῷ, ὡς οἱ Πατέρες διδάσκουσι· καὶ τὴν ἡμέραν ὅλην τῶν δώδεκα ὡρῶν, ἐν τηρήσει νοὸς παρερχώμεθα. Οὕτω γὰρ ποιοῦντες, τὴν κακίαν βίᾳ τινὶ σβέσαι καὶ μειῶσαι δυνησόμεθα μετὰ Θεοῦ. Ἐπεὶ καὶ βιαστὴ ἐστὶν ἡ ἐνάρετος πολιτεία, δι᾽ ἧς

65. Λέγει τὸ στόμα[7] τοῦ Χριστοῦ, ὁ στῦλος τῆς Ἐκκλησίας, ὁ Μέγας πατὴρ ἡμῶν Βασίλειος: «Πολὺ καλὸ γιὰ νὰ μὴν ἁμαρτάνωμε, οὔτε τὴν ἑπομένη ἡμέρα νὰ πέφτωμε στὰ ἴδια [ἁμαρτήματα], [εἶναι] τὸ νὰ ἐρευνοῦμε ἐμεῖς οἱ ἴδιοι μετὰ τὸ πέρας τῆς ἡμέρας, μέσα στὴν συνείδησί μας, ὅσα μᾶς ἀφοροῦν: ἀφ᾽ ἑνὸς σὲ τί ἔχομε σφάλει, ἀφ᾽ ἑτέρου τί δίκαιο πράξαμε»; Αὐτὸ καὶ ὁ Ἰὼβ ἔκανε καὶ γιὰ τὸν ἑαυτό του καὶ γιὰ τὰ παιδιά του· διότι οἱ λογοδοσίες τῆς κάθε ἡμέρας φωτίζουν [τὶς λογοδοσίες] τῆς κάθε στιγμῆς.

66. Καὶ ἄλλος δὲ πάλι ἀπὸ τοὺς σοφοὺς ὡς πρὸς τὰ θεϊκὰ [πράγματα] εἶπε: «Ἡ ἀρχὴ τῆς καρποφορίας [εἶναι] τὸ ἄνθος· καὶ ἡ ἀρχὴ τῆς ἀσκήσεως ἡ ἐγκράτεια». Ἑπομένως ἂς ἐγκρατευθοῦμε· καὶ αὐτὸ μὲ μέτρο καὶ σταθμό, ὅπως οἱ Πατέρες διδάσκουν. Καὶ ὁλόκληρη τὴν ἡμέρα τῶν δώδεκα ὡρῶν νὰ [τὴν] διερχώμεθα μὲ ἐπιτήρησι τοῦ νοῦ. Διότι ἐὰν ἔτσι κάνωμε, θὰ μπορέσωμε μὲ κάποια βία νὰ μειώσωμε καὶ νὰ σβήσωμε μὲ τὴν βοήθεια τοῦ Θεοῦ τὴν κακία. Ἐπειδὴ καὶ ἡ ἐνάρετος πολιτεία, διὰ τῆς ὁποίας

δίδοται ἡ Βασιλεία τῶν Οὐρανῶν[47].

ξζ'. Ὁδὸς ἐπὶ τὴν γνῶσιν, ἀπάθεια καὶ ταπείνωσις, ὧν χωρίς, οὐδεὶς ὄψεται τὸν Κύριον.

ξη'. Ὁ ἀδιαλείπτως περὶ τὰ ἔνδον τὰς διατριβὰς ποιούμενος, σωφρονεῖ· οὐ μόνον δέ, ἀλλὰ καὶ θεωρεῖ, καὶ θεολογεῖ, καὶ προσεύχεται. Καὶ τοῦτο ἐστίν, ὃ λέγει ὁ Ἀπόστολος, πνεύματι περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε[48].

ξθ'. Ὁ τὴν πνευματικὴν ὁδὸν ὁδεύειν μὴ ἐπιστάμενος, τῶν ἐμπαθῶν νοημάτων οὐ ποιεῖται φροντίδα· ἀλλ' ὅλην τὴν σχολὴν περὶ τὴν σάρκα ἔχει, καί, ἢ γαστριμαργεῖ, καὶ ἀκολασταίνει· ἢ λυπεῖται, καὶ ὀργίζεται, καὶ μνησικακεῖ. Καὶ ἐντεῦθεν τὸν νοῦν σκοτίζει, ἢ ἀμέτρῳ ἀσκήσει κέχρηται, καὶ θολοῖ τὴν διάνοιαν.

ο'. Ὁ μὲν τοῖς πράγμασιν ἀποταξάμενος, οἷον τῇ γυναικί, καὶ τοῖς χρήμασι, καὶ τοῖς ἑξῆς, τὸν ἔξω ἄνθρωπον ἐποίησε Μοναχόν,

παρέχεται ἡ Βασιλεία τῶν Οὐρανῶν, κατορθώνεται διὰ τῆς βίας.

67. Ἡ ὁδὸς γιὰ τὴν γνῶσι [εἶναι] ἡ ἀπάθεια καὶ ἡ ταπείνωσι, χωρὶς τὶς ὁποῖες, κανεὶς δὲν θὰ δῇ τὸν Κύριο[8].

68. Ἐκεῖνος ποὺ ἐκδαπανᾶ ἀδιαλείπτως τὸν χρόνο [του] γύρω ἀπὸ τὴν ἐσωτερικὴ ζωὴ εἶναι σώφρων. Ὄχι μόνον δέ, ἀλλὰ καὶ βλέπει [τὸν Θεὸ - ἔχει θεοφάνεια] καὶ θεολογεῖ [ἐμβαθύνει στὰ μυστήρια τοῦ Θεοῦ καὶ ὁμιλεῖ γι' αὐτὰ] καὶ προσεύχεται. Καὶ αὐτὸ εἶναι, ἐκεῖνο τὸ ὁποῖο λέγει ὁ Ἀπόστολος: «Νὰ ζῆτε μὲ τό Πνεῦμα[δ'] καὶ δὲν θὰ ἐπιτελέσετε τὴν ἐπιθυμία τῆς σαρκός».

69. Ἐκεῖνος ποὺ δὲν γνωρίζει νὰ πορεύεται τὴν πνευματικὴ ὁδό, δὲν λαμβάνει μέριμνα γιὰ τὰ ἐμπαθῆ νοήματα, ἀλλὰ ἔχει ὅλη [του] τὴν ἐνασχόλησι γύρω ἀπὸ τὴν σάρκα καὶ ἢ γαστριμαργεῖ καὶ ἀκολασταίνει· ἢ λυπᾶται καὶ ὀργίζεται καὶ μνησικακεῖ. Καὶ ἑπομένως σκοτίζει τὸν νοῦ, ἢ ἐφαρμόζει ἄμετρη ἄσκησι καὶ θολώνει τὴν διάνοια.

70. Ἐκεῖνος μὲν ποὺ ἀποχωρίστηκε ἀπὸ τὰ [αἰσθητὰ] πράγματα, παραδείγματος χάριν ἀπὸ τὴν γυναῖκα καὶ τὰ ὑπάρχοντά [του] καὶ τὰ λοιπά, τὸν ἐξωτερικὸ ἄνθρωπο ἔκανε Μοναχό,

οὔπω δὲ καὶ τὸν ἔσω. Ὁ δὲ τοῖς τούτου ἐμπαθέσι νοήμασι ἀποταξάμενος, ὅ ἐστιν ὁ νοῦς, οὗτος ἀληθινὸς Μοναχός. Καὶ τὸν μὲν ἔξω ἄνθρωπον εὐκόλως τις ποιεῖ Μοναχόν, ἐὰν θελήσῃ· οὐκ ὀλίγος δὲ ἀγὼν τὸν ἔσω ἄνθρωπον ποιῆσαι Μοναχόν.

οα΄. Τίς ἐστιν ἄρα ἐν τῇ γενεᾷ ταύτῃ, ὁ παντάπασιν ἀπαλλαγεὶς ἐμπαθῶν νοημάτων, καὶ τῆς καθαρᾶς καὶ ἀΰλου διαπαντὸς ἀξιωθεὶς προσευχῆς; ὅπερ ἐστὶ σημεῖον τοῦ ἔνδον Μοναχοῦ.

οβ΄. Πολλὰ πάθη ἐν ταῖς ψυχαῖς ἡμῶν ἐγκέκρυπται· τότε δὲ ἐλέγχονται, ὅταν τὰ αἴτια φαίνωνται.

ογ΄. Μὴ ὅλην τὴν σχολὴν περὶ τὴν σάρκα ἔχε· ἀλλ' ὅρισον αὐτῇ κατὰ δύναμιν ἄσκησιν, καὶ ὅλον τὸν νοῦν σου περὶ τὰ ἔνδον στρέψον. Ἡ γὰρ σωματικὴ γυμνασία πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος· ἡ δὲ εὐσέβεια πρὸς πάντα ὠφέλιμός ἐστιν[49].

οδ΄. Ἐπὶ τῇ τῶν παθῶν ἀνενεργησίᾳ ἡ ὑπερηφανία συμ-

ὄχι ὅμως ἀκόμα καὶ τὸν ἐσωτερικό. Ἐκεῖνος δὲ ποὺ ἀρνήθηκε τὰ ἐμπαθῆ του νοήματα, τὸ ὁποῖο εἶναι ὁ νοῦς [του - λογισμοὶ καὶ κινήσεις καρδίας], αὐτὸς [ἔγινε] ἀληθινὸς Μοναχός. Καὶ τὸν μὲν ἐξωτερικὸ ἄνθρωπο εὔκολα κάποιος [τὸν] κάνει Μοναχό, ἐὰν θὰ [τὸ] θελήσῃ. Δὲν εἶναι ὅμως μικρὸς ὁ ἀγώνας νὰ κάνῃ [κανεὶς] Μοναχό, τὸν ἐσωτερικὸ ἄνθρωπο.

71. Ποιὸς ὑπάρχει ἄραγε σ' αὐτὴν τὴν γενεά, ὁ ὁποῖος ἀπαλλάχθηκε τελείως ἀπὸ τὰ ἐμπαθῆ νοήματα καὶ ἀξιώθηκε γιὰ πάντα τῆς καθαρῆς καὶ ἄυλης προσευχῆς· αὐτὸ ἀκριβῶς ποὺ εἶναι σημεῖο [καταδεικτικὸ] τοῦ ἐσωτερικοῦ Μοναχοῦ;

72. Πολλὰ πάθη εἶναι κρυμμένα μέσα στὶς ψυχές μας. Τότε δὲ ἀναιροῦνται, ὅταν φανερώνωνται τὰ αἴτιά [τους].

73. Νὰ μὴν διαθέτῃς ὅλο τὸν καιρό [σου] γύρω ἀπὸ τὴν σάρκα. Ἀλλὰ ὅρισέ της ἄσκησι σύμφωνα μὲ τὴν δύναμί [της] καὶ στρέψε ὅλο σου τὸν νοῦ γύρω ἀπὸ τὴν ἐσωτερικὴ ζωή. Διότι ἡ σωματικὴ ἄσκησι εἶναι γιὰ λίγα ὠφέλιμη· ἡ εὐσέβεια ὅμως εἶναι γιὰ ὅλα ὠφέλιμη.

74. Εὐθὺς μετὰ τὴν παῦσι τῶν παθῶν, ἐπέρχεται ἡ ὑπερηφάνια,

βαίνει, ἢ τῶν αἰτιῶν ἀποκοπτομένων, ἢ τῶν δαιμόνων δολουργῶς ὑποχωρούντων.

οε΄. Ταπείνωσις καὶ κακοπάθεια, πάσης ἁμαρτίας ἐλευθεροῦσι τὸν ἄνθρωπον· ἡ μὲν τὰ τῆς ψυχῆς, ἡ δὲ τὰ τοῦ σώματος περικόπτουσα πάθη. Διὰ τοῦτο λέγει ὁ Κύριος· μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται[50]*· αὐτὸν καὶ τοὺς ἐν αὐτῷ θησαυρούς, ὅταν δι᾽ ἀγάπης καὶ ἐγκρατείας ἑαυτοὺς καθάρωσι· καὶ τοσούτῳ πλέον, ὅσῳ τὴν κάθαρσιν ἐπιτείνωσι.*

ος΄. Σκοπευτήριον τῶν περὶ ἀρετῆς λόγων πάσης, ἡ τοῦ νοῦ τήρησίς ἐστιν, ὡς ὁ πάλαι τοῦ Δαβὶδ σκοπός, τὴν περιτομὴν τῆς καρδίας προεδήλου[51]*.*

οζ΄. Ὥς περ αἰσθητῶς τὰ βλάπτοντα ὁρῶντες, βλαπτόμεθα, οὕτω καὶ κατὰ νοῦν.

οη΄. Ὥς περ ὁ τὴν τοῦ φυτοῦ τρώσας καρδίαν, ὅλον ἐξήρανεν, οὕτω καὶ ἐπὶ καρδίαν ἀνθρώπου νόει. Αὐτὴν τὴν στιγμὴν προσέχειν δεῖ, ἐπειδὴ οὐκ ἀργοῦσιν οἱ κλέπται.

ἢ ἐπειδὴ ἀποκόπτονται τὰ αἴτια [τῶν παθῶν], ἢ διότι ὑποχωροῦν ἐνεργώντας δόλια οἱ δαίμονες.

75. Ἡ ταπείνωσι καὶ ἡ κακοπάθεια ἐλευθερώνουν τὸν ἄνθρωπο ἀπὸ κάθε ἁμαρτία· ἡ μὲν [ταπείνωσι] περιστέλλοντας τὰ πάθη τῆς ψυχῆς, ἡ δὲ [κακοπάθεια] τὰ πάθη τοῦ σώματος. Γι᾽ αὐτὸ λέγει ὁ Κύριος: «Μακάριοι οἱ καθαροὶ στὴν καρδία, διότι αὐτοὶ θὰ δοῦν τὸν Θεό». [Θὰ δοῦν] Αὐτὸν καὶ τοὺς μέσα σ᾽ Αὐτὸν θησαυρούς, ὅταν καθαρίσουν τοὺς ἑαυτούς τους μὲ τὴν ἀγάπη καὶ τὴν ἐγκράτεια. Καὶ τόσο περισσότερο [θὰ Τὸν δοῦν], ὅσο ἐντείνουν τὴν κάθαρσι.

76. Παρατηρητήριο τῶν λόγων, ἕνεκα τῶν ὁποίων [πράττεται] κάθε ἀρετή, εἶναι ἡ τήρησι τοῦ νοῦ, ὅπως ὁ φρουρὸς παλαιὰ τοῦ Δαυΐδ[ε΄] προετύπωνε τὴν περιτομὴ τῆς καρδίας.

77. Ὅπως ἀκριβῶς, βλαπτόμεθα, ὅταν βλέπωμε, ὅσα βλάπτουν κατὰ τὴν αἴσθησι [τῆς ὁράσεως], κατὰ τὸν ἴδιο τρόπο [βλαπτόμεθα] καὶ ὡς πρὸς τὸν νοῦ.

78. Ὅπως ἀκριβῶς, ἐκεῖνος ποὺ τραυμάτισε τὴν καρδία τοῦ φυτοῦ, [τὸ] ξέρανε ὁλόκληρο, κατὰ τὸν ἴδιο τρόπο ἐννόησε καὶ γιὰ τὴν καρδία τοῦ ἀνθρώπου. Πρέπει νὰ προσέχωμε αὐτὴ [καθεαυτὴν] τὴν κάθε στιγμή, ἐπειδὴ οἱ κλέπτες δὲν μένουν ἀργοὶ [ἀναγκαιότης τῆς νήψεως].

οθ'. Ὁ Κύριος πᾶσαν ἐντολὴν ὀφειλομένην δεῖξαι θέλων, τὴν δὲ υἱοθεσίαν ἰδίῳ αἵματι τοῖς ἀνθρώποις δεδωρημένην, φησίν· ὅταν ποιήσητε τὰ προστεταγμένα ὑμῖν, εἴπατε ὅτι ἀχρεῖοι δοῦλοι ἐσμέν, καὶ ὃ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν[52]*. Διὰ τοῦτο οὐκ ἔστι μισθὸς ἔργων ἡ Βασιλεία τῶν Οὐρανῶν, ἀλλὰ χάρις Δεσπότου πιστοῖς δούλοις ἡτοιμασμένη. Οὐκ ἀπαιτεῖ δοῦλος ὡς μισθὸν τὴν ἐλευθερίαν, ἀλλ' εὐχαριστεῖ ὡς ὀφειλέτης, καὶ κατὰ χάριν ἐκδέχεται.*

79. Ὁ Κύριος θέλοντας νὰ δείξῃ, ὅτι κάθε ἐντολὴ ὀφείλεται καὶ ὅτι ἡ υἱοθεσία ἔχει δωρηθῆ στοὺς ἀνθρώπους μὲ τὸ ἴδιο Του τὸ αἷμα, λέγει: «Ὅταν ἐκτελέσετε ὅσα σᾶς ἔχουν παραγγελθῆ [ἀπὸ τὸν Θεό], νὰ λέτε, ὅτι εἴμαστε ἄχρηστοι δοῦλοι καὶ ἔχομε πράξει ἐκεῖνο τὸ ὁποῖο ὠφείλαμε νὰ πράξωμε». Γι' αὐτὸ ἡ Βασιλεία τῶν Οὐρανῶν δὲν εἶναι ἀνταπόδοσι [ὀφειλομένη] στὰ ἔργα, ἀλλὰ δωρεὰ τοῦ Δεσπότου, ἡ ὁποία ἔχει ἑτοιμασθῆ γιὰ τοὺς πιστούς Του δούλους. Δὲν ἀπαιτεῖ ὁ δοῦλος τὴν ἐλευθερία, ὡς μισθὸ [ἀμοιβή], ἀλλὰ εὐχαριστεῖ καθὼς ὁ ὀφειλέτης καὶ [τὴν] λαμβάνει ἕνεκα τῆς Χάριτος.

π'. Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, κατὰ τὰς Γραφάς[53]*· καὶ τοῖς εὖ δουλεύουσιν αὐτῷ τὴν ἐλευθερίαν χαρίζεται. Φησὶ γάρ· εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα ἐγένου πιστός, ἐπὶ πολλῶν σε καταστήσω. Εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου*[54]*. Οὔπω δὲ δοῦλός ἐστι πιστὸς ὁ ψιλῇ τῇ γνώσει ἐπερειδόμενος, ἀλλ' ὁ δι' ὑπακοῆς τῷ ἐντειλαμένῳ Χριστῷ πιστεύων.*

80. Ὁ Χριστὸς σύμφωνα μὲ τὴν Ἁγία Γραφὴ πέθανε χάριν τῶν ἁμαρτιῶν μας. Καὶ σ' ἐκείνους ποὺ ὑποτάσσονται καλῶς σ' Αὐτὸν χαρίζει τὴν ἐλευθερία. Διότι λέγει: «Εὖγε δοῦλε ἀγαθὲ καὶ πιστέ, στὰ λίγα ἔγινες πιστός, στὰ πολλὰ θὰ σὲ ἐγκαταστήσω. Εἴσελθε στὴν χαρὰ τοῦ Κυρίου σου». Δὲν εἶναι ὅμως ἀκόμα δοῦλος πιστὸς ἐκεῖνος ποὺ στηρίζεται πάνω στὴν γυμνὴ [ἀπὸ πίστι] γνῶσι [του], ἀλλὰ ἐκεῖνος ποὺ μὲ ὑπακοὴ πιστεύει στὸν Χριστὸ ποὺ [τὸν] προστάζει.

πα'. Ὁ τὸν Δεσπότην τιμῶν,

81. Ἐκεῖνος ποὺ εὐλαβεῖται τὸν Κύριο,

ποιεῖ τὰ κελευόμενα ὑπ' αὐτοῦ. Σφαλεὶς δέ, ἢ παρακούσας, ὑπομένει ὡς ἴδια τὰ ἐπερχόμενα. Φιλομαθὴς ὤν, γίνου καὶ φιλόπονος· ἡ γὰρ ψιλὴ γνῶσις φυσιοῖ τὸν ἄνθρωπον[55].

πβ'. Οἱ ἀπροσδοκήτως ἡμῖν συμβαίνοντες πειρασμοί, οἰκονομικῶς ἡμᾶς φιλοπόνους διδάσκουσι γίνεσθαι.

πγ'. Ἴδιον μὲν ἀστέρος, τὸ περὶ αὐτὸν φῶς· τοῦ δὲ θεοσεβοῦς, καὶ Θεὸν φοβουμένου ἴδιον, εὐτέλεια καὶ ταπείνωσις. Ἐπεὶ μηδ' ἄλλο τι γνωριστικὸν πέφυκεν εἶναι, καὶ δηλωτικὸν σημεῖον τῶν τοῦ Χριστοῦ μαθητῶν, ὡς ταπεινὸν φρόνημα καὶ εὐτελὲς σχῆμα. Καὶ τοῦτο πάντῃ βοῶσι τὰ τέσσαρα Εὐαγγέλια. Ὁ δὲ μὴ οὕτω, τουτέστι ταπεινῶς βιούς, τοῦ μέρους ἐκπίπτει τοῦ ἑαυτὸν ταπεινώσαντος μέχρι σταυροῦ καὶ θανάτου[56]*, τοῦ καὶ τῶν θείων Εὐαγγελίων πρακτικοῦ Νομοθέτου.*

πδ'. Οἱ διψῶντες, φησί, πορεύεσθε ἐφ' ὕδωρ[57]*. Οἱ διψῶντες Θεόν, πορεύεσθε καθαρότητι διανοίας. Πλὴν τῷ ὑψηλῶς δι' αὐτῆς πετω-*

πράττει ὅσα προστάζονται ἀπ' Αὐτόν. Ἐὰν ὅμως ἔσφαλλε ἢ παρήκουσε, ὑπομένει ὅσα ἐπέρχονται [δεινά], σὰν δικά του [δικῆς του αἰτίας παθήματα]. Ἐὰν εἶσαι φιλομαθής, νὰ γίνῃς καὶ φιλόπονος· διότι ἡ ψιλὴ [χωρὶς κόπο] γνῶσι κάνει τὸν ἄνθρωπο ἀλαζόνα.

82. Οἱ πειρασμοί, ποὺ μᾶς συμβαίνουν ἀπροσδόκητα, μᾶς διδάσκουν κατ' οἰκονομίαν [τοῦ Θεοῦ] νὰ γινώμαστε φιλόπονοι.

83. Τοῦ μὲν ἀστέρος ἡ χαρακτηριστικὴ ἰδιότητα [εἶναι] τὸ φῶς γύρω ἀπὸ αὐτόν. Τοῦ δὲ θεοσεβοῦς καὶ φοβουμένου τὸν Θεὸ ἡ χαρακτηριστικὴ ἰδιότητα [εἶναι] ἡ εὐτέλεια καὶ ἡ ταπείνωσι. Ἐπειδὴ κανένα ἄλλο δὲν εἶναι κάποιο σημεῖο φύσει ἀναγνωριστικὸ καὶ δηλωτικὸ τῶν μαθητῶν τοῦ Χριστοῦ, ὅπως τὸ ταπεινὸ φρόνημα καὶ τὸ εὐτελὲς σχῆμα. Καὶ αὐτὸ κραυγάζουν παντοῦ τὰ τέσσερα Εὐαγγέλια. Ἐκεῖνος ὅμως ποὺ δὲν [εἶναι] ἔτσι, δηλαδὴ νὰ ζῇ ταπεινά, ἐκπίπτει τῆς μερίδος Ἐκείνου ποὺ ταπείνωσε τὸν ἑαυτό Του μέχρι σταυροῦ καὶ θανάτου, ὁ ὁποῖος εἶναι καὶ ὁ Νομοθέτης ποὺ τήρησε στὴν πρᾶξι τὰ θεῖα Εὐαγγέλια.

84. Λέγει [ἡ Ἁγία Γραφή]: «Ὅσοι διψᾶτε, ἂς πορευθῆτε στὸ νερό». Ὅσοι διψᾶτε Θεό, ἂς πορευθῆτε μὲ καθαρότητα τῆς διανοίας. Πλὴν ὅμως, ὅσον ἀφορᾶ σ' ἐκεῖνον ὁ ὁποῖος μέσῳ αὐτῆς πετάει

μένῳ, χρὴ καὶ πρὸς τὴν γῆν τῆς ἑαυτοῦ εὐτελείας ὁρᾷν· οὐδεὶς γὰρ τοῦ ταπεινοῦ ὑψηλότερος. Ὡς γὰρ φωτὸς μὴ παρόντος, ζοφώδη, καὶ σκοτεινὰ ἅπαντα, οὕτω καὶ μὴ παρούσης ταπεινοφροσύνης, πάντα ἡμῶν μάταια, καὶ ἕωλα τὰ κατὰ Θεὸν σπουδάσματα.

πε´. Τέλος δὲ λόγου, τὸ πᾶν ἄκουε· τὸν Θεὸν φοβοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ φύλαττε[58]*, καὶ νοητῶς καὶ αἰσθητῶς. Εἰ γὰρ νοητῶς, βιάσῃ σαυτὸν αὐτὰς τηρεῖν, ὀλιγάκις τῶν αἰσθητῶν εἰς αὐτὰς κόπων δεήσῃ. Φησὶ γὰρ ὁ Δαβίδ, ἠβουλήθην τὸ θέλημά σου καὶ τὸν νόμον σου ποιῆσαι ἐν μέσῳ τῆς κοιλίας μου*[59]*.*

πς´. Ἐὰν μὴ ἐν μέσῳ τῆς κοιλίας, τουτέστιν ἐν μέσῃ καρδίᾳ, ὁ ἄνθρωπος τὸ τοῦ Θεοῦ θέλημα, καὶ τὸν νόμον ποιήσῃ, οὔτε ἔξω ῥαδίως τοῦτο πρᾶξαι δύναται. Καὶ ἐρεῖ πρὸς τὸν Θεὸν ὁ μὴ νήφων καὶ ἀδιάφορος, τό, ὁδούς σου εἰδέναι οὐ βούλομαι[60]*· πάντως δι᾽ ἔλλειψιν θείας ἐλλάμψεως·*

ψηλά, πρέπει [αὐτὸς] νὰ βλέπῃ καὶ πρὸς τὴν γῆ τῆς προσωπικῆς του εὐτελείας· διότι κανεὶς [δὲν εἶναι] ὑψηλότερος ἀπὸ τὸν ταπεινό. Ὅπως, ὅταν δὲν ὑπάρχῃ φῶς, ὅλα [εἶναι] ζοφώδη καὶ σκοτεινά, κατὰ τὸν ἴδιο τρόπο καὶ ὅταν δὲν ὑπάρχῃ ταπεινοφροσύνη, ὅλα τὰ κατὰ Θεὸν περισπούδαστα ἔργα μας, εἶναι μάταια καὶ ἀνυπόστατα.

85. Ἄκουε ἐν τέλει, τὸ κύριο θέμα τοῦ λόγου: Νὰ φοβᾶσαι τὸν Θεὸ καὶ νὰ φυλάττῃς τὶς ἐντολές Του καὶ νοητῶς καὶ αἰσθητῶς. Διότι ἐὰν θὰ βιάσῃς τὸν ἑαυτόν σου νὰ τὶς τηρῇς νοητῶς, λίγες φορὲς θὰ χρειασθῇς ὡς πρὸς αὐτὲς [τὶς ἐντολὲς δηλαδὴ καὶ τὴν τήρησί τους] τοὺς αἰσθητοὺς κόπους. Πρὸς τοῦτο λέγει ὁ Δαυΐδ: «Ἐπεθύμησα νὰ πράξω τὸ θέλημά Σου καὶ τὸν νόμο Σου καταμεσῆς τῶν σπλάχνων μου».

86. Ἐὰν ὁ ἄνθρωπος δὲν θὰ κάνῃ καταμεσῆς τῶν σπλάχνων [του], δηλαδὴ μέσα στὸ κέντρο τῆς καρδίας του, τὸ θέλημα καὶ τὸν νόμο τοῦ Θεοῦ, οὔτε ἔξω μπορεῖ εὔκολα νὰ τὸ πράξῃ. Καὶ θὰ πῇ πρὸς τὸν Θεὸ ἐκεῖνος ποὺ δὲν νήφει καὶ ὁ ἀδιάφορος, τὸ [ἑξῆς]: δὲν θέλω νὰ γνωρίσω τὶς ὁδούς σου. Ὁπωσδήποτε [θὰ πῇ κάτι τέτοιο] ἀπὸ ἔλλειψι θείου φωτισμοῦ,

ἧς τινος ὁ μετέχων οὐκ ἀπληροφόρητος, ἀλλὰ καὶ ἔμπεδος ἱκανὸς περὶ τὰ θεῖα γενήσεται.

πζ΄. Ὥς περ γὰρ τὸ αἰσθητὸν ἅλας ἡδύνει τόν τε ἄρτον καὶ πᾶν ὄψον, καὶ ἄσηπτά τινα τῶν κρεῶν, καὶ διαρκῆ φυλάττει· οὕτω καὶ ἐπὶ τῇ τοῦ νοὸς φυλακῇ τῆς νοητῆς ἡδύτητος καὶ θαυμαστῆς ἐργασίας νόει. Καὶ γὰρ ἡδύνει ἐνθέως καὶ τὸν ἐντὸς καὶ τὸν ἐκτὸς ἄνθρωπον, καὶ τήν ὀζωδίαν τῶν πονηρῶν λογισμῶν ἐκδιώκει· καὶ διαρκεῖς ἐν τοῖς καλοῖς ἡμᾶς φυλάττει.

πη΄. Ἐκ προσβολῆς πολλοὶ λογισμοί, ἐκ δὲ τούτων ἡ πονηρὰ αἰσθητὴ πρᾶξις. Ὁ δὲ μετὰ τοῦ Ἰησοῦ τὸ πρῶτον εὐθὺς σβεννύων, τὰ ἑξῆς διέφυγε· καὶ γνῶσιν θείαν γλυκεῖαν πλουτήσει· δι᾽ ἧς Θεὸν εὑρήσει τὸν πανταχοῦ ὄντα. Ἐν αὐτῷ δὲ τὸ κάτοπτρον τοῦ νοὸς ἀντείσας, φωτίζεται διηνεκῶς καθ᾽ ὁμοιότητα τοῦ καθαροῦ ὑέλου, καὶ τοῦ αἰσθητοῦ ἡλίου. Καὶ τότε ἀναπαύεται ὁ νοῦς, εἰς τὸ ἔσχατον τῶν ὀρεκτῶν φθά-

στὸν ὁποῖο [θεῖο φωτισμὸ] ὅποιος μετέχει δὲν θὰ μείνῃ στὴν ἀμφιβολία περὶ τὴν πίστι, ἀλλὰ θὰ γίνῃ καὶ ἀπαρασάλευτα ἱκανὸς ὅσον ἀφορᾶ τὰ θεϊκὰ πράγματα.

87. Διότι ὅπως ἀκριβῶς τὸ αἰσθητὸ ἁλάτι γλυκαίνει καὶ τὸ ψωμὶ καὶ κάθε φαγητὸ καὶ διατηρεῖ ἄσηπτα καὶ σὲ διάρκεια κάποια ἀπὸ τὰ κρέατα, κατὰ τὸν ἴδιο τρόπο νὰ ἐννοῇς καὶ γιὰ τὴν φυλακὴ τοῦ νοὸς [ὅτι δηλαδὴ εἶναι τὸ ἁλάτι] τῆς νοητῆς γλυκύτητος καὶ θαυμαστῆς νοερᾶς ἐργασίας. Διότι ἐπίσης γλυκαίνει κατὰ ἔνθεο τρόπο καὶ τὸν ἐσωτερικὸ καὶ τὸν ἐξωτερικὸ ἄνθρωπο καὶ ἐκδιώκει τὴν δυσωδία τῶν πονηρῶν λογισμῶν καὶ μᾶς διαφυλάττει σταθεροὺς στὰ καλὰ [ἔργα].

88. Ἀπὸ τὴν προσβολὴ [προέρχονται] πολλοὶ λογισμοί. Ἀπὸ αὐτοὺς δέ, [προέρχεται] ἡ πονηρὴ αἰσθητὴ πρᾶξι. Ἐκεῖνος ὅμως, ὁ ὁποῖος μὲ τὴν βοήθεια τοῦ Ἰησοῦ σβήνει ἄμεσα τὸ πρῶτο [δηλαδὴ τὴν προσβολή], ἀπέφυγε τὰ μετέπειτα. Καὶ θὰ πλουτίσῃ ἀπὸ θεϊκὴ γλυκειὰ γνῶσι μέσῳ τῆς ὁποίας θὰ βρῇ τὸν Θεό, ποὺ εἶναι πανταχοῦ παρών. Ἀφοῦ δὲ ἐνισχύσῃ μέσα του τὸν καθρέπτη τοῦ νοός, φωτίζεται ἀκατάπαυστα κατὰ τὴν ὁμοιότητα τοῦ καθαροῦ γυαλιοῦ καὶ τοῦ αἰσθητοῦ ἡλίου. Καὶ τότε ὁ νοῦς, ἀφοῦ φθά-

σας, ἀπὸ πάσης ἄλλης ἐν αὐτῷ θεωρίας.

πθʹ. Ἐπειδὴ πᾶς λογισμὸς διὰ φαντασίας αἰσθητῶν τινων εἰσέρχεται ἐν τῇ καρδίᾳ· τότε αὐγάζει αὐτὸν τὸ μακάριον φῶς τῆς Θεότητος, ὅταν πάντῃ εὐκαιρήσῃ ἀπὸ πάντων, καὶ ἀσχημάτιστος ἐκ τούτων γένηται· εἴπερ ἡ λαμπρότης ἐκείνη κατὰ στέρησιν τῶν πάντων νοημάτων παραφαίνεται τῷ καθαρῷ νοΐ.

ϟʹ. Ὅσῳ τὴν διάνοιαν ἄκρως προσέχεις, κατὰ τοσοῦτον μετὰ πόθου τῷ Ἰησοῦ προσεύξῃ· καὶ ὅσον πάλιν τὴν διάνοιαν ἀμελῶς ἐπισκέπτῃ, κατὰ τοσοῦτον καὶ τοῦ Ἰησοῦ μακρυνθήσῃ. Καὶ ὥσπερ τὸ πρότερον ἄκρως τὸν ἀέρα τῆς διανοίας φωτίζει, οὕτω καὶ τὸ ἐκνεῦσαι ἀπὸ τῆς νήψεως, καὶ τῆς γλυκείας ἐπικλήσεως τοῦ Ἰησοῦ, σκοτίζειν αὐτὸν ἐκ παντὸς πέφυκεν· ὡς εἶναι φύσει τὸ πρᾶγμα τοιοῦτον, ὡς εἴπομεν, καὶ ἄλλως οὐκ ἔστι. Καὶ τοῦτο πείρᾳ λήψῃ ἔργῳ δοκιμασίας· ἐπεὶ μὴ πέφυκεν ἀρετὴ καὶ μάλιστα

ση στὸ μεγαλύτερο ἀπὸ τὰ ἐπιθυμητά, ἡσυχάζει ἀπὸ κάθε ἄλλη θεωρία μέσα του.

89. Ἐπειδὴ κάθε λογισμὸς εἰσέρχεται μέσῳ τῆς φαντασίας κάποιων αἰσθητῶν στὴν καρδία· τότε καταυγάζει αὐτὸν [τὸν νοῦ] τὸ φῶς τῆς Θεότητος, ὅταν θὰ ἔχῃ ἐντελῶς καταπαύσει [ἀπαλλαγῆ] ἀπὸ ὅλα καὶ γίνῃ ἀπ᾽ αὐτὰ [ὅλα] ἀσχημάτιστος [χωρὶς νὰ τοῦ προσδώσουν κάποιο σχῆμα]. Ἐὰν [γίνῃ] πράγματι ἔτσι, τότε ἀμέσως μετὰ τὴν στέρησι ὅλων τῶν νοημάτων, ἡ λαμπρότητα ἐκείνη ἀποκαλύπτεται στὸν καθαρὸ νοῦ.

90. Μὲ ὅση εἰς τὸ ἔπακρον [δύναμι] προσέχεις τὴν διάνοια, κατὰ τόσο θὰ προσεύχεσαι μὲ πόθο στὸν Ἰησοῦ. Καὶ ὅσο ἀμελῶς πάλι ἐπισκέπτεσαι τὴν διάνοια, κατὰ τόσο καὶ θὰ ἀπομακρυνθῇς ἀπὸ τὸν Ἰησοῦ. Καὶ ὅπως ἀκριβῶς τὸ προηγούμενο [δηλαδὴ τὸ νὰ προσέχῃς τὴν διάνοια] φωτίζει εἰς τὸ ἔπακρον τὴν ἀτμόσφαιρα τῆς διανοίας, κατὰ τὸν ἴδιο τρόπο καὶ τὸ νὰ ἀπομακρυνθῇς ἀπὸ τὴν νῆψι καὶ τὴν γλυκειὰ ἐπίκλησι τοῦ Ἰησοῦ ἔχει ἀπὸ τὴν φύσι του τὴν ἱκανότητα νὰ τὸν σκοτίζῃ ἀπὸ ὅλα [τὸν νοῦ]. Ἐπειδή, ὅπως εἴπαμε, ὅτι εἶναι ἐκ φύσεως τὸ πρᾶγμα τέτοιο, καὶ κατ᾽ ἄλλο τρόπο δὲν εἶναι. Καὶ αὐτὸ θὰ [τὸ] καταλάβῃς μὲ τὴν πεῖρα ἀπὸ τὸ ἔργο τῆς ἀσκήσεως. Δεδομένου ὅτι δὲν εἶναι ἐκ φύσεως ἡ ἀρετὴ καὶ μάλιστα

ἡ τοιαύτη φωτοτόκος τερπνὴ ἐργασία, εἰ μὴ τῇ πείρᾳ διδάσκεται[δ΄].

ϟα΄. Τὸ μὲν μετὰ πόθου τινὸς μεστοῦ γλυκύτητος καὶ χαρᾶς ἐπικαλεῖσθαι συνεχῶς Ἰησοῦν, αἴτιον, τὸ χαρᾶς ἔμπλεον καὶ γαλήνης εἶναι τὸν ἀέρα τῆς καρδίας, ἐκ τῆς ἄκρας προσοχῆς· τοῦ δὲ ἄκρως καθαίρεσθαι τὴν καρδίαν, αἴτιος Ἰησοῦς Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ καὶ Θεός, ὁ πάντων τῶν καλῶν αἴτιος καὶ ποιητής· ἐγώ, γάρ φησι, Θεὸς ποιῶν εἰρήνην[61].

ϟβ΄. Εὐεργετουμένη ψυχὴ καὶ γλυκαινομένη ὑπὸ Ἰησοῦ, μετὰ ἀγαλλιάσεως τινὸς καὶ ἀγάπης διὰ τῆς ἐξομολογήσεως τὸν εὐεργέτην ἀμείβεται· εὐχαριστοῦσα καὶ ἐπικαλουμένη μετὰ θυμηδίας τὸν εἰρηνοποιοῦντα αὐτήν· καὶ μέσον αὐτῆς νοητῶς ὁρῶσα αὐτὸν λύοντα τὰς φαντασίας τῶν πονηρῶν πνευμάτων.

ϟγ΄. Καὶ ἐπεῖδε, φησὶ Δαβίδ, ὁ νοητὸς ὀφθαλμός μου ἐν νοητοῖς ἐχθροῖς μου· καὶ ἐν τοῖς ἐπανισταμένοις ἐπ᾽ ἐμὲ πονηρευομένοις ἀκού-

αὐτοῦ τοῦ εἴδους ἡ τερπνὴ ἐργασία ποὺ γεννᾶ τὸ φῶς, παρὰ μόνο διδάσκεται ἀπὸ τὴν πεῖρα.

91. Εἶναι μὲν αἰτία τοῦ νὰ ἐπικαλῆσαι συνεχῶς τὸν Ἰησοῦ μὲ ἕνα πόθο γεμάτο γλυκύτητα καὶ χαρά, τὸ νὰ εἶναι ἡ ἀτμόσφαιρα τῆς καρδίας πλήρης ἀπὸ χαρὰ καὶ γαλήνη ἐξ αἰτίας τῆς ἄκρας προσοχῆς. Ἀλλὰ ὁ αἴτιος τοῦ νὰ καθαίρεται εἰς τὸ ἔπακρον ἡ καρδία εἶναι ὁ Ἰησοῦς Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ καὶ Θεός, ὁ πάντων τῶν καλῶν αἴτιος καὶ ποιητής. Διότι λέγει: «Ἐγὼ εἶμαι ὁ Θεός, ποὺ προξενῶ τὴν εἰρήνη».

92. Ἡ ψυχὴ ἡ ὁποία εὐεργετεῖται καὶ γλυκαίνεται ἀπὸ τὸν Ἰησοῦ, μέσῳ τῆς δοξολογίας, μαζὶ μὲ μιὰ ἀγαλλίασι καὶ ἀγάπη ἀνταμείβει τὸν εὐεργέτη, εὐχαριστῶντας καὶ ἐπικαλουμένη μὲ αἴσθημα εὐφροσύνης Ἐκεῖνον ποὺ τῆς χαρίζει τὴν εἰρήνη, καθὼς Τὸν βλέπει νοητῶς μέσα της νὰ διαλύῃ τὶς φαντασίες τῶν πονηρῶν δαιμόνων.

93. Καὶ ἐπέβλεψε, λέγει ὁ Δαυΐδ, ὁ νοητὸς ὀφθαλμός μου στοὺς νοητοὺς ἐχθρούς μου καὶ τὸ αὐτί μου θὰ ἀκούσῃ ἐν τῷ μέσῳ ἐκείνων, ποὺ ἔχουν ἐξεγερθῆ ἐναντίον μου ἐνεργῶντας μὲ πονηρία [πανουργία]. Καὶ εἶδα νὰ γίνεται

σεται τὸ οὖς μου[62]· καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν εἶδον παρὰ Θεοῦ ἐν ἐμοὶ γινομένην[63]. Φαντασιῶν δὲ μὴ οὐσῶν τινῶν ἐν καρδίᾳ, εἰς τὸ κατὰ φύσιν ὁ νοῦς ἵσταται· ἕτοιμος ὢν κινεῖσθαι εἰς πᾶσαν θεωρίαν τερπνήν, πνευματικήν, καὶ θεοφιλῆ.

ϟδʹ. Οὕτως οὖν, ὡς εἶπον, πεφύκασιν εἶναι ἀλλήλων συστατικά, ἥ τε νῆψις, καὶ Ἰησοῦ εὐχή. Ἡ μὲν γὰρ ἄκρα προσοχή, τῆς συνεχοῦς εὐχῆς· ἡ δὲ εὐχὴ πάλιν, τῆς ἄκρας ἐν νῷ νήψεως καὶ προσοχῆς.

ϟεʹ. Χρηστὸς παιδαγωγὸς καὶ τοῦ σώματος καὶ τῆς ψυχῆς, ἡ ἀνεπίληστος μνήμη τοῦ θανάτου· καὶ τό, τὰ ἐν μέσῳ πάντα παραδραμόντας, αὐτὸν ἀεὶ προβλέπειν, αὐτὴν τὴν κλίνην, ἔνθα ψυχορραγοῦντες μέλλομεν κατακεῖσθαι, καὶ τὰ λοιπά.

ϟϛʹ. Οὐκ ἔστιν, ἀδελφοί, ὕπνον ἄρασθαι τὸν βουλόμενον ἄτρωτον μένειν διαπαντός· ἀλλ᾽ ἀνάγκη δυοῖν θάτερον, ἢ πεσεῖν καὶ ἀ-

μέσα μου ἀπὸ μέρους τοῦ Θεοῦ ἀνταπόδοσι στοὺς ἁμαρτωλούς. Καὶ ἐπειδὴ δὲν ὑπάρχουν κάποιες φαντασίες μέσα στὴν καρδία, ὁ νοῦς βρίσκεται στὸ κατὰ φύσιν, ἐνῶ εἶναι ἕτοιμος νὰ κινηθῇ σὲ κάθε θεωρία τερπνή, πνευματικὴ καὶ θεοφιλῆ.

94. Κατ᾽ αὐτὸν τὸν τρόπο λοιπόν, ὅπως εἶπα, ἔχουν φυσικὸ χαρακτηριστικὸ νὰ εἶναι ἡ μία συστατικὴ τῆς ἄλλης [δηλαδὴ ἡ μία προϋποθέτει τὴν ὕπαρξι τῆς ἄλλης], καὶ ἡ νῆψι καὶ ἡ εὐχὴ τοῦ Ἰησοῦ. Διότι ἡ μὲν ἄκρα προσοχὴ [εἶναι συστατικὴ] τῆς συνεχοῦς εὐχῆς. Ἡ δὲ εὐχὴ πάλι [εἶναι συστατικὴ] τῆς ἄκρας νήψεως καὶ προσοχῆς τοῦ νοός.

95. Καλὸς παιδαγωγὸς καὶ τοῦ σώματος καὶ τῆς ψυχῆς [εἶναι] ἡ ἀδιάκοπη μνήμη τοῦ θανάτου καὶ τὸ νὰ βλέπωμε αὐτὸν πάντοτε μπροστά μας, προσπερνώντας ὅλα ὅσα μεσολαβοῦν· [νὰ βλέπωμε δηλαδὴ] αὐτὴ τὴν κλίνη, ὅπου πρόκειται νὰ εἴμεθα ξαπλωμένοι, ὅταν ψυχορραγοῦμε καὶ τὰ ὑπόλοιπα.

96. Δὲν εἶναι δυνατὸν ἀδελφοὶ νὰ κοιμᾶται [δηλαδὴ νὰ ἀμελῇ] ἐκεῖνος ποὺ θέλει νὰ μένῃ πάντοτε ἀπρόσβλητος [ἀπὸ τὶς ἐνάντιες τοῦ πονηροῦ δυνάμεις]· ἀλλὰ [εἶναι] ἀνάγκη ἕνα ἀπὸ τὰ δύο, ἢ νὰ πέσῃ καὶ νὰ

πολέσθαι, γυμνωθέντα τῶν ἀρετῶν· ἢ διαπαντὸς τῷ νοῒ καθωπλισμένον ἑστάναι· καὶ γὰρ καὶ ὁ ἐχθρὸς ἀεὶ ἵσταται μετὰ τῆς αὐτοῦ παρατάξεως.

ϟζ΄. Γίνεταί τις κατάστασις θεία ἐν τῷ νῷ ἡμῶν, ἐκ τῆς συνεχοῦς μνήμης καὶ ἐπικλήσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐὰν μὴ ἀμελῶμεν τῆς πρὸς αὐτὸν συνεχοῦς κατὰ νοῦν δεήσεως, καὶ τῆς πυκνῆς νήψεως, καὶ τοῦ ἐπιστατικοῦ ἔργου· ἀλλὰ ὄντως ἔργον ἀεὶ αὐτό, καὶ ὡσαύτως ἐπιτελούμενον, ἔχωμεν τῆς Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν ἐπικλήσεως, μετὰ πυρώσεως καρδίας ἐκβοῶντες, ὥστε μεταλαβεῖν[ε΄] τὸ ἅγιον ὄνομα Ἰησοῦ. Συνέχεια γὰρ καὶ ἐπὶ ἀρετῆς καὶ κακίας μήτηρ ἕξεως· ἡ δέ, ὡς φύσις λοιπὸν κρατεῖ. Καὶ ἐν καταστάσει τοιαύτῃ ὁ νοῦς γενόμενος, ζητεῖ τοὺς πολεμίους, ὥς περ κύων θηρευτικὸς λαγωὸν ἐν λόχμαις· ἀλλ᾽ ὁ μέν, ἵνα καταφάγῃ, ὁ δέ, ἵνα καταφθείρῃ.

ϟη΄. Ὅτε οὖν, καὶ ὁσάκις ἐπισυμβαίνει πληθύνεσθαι

χαθῇ ἐφόσον ἀπογυμνώθηκε ἀπὸ τὶς ἀρετές, ἢ πάντοτε νὰ στέκεται μὲ τὸν νοῦ ὁπλισμένο. Διότι ἄλλωστε καὶ ὁ ἐχθρὸς πάντοτε στέκεται μαζὶ μὲ τὴν [πολεμική] του παράταξι.

97. Γίνεται κάποια θεία κατάστασι μέσα στὸν νοῦ μας ἀπὸ τὴν συνεχῆ μνήμη καὶ ἐπίκλησι τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, ἐὰν δὲν ἀμελοῦμε τῆς κατὰ νοῦ συνεχοῦς πρὸς Αὐτὸν προσευχῆς καὶ τῆς ἀδιαλείπτου νήψεως καὶ τοῦ ἔργου τῆς ἐπαγρυπνήσεως. Ἀλλὰ πράγματι αὐτὸ νὰ ἔχωμε πάντοτε ὡς ἔργο καὶ κατ᾽ αὐτὸν τὸν τρόπο νὰ τὸ ἐργαζώμεθα δηλαδὴ ἀνακράζοντας μὲ ζέσι καρδίας τὴν ἐπίκλησι τοῦ Ἰησοῦ Χριστοῦ, τοῦ Κυρίου μας, ὥστε νὰ μεταλάβωμε τοῦ ἁγίου ὀνόματος τοῦ Ἰησοῦ [νὰ ἐπιτύχωμε τὴν καρδιακὴ ἕνωσι μὲ τὸν Χριστό]. Διότι ἡ ἐπανάληψι εἶναι ἡ μητέρα τῆς συνηθείας καὶ ὅσον ἀφορᾶ τὴν ἀρετὴ καὶ ὅσον ἀφορᾶ τὴν κακία· αὐτὴ δὲ [ἡ ἕξις] ἐξουσιάζει εἰς τὸ ἑξῆς ὅπως ἡ φύσι. Καὶ ὅταν ὁ νοῦς φθάσῃ σὲ τέτοια κατάστασι, ψάχνει τοὺς ἐχθρούς, ὅπως ἀκριβῶς ὁ σκύλος ποὺ κυνηγᾶ λαγὸ μέσα στὶς λόχμες [συστάδες θάμνων]. Ἀλλὰ ὁ μὲν [σκύλος] γιὰ νὰ καταφάγῃ [τὸν λαγό], ὁ δὲ [νοῦς] γιὰ νὰ ἀφανίσῃ [τὸν ἐχθρό].

98. Ὅταν λοιπὸν καὶ κάθε φορὰ

ἐν ἡμῖν τοὺς πονηροὺς λογισμούς, τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπίκλησιν μέσον αὐτῶν ἐμβάλωμεν· καὶ διαλυομένους αὐτοὺς εὐθέως τότε, ὡσεὶ καπνὸν ἐν ἀέρι ὀψόμεθα, ὡς ἡ πεῖρα ἐδίδαξε. Καὶ τοῦ νοὸς μόνου καταλειφθέντος, τότε πάλιν ἀρχώμεθα τῆς συνεχοῦς προσοχῆς, καὶ ἐπικλήσεως· καὶ ὁσάκις ὑπὸ πειρασμοῦ[ς'] τοῦτο πάθωμεν, οὕτω ποιῶμεν.

ϟθ'. Ὡς γὰρ οὐ δυνατόν, γυμνὸν σώματι εἰσελθεῖν εἰς πόλεμον, ἢ πλεῦσαι μέγα πέλαγος μετ᾽ ἐνδυμάτων, ἢ ζῆν ἄνευ τοῦ ἀναπνέειν· οὕτως ἀδύνατον χωρὶς ταπεινώσεως, καὶ συνεχοῦς πρὸς Χριστὸν ἱκεσίας, τὸν νοητὸν καὶ κρυπτὸν πόλεμον ἐκμαθεῖν· καὶ τεχνικῶς τοῦτον καταδιώκειν καὶ βάλλειν.

ρ'. Ὁ μέγας πρακτικώτατος Δαβὶδ φησὶ πρὸς τὸν Κύριον· τὸ κράτος μου πρὸς σὲ φυλάξω[64]. Ὥστε τὸ φυλαχθῆναι ἐν ἡμῖν τὸ κράτος τῆς καρδιακῆς ἡσυχίας καὶ νοερᾶς, ἐξ ἧς πᾶσαι γεν-

ποὺ συμβαίνει νὰ πληθύνωνται μέσα μας οἱ πονηροὶ λογισμοί, νὰ παρεμβάλλωμε ἀνάμεσα σ᾽ αὐτοὺς τὴν ἐπίκλησι τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ. Καὶ τότε θὰ τοὺς δοῦμε ἀμέσως νὰ διαλύωνται, ὅπως ὁ καπνὸς στὸν ἀέρα, καθὼς ἐδίδαξε ἡ πεῖρα[9]. Καὶ ἀφοῦ ὁ νοῦς ἐγκαταλειφθῇ μόνος [ἀπὸ τοὺς λογισμούς], τότε πάλι ἀρχίζομε τὴν συνεχῆ προσοχὴ καὶ ἐπίκλησι [τοῦ Κυριακοῦ ὀνόματος]. Καὶ ὅσες φορὲς πάθομε ἀπὸ τὸν πειρασμὸ αὐτό, ἂς ἐνεργοῦμε κατὰ τὸν ἴδιο τρόπο.

99. Διότι ὅπως δὲν εἶναι δυνατὸν νὰ εἰσέλθῃ [κάποιος] στὴν μάχη γυμνὸς κατὰ τὸ σῶμα ἢ νὰ διαπλεύσῃ μεγάλο πέλαγος [κολυμπώντας] μὲ τὰ ροῦχα [του] ἢ τὸ νὰ ζῇ χωρὶς τὴν ἀναπνοή· κατὰ τὸν ἴδιο τρόπο [εἶναι] ἀδύνατον χωρὶς ταπείνωσι καὶ συνεχῆ ἱκεσία πρὸς τὸν Χριστὸ νὰ μάθῃ μὲ ἀκρίβεια [μὲ τελειότητα] τὸν νοητὸ καὶ ἀφανῆ πόλεμο. Καὶ [εἶναι ἀδύνατον] μὲ τέχνη νὰ καταδιώκῃ καὶ νὰ καταβάλλῃ τὸν [ἐχθρό].

100. Ὁ μέγας Δαυΐδ, ὁ ὁποῖος διδάσκει τὰ τῆς πράξεως λέγει πρὸς τὸν Κύριο: «Μὲ Σένα θὰ διαφυλάξω τὴν ἐπικράτησί μου». Ὥστε τὸ νὰ διαφυλαχθῇ μέσα μας ἡ ἐπικράτησι τῆς καρδιακῆς καὶ νοερᾶς ἡσυχίας, ἀπὸ τὴν ὁποία γεννιοῦν-

νῶνται αἱ ἀρεταί, διὰ τοῦ βοηθεῖσθαι ἡμᾶς παρὰ τοῦ Κυρίου προσγίνεται, τοῦ καὶ τὰς ἐντολὰς δόντος, καὶ ἀφ᾽ ἡμῶν τὴν μιαρὰν λήθην ἐκδιώκοντος, συνεχῶς παρ᾽ ἡμῶν ἐπιβοωμένου, φθαρτικὴν οὖσαν μάλιστα τῆς καρδιακῆς ἡσυχίας ὡς ὕδωρ πυρός. Διόπερ, Μοναχέ, μὴ ἐξ ἀμελείας ὑπνοῖς εἰς θάνατον[65]*, ἀλλ᾽ Ἰησοῦ ὀνόματι μάστιζε πολεμίους· καὶ ὡς σοφός τις λέλεχεν, Ἰησοῦ ὄνομα κολληθήτω τῇ πνοῇ σου, καὶ τότε γνώσῃ ἡσυχίας ὠφέλειαν.*

ρα΄. Ὅταν τῶν θείων καὶ ἀχράντων μυστηρίων Χριστοῦ τοῦ Θεοῦ καὶ Βασιλέως ἡμῶν φοβερῶς καὶ φρικτῶς ἀξιωθῶμεν οἱ ἀνάξιοι, τότε μᾶλλον τὴν νῆψιν, καὶ τὴν τήρησιν τοῦ νοός, καὶ ἀκρίβειαν ἐπιδειξώμεθα, ἵνα καταναλώσῃ ἡμῶν τὰς ἁμαρτίας, καὶ τὰ μικρὰ καὶ μεγάλα ῥυπάσματα τὸ πῦρ τὸ θεϊκόν, ἤγουν τὸ Σῶμα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Καὶ γὰρ εἰσερχόμενον ἐν ἡμῖν, τὰ πονηρὰ πνεύματα τῆς πονηρίας εὐθὺς ἐκ τῆς καρδίας ἀπελαύνει· καὶ

ται ὅλες οἱ ἀρετές, γίνεται μὲ τὸ νὰ βοηθηθοῦμε ἐμεῖς ἀπὸ τὸν Κύριο, ὁ ὁποῖος ἔδωσε καὶ τὶς ἐντολὲς καὶ ἐπειδὴ τοῦ φωνάζομε συνεχῶς δυνατά, ἐκδιώκει ἀπὸ ἐμᾶς τὴν μιαρὴ λήθη, ἡ ὁποία φθείρει πάρα πολὺ τὴν καρδιακὴ ἡσυχία, ὅπως τὸ νερὸ τὴν φωτιά. Γιὰ τοῦτο Μοναχέ, μακάρι νὰ μὴν κοιμηθῇς ἀπὸ ἀμέλεια μέχρι θανάτου, ἀλλὰ μὲ τὸ ὄνομα τοῦ Ἰησοῦ μαστίγωνε τοὺς ἐχθρούς[10]. Καὶ ὅπως κάποιος σοφὸς ἔχει πεῖ: «Ἂς κολληθῇ τὸ ὄνομα Ἰησοῦς στὴν πνοή σου καὶ τότε θὰ γνωρίσῃς τὴν ὠφέλεια τῆς ἡσυχίας».

101. Ὅταν τῶν θείων καὶ ἀχράντων μυστηρίων τοῦ Χριστοῦ τοῦ Θεοῦ καὶ Βασιλέως μας, μετὰ φόβου καὶ φρίκης ἀξιωθοῦμε οἱ ἀνάξιοι, τότε περισσότερο νὰ ἐπιδείξωμε νῆψι καὶ τήρησι τοῦ νοὸς καὶ ἀκρίβεια [στὴν ζωή μας] γιὰ νὰ ἀφανίσῃ τὶς ἁμαρτίες μας καὶ τὶς μικρὲς καὶ μεγάλες ἀκαθαρσίες [μας] τὸ θεϊκὸ πῦρ, δηλαδὴ τὸ Σῶμα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ[11]. Καὶ πράγματι, ὅταν εἰσέρχεται μέσα μας ἀμέσως ἐκδιώκει τὰ πονηρὰ πνεύματα τῆς κακίας ἀπὸ τὴν καρδία [μας]. Καὶ

τὰς ἁμαρτίας τὰς προγεγενημένας ἡμῖν συγχωρεῖ· καὶ καταλιμπάνεται τότε ὁ νοῦς χωρὶς ὀχλήσεως πονηρῶν λογισμῶν. Καὶ εἴπερ μετὰ ταῦτα ἀκριβῶς τὸν νοῦν ἡμῶν τηρήσωμεν, καὶ στῶμεν ἐν πύλῃ καρδίας ἡμῶν, ὅτε πάλιν αὐτῶν καταξιωθῶμεν, μᾶλλον ἔτι καὶ μᾶλλον λαμπρύνει τὸν νοῦν, καὶ ἀστεροειδῆ αὐτὸν τὸ Θεῖον Σῶμα ἀπεργάζεται.

ρβ΄. Λήθη σβεννύειν οἶδε νοὸς φυλακήν, ὥς περ σβέννυσι πῦρ ὕδωρ. Συνεχὴς δὲ Ἰησοῦ εὐχή, εἰς τέλος αὐτὴν ἐκδαπανᾷ ἐκ τῆς καρδίας μετὰ νήψεως συντόνου. Χρῄζει γὰρ ἡ εὐχὴ τῆς νήψεως, ὥς περ λαμπάδιον φωτὸς λύχνου.

ργ΄. Πονεῖν δεῖ ἐπὶ τῇ φυλακῇ τῶν τιμίων· τίμια δὲ ὡς ἀληθῶς, τὰ φυλάσσοντα ἡμᾶς ἀπὸ πάσης κακίας αἰσθητῆς τε, καὶ νοητῆς. Ταῦτα δὲ εἰσί, φυλακὴ νοὸς σὺν Ἰησοῦ Χριστοῦ ἐπικλήσει· βλέπειν τε ἀεὶ εἰς τὸ βάθος τῆς καρδίας, καὶ ἡσυχάζειν ἀενάως τῇ διανοίᾳ, ἵν᾿ οὕτως εἴπω, καὶ ἐκ τῶν δοκούντων

μᾶς συγχωρεῖ ὅσες ἁμαρτίες ἔχομε κάνει στὸ παρελθόν. Καὶ ἀφήνεται τότε ὁ νοῦς χωρὶς ἐνόχλησι ἀπὸ πονηροὺς λογισμούς. Καὶ ἐὰν πράγματι μετὰ ἀπὸ αὐτὰ τηρήσωμε μὲ ἀκρίβεια τὸν νοῦ μας καὶ σταθοῦμε στὴν πύλη τῆς καρδίας μας, ὅταν πάλι καταξιωθοῦμε αὐτῶν [τῶν θείων καὶ ἀχράντων μυστηρίων Χριστοῦ τοῦ Θεοῦ], ὅλο καὶ περισσότερο τὸ θεϊκὸ σῶμα λαμπρύνει τὸν νοῦ καὶ τὸν κατεργάζεται ὅμοιο μὲ ἄστρο.

102. Ἡ λήθη γνωρίζει νὰ ἐξαλείφῃ τὴν φυλακὴ τοῦ νοός, ὅπως ἀκριβῶς τὸ νερὸ τὴ φωτιά. Ἡ συνεχὴς ὅμως εὐχὴ τοῦ Ἰησοῦ μαζὶ μὲ τὴν ἔντονη νῆψι τὴν ἀναλώνει ἐντελῶς ἀπὸ τὴν καρδία [τὴν λήθη]. Ἔχει πράγματι ἀνάγκη ἡ εὐχὴ ἀπὸ τὴν νῆψι, ὅπως ἀκριβῶς ἡ λαμπάδα ἀπὸ τὸ φῶς τοῦ λυχναριοῦ [ἐὰν σβήσῃ ἡ λαμπάδα παίρνει πάλι φῶς ἀπὸ τὸ λυχνάρι].

103. Πρέπει νὰ κοπιάζωμε γιὰ τὴν διαφύλαξι τῶν τιμίων. Καὶ εἶναι ἀληθῶς τίμια, ὅσα μᾶς φυλάσσουν ἀπὸ κάθε κακία καὶ αἰσθητὴ καὶ νοητή. Αὐτὰ λοιπὸν [τὰ τίμια] εἶναι ἡ φυλακὴ τοῦ νοὸς μαζὶ μὲ τὴν ἐπίκλησι τοῦ Ἰησοῦ καὶ τὸ νὰ βλέπωμε πάντοτε στὸ βάθος τῆς καρδίας [μας] καὶ τὸ νὰ ἡσυχάζωμε διαρκῶς ὡς πρὸς τὴν διάνοια καὶ ἀπὸ τοὺς λογισμούς, γιὰ νὰ [τὸ] πῶ ἔτσι, ποὺ φαίνονται ὅτι

λογισμῶν δεξιῶν εἶναι· καὶ σπουδάζειν, κενὸν λογισμῶν εὑρίσκεσθαι· ἵνα μὴ λανθάνωσιν οἱ κλέπται· καὶ εἰ καὶ πονοῦμεν τῇ καρδίᾳ παραμένοντες, ἀλλὰ ἐγγὺς ἡ παράκλησις.

ρδ'. Πέφυκε γὰρ ἡ καρδία ἀδιαλείπτως τηρουμένη, καὶ μὴ συγχωρουμένη τὰς μορφάς, καὶ τὰς εἰκόνας, καὶ τὰς φαντασίας δέχεσθαι τῶν σκοτεινῶν καὶ πονηρῶν πνευμάτων, λογισμοὺς φεγγοειδεῖς ἐξ ἑαυτῆς ἀποκυΐσκειν. Ὥς περ γὰρ ὁ κάρβων[η'] *γεννᾶ φλόγα, οὕτω μᾶλλον ὁ ἐνοικῶν τῇ καρδίᾳ Θεὸς ἀπὸ τοῦ Ἁγίου Βαπτίσματος, εἴπερ εὑρίσκει τὸν ἀέρα τῆς διανοίας ἡμῶν καθαρὸν ἀνέμων πονηρίας, καὶ ὑπὸ φυλακῆς νοὸς τηρούμενον, ἀνάπτει τὸ διανοητικὸν ἡμῶν πρὸς θεωρίας, ὡς φλὸξ κηρόν.*

ρε'. Ἀεὶ γὰρ στρέφειν δεῖ ἐν χωρήματι καρδίας ἡμῶν τὸ Ἰησοῦ Χριστοῦ ὄνομα, ὥς περ ἀστραπὴ στρέφεται ἐν ἀέρι τοῦ στερεώματος, ὑετοῦ μέλλοντος κατέρχεσθαι. Καὶ γὰρ τοῦτο ἴσασιν ἀκριβῶς οἱ πεῖραν

εἶναι δεξιοί. Καὶ τὸ νὰ φροντίζωμε νὰ εὑρίσκεται [ὁ νοῦς] κενὸς ἀπὸ λογισμούς, γιὰ νὰ μὴν κρύβωνται οἱ κλέπτες [μέσα σὲ ὑποτιθέμενους δεξιοὺς λογισμούς]. Ἀλλὰ ἂν καὶ κοπιάζομε, μὲ τὸ νὰ παραμείνωμε μέσα στὴν καρδία [μας] – [ἐγκλεισμὸς τοῦ νοὸς στὴν καρδία], ὅμως ἡ [θεία] παρηγορία [εἶναι] κοντά.

104. Διότι ἡ καρδία ἔχει ἀπὸ τὴν φύσι της τὴν ἰδιότητα νὰ γεννᾷ ἀπὸ μόνη της λογισμοὺς ὅμοιους πρὸς τὸ φῶς, ἐὰν φυλάσσεται ἀδιαλείπτως καὶ δὲν ἐπιτρέπῃ νὰ δέχεται τὶς μορφὲς καὶ τὶς εἰκόνες καὶ τὶς φαντασίες τῶν σκοτεινῶν καὶ πονηρῶν πνευμάτων. Διότι ὅπως ἀκριβῶς τὸ κάρβουνο γεννᾶ τὴν φλόγα, κατὰ τὸν ἴδιο τρόπο σὲ πολὺ μεγαλύτερο βαθμό, ὁ Θεός, ὁ ὁποῖος ἀπὸ τὸ Ἅγιο Βάπτισμα ἐνοικεῖ στὴν καρδία, ἐὰν βέβαια βρίσκῃ τὴν ἀτμόσφαιρα τῆς διανοίας μας καθαρὴ ἀπὸ ἀνέμους πονηρίας καὶ προφυλαγμένη ἀπὸ τὴν φυλακὴ τοῦ νοός, ἀνάπτει τό διανοητικό μας μὲ θεωρίες, ὅπως ἡ φλόγα τὸ κερί.

105. Διότι πρέπει πάντοτε νὰ συστρέφωμε μέσα στὸν χῶρο τῆς καρδίας μας τὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ, ὅπως ἀκριβῶς ἡ ἀστραπὴ στριφογυρίζει στὸν ἀέρα τοῦ στερεώματος, ὅταν πρόκειται νὰ πέσῃ βροχή. Καὶ γνωρίζουν βέβαια αὐτὸ μὲ ἀκρίβεια ὅσοι ἔχουν πεῖρα

τοῦ νοῦ ἔχοντες, καὶ τοῦ ἔνδον πολέμου. Ὡς καὶ ἐν τάξει οὕτω τὸν νοητὸν πόλεμον στρατηγῶμεν. Πρῶτον προσοχή, εἶτα τὸν ἐχθρὸν λογισμὸν γνόντες παραβαλόντα, λόγοις κατάρας ἐν καρδίᾳ μετ᾽ ὀργῆς αὐτὸν βάλωμεν· τρίτη τάξις, εὐθὺς κατεύξασθαι κατ᾽ αὐτοῦ, συστρέφοντας τὴν καρδίαν τῇ ἐπικλήσει Ἰησοῦ Χριστοῦ· ἵνα εὐθέως καταλυθῇ τὸ δαιμόνιον ἴνδαλμα, τοῦ μὴ ἐξακολουθῆσαι τῇ φαντασίᾳ τὸν νοῦν, ὡς νήπιον ὑπὸ φαντασιοποιοῦ τινος πλανώμενον.

ρς'. Κοπιάσωμεν ὡς ὁ Δαβίδ, κράζοντες τό, Κύριε Ἰησοῦ Χριστέ· βραγχιάσῃ[θ'] ἡμῶν ὁ λάρυγξ· καὶ μὴ ἐκλείπωσιν οἱ νοητοὶ ἡμῶν ὀφθαλμοὶ ἀπὸ τοῦ ἐλπίζειν ἡμᾶς ἐπὶ Κύριον τὸν Θεὸν ἡμῶν[66].

ρζ'. Τῆς παραβολῆς ἀεὶ μεμνημένοι τοῦ κριτοῦ τῆς ἀδικίας, ἧς εἶπεν ὁ Κύριος πρὸς τὸ δεῖν ἡμᾶς πάντοτε προσεύχεσθαι, καὶ μὴ ἐκκακεῖν[67]· καὶ τὸ κέρδος εὑρήσομεν, καὶ τὴν ἐκδίκησιν.

τοῦ νοῦ καὶ τοῦ ἐσωτερικοῦ πολέμου. Ὅπως καὶ στὴν παράταξι [μάχης], κατ᾽ αὐτὸν τὸν τρόπο νὰ διευθύνωμε ὡς στρατηγοὶ τὸν νοητὸ πόλεμο. Πρῶτον προσοχή. Ἔπειτα μόλις ἀναγνωρίσομε τὸν ἐχθρὸ-λογισμὸ νὰ πλησιάζῃ, νὰ βάλωμε ἐναντίον του [νὰ τοῦ ἐπιτεθοῦμε] μέσα στὴν καρδία [μας] μὲ λόγους κατάρας, μὲ ὀργή. Τρίτη τακτικὴ [εἶναι] νὰ εὐχηθοῦμε ἐγκαρδίως ἐναντίον του μὲ τὴν ἐπίκλησι τοῦ Ἰησοῦ Χριστοῦ, γιὰ νὰ διαλυθῇ ἀμέσως ἡ δαιμονικὴ εἰκόνα, ὥστε νὰ μὴν παρακολουθήσῃ ὁ νοῦς τὴν φαντασία, σὰν μικρὸ παιδὶ ποὺ πλανήθηκε ἀπὸ κάποιο ἀγύρτη-θαυματοποιό.

106. Ἂς κοπιάσωμε ὅπως ὁ Δαυῒδ φωνάζοντας δυνατὰ τὸ Κύριε Ἰησοῦ Χριστέ. Θὰ βραχνιάσῃ ὁ λάρυγγάς [μας] καὶ δὲν θὰ σταματήσουν οἱ νοητοί μας ὀφθαλμοὶ ἀπὸ τὸ νὰ ἐλπίζωμε στὸν Κύριο τὸν Θεό μας.

107. Ἐὰν θυμώμαστε πάντοτε τὴν παραβολὴ τοῦ κριτοῦ τῆς ἀδικίας, τὴν ὁποία εἶπε ὁ Κύριος σχετικὰ μὲ τὸ ὅτι πρέπει πάντοτε νὰ προσευχώμεθα καὶ νὰ μὴν ἀποκάνωμε, [τότε] θὰ βροῦμε καὶ τὸ κέρδος [ἀπὸ τὴν κοινωνία μὲ τὸν Θεό] καὶ τὴν ἐκδίκησι [ἐναντίον τῶν πονηρῶν δαιμόνων].

ρη΄. Ὥς περ ὁ τῷ ἡλίῳ ἀτενίζων, ἀδύνατον μὴ πλουσίως τὰς ὄψεις καταυγάζεσθαι· οὕτως ὁ ἀεὶ ἐγκύπτων εἰς τὸν ἀέρα τῆς καρδίας, οὐ δύναται μὴ φωτίζεσθαι.

ρθ΄. Ὡς ἀδύνατον, τὴν παροῦσαν ζωὴν ζῆν ἄνευ τοῦ ἐσθίειν καὶ πίνειν, οὕτως ἀδύνατον χωρὶς φυλακῆς νοὸς καὶ καθαρότητος καρδίας, ὅ ἐστι, καὶ λέγεται νῆψις, εἴς τι πνευματικὸν καὶ ἀρέσκον Θεῷ φθάσαι τὴν ψυχήν, ἢ ἐλευθερωθῆναι τῆς κατὰ διάνοιαν ἁμαρτίας, εἰ καὶ βιάζεταί τις ἑαυτὸν διὰ τὸν φόβον τῶν κολάσεων μὴ ἁμαρτάνειν.

ρι΄. Πλὴν καὶ οἱ τῆς κατ᾽ ἐνέργειαν ἁμαρτίας βίᾳ τινὶ ἀπεχόμενοι, μακάριοι παρά τε Θεῷ, καὶ Ἀγγέλοις, καὶ ἀνθρώποις, ὅτι βιασταὶ τῆς Βασιλείας τῶν Οὐρανῶν εὑρίσκονται[68].

ρια΄. Τοῦτο τὸ θαυμαστὸν τῆς ὠφελείας τοῦ νοῦ τῆς ἐκ τῆς ἡσυχίας· ὅτι πάντα τὰ ἁμαρτήματα κατὰ νοῦν πρότερον κρούοντα ἐν λογισμοῖς μόνον, ὥστε εἰ παραδεχθῶσι παρὰ τῆς διανοίας, γενέσθαι αἰσθητά, καὶ

108. Ὅπως ἀκριβῶς ἐκεῖνος ὁ ὁποῖος ἀτενίζει τὸν ἥλιο [εἶναι] ἀδύνατον νὰ μὴν φωτισθοῦν πλουσίως τὰ μάτια [του]· κατὰ τὸν ἴδιο τρόπο κι ἐκεῖνος ποὺ πάντοτε σκύβει μετὰ προσοχῆς μέσα στὴν ἀτμόσφαιρα τῆς καρδίας [του], δὲν μπορεῖ νὰ μὴν φωτισθῇ.

109. Ὅπως [εἶναι] ἀδύνατον, νὰ ζῇ [κάποιος] τὴν παροῦσα ζωὴ χωρὶς νὰ τρώῃ καὶ νὰ πίνῃ, κατὰ τὸν ἴδιο τρόπο [εἶναι] ἀδύνατον ἡ ψυχή, χωρὶς τὴν φυλακὴ τοῦ νοὸς καὶ τὴν καθαρότητα τῆς καρδίας, τὸ ὁποῖο εἶναι καὶ λέγεται νῆψι, νὰ φθάσῃ σὲ κάτι πνευματικὸ καὶ ἀρεστὸ στὸν Θεό, ἢ νὰ ἐλευθερωθῇ ἀπὸ τὴν κατὰ διάνοια ἁμαρτία, ἀκόμα καὶ ἂν βιάζῃ κάποιος τὸν ἑαυτό του, νὰ μὴν ἁμαρτάνῃ ἐξ αἰτίας τοῦ φόβου τῶν κολάσεων.

110. Ἀλλὰ καὶ ἐκεῖνοι ποὺ μὲ κάποια βία κρατιοῦνται μακριὰ ἀπὸ τὴν ἔμπρακτη ἁμαρτία, [εἶναι] μακάριοι κατὰ τὴν κρίσι καὶ τοῦ Θεοῦ καὶ τῶν Ἀγγέλων καὶ τῶν ἀνθρώπων, διότι εἶναι βιασταὶ τῆς Βασιλείας τῶν Οὐρανῶν.

111. Τὸ θαυμαστὸ τῆς ὠφελείας τοῦ νοῦ, τῆς [προερχομένης] ἀπὸ τὴν ἡσυχία [εἶναι] αὐτό, ὅτι δηλαδὴ ὅλα τὰ κατὰ νοῦν ἁμαρτήματα, ἐπειδὴ πρῶτα πλήττουν μόνον μὲ λογισμούς, ὥστε ἐὰν γίνουν ἀποδεκτὰ ἀπὸ τὴν διάνοια, [τότε] νὰ γίνουν αἰσθητὰ καὶ

παχέα ἁμαρτήματα, πάντα ἐκκόπτει ἡ διανοητική, καὶ νηπτικὴ ἀρετή, ἐν τῷ ἔσω ἡμῶν ἀνθρώπῳ μὴ ἐῶσα αὐτὰ εἰσέρχεσθαι, καὶ ἀχθῆναι εἰς ἔργα πονηρά, τῇ ῥοπῇ καὶ ἀντιλήψει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

ριβ΄. Εἰκὼν τῆς ἐξωτέρας καὶ αἰσθητῆς σωματικῆς ἀσκήσεως, ἡ Παλαιὰ Διαθήκη· τὸ δὲ ἅγιον Εὐαγγέλιον, ὅ ἐστιν ἡ Καινή, εἰκὼν τῆς προσοχῆς, ἤγουν τῆς καθαρότητος τῆς καρδίας. Καὶ ὥς περ ἡ Παλαιὰ οὐκ ἐτελείου, οὔτε ἐπληροφόρει τὸν ἔσω ἄνθρωπον εἰς θεοσέβειαν· οὐδένα γάρ, φησὶν ὁ Ἀπόστολος, ὁ νόμος ἐτελείωσε[69]*· μόνον δὲ τὰ παχέα ἁμαρτήματα διεκώλυε· τοῦ γὰρ κωλῦσαι μὴ ἐκβάλλειν τὸν ὀφθαλμόν, καὶ ὀδόντα τοῦ πλησίον, τὸ καὶ λογισμοὺς ἀπὸ καρδίας ἐκκόψαι, ὅπερ ἐστὶ τοῦ Εὐαγγελίου διάταγμα, καὶ τὰς πονηρὰς ἐνθυμήσεις, μεῖζόν ἐστιν εἰς καθαρότητα ψυχῆς. Οὕτω καὶ ἐπὶ τῆς σωματικῆς δικαιοσύνης καὶ ἀσκήσεως, νηστείας λέγω,*

χονδρὰ ἁμαρτήματα, ὅλα [αὐτὰ] μὲ τὴν παρότρυνσι καὶ τὴν βοήθεια τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ [τὰ] ἀποκόπτει ἡ διανοητικὴ καὶ νηπτικὴ ἀρετὴ [ἡ νῆψι], ἡ ὁποία δὲν ἐπιτρέπει νὰ εἰσέρχωνται αὐτὰ στὸν ἐσωτερικό μας ἄνθρωπο καὶ νὰ γίνουν ἔργα πονηρά.

112. Εἰκόνα τῆς ἐξωτερικῆς καὶ αἰσθητῆς σωματικῆς ἀσκήσεως [εἶναι] ἡ Παλαιὰ Διαθήκη. Τὸ δὲ Ἅγιο Εὐαγγέλιο, τὸ ὁποῖο εἶναι ἡ Καινὴ [Διαθήκη], [εἶναι] εἰκόνα τῆς προσοχῆς, δηλαδὴ τῆς καθαρότητος τῆς καρδίας. Καὶ ὅπως ἀκριβῶς ἡ Παλαιὰ [Διαθήκη] οὔτε τελειοποιοῦσε, οὔτε ἱκανοποιοῦσε πλήρως τὸν ἐσωτερικὸ ἄνθρωπο ὡς πρὸς τὴν θεοσέβεια· διότι κανέναν, λέγει ὁ Ἀπόστολος, ὁ νόμος δὲν τελειοποίησε. Ἀλλὰ μόνον τὰ χοντρὰ ἁμαρτήματα ἐμπόδιζε. Διότι ἀπὸ τὸ νὰ ἐμποδίσῃς νὰ μὴν βγάλῃ [κάποιος] τὸ μάτι καὶ τὸ δόντι τοῦ πλησίον [του], μέχρι τοῦ νὰ κόψῃς τελείως καὶ τοὺς λογισμοὺς τῆς καρδίας καὶ τὶς πονηρὲς ἐνθυμήσεις, τὸ ὁποῖο ἀκριβῶς εἶναι ἐντολὴ τοῦ Εὐαγγελίου, [αὐτὸ] γιὰ τὴν καθαρότητα τῆς ψυχῆς εἶναι σπουδαιότερο [τοῦ πρώτου]. Τὸ ἴδιο καὶ ὅσον ἀφορᾶ τὴν σωματικὴ ἀρετὴ καὶ ἄσκησι, τὴν νηστεία λέγω,

καὶ ἐγκρατείας, χαμευνίας, στάσεως, ἀγρυπνίας, καὶ τῶν λοιπῶν, ἃ περὶ τὸ σῶμα πεφύκασι, καὶ τὸ παθητικὸν μέρος τοῦ σώματος ἡσυχάζειν ποιεῖ ἀπὸ τῆς κατ᾽ ἐνέργειαν ἁμαρτίας· ὥς περ εἶπον ἐπὶ τῆς Παλαιᾶς καλά τε ὄντα καὶ ταῦτα. Παιδαγωγία γάρ εἰσι τοῦ ἔξω ἡμῶν ἀνθρώπου καὶ φρουρὸς τῶν κατ᾽ ἐνέργειαν παθῶν· οὐ μὴν δὲ καὶ τῶν κατὰ διάνοιαν ἁμαρτημάτων φρουρητικά, ἤγουν κωλυτικά· οἷον ἀπαλλάξαι ἡμᾶς, σὺν Θεῷ, φθόνου, ὀργῆς καὶ τῶν λοιπῶν.

ριγ'. Ἡ δὲ καθαρότης τῆς καρδίας, ἤγουν ἡ τοῦ νοῦ τήρησις καὶ φυλακή, ἧς τύπος ἡ Καινὴ Διαθήκη, εἴπερ ὡς δεῖ παρ᾽ ἡμῶν φυλάττεται, πάντα τὰ πάθη, καὶ πάντα τὰ κακὰ ἀπὸ τῆς καρδίας ἐκριζοῦσα ἐκκόπτει· καὶ ἀντεισάγει χαράν, εὐελπιστίαν, κατάνυξιν, πένθος, δάκρυον, ἐπίγνωσιν ἑαυτῶν' τε, καὶ τῶν ἁμαρτημάτων ἡμῶν, μνήμην θανάτου, ταπείνωσιν ἀληθῆ, ἀγάπην τε ἄπειρον πρός τε Θεόν, καὶ

καὶ τὴν ἐγκράτεια καὶ τὴν χαμευνία, τὴν ὀρθοστασία, τὴν ἀγρυπνία καὶ τὰ ὑπόλοιπα, ὅσα εἶναι ἐκ φύσεως γύρω ἀπὸ τὸ σῶμα καὶ κάνουν νὰ ἡσυχάζῃ ἀπὸ τὴν ἔμπρακτο ἁμαρτία τὸ παθητικὸ μέρος τοῦ σώματος [αὐτὸ ποὺ ἔχει τὴν ἱκανότητα νὰ αἰσθάνεται]. Ὅπως εἶπα [καὶ] τὰ ἀπὸ τῆς Παλαιᾶς Διαθήκης, καλὰ εἶναι καὶ αὐτά. Διότι [ὅλα τὰ ἀνωτέρω] εἶναι παιδαγωγία τοῦ ἐξωτερικοῦ μας ἀνθρώπου καὶ φρουρὸς τῶν παθῶν ποὺ ἐνεργοῦνται [διὰ τῆς πράξεως]· ὄχι ὅμως πράγματι ἱκανὰ νὰ προστατεύσουν καὶ ἀπὸ τὰ κατὰ διάνοιαν ἁμαρτήματα δηλαδὴ ἱκανὰ νὰ [τὰ] ἐμποδίσουν, παραδείγματος χάριν νὰ μᾶς ἀπαλλάξουν μὲ τὴν βοήθεια τοῦ Θεοῦ ἀπὸ τὸν φθόνο, τὴν ὀργὴ καὶ τὰ ὑπόλοιπα.

113. Ἡ καθαρότητα ὅμως τῆς καρδίας, δηλαδὴ ἡ τήρησι καὶ φυλακὴ τοῦ νοός, τῆς ὁποίας τύπος εἶναι ἡ Καινὴ Διαθήκη, ἐὰν πράγματι ὅπως πρέπει φυλάσσεται ἀπὸ ἐμᾶς, ὅλα τὰ πάθη καὶ ὅλα τὰ κακά, ἀφοῦ τὰ ξεριζώσῃ ἀπὸ τὴν καρδία, τὰ κόβει. Καὶ ἀντὶ αὐτῶν εἰσάγει χαρά, καλὴ ἐλπίδα, κατάνυξι, πένθος, δάκρυ, ἐπίγνωσι καὶ τοῦ ἑαυτοῦ μας καὶ τῶν ἁμαρτιῶν μας, μνήμη θανάτου, ἀληθινὴ ταπείνωσι μαζὶ μὲ ἄπειρη ἀγάπη πρὸς τὸν Θεὸ καὶ

ἀνθρώπους καὶ ἔρωτα θεῖον ἐγκάρδιον.

ριδʹ. Ὡς οὐκ ἔνι μὴ τέμνειν τοῦτον τὸν ἀέρα ἐν γῇ βαδίζοντα· οὕτως μὴ πολεμεῖσθαι ἀενάως ὑπὸ δαιμόνων καρδίαν ἀνθρώπου ἀδύνατον, ἢ καὶ ὑπ᾽ αὐτῶν κρυπτῶς ἐνεργεῖσθαι, κἂν σωματικὴν ἄσκησιν πολλὴν ἔχῃ.

ριεʹ. Εἴπερ ἐν Κυρίῳ θέλεις, μὴ δοκήσει μόνο εἶναι Μοναχός, καὶ χρηστός, καὶ ἐπιεικὴς καὶ Θεῷ πάντοτε ἡνωμένος· ἀλλὰ καὶ ἀληθείᾳ εἶναι βούλει τοιοῦτος, προσοχικὴν ἀρετὴν πάσῃ δυνάμει μέτελθε, ἥ ἐστι νοὸς φυλακή, νοῦ τήρησις, καὶ τελείωσις καρδιακὴ γλυκείας ἡσυχίας, ἀφάνταστος μακαρία τῆς ψυχῆς κατάστασις· πρᾶγμα οὐκ ἐν πολλοῖς εὑρισκόμενον.

ριςʹ. Αὕτη γὰρ λέγεται νοητὴ φιλοσοφία· καὶ ὅδευε ταύτην ἐν πολλῇ νήψει καὶ θερμῇ προθυμίᾳ σὺν εὐχῇ Ἰησοῦ, σὺν ταπεινώσει, καὶ πυκνότητι, καὶ σιωπῇ αἰσθητῶν χειλέων καὶ νοητῶν, σὺν ἐγκρατείᾳ βρωμά-

τοὺς ἀνθρώπους καὶ ἐγκάρδιο θεϊκὸ ἔρωτα.

114. Ὅπως δὲν εἶναι δυνατὸν ἐνῷ [κάποιος] περπατάει στὴ γῆ νὰ μὴν σχίζῃ τὸν ἀέρα τοῦτο, κατὰ τὸν ἴδιο τρόπο [εἶναι] ἀδύνατον ἡ καρδία τοῦ ἀνθρώπου νὰ μὴν πολεμῆται διαρκῶς ἀπὸ τοὺς δαίμονες ἢ νὰ μὴν δέχεται ἀπ᾽ αὐτοὺς κρυφὰ [δαιμονικὲς] ἐνέργειες, ἀκόμα κι ἂν ἔχῃ πολλὴ σωματικὴ ἄσκησι.

115. Ἐὰν πράγματι ἐν Κυρίῳ θέλῃς νὰ μὴν εἶσαι μόνο Μοναχὸς κατὰ τὰ φαινόμενα καὶ καλὸς καὶ ἐπιεικὴς καὶ ἑνωμένος πάντοτε μὲ τὸν Θεό, ἀλλὰ καὶ ἀληθινὰ ἐπιθυμῇς νὰ εἶσαι τέτοιος, ἂς μετέλθῃς μὲ ὅλη [σου] τὴν δύναμι τὴν ἀρετὴ τῆς προσοχῆς, ἡ ὁποία εἶναι ἡ φυλακὴ τοῦ νοός, ἡ τήρησι τοῦ νοὸς καὶ ἡ καρδιακὴ ἐκπλήρωσι τῆς γλυκείας ἡσυχίας, [ἡ ὁποία εἶναι] μακαρία χωρὶς φαντασίες κατάστασι τῆς ψυχῆς· πρᾶγμα ποὺ δὲν βρίσκεται σὲ πολλούς.

116. Αὐτὴ βέβαια ὀνομάζεται νοητὴ φιλοσοφία· καὶ νὰ τὴν μετέρχεσαι μὲ πολλὴ νῆψι καὶ θερμὴ προθυμία μαζὶ μὲ τὴν εὐχὴ τοῦ Ἰησοῦ, μαζὶ μὲ ταπείνωσι καὶ συγκέντρωσι καὶ σιωπὴ αἰσθητῶν χειλέων καὶ νοητῶν, μαζὶ μὲ ἐγκράτεια ἀπὸ φα-

των καὶ πομάτων, καὶ παντὸς ἐφαμάρτου πράγματος. Ὅδευε ταύτην ἐν ὁδῷ διανοίας ἐπιστημόνως ἐν φρονήσει· καὶ αὕτη σε διδάξει, σὺν Θεῷ, ἃ οὐκ ἠπίστασο, καὶ γνωριεῖ καὶ φωτίσει καὶ συνετίσει καὶ μαθητεύσει, ἅπερ πρότερον λαβεῖν εἰς νοῦν ἀδυνάτως εἶχες, ἐν σκότει παθῶν περιπατῶν καὶ σκοτεινῶν ἔργων, καὶ ὑπὸ λήθης καὶ συγχύσεως ἀβύσσου καλυπτόμενος.

ριζ΄. Ὥς περ αἱ κοιλάδες πληθύνουσι σῖτον, οὕτως αὕτη πληθύνει ἐν σῇ καρδίᾳ ἀγαθὸν ἅπαν· μᾶλλον δὲ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ταῦτα παρέξει σοι· οὗ χωρὶς οὐ δυνάμεθα ποιεῖν οὐδέν[70]. Καὶ πρῶτον μὲν κλίμακα αὐτὴν εὑρήσεις, ἔπειτα δὲ βίβλον ἀναγινωσκομένην. Εἶτα προκόπτων, εὑρήσεις αὐτὴν πόλιν Ἱερουσαλὴμ ἐπουράνιον, καὶ τὸν Βασιλέα Χριστὸν τῶν δυνάμεων τοῦ Ἰσραήλ, ἐναργῶς νοητῶς ὄψει σὺν τῷ ὁμοουσίῳ αὐτοῦ Γεννήτορι, καὶ τῷ Ἁγίῳ Πνεύματι τῷ προσκυνητῷ.

γητὰ καὶ ποτὰ καὶ ἀπὸ κάθε ἐφάμαρτο πρᾶγμα. Κάνε αὐτὴν [τὴν νοητὴ φιλοσοφία] ὁδοιπόρο στὴν ὁδὸ τῆς διανοίας μὲ δεξιότητα [καὶ] σύνεσι καὶ αὐτὴ θὰ σὲ διδάξῃ μαζὶ μὲ τὸν Θεὸ ἐκεῖνα ποὺ δὲν γνώριζες καὶ θὰ [σοῦ] γνωρίσῃ καὶ θὰ φωτίσῃ καὶ θὰ [σοῦ] ἐμπνεύσῃ σύνεσι καὶ θὰ [σὲ] διδάξῃ ἐκεῖνα ἀκριβῶς τὰ ὁποῖα προηγουμένως ἦταν ἀδύνατον νὰ λάβῃς στὸν νοῦ [σου], γιατὶ περπατοῦσες μέσα στὸ σκοτάδι τῶν παθῶν καὶ τῶν σκοτεινῶν ἔργων καὶ καλυπτόσουν ἀπὸ ἄβυσσο λήθης καὶ συγχύσεως.

117. Ὅπως ἀκριβῶς οἱ κοιλάδες πληθαίνουν τὸ σιτάρι, κατὰ τὸν ἴδιο τρόπο αὐτὴ [ἡ νοητὴ φιλοσοφία] πληθαίνει μέσα στὴν καρδία [σου] κάθε ἀγαθό. Μᾶλλον δὲ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς θὰ σοῦ τὰ προσφέρῃ [τὰ ἀγαθά], χωρὶς Τὸν ὁποῖον δὲν μποροῦμε νὰ κάνωμε τίποτα. Καὶ πρῶτα μὲν θὰ βρῇς αὐτὴν [τὴν νοητὴ φιλοσοφία] ὡς σκάλα, ἔπειτα δὲ καὶ ὡς βιβλίο ποὺ διαβάζεται. Ἔπειτα, ὅταν προκόψῃς, θὰ βρῇς μὲ αὐτὴν τὴν ἴδια [τὴν νοητὴ φιλοσοφία], τὴν ἐπουράνιο πόλι Ἱερουσαλὴμ καὶ θὰ δῇς διὰ τοῦ νοός σου ὁλοκάθαρα τὸν Βασιλέα Χριστὸ τῶν δυνάμεων τοῦ Ἰσραὴλ μαζὶ μὲ τὸν ὁμοούσιον Γεννήτορά Του καὶ τὸ προσκυνητὸ Ἅγιο Πνεῦμα.

ριη΄. Διὰ φαντασίας ψευδοῦς ἀεὶ οἱ δαίμονες ἐνάγουσιν ἡμᾶς εἰς τὸ ἁμαρτάνειν. Καὶ γὰρ ἐν φαντασίᾳ φιλαργυρίας καὶ κέρδους τὸν ἄθλιον Ἰούδαν παρεσκεύασαν παραδοῦναι τὸν Κύριον καὶ Θεὸν τῶν ἁπάντων· διὰ δὲ ψεύδους οὐτιδανῆς ἀναπαύσεως σωματικῆς, καὶ τιμῆς, καὶ κέρδους, καὶ δόξης ἀγχόνῃ αὐτὸν περιέβαλον[71], καὶ τὸν αἰώνιον θάνατον αὐτῷ προεξένησαν· ἀπεναντίας οἱ δείλαιοι πάμπαν τῆς ἑαυτῶν φαντασίας, τῆς προσβολῆς λέγω, αὐτὸν ἀνταμειψάμενοι.

ριθ΄. Ὅρα, πῶς διὰ φαντασίας, καὶ ψεύδους, καὶ κενῶν ὑποσχέσεων ἡμᾶς πτωματίζουσιν οἱ ἐχθροὶ τῆς σωτηρίας ἡμῶν. Καὶ αὐτὸς ὁ Σατανᾶς οὕτως ἐκ τῶν ὑψωμάτων ὡς ἀστραπὴ κατεῤῥάγη[72], ἰσοθεΐαν φαντασθείς. Καὶ οὕτω πάλιν τὸν Ἀδὰμ ἐχώρισε τοῦ Θεοῦ, θεϊκὸν ἀξίωμα φαντάσας αὐτόν[73]. Καὶ οὕτω πάντας τοὺς ἁμαρτάνοντας ἀπατᾷν[74] ὁ ψεύστης καὶ δόλιος εἴωθεν ἐχθρός.

118. Πάντοτε οἱ δαίμονες μᾶς παρακινοῦν στὴν ἁμαρτία μέσῳ [κάποιας] ψεύτικης φαντασίας. Καὶ βέβαια μὲ φαντασία φιλαργυρίας καὶ κέρδους, τὸν ἄθλιο Ἰούδα ἑτοίμασαν νὰ παραδώσῃ τὸν Κύριο καὶ Θεὸ τῶν ἁπάντων. Μὲ τὸ ψέμα δὲ [κάποιας] τιποτένιας σωματικῆς ἀναπαύσεως καὶ τιμῆς καὶ κέρδους καὶ δόξας τὸν περιέβαλον μὲ ἀγχόνη καὶ τοῦ προξένησαν τὸν αἰώνιο θάνατο, ἀνταμείβοντάς τον, οἱ ἄθλιοι, ἐντελῶς ἀντίθετα ἀπὸ τὴν φαντασία τῆς προσβολῆς τους, λέγω [ποὺ τοῦ ὑπέβαλαν].

119. Δές, πῶς μὲ φαντασία καὶ ψεῦδος καὶ κενὲς ὑποσχέσεις μᾶς ρίχνουν σὲ πτῶσι οἱ ἐχθροὶ τῆς σωτηρίας μας. Καὶ αὐτὸς ὁ σατανᾶς κατ᾽ αὐτὸν τὸν τρόπο ἀπὸ τὰ ὕψη σὰν ἀστραπὴ κατασυντρίφθηκε, ἐπειδὴ φαντάστηκε τὴν ἰσοθεΐα. Καὶ κατὰ τὸν ἴδιο τρόπο πάλι χώρισε τὸν Ἀδὰμ ἀπὸ τὸν Θεό, παρουσιάζοντάς του διὰ τῆς φαντασίας τὸ θεϊκὸ ἀξίωμα. Καὶ κατ᾽ αὐτὸν τὸν τρόπο συνηθίζει ὁ ψεύτης καὶ δόλιος ἐχθρὸς νὰ ἐξαπατᾷ ὅλους ὅσοι ἁμαρτάνουν.

ρκ'. Πικραινόμεθα μὲν τὴν καρδίαν ὑπὸ ἰοῦ λογισμῶν πονηρίας, ὅταν προσοχῆς[ια'] *Ἰησοῦ εὐχῆς πρὸς πολὺ ὑπὸ λήθης ἀμελοῦντες ἀπαγώμεθα. Γλυκαινόμεθα δὲ πάλιν ἐν αἰσθήσει καὶ ἡδύτητί τινι ἀγαλλιάσεως μακαρίας, ὅταν τὰ προειρημένα κραταιῶς καὶ προθύμως ἐν τῷ ἐργαστηρίῳ τῆς διανοίας ἐμμελῶς δι' ἔρωτος θείου ἐπιτελῶμεν. Τότε γὰρ οὐ δι' ἄλλο τι τῇ καρδιακῇ ἡσυχίᾳ βαδίζειν προθυμούμεθα, ἀλλ' ἢ διὰ τὴν ἑαυτῆς ἐν τῇ ψυχῇ γλυκεῖαν ἡδονὴν καὶ τέρψιν.*

ρκα'. Ἐπιστήμη ἐπιστημῶν καὶ τέχνη τεχνῶν, ἡ τῶν κακούργων λογισμῶν ἐστι τέχνη. Ἔστιν οὖν ἄριστος τρόπος καὶ τέχνη αὐτῶν τὸ ἐν Κυρίῳ τὴν φαντασίαν βλέπειν τῆς προσβολῆς, καὶ φυλάττειν τὴν διάνοιαν· ὥσπερ τὸν αἰσθητὸν φυλάσσομεν ὀφθαλμόν, καὶ ὀξέως μετ' αὐτοῦ βλέπομεν, τὸν πλῆξαι τοῦτον ἐκ συμβάσεως ἐρχόμενον, καὶ ὅση δύναμις, πᾶν κάρφος κωλύομεν ἐξ αὐτοῦ.

ρκβ'. Ὡς οὐ τέξεται χιὼν

120. Πικραινόμεθα μὲν στὴν καρδία [μας] ἀπὸ τὸ δηλητήριο τῶν λογισμῶν τῆς πονηρίας, ὅταν ἀμελῶντας σχετικὰ πολὺ ἐξ αἰτίας τῆς λήθης, ἀπομακρυνώμεθα ἀπὸ τὴν προσοχὴ τῆς εὐχῆς τοῦ Ἰησοῦ. Ἀλλὰ γλυκαινόμεθα πάλι μὲ αἴσθησι καὶ κάποια γλυκύτητα μακαρίας ἀγαλλιάσεως, ὅταν ἁρμονικὰ [προσεκτικὰ] διὰ τοῦ θείου ἔρωτος ἐπιτελοῦμε μέσα στὸ ἐργαστήριο τῆς διανοίας [μας] μὲ δύναμι καὶ προθυμία ὅσα εἰπώθηκαν προηγουμένως. Διότι τότε ἐξ αἰτίας κανενὸς ἄλλου δὲν προθυμοποιούμεθα νὰ βαδίζωμε στὴν καρδιακὴ ἡσυχία παρὰ μόνο γιὰ τὴν δική της μέσα στὴν ψυχὴ ἡδονὴ καὶ εὐχαρίστησι.

121. Ἡ τέχνη γιὰ τοὺς κακούργους λογισμοὺς εἶναι ἡ ἐπιστήμη τῶν ἐπιστημῶν καὶ ἡ τέχνη τῶν τεχνῶν. Εἶναι λοιπὸν ἄριστος τρόπος καὶ τέχνη γι' αὐτοὺς τὸ νὰ βλέπῃ κανεὶς τὴν φαντασία τῆς προσβολῆς ἐν Κυρίῳ καὶ νὰ διαφυλάττῃ τὴν διάνοια· ὅπως ἀκριβῶς φυλάττομε τὸν αἰσθητὸ ὀφθαλμὸ καὶ μ' αὐτὸν βλέπομε ἄμεσα ἐκεῖνον ποὺ ἔρχεται νὰ πληγώσῃ αὐτὸν ἀπὸ τυχαῖο περιστατικὸ καὶ μὲ ὅση δύναμι [διαθέτομε], ἐμποδίζομε κάθε μικρὸ ξυλαράκι ἀπ' αὐτόν.

122. Ὅπως δὲν θὰ βγάλῃ φλόγα

φλόγα, ἢ ὕδωρ πῦρ γεννήσει, ἢ ῥάμνος σῦκα· οὕτως οὐκ ἐλευθερωθήσεται παντὸς ἀνθρώπου καρδία δαιμονικῶν λογισμῶν, καὶ λόγων, καὶ ἔργων, μὴ καθάρασα τὰ ἔνδον, καὶ νῆψιν σὺν εὐχῇ Ἰησοῦ συνάψασα καὶ ταπείνωσιν καὶ ψυχικὴν ἡσυχίαν κατορθοῦσα· καὶ ἐπειγομένη σὺν προθυμίᾳ πολλῇ καὶ ὁδεύουσα· ἀλλ᾽ ἀνάγκη στειρεῦσαι τὴν ἀπρόσεκτον ψυχὴν παντὸς ἀγαθοῦ καὶ τελείου νοήματος, ὡς ἡμίονον ἄκαρπον· ᾗ οὐκ ἔστι σύνεσις[75] *πνευματικῆς φρονήσεως. Ὄντως εἰρήνη ἐστὶ τῆς ψυχῆς, τὸ γλυκὺ πρᾶγμα καὶ ὄνομα Ἰησοῦ, καὶ κένωσις νοημάτων ἐμπαθῶν.*

ρκγ΄. Ὅταν κακῶς συμφωνήσῃ ἡ ψυχὴ μετὰ τοῦ σώματος, τότε ἄμφω οἰκοδομοῦσι πόλιν κενοδοξίας, καὶ πύργον ὑπερηφανίας, καὶ τοὺς ἐν αὐτοῖς κατοικοῦντας ἀσεβεῖς λογισμούς. Ὁ δὲ Κύριος, τῷ φόβῳ τῆς γεέννης τὴν ὁμοφωνίαν αὐτῶν συγχέει τε, καὶ διαιρεῖ[76]*, ἀλλότριά τε καὶ ἐναντία τῷ*

τὸ χιόνι οὔτε θὰ γεννήσῃ φωτιὰ τὸ νερὸ οὔτε τὸ παλιούρι σῦκα, κατὰ τὸν ἴδιο τρόπο δὲν θὰ ἐλευθερωθῇ κανενὸς ἀνθρώπου ἡ καρδία ἀπὸ δαιμονικοὺς λογισμοὺς καὶ λόγους καὶ ἔργα, ἐὰν δὲν καθαρίσῃ τὰ ἐντός της καὶ δὲν συνενώσῃ τὴν νῆψι μὲ τὴν εὐχὴ τοῦ Ἰησοῦ καὶ δὲν κατορθώσῃ τὴν ταπείνωσι καὶ τὴν ψυχικὴ ἡσυχία· καὶ ἐὰν δὲν σπεύδῃ μὲ πολλὴ προθυμία καὶ ἐὰν δὲν προχωρῇ συνεχῶς [ὥστε νὰ μὴν μένῃ στάσιμη]. [Διότι τότε εἶναι] ἀνάγκη [πνευματικῆς παιδαγωγίας], νὰ γίνῃ στεῖρα, ὅπως τὸ ἄγονο μουλάρι, ἀπὸ κάθε ἀγαθὸ καὶ τέλειο νόημα ἡ ἀπρόσεκτη ψυχή, στὴν ὁποία δὲν ὑπάρχει σύνεσι τῆς πνευματικῆς φρονήσεως. Πράγματι, τὸ γλυκὺ πρᾶγμα καὶ ὄνομα τοῦ Ἰησοῦ εἶναι ἡ εἰρήνη τῆς ψυχῆς καὶ τὸ ἄδειασμα ἀπὸ τὰ ἐμπαθῆ νοήματα.

123. Ὅταν κακῶς συμφωνήσῃ ἡ ψυχὴ μὲ τὸ σῶμα, τότε καὶ οἱ δύο μαζὶ οἰκοδομοῦν τὴν πόλι τῆς κενοδοξίας καὶ τὸν πύργο τῆς ὑπερηφανίας καὶ τοὺς ἀσεβεῖς λογισμούς, οἱ ὁποῖοι κατοικοῦν μέσα σ᾽ αὐτούς. Ὁ δὲ Κύριος τὴν ὁμοφωνία τους [τὴν] συγχέει καὶ συγχρόνως τὴν διαιρεῖ μὲ τὸν φόβο τῆς γεέννης, ἀναγκάζοντας τὴν οἰκοδέσποινα ψυχὴ νὰ μιλᾷ ἀλλὰ καὶ νὰ σκέπτεται ξένα καὶ ἀκόμα

σώματι τὴν κυρίαν ψυχὴν λαλεῖν τε καὶ φρονεῖν ἀναγκάζων· ἐξ οὗ φόβος[ιβ'] καὶ διαμερισμὸς συμβαίνει, διὰ τὸ φρόνημα τῆς σαρκὸς ἔχθραν εἰς Θεὸν εἶναι, καὶ τῷ τοῦ Θεοῦ νόμῳ μὴ ὑποτάσσεσθαι[77].

ρκδ'. Τὰ καθ' ἡμέραν ἡμῶν ἔργα, δεῖ σταθμίζειν καθ' ὥραν, καὶ προσέχειν, καὶ κοῦφα ὅση δύναμις ἐπάναγκες ποιεῖν τῇ ἑσπέρᾳ διὰ τῆς μετανοίας· εἴγε βουλόμεθα σὺν Χριστῷ τῆς κακίας περιγενέσθαι. Καὶ σκοπεῖν δεῖ, εἰ κατὰ Θεὸν τελοῦμεν πάντα τὰ αἰσθητά, καὶ φαινόμενα ἡμῶν ἔργα, κατ' ἐνώπιον Θεοῦ, καὶ διὰ Θεὸν μόνον· ἵνα μὴ ὑπὸ τῶν αἰσθήσεων ἀλόγως κλεπτώμεθα.

ρκε'. Ἐὰν γὰρ τὸ καθ' ἑκάστην κερδαίνωμεν, σὺν Θεῷ, ἐκ τῆς νήψεως ἡμῶν, οὐκ ὀφείλομεν ἀδιαφόρως ἀναστρέφεσθαι, καὶ ζημιοῦσθαι διὰ πολλῶν συντυχιῶν ἐπισφαλῶν· ἀλλὰ μᾶλλον καταφρονεῖν δεῖ τῶν ματαίων, διὰ τὸ ἐράσμιον, καὶ γλυκὺ τῆς ἀρετῆς κέρδος, καὶ κάλλος.

ἐχθρικὰ πρὸς τὸ σῶμα [πράγματα]. Ἐξ αὐτοῦ γίνεται φόβος καὶ διαίρεσι, ἐξ αἰτίας τοῦ ὅτι τὸ φρόνημα τῆς σαρκὸς εἶναι ἔχθρα στὸ Θεὸ καὶ δὲν ὑποτάσσεται στὸν νόμο τοῦ Θεοῦ.

124. Τὰ καθημερινά μας ἔργα πρέπει νὰ τὰ ἐξετάζωμε κάθε στιγμὴ καὶ νὰ τὰ προσέχωμε καὶ πρέπει ὁπωσδήποτε νὰ τὰ κάνωμε ὅσο μποροῦμε ἀνύπαρκτα στὸ τέλος τῆς ἡμέρας διὰ τῆς μετανοίας, ἐὰν βέβαια θέλωμε μαζὶ μὲ τὸν Χριστὸ νὰ ὑπερισχύσωμε τῆς κακίας. Καὶ πρέπει νὰ ἐξετάζωμε, ἐὰν ἐπιτελοῦμε ὅλα τὰ κατὰ Θεὸν ἔργα μας, τὰ διὰ τῶν αἰσθήσεων ἀντιληπτὰ καὶ τὰ φανερά, κατ' ἐνώπιον τοῦ Θεοῦ καὶ ἕνεκα μόνον τοῦ Θεοῦ· γιὰ νὰ μὴν κλεπτώμεθα ἀσυλλόγιστα ἀπὸ τὶς αἰσθήσεις.

125. Διότι ἐάν, ἐξ αἰτίας τῆς νήψεώς μας, κερδίζωμε μὲ τὴν βοήθεια τοῦ Θεοῦ τὸν καθημερινό [μας πνευματικὸ ἀγῶνα], δὲν ὀφείλομε νὰ συναναστρεφώμεθα ἀδιάφορα καὶ νὰ ζημιωνώμεθα μὲ πολλὲς ἐπικίνδυνες συναναστροφές. Ἀλλὰ πρέπει μᾶλλον νὰ καταφρονοῦμε τὰ μάταια ἕνεκα τοῦ ἀξιαγάπητου καὶ γλυκοῦ κέρδους καὶ κάλλους τῆς ἀρετῆς.

ρκς΄. Δικαίως κατὰ φύσιν ὥς περ ἐκτίσθη ὑπὸ Θεοῦ, ὀφείλομεν κινεῖν τὸ τριμερὲς τῆς ψυχῆς. Καὶ τὸν μὲν θυμὸν κατὰ τοῦ ἐκτὸς ἡμῶν ἀνθρώπου, καὶ τοῦ ὄφεως σατᾶν. Ὀργίζεσθε, φησί, κατὰ τῆς ἁμαρτίας· τουτέστιν ὀργίζεσθε ἑαυτοῖς, καὶ τῷ διαβόλῳ, φησίν, ὅπως μὴ εἰς Θεὸν ἁμαρτάνητε. Τὸ ἐπιθυμητικὸν δὲ κινεῖν χρὴ πρός τε Θεόν, καὶ ἀρετήν. Τὸ δὲ λογιστικὸν τούτοις ἀμφοτέροις μετὰ σοφίας τε, καὶ ἐπιστήμης τάξωμεν· διατάττεσθαι, νουθετεῖν, τιμωρεῖσθαι, καὶ ἄρχειν ὡς βασιλεὺς ἄρχει δούλων· καὶ τότε κατὰ Θεὸν ταῦτα ὁ λόγος ὁ ἐν ἡμῖν διακυβερνᾷ, εἰ καὶ πρὸς τὸν λόγον τὰ πάθη στασιάζει· καὶ ἡγεμονεύειν τὸν λόγον τούτοις ἐπιστατήσωμεν. Φησὶ γὰρ ὁ τοῦ Κυρίου Ἀδελφός· εἴ τις λόγῳ οὐ πταίει, οὗτος τέλειος ἀνήρ. Δυνατὸς χαλιναγωγῆσαι καὶ ὅλον τὸ σῶμα[78], καὶ τὰ ἑξῆς. Ἐπειδὴ ἀληθῶς φάναι, πᾶσα ἀνομία, καὶ ἁμαρτία, διὰ τῶν τριῶν τούτων ἐπιτελεῖται· καὶ πᾶσα ἀρετή τε, καὶ δι-

126. Δικαίως καὶ σύμφωνα μὲ τὴν φύσι [του], ὅπως ἀκριβῶς δημιουργήθηκε ἀπὸ τὸν Θεό, ὀφείλομε νὰ κινοῦμε τὸ τριμερὲς τῆς ψυχῆς. Καὶ τὸν μὲν θυμὸ [ὀφείλομε νὰ κινοῦμε] ἐναντίον τοῦ ἐξωτερικοῦ μας ἀνθρώπου καὶ τοῦ δράκοντος, τοῦ σατανᾶ. Νὰ ὀργίζεσθε, λέγει [ἡ Ἁγία Γραφὴ] ἐναντίον τῆς ἁμαρτίας· δηλαδὴ νὰ ὀργίζεσθε μὲ τὸν ἑαυτό σας καὶ τὸν διάβολο, γιὰ νὰ μὴν ἁμαρτάνετε στὸν Θεό. Τὸ δὲ ἐπιθυμητικὸ [μέρος τῆς ψυχῆς] πρέπει νὰ [τὸ] κινοῦμε πρὸς τὸν Θεὸ καὶ μαζὶ πρὸς τὴν ἀρετή. Τὸ δὲ λογιστικὸ [μέρος] καὶ στὰ δύο αὐτὰ [μέρη τῆς ψυχῆς] μὲ σοφία μαζὶ καὶ ἐπιστήμη νὰ [τὸ] ὁρίσωμε νὰ τοποθετηθῇ ἐπὶ κεφαλῆς, νὰ νουθετῇ, νὰ τιμωρῇ καὶ νὰ ἐξουσιάζῃ, ὅπως ὁ βασιλεὺς ἐξουσιάζει τοὺς δούλους. Καὶ τότε ὁ ἐντός μας λόγος[12] τὰ διακυβερνᾶ σύμφωνα μὲ τὸν Θεό, ἂν καὶ τὰ πάθη ἐξεγείρονται ἐναντίον τοῦ λόγου. Καὶ νὰ ἐπιστατήσωμε νὰ ἄρχῃ σ᾽ αὐτὰ ὁ λόγος. Διότι λέγει ὁ Ἀδελφὸς τοῦ Κυρίου [ὁ Ἅγιος Ἰάκωβος, ὁ Ἀδελφόθεος]: «ἐὰν κάποιος δὲν φταίῃ στὸ λόγο, αὐτὸς εἶναι τέλειος ἄνθρωπος, δυνατὸς νὰ χαλιναγωγήσῃ καὶ ὅλο τὸ σῶμα», καὶ τὰ ἑξῆς [τῆς ἐπιστολῆς τοῦ Ἁγίου]. Ἐπειδή, γιὰ νὰ μιλήσωμε ἀληθινά, κάθε ἀνομία καὶ ἁμαρτία ἀπὸ αὐτὰ τὰ τρία ἐπιτελεῖται. Καὶ κάθε ἀρετὴ μαζὶ καὶ δι-

καιοσύνη, διὰ τῶν τριῶν πάλιν αὐτῶν συνίσταται.

ρκζ΄. Τηνικαῦτα ὁ νοῦς σκοτίζεται, καὶ ἄκαρπος μένει, ἡνίκα ἢ λόγους κοσμικοὺς λαλήσῃ, ἢ κατὰ διάνοιαν δεξάμενος προσομιλήσῃ αὐτοῖς, ἢ εἰς αἰσθητά τινα τὸ σῶμα σὺν τῷ νῷ ματαίως ἐνασχοληθῇ, ἢ ματαιότησιν ὁ Μοναχὸς ἑαυτὸν ἐκδῷ. Εὐθέως γὰρ καὶ παραυτὰ ἀπόλλυσι τὴν θέρμην, καὶ τὴν κατάνυξιν, καὶ τὴν ἐν Θεῷ παῤῥησίαν τε καὶ γνῶσιν. Ὅσον γὰρ προσέχομεν τῷ νῷ, φωτιζόμεθα· καὶ ὅσον οὐ προσέχομεν, σκοτιζόμεθα.

ρκη΄. Ὁ γὰρ καθ᾽ ἑκάστην ἡμέραν τὴν τοῦ νοῦ εἰρήνην καὶ ἡσυχίαν διώκων, καὶ ζητῶν, οὗτος ῥαδίως καταφρονήσει αἰσθητοῦ παντός, ἵνα μὴ μάτην κοπιᾷ. Εἰδὲ παραλογίζεται τὴν ἰδίαν συνείδησιν, πικρῶς ὑπνώσει τῆς λήθης θάνατον· οὗ δὴ ἀπεύχεται μὴ ὑπνῶσαι ὁ θεῖος Δαβίδ[79]. Φησὶ δὲ καὶ ὁ Ἀπόστολος· εἰδότι καλὸν ποιεῖν, καὶ μὴ ποιοῦντι, ἁμαρτία αὐτῷ ἐστίν[80].

ρκθ΄. Ἔρχεται δὲ ὁ νοῦς ἐξ

καιοσύνη πάλι ἀπὸ αὐτὰ τὰ τρία συναπαρτίζεται.

127. Τότε ὁ νοῦς σκοτίζεται καὶ μένει ἄκαρπος, ὁσάκις ἢ θὰ πῆ λόγους κοσμικοὺς ἢ ἐάν, ἀφοῦ [τοὺς] δεχθῆ στὴ σκέψι [του], συνομιλήση μαζί τους ἢ ἐνασχοληθῆ μάταια τὸ σῶμα μαζὶ μὲ τὸν νοῦ σὲ κάποια αἰσθητὰ [πράγματα] ἢ [ὁσάκις] ὁ Μοναχὸς παραδώση τὸν ἑαυτό του σὲ ματαιότητες. Ἀμέσως βέβαια καὶ στὴ στιγμὴ χάνει τὴν θέρμη καὶ τὴν κατάνυξι καὶ τὴν ἐν Θεῷ παρρησία μαζὶ καὶ γνῶσι. Διότι ὅσο προσέχομε μὲ τὸν νοῦ φωτιζόμεθα· καὶ ὅσο δὲν προσέχομε σκοτιζόμεθα.

128. Διότι ἐκεῖνος, ποὺ καθημερινὰ ἐπιδιώκει καὶ ἐπιζητεῖ τὴν εἰρήνη καὶ τὴν ἡσυχία τοῦ νοός, αὐτὸς εὔκολα θὰ καταφρονήση κάθε αἰσθητό, γιὰ νὰ μὴν κοπιάζη μάταια. Ἐὰν ὅμως ἐξαπατᾶ μὲ ἐσφαλμένους ὑπολογισμοὺς τὴν ἴδια του τὴν συνείδησι, θὰ κοιμηθῆ πικρὰ τὸν θάνατο τῆς λήθης, τὸν ὁποῖο ἀκριβῶς ἀπεύχεται νὰ μὴν κοιμηθῆ ὁ θεόπνευστος Δαυΐδ. Λέγει δὲ καὶ ὁ Ἀπόστολος: «Σ᾽ αὐτόν, ποὺ γνωρίζει νὰ κάνη τὸ καλὸ καὶ δὲν [τὸ] κάνει, τοῦ καταλογίζεται ὡς ἁμαρτία».

129. Ἀπὸ τὴν ἀμέλεια ἐξάλλου,

ἀμελείας εἰς τὴν ἰδίαν πάλιν τάξιν καὶ νῆψιν, εἴπερ αὖθις ἐπιμελείας τύχοι· καὶ ἐὰν τὸ πρακτικὸν ἡμῶν τοῦ νοὸς ἐν θερμῇ σπουδῇ πάλιν στήσωμεν.

ρλʹ. Οὐ προβήσεται μυλικὸς ὄνος τοῦ κύκλου, ἐν ᾧ συνεδέθη· οὔτε νοῦς προβήσεται ἐν ἀρετῇ τελειοποιῷ, μὴ τὰ ἔνδον αὐτοῦ διορθωσάμενος. Τυφλώττει γὰρ ἀεὶ ἐν τοῖς ἔνδον ὄμμασι, ἀδυνατῶν ὁρᾷν ἀρετήν, καὶ φωτομαρμαρυγοῦντα τὸν Ἰησοῦν.

ρλαʹ. Ἵππος μὲν θρασύς τις καὶ γαῦρος, ἐξάλλεται τερπνῶς ἐπιβάτην δεξάμενος. Νοῦς δὲ τερπόμενος τερφθήσεται ἐν φωτὶ Κυρίου· εἰσδύνων εἰς τὰς πρωΐας νοημάτων ἐλευθερούμενος. Πορεύσεται δὲ ἐκ δυνάμεως φιλοσοφίας νοῦ πρακτικῆς, αὐτὸς ἑαυτὸν ἀνανεύων, εἰς δύναμιν ἄῤῥητον, ἀῤῥήτων τε καὶ ἀρετῶν θεωρητικήν, καὶ βάθος ὑψηλῶν τοῦ ἀπείρου, καὶ θείων ἐννοιῶν ἐν καρδίᾳ δεξάμενος, ὀφθήσεται αὐτῷ ὡς ἐφικτὸν καρδίᾳ ὁ Θεὸς τῶν θεῶν[81]. *Ὁ δὲ νοῦς ἐκπλαγείς,*

ἐπανέρχεται ὁ νοῦς στὴν ἴδια τάξι καὶ νῆψι, ἐὰν πράγματι πάλι ἤθελε τύχῃ ἐπιμελείας· καὶ ἐὰν μὲ θερμὸ ζῆλο στήσωμε πάλι τὸ πρακτικὸ [ἔργο] τοῦ νοός μας [τὸ σύστημα τῆς νήψεως, τῆς εὐχῆς καὶ προσοχῆς].

130. Δὲν θὰ προπορευθῇ τοῦ κύκλου μὲ τὸν ὁποῖο συνεδέθη ὁ ὄνος τοῦ μύλου· οὔτε ὁ νοῦς θὰ προοδεύσῃ στὴν ἀρετὴ ποὺ ἐνεργεῖ τὴν τελείωσι, ἐὰν δὲν διόρθωσε τὰ ἐντός του. Εἶναι βέβαια [ὁ νοῦς] πάντοτε τυφλὸς μὲ τὰ ἐσωτερικὰ μάτια, ἐὰν ἀδυνατῇ νὰ βλέπῃ τὴν ἀρετὴ καὶ τὸν Ἰησοῦ νὰ ἀπαστράπτῃ μέσα στὸ φῶς.

131. Τὸ μὲν ἄφοβο καὶ ἀγέρωχο ἄλογο ἀναπηδᾶ μὲ εὐχαρίστησι μόλις δέχεται τὸν ἐπιβάτη. Ὁ δὲ νοῦς, ποὺ εὐφραίνεται θὰ εὐφρανθῇ, ὅταν εἰσέρχεται μέχρι τὸ πρωΐ μέσα στὸ φῶς τοῦ Κυρίου, ἐλευθερωμένος ἀπὸ νοήματα. Θὰ πορευθῇ δὲ μὲ τὴν δύναμι τῆς πρακτικῆς φιλοσοφίας τοῦ νοός, ἀρνούμενος ὁ ἴδιος τὸν ἑαυτό του, στὴν απερίγραπτη θεωρητικὴ δύναμι τῶν ἀνεκφράστων μυστηρίων καὶ τῶν ἀρετῶν καὶ καθὼς δέχθηκε μέσα στὴν καρδία [του] βάθος ὑψηλῶν καὶ θείων ἐννοιῶν τοῦ ἀπείρου θὰ τοῦ ἐμφανισθῇ σ᾽ αὐτόν, ὅσο [εἶναι] δυνατὸν στὴν καρδία, ὁ Θεὸς τῶν θεῶν. Ὁ δὲ νοῦς, εὑρισκόμενος σὲ ἔκπληξι,

κυδαίνει ἀγαπητικῶς Θεὸν τὸν βλεπόμενον καὶ βλέποντα, καὶ διὰ τοῦτο κᾀκεῖνο, σῴζοντα τὸν εἰς αὐτὸν οὕτως ἐνατενίζοντα.

ρλβ΄. Βυθὸν ὑψηλὸν κατόψεται γνωστικῶς ἡσυχία καρδιακὴ κατορθουμένη· καὶ ἐξαίσια παρὰ Θεοῦ ἀκουτισθήσεται οὖς ἡσυχίας νοός.

ρλγ΄. Ὁδοιπόρος μὲν μακράν, καὶ δύσβατον, καὶ ἀργαλέαν ὁδὸν στείλασθαι ἐναρξάμενος, πλάνην τε ὑφορώμενος ἐν τῷ ὑποστρέφειν, σημεῖα τινά, καὶ ὁδηγοὺς ἐν ὁδοιπορία αὐτοῦ καταπήξεται· ῥᾳδίαν αὐτῷ τὴν πρὸς τὰ οἰκεῖα ἐπάνοδον προξενοῦντα. Λόγους δὲ ὁ νηφαλίως ὁδεύων στηλώσεται ἀνήρ, τοῦτο αὐτὸ καὶ αὐτὸς ὑφορώμενος.

ρλδ΄. Ἀλλὰ τῷ μὲν ὁδοιπόρῳ ἐπανακάμψαι, ὅθεν ἐξέβη, χαρᾶς πρόξενον. Νηφαλίῳ δὲ ἐπανακάμπτειν εἰς τὰ ὀπίσω, ὄλεθρος ψυχῆς λογικῆς, καὶ σημεῖον ἀποστασίας τῶν θεαρέστων ἔργων τε καὶ λόγων καὶ ἐννοιῶν· καὶ ἕξει ἐν καιρῷ ὕπνου ψυχῆς θανατηφόρου τοὺς λο-

δοξάζει ἀγαπητικὰ τὸν Θεό, ὁ ὁποῖος βλέπεται καὶ βλέπει καὶ ἐξ αἰτίας αὐτοῦ [τοῦ ὅτι ὁ Θεὸς βλέπεται ἀπὸ τὸν νοῦ] καὶ ἐκείνου [τοῦ ὅτι ὁ Θεὸς τὸν βλέπει], σώζει ἐκεῖνον ποὺ κατὰ τέτοιο τρόπο Τὸν ἀτενίζει.

132. Ἡ καρδιακὴ ἡσυχία, ὅταν κατορθωθῇ μὲ γνῶσι [μὲ θεῖο φωτισμό], θὰ δῇ μέσα της ἀπύθμενο βάθος [τὴν θεϊκὴ συνάφειά της]· καὶ τὰ ὑπερφυσικὰ ἀπὸ τὸν Θεὸ θὰ ἀκούσῃ μὲ προσήλωσι τὸ αὐτὶ τοῦ νοὸς τῆς ἡσυχίας.

133. Ὁ μὲν ὁδοιπόρος, ἐὰν ξεκίνησε νὰ πορευθῇ μακρὰ ὁδὸ καὶ δύσβατο καὶ δυσχερῆ, καὶ ὑποψιάζεται παραπλάνησι κατὰ τὴν ἐπιστροφή, θὰ στερεώσῃ καλὰ κάποια σημάδια καὶ ὁδηγοὺς γιὰ τὴν ὁδοιπορία του, τὰ ὁποῖα τοῦ καθιστοῦν εὔκολη τὴν ἐπιστροφὴ στὸ σπίτι του. Ἐκεῖνος δὲ ὁ ἄνθρωπος, ποὺ ὁδεύει μὲ νῆψι θὰ ἑτοιμασθῇ μὲ λόγους καὶ αὐτὸς ὑποψιαζόμενος αὐτὸ τὸ ἴδιο [δηλαδὴ παραπλάνησι].

134. Ἀλλὰ γιὰ τὸ μὲν ὁδοιπόρο [εἶναι] αἰτία χαρᾶς, νὰ ἐπιστρέψῃ πάλι πίσω ἀπὸ ἐκεῖ ποὺ βγῆκε. Ἀλλὰ γιὰ ἐκεῖνον ποὺ ἀσκεῖ τὴν νῆψι τὸ νὰ ἐπιστρέψῃ πάλι πίσω [εἶναι] ὄλεθρος τῆς λογικῆς ψυχῆς καὶ ἔνδειξι ἀποστασίας ἀπὸ τὰ θεάρεστα ἔργα, ἐπίσης καὶ λόγια καὶ ἔννοιες. Καὶ θὰ ἔχῃ μέσα στὴν χρονικὴ περίοδο τοῦ θανατηφόρου [αὐτοῦ] ὕπνου τῆς ψυχῆς, τοὺς λο-

γισμοὺς ὡς κέντρα διεγείροντας αὐτὸν τῇ ὑπομνήσει τοῦ πολλοῦ κάρου, καὶ ῥαθυμίας τῆς ἐξ ἀμελείας αὐτῷ συμβάσης.

ρλε΄. Ἐν θλίψεσι, καὶ ἐν ἀπογνώσεσι, καὶ ἀπελπισμοῖς περιπεσόντας ἡμᾶς, χρὴ ποιεῖν ἐν ἑαυτοῖς τὸ τοῦ Δαβίδ, ἐκχέειν τὴν καρδίαν ἡμῶν πρὸς τὸν Θεόν, καὶ τὴν δέησιν καὶ τὴν θλῖψιν ἡμῶν, ὡς ἔστι, Κυρίῳ ἀναγγέλλειν[82]. *Ἐξομολογούμεθα γὰρ τῷ Θεῷ, ὡς δυναμένῳ σοφῶς τὰ καθ᾽ ἡμᾶς διοικῆσαι· καὶ τὴν θλῖψιν, εἰ ἐπὶ συμφέροντι, ποιῆσαι ῥᾳδίαν· καὶ ῥύσασθαι ἡμᾶς τῆς ὀλεθρίας καὶ φθαρτικῆς λύπης.*

ρλς΄. Θυμὸς γὰρ κατὰ ἀνθρώπων παρὰ φύσιν κινούμενος, καὶ λύπη οὐ κατὰ Θεόν, καὶ ἀκηδία, φθαρτικὰ ὁμοίως εἰσὶ τῶν ἀγαθῶν τε καὶ γνωστικῶν λογισμῶν· ἃ ὁ Κύριος τῇ ἐξομολογήσει σκορπίζων, χαρὰν ἐμποιεῖ.

ρλζ΄. Λογισμοὺς δὲ ἐν καρδίᾳ, καὶ μὴ θελόντων ἡμῶν, παγέντας τε, καὶ ἱσταμέ-

γισμοὺς σὰν κεντριὰ νὰ τὸν ξυπνοῦν ἀπὸ τὴν πολλὴ ζάλη καὶ τὴν ραθυμία, μὲ τὴν ὑπόμνησι τοῦ περιστατικοῦ ποὺ συνέβη σ᾽ αὐτὸν ἀπὸ ἀμέλεια.

135. Ἐὰν ἐμεῖς περιπέσωμε σὲ θλίψεις καὶ καταστάσεις ἀπογνώσεως καὶ ἀπελπισίας, πρέπει νὰ κάνωμε μέσα μας ἐκεῖνο [ποὺ ἔκανε] ὁ Δαυΐδ, δηλαδὴ νὰ άδειάσωμε στὸ Θεὸ τὴν καρδία μας καὶ νὰ ἀναγγείλωμε τὴν ἀνάγκη καὶ τὴν θλῖψι μας, ὅπως εἶναι, στὸν Κύριο. Ἐξομολογούμεθα βέβαια στὸν Θεὸ ποὺ ἔχει πράγματι τὴν δύναμι νὰ διευθετήσῃ μὲ σοφία τὰ σχετικὰ μ᾽ ἐμᾶς καὶ νὰ κάνῃ τὴν θλῖψι, ἐὰν [αὐτὸ εἶναι] γιὰ τὸ συμφέρον [μας], ἐλαφριά· καὶ νὰ μᾶς λυτρώσῃ ἀπὸ τὴν ὀλέθρια καὶ καταστρεπτικὴ λύπη.

136. Διότι ὁ θυμός, ὁ ὁποῖος ἀντίθετα πρὸς τὴν φύσι κινεῖται ἐναντίον τῶν ἀνθρώπων, καὶ ἡ λύπη [ποὺ δὲν εἶναι] κατὰ Θεὸν καὶ ἡ ἀκηδία εἶναι κατὰ τὸν ἴδιο τρόπο καταστρεπτικὰ τῶν ἀγαθῶν ἀλλὰ καὶ τῶν γνωστικῶν λογισμῶν [τῆς βαθείας, μυστικῆς γνώσεως], τὰ ὁποῖα [καταστρεπτικά: θυμό, λύπη καὶ ἀκηδία] ὁ Κύριος, διασκορπίζοντας διὰ τῆς ἐξομολογήσεως, προκαλεῖ τὴν χαρά.

137. Τοὺς λογισμοὺς ποὺ στερεώθηκαν καὶ ὀρθώνονται, ἂν καὶ δὲν [τοὺς] θέλομε μέσα στὴν καρδία [μας],

νους, ἐξαλείφειν πέφυκεν Ἰησοῦ εὐχὴ μετὰ νήψεως, ἐκ βαθέων ἐννοίας καρδίας.

ρλη΄. Κουφισμὸν δὲ καὶ χαράν, ἐν θλίψει πολλῶν ἀλόγων λογισμῶν γενόμενοι, εὑρήσομεν, ὅταν μεμψώμεθα ἑαυτοὺς ἐν ἀληθείᾳ καὶ ἀπροσπαθῶς· ἢ τοῦ ἀναγγεῖλαι πάντα καθάπερ ἀνθρώπῳ τῷ Κυρίῳ· καὶ πάντως ἐκ τῶν δύο τούτων εὑρήσομεν ἀνάπαυσιν ἐκ παντός.

ρλθ΄. Εἰς εἰκόνα τοῦ νοῦ ὁ νομοθέτης Μωσῆς λαμβάνεται παρὰ τῶν Πατέρων· ὃς Θεὸν ὁρᾷ ἐν τῇ βάτῳ[83]*, καὶ τὸ πρόσωπον δοξάζεται*[84]*, καὶ θεὸς Φαραὼ ὑπὸ τοῦ Θεοῦ τῶν θεῶν καθίσταται*[85]*· Αἴγυπτόν τε μαστίζει*[86]*, καὶ ἐξάγει τὸν Ἰσραὴλ*[87]*, καὶ νομοθετεῖ*[88]*· ἅτινα τροπικῶς λαμβανόμενα κατὰ πνεῦμα, τοῦ νοός εἰσιν ἐνεργήματα καὶ προτερήματα.*

ρμ΄. Εἰκὼν δὲ τοῦ ἐκτὸς ἀνθρώπου, Ἀαρών, ὁ ἀδελφὸς τοῦ νομοθέτου. Ἐγκλήσεις οὖν μετὰ θυμοῦ ὡς Μωσῆς πταίσαντι τῷ Ἀαρών, καὶ ἡ-

ἔχει τὴν ἱκανότητα ἀπὸ τὴν φύσι της ἡ εὐχὴ τοῦ Ἰησοῦ μὲ τὴν νῆψι νὰ ἐξαλείφῃ ἀπὸ τὰ βάθη τῆς ἐννοίας [τῆς νοερᾶς λειτουργίας] τῆς καρδίας.

138. Ἐὰν ἐξάλλου φθάσαμε στὴ θλῖψι ἀπὸ πολλοὺς ἄτοπους λογισμούς, θὰ βροῦμε ἀνακούφισι καὶ χαρά, ὅταν θὰ κατηγορήσωμε τοὺς ἑαυτούς μας ἀληθινὰ καὶ ἀπαθῶς [μὲ φυσικὴ καὶ λογικὴ αὐτομεμψία]· ἢ [θὰ βροῦμε ἀνακούφισι καὶ χαρὰ] μὲ τὸ νὰ γνωστοποιήσωμε τὰ πάντα στὸν Κύριο ὅπως ἀκριβῶς σὲ ἄνθρωπο. Καὶ πάντως μὲ αὐτοὺς τοὺς δύο τρόπους θὰ βροῦμε ἀπὸ ὅλα ἀνάπαυσι.

139. Σὰν εἰκόνα τοῦ νοὸς λαμβάνεται ἀπὸ τοὺς Πατέρες ὁ νομοθέτης Μωυσῆς, ὁ ὁποῖος βλέπει τὸν Θεὸ μέσα στὴν βάτο καὶ λαμβάνει τὴν δόξα τοῦ Θεοῦ στὸ πρόσωπό του [μετὰ τὴν θεοφάνεια] καὶ καθίσταται θεὸς τοῦ Φαραὼ ἀπὸ τὸν Θεὸ τῶν θεῶν. Καὶ τὴν Αἴγυπτο μαστιγώνει καὶ τὸν Ἰσραὴλ ὁδηγεῖ ἔξω [ἀπὸ τὴν δουλεία τῆς Αἰγύπτου] καὶ νομοθετεῖ· τὰ ὁποῖα, ἐὰν λαμβάνωνται μεταφορικὰ ὡς πρὸς τὸ πνεῦμα, εἶναι ἐνεργήματα καὶ προτερήματα τοῦ νοός.

140. Εἰκόνα δὲ τοῦ ἐξωτερικοῦ ἀνθρώπου [εἶναι] ὁ Ἀαρών, ὁ ἀδελφὸς τοῦ νομοθέτη. Ἀφοῦ λοιπὸν ἐκφέρωμε μέσα [μας] κατηγορίες μαζὶ μὲ θυμό, ὅπως ὁ Μωυσῆς στὸν Ἀαρών, ὅταν ἔφταιξε, λέμε

μεῖς εἰσφέροντες λέγομεν· τί ἠδίκησέ σε Ἰσραήλ, ὅτι ἔσπευσας ἀποστῆσαι αὐτοὺς ἀπὸ Κυρίου Θεοῦ ζῶντος Παντοκράτορος[89];

ρμα'. Παρέδειξε γὰρ ἡμῖν ὁ Κύριος, σὺν πᾶσιν ἄλλοις ἀγαθοῖς καὶ τοῦτο, ὅτε ἔμελλεν ἀναστήσειν τὸν Λάζαρον ἐκ τῶν νεκρῶν, τὸ ἀναστέλλειν διὰ ἐμβριμήσεως[90] τὸ θηλυδριῶδες καὶ διαχυτικὸν τῆς ψυχῆς, καὶ στυφὸν ἦθος ζηλοῦν[ιγ'] ὃ οἶδε, φημὶ δή, τὸ αὐτομεμφές, ἐκ φιλαυτίας, ἐκ κενοδοξίας, καὶ ὑπερηφανίας τὴν ψυχὴν λυτροῦσθαι.

ρμβ'. Ὥς περ οὖν ἄτερ πλοίου μεγάλου, θαλάττιον πέλαγος περᾶσαι οὐ δυνατόν, οὕτως ἀδύνατον ἐκδιῶξαι προσβολὴν λογισμοῦ πονηροῦ, χωρὶς ἐπικλήσεως Ἰησοῦ Χριστοῦ.

ρμγ'. Ἀντίῤῥησις μὲν φιμοῦν, ἐπίκλησις δὲ διώκειν ἐκ καρδίας εἴωθε τοὺς λογισμούς. Ἡ γὰρ προσβολὴ μορφωθεῖσα ἐν φαντασίᾳ αἰσθητοῦ πράγματος ἐν τῇ ψυχῇ, οἷον τὸ τοῦ λυπήσαντος ἡμᾶς πρόσωπον, ἢ κάλλους

καὶ ἐμεῖς: «Τί σὲ ἀδίκησε ὁ Ἰσραήλ, ποὺ ἔσπευσες νὰ τοὺς απομακρύνῃς ἀπὸ τὸν ζῶντα Θεό, τὸν Κύριο, Παντοκράτορα;».

141. Μᾶς ἔδωσε μάλιστα παράδειγμα ὁ Κύριος μαζὶ μὲ ὅλα τὰ ἄλλα ἀγαθὰ καὶ αὐτό, ὅταν ἐπρόκειτο νὰ ἀναστήσῃ τὸν Λάζαρο ἀπὸ τοὺς νεκρούς, τὸ νὰ ἀνακόπτωμε διὰ τῆς ἐπιτιμήσεως τὸ θηλυπρεπὲς καὶ διαχυτικὸ τῆς ψυχῆς καὶ νὰ προτιμοῦμε τὸ αὐστηρὸ ἦθος, [δηλαδὴ] τὴν αὐτομεμψία, ἡ ὁποία γνωρίζει, [τὸ] βεβαιώνω μάλιστα, νὰ απαλλάσσῃ τὴν ψυχὴ ἀπὸ τὴν φιλαυτία, τὴν κενοδοξία καὶ τὴν ὑπερηφάνια.

142. Ὅπως ἀκριβῶς λοιπὸν χωρὶς μεγάλο πλοῖο, δὲν [εἶναι] δυνατὸν νὰ διαπεράσῃ [κανεὶς] τὸ πέλαγος τῆς θαλάσσης, κατὰ τὸν ἴδιο τρόπο [εἶναι] ἀδύνατο νὰ ἐκδιώξῃ τὴν προσβολὴ πονηροῦ λογισμοῦ χωρὶς τὴν ἐπίκλησι τοῦ Ἰησοῦ Χριστοῦ.

143. Ἡ ἀντίρρησι μὲν ἔχει τὴν συνήθεια νὰ φιμώνῃ τοὺς λογισμοὺς ἀπὸ τὴν καρδία, ἡ ἐπίκλησι δὲ [τοῦ Ἰησοῦ] νὰ [τοὺς] ἐκδιώκῃ. Διότι ἡ προσβολὴ αἰσθητοῦ πράγματος, ποὺ ἔλαβε μορφὴ μὲ φαντασία μέσα στὴν ψυχή, ὅπως τὸ πρόσωπο ἐκείνου ποὺ μᾶς λύπησε ἢ φαντασία γυναικείου κάλλους

φαντασία γυναικείου, ἢ χρυσίου, ἢ ἀργυρίου, ἓν καθ᾽ ἓν τούτων εἴπερ γένηται ἐν τῇ διανοίᾳ ἡμῶν, εὐθέως ἐλέγχονται οἱ τῆς μνησικακίας, καὶ πορνείας, καὶ φιλαργυρίας φαντάσαντες τὴν καρδίαν λογισμοί. Καὶ εἰ μὲν πεπειραμένος ὁ νοῦς ἡμῶν, καὶ πεπαιδευμένος ὑπάρχει, ἐν ἕξει ὢν τῆς τοῦ νοῦ τηρήσεως, καὶ τοῦ καθαρῶς καὶ ἐν αἰθρίᾳ βλέπειν τὰς θελκτικὰς φαντασίας τε καὶ ἀπάτας τῶν πονηρῶν, εὐκόλως εὐθὺς ἐξ ἀναδόσεως καὶ ἀντιῤῥήσεως, καὶ εὐχῆς Ἰησοῦ Χριστοῦ, σβεννύει τὰ πεπυρωμένα βέλη τοῦ διαβόλου[91]*· μὴ συγχωρῶν τῇ ἐμπαθεῖ φαντασίᾳ συγκινῆσαι ἅμα αὐτῇ· καὶ τοὺς ἡμῶν λογισμοὺς συμμορφωθῆναι τῷ ἰνδάλματι ἐμπαθῶς, ἢ προσλαλῆσαι φιλικῶς, ἢ πολύνοιαν, ἢ συγκατάθεσιν ποιῆσαι· ἐξ ὧν ἐπακολουθοῦσιν ἀνάγκῃ τινί, ὡς ἡμέραις αἱ νύκτες, τὰ πονηρὰ ἔργα.*

ρμδ΄. Εἰ δὲ ἄπειρός ἐστιν ὁ νοῦς ἡμῶν ἐντρεχείας νήψεως, εὐθὺς μείγνυται τῷ φαντασθέντι αὐτῷ ἐμπαθῶς,

ἢ χρυσοῦ ἢ ἀργύρου, ἀκόμη καὶ ἂν ἕνα ἕνα χωριστὰ λάβῃ μορφὴ μέσα στὴν διάνοιά μας, ἀμέσως ἐλέγχονται οἱ λογισμοὶ τῆς μνησικακίας καὶ τῆς πορνείας καὶ τῆς φιλαργυρίας, ποὺ ἐξαπάτησαν μὲ τὴν φαντασία τὴν καρδία. Καὶ ἂν μὲν ὁ νοῦς μας εἶναι πεπειραμένος καὶ ἐκπαιδευμένος, ἐφόσον εἶναι στὴν κατάστασι τῆς συνηθείας τῆς τηρήσεως τοῦ νοὸς καὶ τοῦ νὰ βλέπῃ καθαρὰ καὶ μὲ διαύγεια τὶς θελκτικὲς φαντασίες μαζὶ καὶ τὶς ἀπάτες τῶν πονηρῶν [δαιμόνων], εὔκολα, ἀμέσως ἀπὸ τὴν ἐμφάνισι καὶ τὴν ἀντίρρησι καὶ τὴν εὐχὴ τοῦ Ἰησοῦ Χριστοῦ σβήνει τὰ πυρωμένα βέλη τοῦ διαβόλου, μὴ ἐπιτρέποντας ταυτοχρόνως νὰ συγκινήσῃ τὴν [καρδία ὁ διάβολος] μὲ τὴν ἐμπαθῆ φαντασία καὶ [μὴ ἐπιτρέποντας] οἱ λογισμοί μας νὰ διαμορφωθοῦν σύμφωνα μὲ τὴν φανταστικὴ εἰκόνα ἐμπαθῶς ἢ νὰ προσομιλήσουν φιλικὰ ἢ νὰ ἐπιφέρουν τὶς πολλὲς σκέψεις [περισπασμὸ] ἢ τὴν συγκατάθεσι, ἀπὸ τὰ ὁποῖα ἐπακολουθοῦν μὲ κάποια νομοτέλεια, τὰ πονηρὰ ἔργα, ὅπως [ἀκολουθοῦν] οἱ νύκτες τὶς ἡμέρες.

144. Ἐὰν ὅμως ὁ νοῦς μας εἶναι ἄπειρος ἀπὸ τὴν λειτουργία τῆς νήψεως, ἀμέσως ἀναμειγνύεται μὲ ἐκεῖνο τὸ ἴδιο τὸ ὁποῖο φαντάσθηκε ἐμπαθῶς,

οἷον ἂν εἴη, καὶ διαλέγεται, πεύσεις λαμβάνων ἀδίκους[ιδ']*, καὶ διδοὺς ἀποκρίσεις· καὶ τότε ἀναμὶξ γίνονται οἱ ἡμέτεροι λογισμοὶ τῇ δαιμονιώδει φαντασίᾳ· αὐτῆς ἔτι μᾶλλον αὐξανομένης τε καὶ πληθυνομένης, ἵνα ἐρασμία τε, καὶ ὡραία, καὶ ἀρέσκουσα καταφαίνηται τῷ προσιεμένῳ νοῒ καὶ συλουμένῳ. Καὶ ταυτὸν πάσχει τότε ὁ νοῦς, οἷον εἴπερ φανῇ κύων ἐν πεδινῷ τόπῳ τινί, ἔνθα καὶ ἄρνες τινὲς τύχωσιν, ὄντες ἄκακοι· καὶ τῷ ὀφθέντι αὐτοῖς πολλάκις προστρέχουσιν, ὡς ἰδίᾳ μητρί, μηδὲν ἐκ τῆς τοῦ κυνὸς πλησιάσεως κερδάναντες, ἢ μόνον τῆς ἐκείνου ἀκαθαρσίας καὶ δυσωδίας ἀντιλαβέσθαι. Τὸν αὐτὸν δὴ τρόπον καὶ οἱ ἡμέτεροι λογισμοὶ προστρέχουσιν ἀπαιδεύτως πάσαις ταῖς δαιμονικαῖς ἐν νῷ φαντασίαις· καὶ ἀναμίξ, ὡς ἔφην, γενόμενοι, ἔστιν ἰδεῖν αὐτοὺς ἄμφω βουλομένους*[ιε']* καταστρέψαι τὴν Ἰλιούπολιν, ὡς Ἀγαμέμνων τε, καὶ Μενέλαος. Οὕτω γὰρ καὶ οὗτοι*

ὅποιο κι ἂν εἶναι, καὶ κάνει διάλογο δεχόμενος ἐρωτήσεις ἀνάρμοστες καὶ δίδοντας ἀποκρίσεις. Καὶ τότε γίνονται ἀνάμεικτοι οἱ λογισμοὶ οἱ δικοί μας μὲ τὴν δαιμονικὴ φαντασία, ἡ ὁποία ἡ ἴδια αὐτὴ αὐξάνεται καὶ πληθύνεται ἀκόμη πιὸ πολύ, γιὰ νὰ ἐμφανίζεται καὶ ἐπιθυμητὴ καὶ ὡραία καὶ νὰ ἀρέσῃ στὸν νοῦ ὁ ὁποῖος [τῆς] ἐπιτρέπει νὰ πλησιάσῃ καὶ λεηλατεῖται [ἀπ᾽ αὐτήν]. Καὶ παθαίνει τότε ὁ νοῦς τὸ ἴδιο, ὅπως ἀκριβῶς, ἐὰν φανῇ [ἕνας] σκύλος σὲ κάποιο πεδινὸ τόπο, ὅπου ἔτυχαν νὰ εὑρίσκωνται καὶ κάποια ἄκακα ἀρνιά. Καὶ πολλὲς φορὲς προστρέχουν σ᾽ ἐκεῖνο [τὸν σκύλο] ποὺ τοὺς ἐμφανίστηκε, ὅπως στὴν ἴδια τὴν μητέρα τους δίχως νὰ κερδίζουν τίποτε ἀπὸ τὸ πλησίασμα τοῦ σκύλου παρὰ μόνο τὸ νὰ συμμετέχουν στὴν ἀκαθαρσία καὶ τὴν δυσωδία του. Μὲ τὸν ἴδιο μάλιστα τρόπο καὶ οἱ δικοί μας λογισμοὶ χωρὶς παιδεία [χωρὶς τὴν γνῶσι τοῦ πνευματικοῦ πολέμου] προστρέχουν σὲ ὅλες τὶς δαιμονικὲς φαντασίες μέσα στὸν νοῦ. Καὶ ἀφοῦ γίνουν ἀνάμεικτοι, ὅπως εἶπα, εἶναι δυνατὸν νὰ τοὺς δῇς καὶ τοὺς δύο νὰ θέλουν νὰ καταστρέψουν τὴν Ἰλιούπολι, ὅπως ὁ Ἀγαμέμνων καὶ ὁ Μενέλαος μαζί. Κατὰ τὸν ἴδιο τρόπο καὶ αὐτοὶ

βουλεύονται τί δεῖ γενέσθαι τοῦ εἰς ἔργον ἀγαγεῖν διὰ τοῦ σώματος τὸ ὡραῖον αὐτοῖς καὶ ἡδὺ φανὲν ἐξ ἀπάτης διὰ τῆς δαιμονίας εἰσβολῆς. Καὶ οὕτω δὴ λοιπὸν δημιουργοῦνται ἔνδον τὰ τῆς ψυχῆς πτώματα· ἀνάγκη ἔκτοτε καὶ ἐκτὸς αὐτὰ ἐκφέρειν τὰ ἔνδον τῆς καρδίας.

ρμε'. Εὔκολον γάρ τι καὶ ἄκακον πρᾶγμα ὁ νοῦς, ῥᾳδίως ἐπακολουθοῦν [recte: ἐπακολουθῶν] τοῖς φαντάσμασι, καὶ πρὸς τὰς ἀνόμους φαντασίας δυσκάθεκτον, εἰμὴ ἔχει κωλύοντα αὐτὸν ἀενάως, καὶ χαλινοῦντα τὸν αὐτοκράτορα τῶν παθῶν λογισμόν.

ρμϛ'. Θεωρία, καὶ γνῶσις, ὁδηγοὶ ἀκριβοῦς βίου, καὶ πρόξενοι πεφύκασι γίνεσθαι, διὰ τὸ τὴν διάνοιαν ἐπαρθεῖσαν ταύταις, εἰς καταφρόνησιν φθάσαι τῶν ἡδονῶν, καὶ τῶν ἄλλων αἰσθητῶν, καὶ ἡδέων τοῦ βίου, ὡς εὐτελῶν.

ρμζ'. Βίος δὲ προσεκτικὸς ἐν Χριστῷ Ἰησοῦ κατορθούμενος, πατὴρ γίνεται τῆς θεωρίας καὶ γνώσεως πάλιν· γεννήτωρ δὲ ἀναβάσεων θείων, καὶ ἐννοιῶν σοφωτάτων,

ἀποφασίζουν τί πρέπει νὰ γίνῃ, γιὰ νὰ ὁδηγήσουν σὲ πρᾶξι διὰ τοῦ σώματος, ἐκεῖνο ποὺ τοὺς φάνηκε ὡραῖο καὶ εὐχάριστο ἐξ αἰτίας τῆς ἀπάτης διὰ τῆς δαιμονικῆς εἰσβολῆς [στὸν νοῦ]. Καὶ κατ᾽ αὐτὸν τὸν τρόπο πράγματι λοιπόν, δημιουργοῦνται ἐσωτερικὰ οἱ πτώσεις τῆς ψυχῆς. Καὶ ἔκτοτε [εἶναι] ἀνάγκη νὰ τὰ φέρωμε ἔξω [νὰ τὰ ἐξομολογηθοῦμε] τὰ ἐντὸς τῆς καρδίας.

145. [Εἶναι] βέβαια ἕνα εὐάλωτο καὶ ἄκακο πρᾶγμα ὁ νοῦς, ὁ ὁποῖος μὲ εὐκολία ἀκολουθεῖ τὶς φανταστικὲς εἰκόνες καὶ δύσκολα συγκρατούμενος, ὅσον ἀφορᾶ τὶς ἄνομες φαντασίες, ἐὰν δὲν ἔχῃ συνεχῶς τὸν αὐτοκράτορα τῶν παθῶν λογισμὸ γιὰ νὰ τὸν ἐμποδίζῃ [τὸν νοῦ] καὶ νὰ τὸν χαλιναγωγῇ.

146. Ἡ θεωρία καὶ ἡ γνῶσι ἔχουν τὴν ἱκανότητα ἀπὸ τὴν φύσι τους νὰ γίνωνται ὁδηγοὶ καὶ πρόξενοι τῆς ζωῆς τῆς ἀκριβείας, ἐξ αἰτίας τοῦ ὅτι ἡ διάνοια ἐξυψωμένη ἀπ᾽ αὐτὲς ἔφθασε στὴν καταφρόνησι τῶν ἡδονῶν καὶ τῶν ἄλλων αἰσθητῶν καὶ εὐχάριστων τοῦ βίου καθόσον [εἶναι] εὐτελῆ.

147. Ὁ δὲ προσεκτικὸς ἐν Χριστῷ Ἰησοῦ βίος[13], ἐὰν κατορθωθῇ γίνεται ἀντίστροφα, ὁ πατέρας τῆς θεωρίας καὶ τῆς γνώσεως, ὁ γεννήτορας θείων ἀναβάσεων καὶ σοφώτατων σκέψεων,

ἁρμοσθεὶς συζύγῳ τῇ ταπεινώσει, ὥς φησιν Ἡσαΐας ὁ θεῖος Προφήτης. Ὅτι, οἱ ὑπομένοντες τὸν Κύριον, ἀλλάξουσιν ἰσχύν, πτεροβολήσουσι καὶ πετασθήσονται διὰ Κυρίου, φησίν[92].

ρμη΄. Σκληρὸν καὶ χαλεπὸν τοῖς ἀνθρώποις καταφαίνεται τὸ ψυχικῶς ἡσυχάζειν ἀπὸ παντὸς λογισμοῦ. Καὶ ἔστιν ἄρα ὡς ἀληθῶς ἐργῶδές τε καὶ ἐπίπονον. Οὐ γὰρ μόνοις ἐπαχθὲς τοῖς ἀμυήτοις τοῦ πολέμου, τὸ ἀσώματον ἐν σωματικῷ οἴκῳ περικλείειν τε καὶ περιορίζειν, ἀλλὰ καὶ τοῖς πεῖραν εἰληφόσι τῆς ἔνδον ἀΰλου μάχης· ὁ δὲ Κύριον Ἰησοῦν διὰ συνεχοῦς εὐχῆς ἐνστερνισάμενος, οὐ κοπιάσει κατακολουθῶν αὐτῷ κατὰ τὸν Προφήτην[93]*· καὶ ἡμέραν ἀνθρώπου ὁ τοιοῦτος οὐκ ἐπιθυμήσει, διὰ τὴν ὡραιότητα, καὶ τερπνότητα, καὶ γλυκύτητα τοῦ Ἰησοῦ. Καὶ τοὺς κύκλῳ ἀσεβεῖς δαίμονας περιπατοῦντας*[94] *τοὺς ἐχθροὺς αὐτοῦ, οὐ καταισχυνθήσεται, λαλῶν αὐτοῖς ἐν πύλῃ καρδίας· καὶ διὰ Ἰη-*

καθὼς συνδέθηκε μὲ σύζυγο τὴν ταπείνωσι, ὅπως λέγει ὁ Ἡσαΐας, ὁ θεόπνευστος Προφήτης ὅτι, ὅσοι ὑπομένουν τὸν Κύριο θὰ ἀλλάξουν δύναμι [θὰ πάρουν νέα καὶ μεγαλύτερη δύναμι], θὰ βγάλουν καινούργια φτερὰ καὶ θὰ πετάξουν, λέγει, μὲ τὴν Χάρι τοῦ Κυρίου.

148. Σκληρό καὶ δύσκολο φαίνεται στοὺς ἀνθρώπους τὸ νὰ ἡσυχάζουν ψυχικῶς[14] ἀπὸ κάθε λογισμό. Καὶ εἶναι λοιπόν πράγματι κοπιῶδες καὶ ὀδυνηρὸ μαζί. Διότι δὲν [εἶναι] δυσβάστακτο μόνο γιὰ τοὺς ἀμυήτους στὸν πόλεμο, τὸ νὰ περικλείουν καὶ ἐπιπλέον νὰ περιορίζουν τὸν ἀσώματο [νοῦ] μέσα σὲ οἶκο σωματικό, ἀλλὰ καὶ γι᾽ αὐτοὺς ποὺ ἔχουν ἀποκτήσει πεῖρα τῆς ἐσωτερικῆς ἄυλης μάχης. Ἐκεῖνος ὅμως ποὺ θὰ ἐνστερνισθῇ μὲ συνεχῆ εὐχὴ τὸν Κύριο Ἰησοῦ, δὲν θὰ κοπιάσῃ, νὰ ἀκολουθῇ κατόπιν Αὐτοῦ, σύμφωνα μὲ τὸν Προφήτη. Καὶ αὐτοῦ τοῦ εἴδους [ὁ ἄνθρωπος], δὲν θὰ ἐπιθυμήσῃ ἡμέρα ἀνθρώπου [δηλαδὴ τὴν καθημερινότητα τοῦ κόσμου], ἐξ αἰτίας τῆς ὡραιότητος καὶ τῆς τερπνότητος καὶ τῆς γλυκύτητος τοῦ Ἰησοῦ. Καὶ δὲν θὰ ντραπῇ τοὺς ἐχθρούς του, τοὺς ἀσεβεῖς δαίμονες, οἱ ὁποῖοι περιφέρονται τριγύρω, ὁμιλώντας ἐναντίον τους στὴν εἴσοδο τῆς καρδίας [του] καὶ καταδιώκοντάς [τους] διὰ τοῦ Ἰη-

σοῦ κατὰ νώτων διώκων.

ρμθ'. Ἀναπτᾶσα ψυχὴ διὰ θανάτου ἐν ἀέρι, ἐν πύλαις οὐρανίαις μεθ' ἑαυτῆς ὑπὲρ αὐτῆς Χριστὸν ἔχουσα, οὔτε ἐκεῖ τοὺς ἐχθροὺς αὐτῆς αἰσχυνθήσεται, ἀλλὰ παῤῥησίᾳ, ὡς νῦν, καὶ τότε λαλήσει ἐν πύλαις πρὸς αὐτούς· μόνον ἕως ἐξόδου αὐτῆς μὴ ἐκκακίσῃ βοᾷν πρὸς Κύριον Ἰησοῦν Χριστὸν τὸν τοῦ Θεοῦ Υἱὸν ἡμέρας καὶ νυκτός· καὶ αὐτὸς ποιήσει τὴν ἐκδίκησιν αὐτῆς ἐν τάχει, κατὰ τὴν ἀψευδῆ αὐτοῦ καὶ θείαν ὑπόσχεσιν, ἣν ἔφη περὶ τοῦ κριτοῦ τῆς ἀδικίας[95]· ναὶ λέγω ὑμῖν, ποιήσει· καὶ ἐν τῇ ζωῇ τῇ παρούσῃ, καὶ μετὰ τὴν ἐκ τοῦ σώματος αὐτῆς ἔξοδον.

ρν'. Τὴν νοητὴν θάλασσαν πλέων, θάῤῥει τῷ Ἰησοῦ. Φωνεῖ γὰρ ἔνδον ἐν σῇ καρδίᾳ μυστικῶς τό, μὴ φοβοῦ παῖς μου Ἰακώβ, ὀλιγοστὸς Ἰσραήλ[96]· μὴ φοβοῦ σκώληξ Ἰσραήλ, ἐγὼ ὑπερασπίζω σου. Εἰ οὖν ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς πονηρὸς καθ' ἡμῶν[97]; Ὅς γε μεμακάρικε καθαροὺς τῇ καρδίᾳ[98], καὶ

σοῦ ἐκ τῶν ὄπισθεν.

149. Ἡ ψυχή, ὅταν διὰ τοῦ θανάτου ἀνυψωθῇ στὸν ἀέρα, στὶς οὐράνιες πύλες ἔχοντας μαζί της γιὰ ὑπεράσπισί της τὸν Χριστό, οὔτε ἐκεῖ θὰ ντραπῇ τοὺς ἐχθρούς της, ἀλλὰ μὲ παρρησία, ὅπως καὶ τώρα [στὴν εἴσοδο τῆς καρδίας] καὶ τότε θὰ μιλήσῃ στὶς [οὐράνιες] πύλες ἐναντίον τους. Μόνον νὰ μὴν ἀποκάνῃ μέχρι τῆς ἐξόδου της, νὰ φωνάζῃ ἡμέρα καὶ νύκτα πρὸς τὸν Κύριο Ἰησοῦ Χριστό, τὸν Υἱὸ τοῦ Θεοῦ. Καὶ Αὐτὸς θὰ ἐκδικηθῇ γιὰ χάρι της γρήγορα κατὰ τὴν ἀψευδῆ αὐτοῦ καὶ θεία ὑπόσχεσι, τὴν ὁποία εἶπε σχετικὰ μὲ τὸν κριτὴ τῆς ἀδικίας. Ναὶ σᾶς λέγω, θὰ ἐκδικηθῇ καὶ στὴν παροῦσα ζωὴ καὶ μετὰ τὴν ἔξοδό της [τῆς ψυχῆς] ἀπὸ τὸ σῶμα.

150. Ἐνῶ πλέεις τὴν νοητὴ θάλασσα, ἔχε πεποίθησι στὸν Ἰησοῦ. Διότι φωνάζει ἐντός [σου] μέσα στὴν καρδία σου μυστικῶς, τὸ μὴ φοβᾶσαι παιδί μου Ἰακώβ, λιγοστὲ Ἰσραήλ. Μὴ φοβᾶσαι, σκουλήκι Ἰσραήλ, ἐγὼ σὲ ὑπερασπίζω. Ἐὰν λοιπὸν [εἶναι] ὁ Θεὸς ὑπὲρ ἡμῶν, ποιὸς πονηρὸς [μπορεῖ νὰ εἶναι] ἐναντίον μας; Ὁ ὁποῖος βέβαια ἔχει μακαρίσει τοὺς καθαροὺς κατὰ τὴν καρδία καὶ

νενομοθέτηκεν, ὡς ταῖς καθαραῖς καρδίαις ὁ γλυκὺς Ἰησοῦς, καὶ καθαρὸς μόνος ἐπιβαίνειν θεϊκῶς, καὶ ἐνοικεῖν θέλων. Διὸ μὴ ἀποστῶμεν, κατὰ τὸν θεῖον Παῦλον, γυμναζόμενοι τὸν νοῦν πρὸς εὐσέβειαν[99]. Ἀληθῶς γὰρ εὐσέβεια εἰκότως ἐῤῥήθη, ἡ ῥιζόθεν ἐκτίλλουσα τὰ τοῦ πονηροῦ σπέρματα. Αὕτη εὐσέβεια, αὕτη οἶμος τοῦ λόγου, τουτέστιν ὁδὸς τοῦ λογικοῦ, ἤτοι ὁδὸς λογισμοῦ. Καθ' Ἑλληνικὴν δὲ Ἀτθίδα διάλεκτον, οἶμος καὶ κέλευθος ἡ ὁδὸς λέγεται, ὅ ἐστι λογισμός.

ρνα'. Ἐπὶ πλήθει κατατρυφήσει εἰρήνης[100] κατὰ Δαβίδ, ὃς οὐ λαμβάνει πρόσωπον ἀνθρώπου, κρίνων ἀδικίαν ἐν καρδίᾳ αὐτοῦ, ἤτοι μορφὰς μὴ λαμβάνων τῶν πονηρῶν πνευμάτων· καὶ διὰ τῶν μορφῶν λογιζόμενος τὴν ἁμαρτίαν· καὶ κακῶς κρίνων καὶ δικάζων ἐν γῇ τῆς ἰδίας καρδίας, τῇ ἁμαρτίᾳ τὰ δίκαια διδούς. Ἀνθρώπους γὰρ καὶ τοὺς δαίμονας οἱ μεγάλοι καὶ γνωστικοὶ Πατέρες, ἔν τισι

ἔχει νομοθετήσει ὁ γλυκὺς Ἰησοῦς καὶ καθαρός, ὡς ἐπιποθῶν μόνος [Αὐτὸς] νὰ ἐπιβαίνῃ θεϊκῶς καὶ νὰ κατοικῇ μέσα στὶς καθαρὲς καρδίες. Γι' αὐτὸ νὰ μὴν ἀποφεύγωμε σύμφωνα μὲ τὸν θεόπνευστο Παῦλο νὰ γυμνάζωμε τὸν νοῦ μὲ σκοπὸ τὴν εὐσέβεια. Διότι πράγματι, εὐσέβεια ὀνομάστηκε δικαίως ἐκείνη ἡ ὁποία βγάζει ἀπὸ τὴν ρίζα τὰ σπέρματα τοῦ πονηροῦ. Αὐτὴ ἡ ἴδια ἡ εὐσέβεια, αὐτὴ ἡ ἴδια [εἶναι] ὁ «οἶμος» [ὁ δρόμος] τοῦ λόγου, δηλαδὴ ἡ ὁδὸς τοῦ λογικοῦ, μὲ ἄλλα λόγια ἡ ὁδὸς τοῦ λογισμοῦ. Κατὰ τὴν Ἑλληνικὴ δὲ Ἀττικὴ διάλεκτο, «οἶμος» καὶ «κέλευθος» ὀνομάζεται ἡ ὁδός, τὸ ὁποῖο εἶναι ὁ λογισμός.

151. Πάνω σὲ πλῆθος εἰρήνης θὰ ἀναπαυθῇ μὲ εὐφροσύνη, σύμφωνα μὲ τὸν Δαυΐδ, ὅποιος δὲν προσωποληπτεῖ, ὅταν κρίνῃ τὴν ἀδικία μέσα στὴν καρδία του, δηλαδὴ ὅταν δὲν δέχεται τὶς μορφὲς τῶν πονηρῶν πνευμάτων καὶ μέσῳ τῶν μορφῶν νὰ συλλογίζεται τὴν ἁμαρτία καὶ νὰ κρίνῃ κακῶς καὶ νὰ δικάζῃ μέσα στὴ γῆ τῆς ἴδιας τῆς καρδίας [του], δίνοντας δικαιώματα στὴν ἁμαρτία. Οἱ μεγάλοι βέβαια καὶ σοφοὶ Πατέρες σὲ κάποια συγγράμματά τους, ὀνόμασαν καὶ τοὺς δαίμο-

συγγραφαῖς αὐτῶν ἐκάλεσαν, διὰ τὸ λογιστικόν· οἷόν ἐστι καὶ τὸ Εὐαγγελικόν, ἔνθα φησὶν ὁ Κύριος, ὅτι πονηρὸς ἄνθρωπος τοῦτο ἐποίησε, καὶ τῷ σίτῳ τὰ ζιζάνια κατέμιξεν[101]*. Οὐκ ἔστιν ἀντίῤῥησις ταχὺ ἀπὸ τῶν ποιούντων τὸ πονηρόν. Τούτου δὴ χάριν καὶ καταναλισκόμεθα ὑπὸ τῶν λογισμῶν.*

ρνβ'. Νοῦ προσοχὴν ἀρξάμενοι πολιτεύεσθαι, εἰ μὲν ἁρμόττωμεν νήψει ταπείνωσιν, καὶ τῇ ἀντιῤῥήσει εὐχῇ συγκολλῶμεν, τὴν ὁδὸν τῆς μετανοίας[ιστ']* καλῶς ὁδεύσομεν, ὥς περ μετὰ λαμπάδος φωτὸς τοῦ προσκυνητοῦ καὶ ἁγίου ὀνόματος Ἰησοῦ Χριστοῦ, τὸν οἶκον ἡμῶν τῆς καρδίας ἐκ πονηρίας φιλοκαλοῦντες καὶ σαροῦντες, κοσμοῦντές τε καὶ ἐκκαθαίροντες. Εἰ δὲ μόνον ἐν νήψει ἡμετέρᾳ, ἢ προσοχῇ θαῤῥήσομεν, ταχέως παρὰ τῶν ἐχθρῶν ὠθούμενοι, ἀνατραπέντες πεσούμεθα, καὶ καταβαλοῦσιν ἡμᾶς οἱ δολομῆται καὶ δολιώτατοι· καὶ τοῖς ἀμφιβλήστροις αὐτῶν τοῖς πονηροῖς*

νες ἀνθρώπους ἐξ αἰτίας τοῦ λογιστικοῦ [ποὺ διαθέτουν], ὅπως ἀκριβῶς εἶναι καὶ τὸ Εὐαγγέλιο, ὅπου λέγει ὁ Κύριος, ὅτι πονηρὸς ἄνθρωπος ἔπραξε αὐτὸ καὶ ἀνέμειξε τὰ ζιζάνια μὲ τὸ σιτάρι. Δὲν εἶναι δυνατὴ ἡ ἀντίρρησι γρήγορα ἐκ μέρους αὐτῶν ποὺ κάνουν τὸ πονηρό. Χάριν μάλιστα αὐτοῦ καὶ φθειρόμεθα ἀπὸ τοὺς λογισμούς.

152. Ὅταν ἀρχίσαμε νὰ πολιτευώμεθα μὲ προσοχὴ τοῦ νοός, ἐὰν μὲν συνενώνωμε τὴν ταπείνωσι μὲ τὴν νῆψι καὶ συνδέωμε τὴν εὐχὴ μὲ τὴν ἀντίρρησι θὰ πορευθοῦμε καλῶς τὴν ὁδὸ τῆς μετανοίας, καλλωπίζοντας καὶ σκουπίζοντας, διακοσμώντας καὶ καθαρίζοντας μαζί, τὸν οἶκο τῆς καρδίας μας ἀπὸ τὴν πονηρία, ὅπως ἀκριβῶς μὲ λαμπάδα φωτός, [δηλαδὴ] τοῦ προσκυνητοῦ καὶ ἁγίου ὀνόματος τοῦ Ἰησοῦ Χριστοῦ. Ἐὰν τυχὸν ὅμως ἔχωμε πεποίθησι μόνον στὴν δική μας νῆψι ἢ προσοχή, θὰ πέσωμε γρήγορα, ἀφοῦ ἀνατραποῦμε σπρωγμένοι ἀπὸ τοὺς ἐχθροὺς καὶ θὰ μᾶς ρίξουν κάτω οἱ πανοῦργοι καὶ ὑπουλότατοι. Καὶ στὰ δίχτυα τους, [δηλαδὴ] στὶς πονηρὲς

ἐνθυμίοις, πλειόνως ἐμπλακησόμεθα, ἢ καὶ σφαγησόμεθα εὐχερῶς ὑπ᾽ αὐτῶν, τὸ κραταιὸν δόρυ οὐκ ἔχοντες Ἰησοῦ Χριστοῦ ὄνομα. Μόνον γὰρ τὸ σεβάσμιον τοῦτο φάσγανον πυκνῶς ἄγαν στρεφόμενον[ιζ'] ἐν μονοτρόπῳ καρδίᾳ, οἶδε συστρέφειν καὶ κατακόπτειν αὐτούς, καταφλέγειν τε καὶ ἀποκρύπτειν, ὡσεὶ καλάμην πῦρ.

ρνγ'. Ὅριον[ιη'] μὲν νήψεως ἀδιαλείπτου, ἤτοι ψυχῆς ὄνησις καὶ κέρδος μέγα, τὸ ὁρᾷν εὐθὺς σχηματιζομένας τὰς τῶν λογισμῶν ἐν νῷ φαντασίας· ἀντιῤῥήσεως δέ, τὸ διελέγχειν καὶ δηλοῦν τὸν πειρώμενον εἰσελθεῖν λογισμὸν ἐν τῷ ἀέρι τοῦ νοὸς ἡμῶν διὰ φαντασίας αἰσθητοῦ τινος πράγματος· τὸ δὲ σβεννύον καὶ διαλύον τῶν ἀντιπάλων εὐθέως πᾶν νόημα, πάντα λόγον, πᾶν φάντασμα, πᾶν εἴδωλον, πᾶσαν στήλην πονηράν, ἐστὶν ἡ τοῦ Κυρίου ἐπίκλησις. Καὶ ἡμεῖς γὰρ αὐτοὶ ἐν νῷ βλέπομεν τὴν κατὰ κράτος αὐτῶν ἧτταν τὴν διὰ Ἰησοῦ τοῦ μεγάλου Θεοῦ

ἐνθυμήσεις, περισσότερο θὰ μπλεχτοῦμε ἢ καὶ θὰ σφαγοῦμε εὔκολα ἀπ᾽ αὐτούς, ἐπειδὴ δὲν ἔχομε τὸ κραταιὸ δόρυ, [δηλαδὴ] τὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ. Διότι μόνο αὐτὸ τὸ σεβάσμιο ξίφος, ὅταν στρέφεται ἀδιάλειπτα μέσα στὴν μοναχικὴ καρδία, γνωρίζει καλὰ νὰ στριφογυρίζῃ [τοὺς δαίμονες] καὶ νὰ κατακόπτῃ, νὰ καταφλέγῃ καὶ νὰ τοὺς ἐξαφανίζῃ, ὅπως ἡ φωτιὰ τὸ καλάμι.

153. Τὸ ἀποκορύφωμα μὲν τῆς ἀδιαλείπτου νήψεως, δηλαδὴ τὸ ὄφελος τῆς ψυχῆς καὶ τὸ μέγα κέρδος [εἶναι] τὸ νὰ βλέπῃ [κανεὶς] ἀμέσως τὶς φαντασίες τῶν λογισμῶν ὅταν σχηματίζωνται, μέσα στὸν νοῦ. [Τὸ ἀποκορύφωμα] δὲ τῆς ἀντιρρήσεως [εἶναι] τὸ νὰ διακρίνῃ καὶ νὰ ἀποκαλύπτῃ τὸν λογισμό, ποὺ ἀποπειρᾶται νὰ εἰσέλθῃ στὴν ἀτμόσφαιρα τοῦ νοός μας μέσῳ τῆς ἐμφανίσεως [παραστάσεως] κάποιου αἰσθητοῦ πράγματος. Ἐκεῖνο ὅμως ποὺ σβήνει καὶ διαλύει ἀμέσως κάθε νόημα τῶν ἀντιπάλων [δαιμόνων], κάθε λόγο, κάθε φαντασία, κάθε ψεύτικη εἰκόνα, κάθε πονηρὴ ἐπιγραφή, εἶναι ἡ ἐπίκλησι τοῦ Κυρίου. Καὶ ἐμεῖς βέβαια οἱ ἴδιοι βλέπομε μέσα στὸν νοῦ [μας] τὴν κατὰ κράτος ἧττα τους, διὰ τοῦ Ἰησοῦ τοῦ μεγάλου μας Θεοῦ

ἡμῶν, καὶ τὴν ἡμῶν τῶν ταπεινῶν, καὶ εὐτελῶν, καὶ ἀχρείων ἐκδίκησιν.

ρνδʹ. Ὅτι πάντες οἱ λογισμοὶ οὐδὲν ἕτερον εἰσίν, ἀλλ᾽ ἢ φαντασίαι μόναι αἰσθητῶν καὶ κοσμικῶν πραγμάτων, οἱ πολλοὶ ἀγνοοῦμεν. Εἴπερ δὲ χρονίσωμεν ἐν εὐχῇ νηφόντως, στερίσκει μὲν εὐχὴ τὴν διάνοιαν πάσης ὑλώδους φαντασίας λογισμῶν πονηρῶν· γνωρίζει δὲ αὐτῇ καὶ τοὺς λόγους τῶν πολεμίων, καὶ τὸ μέγα κέρδος εὐχῆς τε καὶ νήψεως· πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν νοητῶν, νοητῶς καὶ αὐτὸς ὄψει, καὶ κατανοήσεις, φησὶ Δαβὶδ ὁ θεῖος μελωδός[102].

ρνεʹ. Μνημονεύσωμεν, εἰ δυνατόν, τοῦ θανάτου ἀδιαλείπτως· δι᾽ ἧς μνήμης φροντίδων ἀπόθεσις, ματαιοτήτων τε πασῶν ἐν ἡμῖν γεννᾶται, φυλακή τε νοός, καὶ διηνεκὴς δέησις· ἀπροσπάθεια τοῦ σώματος, βδέλυξις ἁμαρτίας· καὶ σχεδὸν εἰπεῖν εἰ δεῖ τἀληθές, πᾶσα ἀρετὴ νάουσα ἐκ ταύ-

καὶ τὴν ἐκδίκησί μας, τῶν ταπεινῶν καὶ εὐτελῶν καὶ ἀχρείων.

154. Ὅτι ὅλοι οἱ λογισμοὶ τίποτε ἄλλο δὲν εἶναι παρὰ μόνο οἱ φαντασίες αἰσθητῶν καὶ κοσμικῶν πραγμάτων, οἱ πιὸ πολλοὶ [τὸ] ἀγνοοῦμε. Ἐὰν ὅμως πράγματι χρονίσωμε στὴν εὐχή, τὴν ὁποία ἐκτελοῦμε μὲ νῆψι, [τότε] ἀπελευθερώνει μὲν ἡ εὐχὴ τὴν διάνοια ἀπὸ κάθε γήινη φαντασία τῶν πονηρῶν λογισμῶν. Γνωστοποιεῖ δὲ σ᾽ αὐτὴν καὶ τὶς μεθοδίες τῶν ἐχθρῶν καὶ τὸ μέγα κέρδος τῆς εὐχῆς καὶ τῆς νήψεως. Ἐπιπλέον μὲ τοὺς [πνευματικοὺς] ὀφθαλμούς σου θὰ κατανοήσῃς καὶ τὴν τιμωρία τῶν νοητῶν ἁμαρτωλῶν [τῶν δαιμόνων] καὶ θὰ [τὴν] δῇς νοερῶς ὁ ἴδιος καὶ θὰ [τὴν] ἀντιληφθῇς, λέγει ὁ θεόπνευστος Δαυΐδ, ὁ μελωδός.

155. Νὰ μνημονεύσωμε, ἐὰν εἶναι δυνατόν, τὸν θάνατο ἀδιαλείπτως, διὰ τῆς ὁποίας μνημονεύσεως γεννιέται μέσα μας ἡ ἀπόθεσι τῆς μνήμης τῶν φροντίδων καὶ ὅλων τῶν ματαιοτήτων καὶ ἡ φυλακὴ τοῦ νοὸς μαζὶ μὲ τὴν ἀδιάλειπτη προσευχή, ἡ ἀπροσπάθεια[15] τοῦ σώματος, ἡ ἀποστροφὴ τῆς ἁμαρτίας. Καὶ ἂν πρέπει νὰ πῆ κανεὶς τὴν ἀλήθεια, σχεδὸν κάθε ἀρετὴ ἀναβλύζει ρέουσα ἀπ᾽ αὐ-

της ἐκβλύζεται. Διὸ ὡς τῇ ἰδίᾳ πνοῇ, εἰ δυνατόν, τῷ πράγματι χρησώμεθα.

ρνς΄. Καρδία ξενωθεῖσα[ιθ΄] *φαντασιῶν τελείως, νοήματα τέξεται μέσον αὐτῆς σκιρτῶντα, θεῖά τε καὶ μυστηριώδη· ὃν τρόπον σκιρτῶσιν ἰχθύες, καὶ ἐγκυβιστῶσι δελφῖνες γαληνιώσης θαλάσσης. Καὶ ῥιπίζεται μὲν θάλαττα ὑπὸ λεπτῆς αὔρας, ἄβυσσος δὲ καρδίας ὑπὸ Πνεύματος Ἁγίου· ὅτι δέ, φησίν, ἐστὲ υἱοί, ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ ἐν ταῖς καρδίαις ὑμῶν, κράζον, ἀββᾶ ὁ Πατήρ*[103].

ρνζ΄. Ἀπορήσει καὶ διχονοήσει πᾶς Μοναχός, πνευματικοῦ ἔργου πρὸ νήψεως νοῦ λαβέσθαι· ἢ οὐκ εἰδὼς τὸ ταύτης κάλλος· ἢ εἰδὼς μέν, δι᾽ ἀμέλειαν δὲ μὴ δυνάμενος. Τῆς δὲ ἀπορίας ἀναμφιβόλως λυθήσεται, νοὸς τήρησιν ἐπιβάς. Ἥ ἐστι καὶ λέγεται διανοητικὴ φιλοσοφία, ἢ πρακτικὴ φιλοσοφία νοός· ὡς τὴν ὁδὸν εὑρηκώς, ἢ εἶπεν· ἐγώ εἰμι ἡ ὁδός, καὶ ἡ ἀνάστασις, καὶ ἡ ζωή[104].

τὴν [τὴν μνήμη τοῦ θανάτου]. Γι᾽ αὐτό, νὰ μεταχειριστοῦμε τὸ πρᾶγμα, ἐὰν [εἶναι] δυνατόν, σὰν τὴν ἴδια τὴν ἀναπνοή μας.

156. Ἡ καρδία, ἡ ὁποία ἀποξενώθηκε τελείως ἀπὸ φαντασίες, θὰ γεννήσῃ μέσα της θεϊκὰ καὶ μυστικὰ νοήματα ποὺ σκιρτοῦν κατὰ τὸν ἴδιο τρόπο ποὺ σκιρτοῦν τὰ ψάρια καὶ ἀναπηδοῦν τὰ δελφίνια, ὅταν ἡ θάλασσα εἶναι γαλήνια. Καὶ ἀναρριπίζεται μὲν ἡ θάλασσα ἀπὸ τὴν λεπτὴ αὔρα, ἐνῶ ἡ ἄβυσσος τῆς καρδίας [ἀναρριπίζεται] ἀπὸ τὸ Ἅγιο Πνεῦμα· ἐπειδὴ ὅμως, λέγει, εἶστε υἱοί, ἐξαπέστειλε ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ Του νὰ κράζῃ μέσα στὶς καρδίες Σας, «Πατέρα!».

θλου], διότι οἱ ἐχθροὶ οἱ ὁποῖοι τοὺς καταδιώκουν, ἴσως ἔχουν ταχύτερα πόδια.

15. Μέγα ἐμπόδιο σ᾽ ἐκείνους ποὺ σπεύδουν μὲ σκοπὸ τὴν ἀρετὴ [εἶναι] ἡ προσπάθεια [ἡ ἐμπαθὴς ἐπιρρέπεια καὶ προσκόλλησι] στὰ κοσμικὰ πράγματα, ἡ ὁποία καὶ στὴν ψυχὴ καὶ στὸ σῶμα προξενεῖ πολλὲς φορὲς τὸν ὄλεθρο. Διότι τί ἐξόντωσε τὸν Ναβουθὲ τὸν Ἰσραηλίτη; Δὲν ἔχει γίνει γι᾽ αὐτὸν ὁ ζηλευτὸς ἀμπελώνας ὁ αἴτιος τοῦ θανάτου, ἀφοῦ κίνησε ἐναντίον του σὲ φθόνο τὸν γείτονά [του] Ἀχαάβ; Τί ἐξάλλου προκάλεσε ὥστε νὰ μείνουν οἱ δυόμισι φυλὲς ἔξω ἀπὸ τὴν γῆ τῆς ἐπαγγελίας; Δὲν [ἦταν] τὸ πλῆθος τῶν κοπαδιῶν; Τί δὲ καὶ τὸν Λὼτ χώρισε ἀπὸ τὸν Ἀβραάμ; Δὲν [ἦταν] τὸ πλῆθος ἀπὸ τὰ ζῶα, ποὺ ὑποκίνησε τὶς συνεχεῖς διενέξεις ἀνάμεσα στοὺς ποιμένες; Στὸ τέλος διαχώρισαν αὐτούς, τὸν ἕνα ἀπὸ τὸν ἄλλο. Ἐὰν λοιπὸν τοὺς κακοήθεις ἐξερεθίζῃ πρὸς φθόνο, ἐναντίον ἐκείνων οἱ ὁποῖοι ἔχουν τὶς περιουσίες, καὶ ἀποκλείῃ ἐκείνους οἱ ὁποῖοι ἔχουν ἀποκτήσει [τὰ ἀποκτήματα] ἀπὸ τὰ σπουδαιότερα [ποὺ εἶναι τὰ πράγματα τοῦ Θεοῦ], καὶ διακόπτῃ τὴν συγγένεια καὶ κάνῃ νὰ ἔχουν οἱ φίλοι ἔχθρα· καὶ δὲν [ἔχῃ] τίποτα κοινὸ

καὶ πρὸς τὴν ἐν σώματι οὐδὲν μέγα χρησιμεύει· τί τῆς θεραπείας τοῦ Θεοῦ ἀφιστάμενοι, ὅλοι γινόμεθα τῆς ματαιότητος; Μὴ γὰρ ἡμεῖς ἐσμεν, οἱ τὰ τῆς ζωῆς ἀνύοντες τῆς ἑαυτῶν; Θεός ἐστιν ὁ ταύτην οἰκονομῶν. Καὶ ἡ μὲν ἀνθρωπίνη σπουδή, μὴ τυχοῦσα τῆς τοῦ Θεοῦ βοηθείας, ἐξ ἀνάγκης ἀστοχεῖ τοῦ τέλους· ἡ δὲ τοῦ Θεοῦ οἰκονομία, καὶ δίχα τῆς ἀνθρωπίνης συμπράξεως, τέλεια παρέχει ἀγαθά. Τί ὤνησεν ἐκείνους ἡ ἰδία σπουδή, πρὸς οὓς ἔλεγεν ὁ Θεός· ἐσπείρατε πολλά, καὶ εἰσηνέγκατε ὀλίγα, καὶ ἐξεφύσησα αὐτὰ ἐκ τῶν χειρῶν ὑμῶν[26]; Τί δὲ τοῖς κατ᾽ ἀρετὴν βιώσασιν ἔλειψε τῶν ἀναγκαίων, μηδ᾽ ὅλως φροντίσασι περὶ τούτων; Οὐκ ἐν ἐρήμῳ τεσσαράκοντα ἔτη ὁ Ἰσραὴλ ἐτρέφετο, μηδενὸς τῶν ἐκ γεωργίας ἀπολαύοντες; Καὶ οὐκ ἐπεδεήθησαν βρώματος· ἀλλὰ θάλασσα μέν, ἐκαινούργει τροφὴν παράδοξον, ὀρτυγομήτραν ἐρευγομένη· οὐρανὸς δέ, μάννα καταφέρων, ὑετὸν

μὲ τὴν μέλλουσα ζωὴ καὶ καμία σημαντικὴ ὠφέλεια δὲν παρέχει ὅσον ἀφορᾶ τὴν [παροῦσα] ἐν σώματι [ζωή]· γιατὶ ἀπομακρυνόμενοι ἀπὸ τὴν φροντίδα τοῦ Θεοῦ, κυριευόμεθα ὁλόκληροι ἀπὸ τὴν ματαιότητα; Διότι μήπως ἐμεῖς εἴμαστε ἐκεῖνοι, ποὺ ἐπιτελοῦμε τὰ σχετικὰ μὲ τὴν δική μας ζωή; Ὁ Θεὸς εἶναι Ἐκεῖνος, ὁ ὁποῖος τὴν κυβερνᾶ. Καὶ ἡ μὲν ἀνθρώπινη προσπάθεια, ἐὰν δὲν τύχῃ τῆς βοηθείας τοῦ Θεοῦ, ἀναγκαστικὰ ἀποτυγχάνει τοῦ σκοποῦ. Ἡ δὲ οἰκονομία τοῦ Θεοῦ καὶ χωρὶς τὴν ἀνθρώπινη σύμπραξι, ἀποδίδει τέλεια τὰ ἀγαθά. Τί ὠφέλησε ἡ δική τους προσπάθεια ἐκείνους, πρὸς τοὺς ὁποίους ἔλεγε ὁ Θεός: «σπείρατε πολλὰ καὶ ἀποκομίσατε λίγα καὶ φύσησα αὐτὰ ἔξω ἀπὸ τὰ χέρια σας»; Ἀλλὰ ποιὸ ἀπὸ τὰ ἀναγκαῖα ἔλειψε σ᾽ ἐκείνους οἱ ὁποῖοι ἔζησαν σύμφωνα μὲ τὴν ἀρετή, ἂν καὶ καθόλου δὲ φρόντισαν γι᾽ αὐτά; Δὲν ἐτρέφετο ὁ Ἰσραὴλ σαράντα χρόνια στὴν ἔρημο, ἐνῶ δὲν ἀπήλαυσαν κανένα ἀπὸ τὰ [προϊόντα] τῆς γεωργικῆς καλλιέργειας; Καὶ δὲν βρέθηκαν στὴν ἀνάγκη ἐπιπλέον φαγητοῦ· ἀλλὰ ἡ θάλασσα μέν, παρεῖχε κατὰ τρόπο νεοφανῆ, παράδοξη τροφὴ καθὼς ἐξέβραζε μεγάλα ὀρτύκια· ὁ δὲ οὐρανός, ἔριχνε κάτω τὸ μάννα, ὡς βρο-

ἀήθη καὶ ξένον[27]*. Πέτρα δὲ νοτίδος ἄμοιρος, ῥαγεῖσα, παρεῖχεν ἄφθονον τὸ νᾶμα*[28]*· ἱμάτια δὲ καὶ ὑποδήματα ὑπηρέτει πάντα τὸν χρόνον, μὴ παλαιούμενα*[29]*. Ποίᾳ δὲ γεωργίᾳ ἐν τῷ χειμάρρῳ ὁ Ἠλίας ἐτρέφετο; Οὐ κόρακες αὐτῷ παρεκόμιζον τὴν τροφήν*[30]*; Οὐκ ἐν Σάρεφθα ἐλθόντι, χήρα, καὶ τῶν ἀναγκαίων ἐνδεής, ἄρτον παρέσχε, τοῦ στόματος τῶν ἰδίων τέκνων ἀφαρπάσασα*[31]*; Ἵνα δειχθῇ, ὅτι καὶ φύσεως προτιμοτέρα ἡ ἀρετή. Καὶ ταῦτα, παράδοξα μέν· ὅμως, καὶ τοῦ εἰκότως ἐχόμενα· δυνατὸν γὰρ καὶ τὸν μὴ ἐσθίοντα ζῆν, ὅταν βούληται ὁ Θεός. Πῶς γὰρ ὁ Ἠλίας τεσσαράκοντα ἡμερῶν ὁδὸν ἤνυσεν, ἐν ἰσχύϊ βρώσεως μιᾶς*[32]*; Πῶς δὲ ὁ Μωϋσῆς, ὀγδοήκοντα ἡμέρας ἐπὶ τοῦ ὄρους προσφιλοσοφῶν τῷ Θεῷ, ἀνθρωπίνης τροφῆς ἔμεινεν ἄγευστος; Μετὰ δὲ τεσσαράκοντα ἡμέρας κατελθών, καὶ διὰ τὴν μοσχοποιΐαν θυμωθείς, εὐθέως συντρίψας τὰς πλάκας, ἐπὶ τὸ ὄρος ἀνέδραμε, καὶ τοσαύτας ἄλλας*

χὴ ἀσυνήθιστη καὶ παράδοξη. Ἐπιπλέον πέτρα ἄμοιρη ἀπὸ [ὅποια] ὑγρασία, ἀφοῦ σχίστηκε, ἀπέδωσε ἄφθονο πηγαῖο νερό. Τὰ ἐνδύματα καὶ τὰ ὑποδήματα [τοὺς] ἐξυπηρετοῦσαν ὅλο τὸν καιρὸ χωρὶς νὰ παλιώνουν. Μὲ ποιὰ γεωργικὴ καλλιέργεια τρεφόταν ὁ Ἠλίας στὸν χείμαρρο [Χορράθ]; Δὲν τοῦ μετέφεραν τὰ κοράκια τὴν τροφή; Δὲν τοῦ προσέφερε, ὅταν ἔφθασε στὰ Σάρεφθα, μιὰ χήρα καὶ στερημένη ἀπὸ τὰ ἀναγκαῖα, ψωμί, τὸ ὁποῖο ἄρπαξε ἀπὸ τὸ στόμα τῶν ἴδιων τῶν παιδιῶν της; Γιὰ νὰ ἀποδειχθῇ, ὅτι ἡ ἀρετὴ [εἶναι] ἀνωτέρα ἀπὸ τὴν φύσι. Καὶ αὐτὰ βέβαια [εἶναι] παράδοξα. Ὅμως ὑποκείμενα στὴν ἀλήθεια [δηλαδὴ εἶναι ἀληθινά]. Διότι [εἶναι] δυνατὸν νὰ ζῇ κι ἐκεῖνος ὁ ὁποῖος δὲν τρώγει, ὅταν θέλῃ ὁ Θεός. Γιατὶ πῶς ὁ Ἠλίας διήνυσε διαδρομὴ σαράντα ἡμερῶν μὲ τὴν δύναμι ἑνὸς γεύματος; Πῶς ἐξάλλου ὁ Μωυσῆς, ἔμεινε ἄγευστος ἀνθρωπίνης τροφῆς ὀγδόντα ἡμέρες πάνω στὸ ὄρος [Σινά], ὅταν ἐδιδάσκετο τὴν [ὄντως] φιλοσοφία ἀπὸ τὸν Θεό; Μετὰ δὲ ἀπὸ σαράντα ἡμέρες, ὅταν κατέβηκε καὶ θύμωσε γιὰ τὴν κατασκευὴ τοῦ μόσχου, εὐθὺς συντρίβοντας τὶς πλάκες [τῆς Διαθήκης], ἀνέβηκε στὸ ὄρος [Σινὰ] καὶ παραμένοντας στὸ ὄρος γιὰ ἄλλες τόσες [ἡμέ-

ἐνδιατρίψας ἐν τῷ ὄρει, οὕτω τὰς δευτέρας πλάκας λαβών, κατῆλθε πρὸς τὸν λαόν[33]. *Ποῖος δὲ λογισμὸς ἀνθρώπινος τὸ εὔλογον τοῦ θαύματος τούτου παραστῆσαι δύναται; Πῶς ἡ ῥοώδης τοῦ σώματος φύσις, τοσοῦτον κινουμένη διήρκεσε, οὐδ' ἑνὸς ἀντιπληροῦντος τὸ καθ' ἡμέραν διαπνεόμενον τῆς δυνάμεως; Λύει δὲ τοῦτο τὸ ἄπορον ὁ θεῖος λόγος, ὅταν λέγῃ· οὐκ ἐπ' ἄρτῳ μόνον ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ*[34]. *Τί τοίνυν τὸ πολίτευμα τὸ οὐράνιον εἰς γῆν κατασπῶμεν, ταῖς ὑλικαῖς ἐμβαθύνοντες ταλαιπωρίαις; Καὶ κοπρίας περιβάλλομεν ἑαυτοῖς, οἱ ποτὲ τιθηνούμενοι ἐπὶ κόκκῳ*[35]; *Ὡς περί τινων ὁ Ἱερεμίας θρηνῶν ἔλεγεν· ὅταν γὰρ ἐπὶ τῶν λαμπρῶν καὶ διαπύρων ἀναπαυώμεθα νοημάτων, ἐπὶ κόκκῳ τιθηνούμεθα· ὅταν δὲ τὴν τοιαύτην ἀφέντες κατάστασιν, τοῖς γηΐνοις ἐμφυρώμεθα πράγμασι, κοπρίας περιβαλλόμεθα.*

ρες], ἀφοῦ ἔλαβε κατ᾽ αὐτὸν τὸν τρόπο τὶς δεύτερες πλάκες, κατέβηκε στὸ λαό. Ποιὸς ὅμως ἀνθρώπινος λογισμὸς μπορεῖ νὰ καταδείξῃ τὴν λογικὴ αὐτοῦ τοῦ θαύματος; Πῶς ἡ ρευστὴ φύσι τοῦ σώματος, ἐνῶ βρίσκεται σὲ κίνησι ἐπὶ τόσο διάστημα ἄντεξε, χωρὶς τίποτα νὰ ἀναπληρώνῃ τὸ [ποσὸ] τῆς δυνάμεώς [της], τὸ ὁποῖο ἐξανεμιζόταν κάθε ἡμέρα; Λύνει ὅμως ὁ θεϊκὸς λόγος αὐτὴν τὴν ἀπορία, ὅταν λέγῃ: «δὲν θὰ ζήσῃ ὁ ἄνθρωπος μόνο μὲ ψωμί, ἀλλὰ μὲ κάθε λόγο, ὁ ὁποῖος ἐξέρχεται ἀπὸ τὸ στόμα τοῦ Θεοῦ». Γιατὶ λοιπὸν σύρομε κάτω στὴ γῆ τὸ οὐράνιο πολίτευμα [τῶν Μοναχῶν], βυθιζόμενοι ἀφρόνως στὶς ὑλικὲς ταλαιπωρίες; Καὶ περιβάλλομε τοὺς ἑαυτούς μας μὲ κοπριά, [ἐμεῖς] οἱ ὁποῖοι κάποτε ἀνατρεφόμαστε πάνω στὴν πορφύρα [τοῦ Βασιλέως Χριστοῦ]; Ὅπως θρηνώντας ὁ Ἱερεμίας ἔλεγε γιὰ κάποιους. Διότι, ὅταν ἀναπαυώμεθα πάνω στὰ λαμπρὰ καὶ διάπυρα νοήματα, ἀνατρεφόμεθα πάνω στὴν πορφύρα. Ὅταν ὅμως ἀναμειγνυώμεθα μὲ τὰ γήινα πράγματα, ἐγκαταλείποντας αὐτὴν τὴν τάξι, περιβαλλόμεθα τὴν κοπριά.

[16.] Τί τὴν ἐλπίδα ἀφιστῶντες ἀπὸ τοῦ Θεοῦ, τὴν σάρκα τοῦ βραχίονος στηρίζομεν, τὴν τοῦ Δεσπότου πρόνοιαν ταῖς ἑαυτῶν ἐπιγράφοντες χερσίν· ἥν περ εἰς μεγίστην ἁμαρτίαν ἑαυτῷ λογισθῆναι ὁ Ἰὼβ ἐπηράσατο· τὸν ἐπιθέντα τὴν χεῖρα τῷ στόματι καταφιλῆσαι[36]*, τοῦτο ποιοῦντες νῦν οὐ δεδοίκαμεν· ἔθος γὰρ τοῖς πολλοῖς τὰς χεῖρας καταφιλεῖν, ἐξ ἐκείνων ἔχειν τὴν εὐπορίαν λέγοντες· οὓς αἰνιττόμενος διὰ συμβόλου ὀνόματός φησιν· ὃς πορεύεται ἐπὶ χειρῶν, ἀκάθαρτος, καὶ ὃς πορεύεται ἐπὶ τεσσάρων διαπαντός, ἀκάθαρτος*[37]*· ἐπὶ χειρῶν δὲ πορεύεται, ὁ ταῖς χερσὶν ἐπερειδόμενος, καὶ πᾶσαν ἐπ' αὐτῶν ἔχων τὴν ἐλπίδα· ἐπὶ τεσσάρων δὲ πορεύεται, ὁ τοῖς αἰσθητοῖς πράγμασι προσπεποιθώς, καὶ τῇ τούτων ἀσχολίᾳ διαπαντὸς ὑποσύρων τὸ ἡγεμονικόν· πολυπληθεῖ δὲ ποσίν, ὁ ἀπρὶξ τῶν σωματικῶν περιερχόμενος· διὰ τοῦτο ὁ σοφὸς παροιμιαστής, οὐδὲ δύο πόδας ἔχειν βούλεται*

16. Γιατὶ ἀπομακρύνοντας τὴν ἐλπίδα [μας] ἀπὸ τὸν Θεό, ἐνισχύομε τὴν σάρκα τοῦ βραχίονός [μας-δηλαδὴ τὴν ὑπόστασι τῆς δυνάμεώς μας], ἀποδίδοντας τὴν πρόνοια τοῦ Δεσπότου [Χριστοῦ] στὰ δικά μας χέρια. Αὐτὴν ἀκριβῶς ὁ Ἰὼβ καταράστηκε κατὰ τοῦ ἑαυτοῦ του, νὰ [τοῦ] καταλογισθῇ, ὡς ἡ μεγαλύτερη ἁμαρτία, ὅταν κάποιος βάζῃ ἐπάνω στὸ στόμα [του] τὸ χέρι [του] γιὰ νὰ [τὸ] καταφιλήσῃ. Αὐτὸ [ἐμεῖς] δὲν φοβόμαστε τώρα, ὅταν [τὸ] κάνωμε. Διότι [εἶναι] συνήθεια σὲ πολλοὺς νὰ καταφιλοῦν τὰ χέρια [τους], λέγοντας ὅτι ἐξ αἰτίας ἐκείνων ἔχουν τὸν πλοῦτο· τοὺς ὁποίους ὑπονοώντας [ἡ Παλαιὰ Διαθήκη] μὲ ὀνομασία συμβολικοῦ σημείου, λέγει: «ὅποιος πορεύεται πάνω στὰ χέρια [του εἶναι] ἀκάθαρτος, καὶ ὅποιος πορεύεται πάντοτε πάνω στὰ τέσσερα [εἶναι] ἀκάθαρτος». Πάνω ἐξάλλου στὰ χέρια [του] πορεύεται ἐκεῖνος, ὁ ὁποῖος στηρίζεται στὰ χέρια καὶ ἔχει πάνω σ' αὐτὰ ὁλόκληρη τὴν ἐλπίδα [του]. Στὰ τέσσερα, ἐξάλλου, πορεύεται ἐκεῖνος, ὁ ὁποῖος ἔχει κατ' ἐξοχὴν τὴν ἐμπιστοσύνη [του] στὰ αἰσθητὰ πράγματα καὶ πάντοτε σύρει κάτω τὸ ἡγεμονικὸ [τῆς ψυχῆς του-τὸν νοῦ] στὴν ἐνασχόλησι μ' αὐτά. Μὲ πολυάριθμα δὲ πόδια [πορεύεται], ἐκεῖνος, ὁ ὁποῖος ἀδιάκοπα γυρίζει γύρω ἀπὸ τὰ σωματικά. Γι' αὐτὸ ὁ σοφὸς παροιμιαστὴς [Σολομών], ἀπαιτεῖ νὰ μὴν ἔχῃ οὔτε δύο πόδια

τὸν τέλειον, ἀλλ᾽ ἕνα, καὶ τοῦτον σπανίως πρὸς τὰ σωματικὰ κινούμενον πράγματα· σπάνιον λέγων εἰσάγαγε σὸν πόδα πρὸς τὸν ἑαυτοῦ φίλον, μή ποτε πλησθείς σου, μισήσῃ σε[38]*. Εἰ γὰρ ὁ σπανιάκις τῷ Χριστῷ περὶ τῆς χρείας ἐνοχλῶν τοῦ σώματος, οὗτος γὰρ ὁ σκοπὸς τῶν φίλων τῶν τοιούτων ἐστίν, ὡς πρὸς τοὺς ἑαυτοῦ μαθητάς φησιν ὁ Σωτήρ· ὑμεῖς φίλοι μού ἐστε*[39]*· ἐὰν συνεχέστερον τοῦτο ποιῇ, μισητὸς γίνεται· τί ἄρα πείσεται, καὶ πῶς οὐ βδελυκτὸς ἔσται, ὁ διαπαντὸς ταύταις ἐνασχολούμενος ταῖς χρείαις, καὶ μηδέποτε πρὸς τὴν ὄρθιον ἐγειρόμενος ζωήν· διὰ τὸ μὴ ἔχειν σκέλη ἐπάνω τῶν ποδῶν, ὥστε πηδᾷν ἐν αὐτοῖς ἀπὸ τῆς γῆς· ὡς γὰρ τὰ σκέλη διὰ τῆς συνεύσεως, ὅλον μὲν δέχεται πρότερον ἐφ᾽ ἑαυτῶν τὸν ὄγκον τοῦ σώματος· μικρὸν δὲ προσεγγίσαντα τῇ γῇ, ἀθρόον ἐνάλλεσθαι παρασκευάζει πρὸς τὸ μετέωρον· οὕτως ὁ διακριτικὸς τῶν τῆς φύσεως πραγμάτων λο-*

ὁ τέλειος ἀλλὰ ἕνα καὶ τοῦτο νὰ κινῆται σπάνια πρὸς τὰ σωματικὰ πράγματα· λέγοντας: «σπάνια βάλε τὸ πόδι σου μέσα [στὸ σπίτι] τοῦ φίλου σου, γιὰ νὰ μὴν σὲ μισήσῃ κάποτε, ἐπειδὴ σὲ χόρτασε». Διότι, ἐὰν ἐκεῖνος ὁ ὁποῖος σπάνια ἀπασχολεῖ τὸν Χριστὸ σχετικὰ μὲ τὴν ἀνάγκη τοῦ σώματος -διότι αὐτὸς εἶναι ὁ σκοπὸς τῶν φίλων αὐτοῦ τοῦ εἴδους, καθὼς λέγει ὁ Σωτήρας πρὸς τοὺς μαθητές του: «ἐσεῖς εἶστε φίλοι μου»- ἐὰν [τὸ] κάνῃ αὐτὸ κατὰ συνεχῆ ἐξακολούθησι, γίνεται ἀπεχθής· τί ἄραγε θὰ πάθῃ καὶ πῶς δὲν θὰ εἶναι σιχαμένος, ἐκεῖνος ὁ ὁποῖος πάντοτε ἀσχολεῖται μ᾽ αὐτὲς τὶς ἀνάγκες καὶ οὐδέποτε ἀφυπνίζεται πρὸς τὸν ὀρθὸ τρόπο ζωῆς, ἐξ αἰτίας τοῦ ὅτι δὲν ἔχει σκέλη ἐπάνω ἀπὸ τὰ πόδια, ὥστε νὰ πηδᾷ μ᾽ αὐτὰ ἀπὸ τὴν γῆ. Διότι ὅπως τὰ σκέλη διὰ τῆς ἀπὸ κοινοῦ κλίσεως δέχονται μὲν προηγουμένως ἐπάνω στὰ ἴδια ὁλόκληρο τὸν ὄγκο τοῦ σώματος· ἀλλά, ἐνῶ γιὰ λίγο προσήγγισαν στὴ γῆ, διὰ μιᾶς ἑτοιμάζονται νὰ πηδήξουν πρὸς τὸν οὐρανό. Κατὰ τὸν ἴδιο τρόπο ὁ λογισμός, ὁ διακριτικὸς τῶν πραγμάτων τῆς

γισμός, μετὰ τὸ προσταπεινωθῆναι τῇ χρείᾳ τοῦ σώματος, ὀξέως πάλιν τῆς [recte: τοῖς] ἄνω κοῦφον ἀναπέμπει τὸ φρόνημα, μηδὲν τῶν χοϊκῶν σὺν αὐτῷ ἀνακουφίζων λογισμῶν· τὸ μὲν ἔχειν ὀρθὰ τὰ σκέλη, πρόσεστι μὲν καὶ τοῖς μὴ ἄγαν ἀπολαυστικοῖς καὶ κάτω κειμένοις διαπαντός, πρόσεστι δὲ καὶ ταῖς ἁγίαις δυνάμεσι, διὰ τὸ μηδ' ὅλως προσδέεσθαι τῶν σωματικῶν, μηδὲ τῆς πρὸς ταῦτα χρῄζειν ἐπινεύσεως· τοῦτο γὰρ προσημαίνων ὁ μέγας Ἰεζεκιήλ, ἔλεγεν, ὅτι ἦν τὰ σκέλη αὐτῶν ὀρθά, καὶ πτερωτοὶ οἱ πόδες αὐτῶν[40]· ὅπερ δηλοῖ τὸ ἀκλινὲς τῆς γνώμης, καὶ τὸ πρὸς τὰ νοητὰ τῆς φύσεως ἐκείνης ὀξυκίνητον. [17.] Ἀνθρώποις δὲ ἱκανόν, σκέλη σχεῖν κλινόμενα· καί ποτε μέν, πρὸς τὰς σωματικὰς ἀνάγκας· ποτέ δέ, πρὸς τὰς τῆς ψυχῆς ἀνωφερεῖς χρησιμεύειν διατριβάς· διὰ μὲν τὴν πρὸς τὰς ἄνω δυνάμεις τῆς ψυχῆς συγγένειαν, τὰ πολλὰ συμμετεωροπολεῖν ἐκείναις, διὰ δὲ τὸ σῶμα, τοσοῦτον

φύσεως, μετὰ ἀπὸ τὴν προσγείωσι [τὴν ἐνασχόληση μὲ τὰ γήινα] χάριν τῆς ἀνάγκης τοῦ σώματος, πάλι μὲ δύναμι ἀνυψώνει τὸ φρόνημα ἀνάλαφρο πρὸς τὰ ἄνω, χωρὶς νὰ ὑψώνῃ μαζί του κανέναν ἀπὸ τοὺς γήινους λογισμούς. Τὸ νὰ ἔχῃ [κανεὶς] ὀρθὰ τὰ σκέλη, ὑπάρχει ἐκ τῶν προτέρων καὶ σ' ἐκείνους ἀφ' ἑνὸς ποὺ δὲν εἶναι ὑπερβολικὰ δοσμένοι στὶς ἀπολαύσεις καὶ [δὲν βρίσκονται] πάντοτε κάτω πεσμένοι, ἀφ' ἑτέρου δὲ στὶς ἅγιες [νοερὲς] δυνάμεις ἐξ αἰτίας τοῦ ὅτι καθόλου δὲν χρειάζονται τὰ σωματικά, οὔτε ἔχουν ἀνάγκη ἀπὸ τὴν πρὸς τὰ κάτω ῥοπὴ μὲ σκοπὸ αὐτά. Αὐτὸ βέβαια ἔλεγε ὁ μέγας Ἰεζεκιήλ, ὅταν προφήτευε ὅτι ἦταν τὰ σκέλη τους ὀρθὰ καὶ πτερωτὰ τὰ πόδια τους· τὸ ὁποῖο ἀκριβῶς δηλώνει τὸ ἀπαρασάλευτο τῆς γνώμης καὶ τὸ εὐκίνητο τῆς [ἀγγελικῆς] ἐκείνης φύσεως πρὸς τὰ νοητά.

17. Στοὺς ἀνθρώπους ὅμως [εἶναι] ἀρκετὸ νὰ ἔχουν σκέλη ἀποκλίνοντα, καὶ ἄλλοτε μὲν νὰ [τὰ] χρησιμοποιοῦν γιὰ τὶς σωματικὲς ἀνάγκες, ἄλλοτε δὲ γιὰ τὶς ὑψίδρομες ἐνασχολήσεις τῆς ψυχῆς. Ὡς πρὸς μὲν τὴν συγγένεια τῆς ψυχῆς μὲ τὶς ἄνω [νοερὲς] δυνάμεις, [πρέπει] κατὰ πολὺ νὰ πολιτεύωνται [οἱ ἄνθρωποι] μεταρσιωμένοι μαζὶ μ' ἐκεῖνες· ὡς πρὸς τὸ σῶμα δὲ τόσο μόνο νὰ

ἀπασχολεῖν τῇ γῇ τὴν φροντίδα, ὅσον ἡ χρεία βιάζεται· ἐφέρπειν δὲ διαπαντὸς ταῖς ἀπολαυστικαῖς παρασκευαῖς, ἀκάθαρτον ὄντως, καὶ οὐχ ἁρμόζον ἀνθρώπῳ λογικῆς πεπειραμένῳ γνώσεως. Παρατετηρημένως γὰρ καὶ τὸν ἐπὶ τεσσάρων πορευόμενον, οὐχ ἁπλῶς εἶπεν ἀκάθαρτον, ἀλλ᾽ εἰ διαπαντὸς ἐπὶ τεσσάρων πορεύοιτο· ἔδωκε γὰρ τοῖς ἐν σώματι καιρὸν καταβαίνειν πρὸς τὴν χρείαν τοῦ σώματος. Καὶ γὰρ ὁ Ἰωνάθαν τῷ Ναὰς πολεμῶν τῷ Ἀμμανίτῃ[41]*, ἐπὶ τεσσάρων περιπατήσας ἐνίκησεν, ἐπειδὴ τῇ ἀνάγκῃ τῆς φύσεως ὑπηρέτησε μόνον. Ἔδει γὰρ τὸν ἐπὶ τῷ στήθει συρόμενον ὄφιν πολεμοῦντα, τοῦτο γὰρ Ναὰς ἑρμηνεύεται, σχηματίσασθαι πρὸς ὀλίγον τὴν πρὸς αὐτὸν ὁμοιότητα, διὰ τοῦ πορευθῆναι ἐπὶ τεσσάρων· καὶ οὕτω διαναστάντα ἐπὶ τὴν οἰκείαν ἕξιν, χειρώσασθαι τοῦτον μετὰ πολλῆς εὐκολίας. [18.] Τί δέ; Καὶ ἡ κατὰ τὸν Ἰεβοσθὲ ἱστορία ἡμᾶς οὐ παιδεύει, μὴ πεφροντισμένως ἀντέχεσθαι*

δίνουν τὴν φροντίδα στὰ γήινα, ὅσο ἡ ἀνάγκη ἐξαναγκάζει. [Εἶναι] δὲ πράγματι ἀκάθαρτο καὶ δὲν ἁρμόζει σὲ ἄνθρωπο ὁ ὁποῖος εἶναι ἔμπειρος τῆς λογικῆς γνώσεως, τὸ νὰ σύρεται συνεχῶς στὶς προπαρασκευὲς τῶν ἀπολαύσεων. Ἐν ἀκριβείᾳ βέβαια, δὲν εἶπε ἐκεῖνον, ὁ ὁποῖος πορεύεται ἁπλῶς μὲ τὰ τέσσερα ἀκάθαρτο, ἀλλὰ ἐὰν πάντοτε ἤθελε πορεύεται στὰ τέσσερα. Διότι ἔδωσε καιρὸ στοὺς ἐν σώματι [ἀνθρώπους] νὰ κατεβαίνουν γιὰ τὴν ἀνάγκη τοῦ σώματος. Καὶ ὁ Ἰωνάθαν, βέβαια, πολεμώντας μὲ τὸν Ναὰς τὸν Ἀμμανίτη, ἐνίκησε, ἐνῶ περπάτησε στὰ τέσσερα, ἐπειδὴ μόνον ὑπηρέτησε τὴν ἀνάγκη τῆς φύσεως. Διότι ἔπρεπε, ἐκεῖνος ποὺ πολεμᾶ τὸ φίδι τὸ ὁποῖο σύρεται πάνω στὸ στῆθος [του] – διότι τοῦτο σημαίνει Ναὰς – νὰ ὑποκριθῇ γιὰ λίγο τὴν πρὸς αὐτὸ ὁμοιότητα μὲ τὸ νὰ πορευθῇ στὰ τέσσερα· καὶ κατ᾽ αὐτὸν τὸν τρόπο, ἀφοῦ ἀνορθωθῇ στὴν δική του κατάστασι νὰ τὸ καταδαμάσῃ μὲ μεγάλη εὐκολία.

18. Ἀλλὰ τί; Καὶ ἡ ἱστορία σχετικὰ μὲ τὸν Ἰεβοσθέ, δὲν μᾶς παιδαγωγεῖ νὰ μὴν προσκολλώμεθα ἐπιμελῶς

τῶν σωματικῶν, μηδὲ τῇ αἰσθήσει τὴν ἑαυτῶν ἐγχειρίζειν φυλακήν; Οὗτος γὰρ βασιλεὺς ὤν, καὶ ἐν τῷ ταμιείῳ ἀναπαυόμενος τῷ ἑαυτοῦ, γυναικὶ θυρωρεῖν ἐπέτρεψεν· ἐλθόντες δὲ οἱ περὶ τὸν Ῥιχάβ, καὶ εὑρόντες αὐτὴν πυρούς[θ'] *καθαίρουσαν καὶ νυστάζουσαν, διαλαθόντες εἰσῆλθον καὶ ἀνεῖλον τὸν Ἰεβοσθέ, καὶ αὐτὸν εὑρόντες καθεύδοντα*[42]*· πάντα γὰρ ὑπνοῖ καὶ νοῦς, καὶ ψυχή, καὶ αἴσθησις, τῶν σωματικῶν κρατούντων. Τὸ γὰρ θυρωρὸν καθαίρειν πυρούς, δείκνυσι τὸ ἐπιμελῶς προσησχολεῖσθαι τὴν διάνοιαν τοῖς σωματικοῖς, καὶ οὐ παρέργως, ἀλλὰ μετά τινος σπουδῆς, τὴν τούτων ἐπιτηδεύουσαν καθαρότητα. Ὅτι γὰρ οὐκ ἐν ἱστορίας εἴδει τοῦτο διδάσκει ἡ Γραφή, δῆλον ἐκεῖθεν· πῶς γὰρ βασιλεὺς γυναῖκα θυρωρὸν εἶχεν, ὀφείλων παρὰ πλήθους δορυφορεῖσθαι στρατιωτῶν, καὶ πᾶσαν περὶ αὐτὸν ἔχειν τὴν τοῦ ἀξιώματος σκηνήν; Ἢ πῶς οὕτως ἐνδεής, ὡς δι᾽ αὐτῆς καθαίρειν τοὺς*

στὰ σωματικά, οὔτε νὰ ἐμπιστευώμεθα στὴν αἴσθησι τὴν φύλαξί μας; Διότι αὐτός, ἐνῶ ἦταν βασιλεὺς καὶ ἀναπαυόμενος στὸν ἰδιαίτερο κοιτῶνα του ἐπέτρεψε νὰ εἶναι θυρωρὸς κάποια γυναῖκα. Ὅταν ὅμως ἦρθαν οἱ [ἄνδρες] τοῦ περιβάλλοντος τοῦ Ριχὰβ καὶ βρῆκαν αὐτὴν νὰ καθαρίζῃ σιτάρι καὶ νὰ νυστάζῃ, διαφεύγοντας τὴν προσοχή, μπῆκαν [στὸν κοιτῶνα] καὶ σκότωσαν τὸν Ἰεβοσθέ, τὸν ὁποῖο βρῆκαν καὶ αὐτὸν νὰ κοιμᾶται. Διότι ὅλα κοιμοῦνται καὶ ὁ νοῦς καὶ ἡ ψυχὴ καὶ ἡ αἴσθησι, ὅταν ἐξουσιάζουν τὰ σωματικά. Τὸ ὅτι καθαρίζει ἡ θυρωρὸς βέβαια σιτάρι, ὑποδεικνύει τὸ ὅτι ἡ διάνοια ἐπιπλέον ἀσχολεῖται μὲ τὰ σωματικὰ ἐπιμελῶς καὶ ὄχι ὡς πάρεργο, ἀλλὰ ἐπιδιώκοντας μὲ κάποιο ζῆλο τὴν καθαρότητά τους. Ὅτι βέβαια ἡ [Ἁγία] Γραφὴ δὲν [τὸ] διδάσκει αὐτὸ μὲ τὴν ἐξωτερικὴ ὄψι τῶν πραγμάτων τῆς ἱστορίας [εἶναι] φανερὸ ἐκ τῶν ἑξῆς. Πῶς εἶχε ὁ βασιλεὺς γυναῖκα θυρωρό, ἐνῶ ὄφειλε νὰ φυλάσσεται ἀπὸ πλῆθος στρατιωτῶν καὶ νὰ ἔχῃ γύρω του ὅλο τὸ συγκρότημα τοῦ στρατοπέδου, ὅπως ἀπαιτεῖ τὸ ἀξίωμά [του]; Ἢ πῶς [ἦταν] τόσο πτωχός, ὥστε μ᾽ αὐτὴν νὰ καθαρίζῃ

πυρούς; Ἀλλὰ πολλάκις τῇ ἱστορίᾳ μείγνυται τὸ παράλογον, διὰ τὴν τῶν σημαινομένων ἀλήθειαν. Ὁ γὰρ ἑκάστου νοῦς, καθάπερ βασιλεύς, ἔσωπου διατρίβει, θυρωρὸν τῶν αἰσθήσεων ἔχων τὴν διάνοιαν· ἥτις ὅταν τοῖς σωματικοῖς ἑαυτὴν ἐγχειρίσῃ, σωματικὸν δέ, τὸ καθαίρειν πυρούς, εὐχερῶς διαλαθόντες οἱ ἐπίβουλοι, θανατοῦσι τὸν νοῦν. ***[19.]*** *Διὰ τοῦτο ὁ μέγας Ἀβραάμ, οὐ πιστεύει γυναικὶ τὴν θύραν φυλάττειν· οἶδε γὰρ τὸ εὐεξαπάτητον τῆς αἰσθήσεως· ὅπως τῇ ὄψει τῶν αἰσθητῶν ἐπιτερπομένῃ διχάζῃ τὸν νοῦν, καὶ πείθῃ συμμεταλαβεῖν αὐτῇ τῶν τερπνῶν, κἂν ἐπικίνδυνος ἡ μετάληψις εἴη σαφῶς· ἀλλ᾽ αὐτὸς ἐκεῖνος παρακαθέζεται*[43]*, τοῖς μὲν θείοις νοήμασιν ἀναπεπετασμένην παρέχων τὴν εἴσοδον, ταῖς δὲ κοσμικαῖς φροντίσιν ἀποκλείων τὴν θύραν.* ***[20.]*** *Τί γὰρ ἡμῖν ἐκ τῆς περὶ ταῦτα ματαιοπονίας, εἰς τὴν ζωὴν περιγίνεται; Οὐ πᾶς μόχθος, κατὰ τὸν Ἐκκλησιαστήν, εἰς στόμα αὐ-*

τὸ σιτάρι; Ἀλλὰ πολλὲς φορὲς μὲ τὴν [Ἱερὰ] Ἱστορία ἀναμειγνύεται τὸ παράλογο, μὲ σκοπὸ τὴν [ἀποκάλυψι] τῆς ἀλήθειας ἐκείνων τὰ ὁποῖα ὑποσημαίνονται. Ὁ νοῦς βέβαια τοῦ καθενός, ὅπως ἀκριβῶς ἕνας βασιλεύς, κάπου ἐσωτερικὰ διαμένει, ἔχοντας φύλακα τῆς θύρας τῶν αἰσθήσεων τὴν διάνοια, ἡ ὁποία ὅταν παραδώσῃ τὸν ἑαυτό της στὰ σωματικὰ – καὶ σωματικὸ [εἶναι] τὸ καθάρισμα τοῦ σιταριοῦ - εὔκολα οἱ ἐπίβουλοι [δαίμονες], διαφεύγοντας τὴν προσοχή, θανατώνουν τὸν νοῦ.

19. Γι᾽ αὐτὸ ὁ μέγας Ἀβραάμ, δὲν ἐμπιστεύεται νὰ φυλάσσῃ τὴν θύρα κάποια γυναῖκα· διότι γνωρίζει τὸ εὔκολα ἐξαπατώμενο τῆς αἰσθήσεως· μὲ ποιὸ τρόπο [δηλαδὴ ἡ αἴσθησι] καθὼς πολὺ εὐφραίνεται μὲ τὸ κοίταγμα τῶν αἰσθητῶν [πραγμάτων], διαμερίζει τὸν νοῦ καὶ [τὸν] πείθει νὰ λάβῃ μέρος μαζὶ μ᾽ αὐτὴν στὰ θελκτικὰ [πράγματα], ἀκόμα κι ἂν ἡ συμμετοχὴ ἤθελε εἶναι σαφῶς ἐπικίνδυνη. Ἀλλὰ κάθεται [θυρωρὸς] αὐτὸς ἀκριβῶς ὁ ἴδιος [ὁ νοῦς], στὰ μὲν θεῖα νοήματα προσφέροντας ἀνοιγμένη τὴν εἴσοδο, κλείνοντας δὲ τὴν θύρα στὶς κοσμικὲς φροντίδες.

20. Διότι τί μᾶς ἀπομένει ὡς ἀποτέλεσμα στὴ ζωή, ἀπὸ τὴν σχετικὴ μ᾽ αὐτὰ ματαιοπονία; Δὲν [εἶναι] κάθε μόχθος [τοῦ ἀνθρώπου], σύμφωνα μὲ τὸν Ἐκκλησιαστή, στὸ στόμα

τοῦ[44]; Διατροφὴ δέ, καὶ σκεπάσματα, κατὰ τὸν Ἀπόστολον[45], ἱκανὰ πρὸς τὴν σύστασιν τῆς δυστήνου σαρκός. Τί οὖν ἀπέραντα ποιοῦμεν καὶ μοχθοῦμεν εἰς ἄνεμον[46], ὥς φησιν ὁ Σολομών· ἐκ τῆς περὶ τὰ γήϊνα σπουδῆς, ἐμποδίζοντες τῇ ψυχῇ πρὸς τὴν τῶν θείων ἀγαθῶν ἀπόλαυσιν καὶ τὴν σάρκα περιέποντες καὶ θάλποντες πλέον, ἢ καλῶς ἔχει; Ἐχθρὸν ἐκ γειτόνων αὐτὴν καὶ πολεμίων τρέφομεν, ὡς μὴ μόνον ἀμφήριστον αὐτῆς γενέσθαι τὴν μάχην, ἀλλ᾽ ἐκ πολλοῦ τοῦ περιόντος, ἐῤῥωμενέστερον ἀγωνιζομένη κατὰ τῆς ψυχῆς, τιμῶν καὶ στεφάνων ἐφίεσθαι. [21.] Τί γάρ ἐστιν ἡ χρεία τοῦ σώματος, ὅτι ταύτην προφασιζόμενοι, εἰς ἀνήνυτον ἀμηχανίαν τὴν ἐπιθυμίαν ἐκτείνομεν; Ἄρτος ἐστὶ πάντως, καὶ ὕδωρ. Εἶτα, οὐχὶ αἱ μὲν πηγαὶ ἄφθονον παρέχουσι τὸ νᾶμα, ὁ δὲ ἄρτος, εὐπόριστος τοῖς χεῖρας ἔχουσι; Ἀλλ᾽ ἔνδυμα πολλὴν παρέχει φροντίδα; Οὐδὲ τοῦτο. Ἐὰν μὴ πρὸς τὴν ἐκ τῆς συνηθείας

του; Ἡ διατροφὴ ἐξάλλου καὶ τὰ σκεπάσματα [εἶναι] ἱκανά, σύμφωνα μὲ τὸν Ἀπόστολο, γιὰ τὴν συντήρησι τῆς ἀθλίας σαρκός. Γιατὶ λοιπὸν κάνομε τὰ ἀτελείωτα καὶ μοχθοῦμε στὸν ἀέρα, ὅπως λέγει ὁ Σολομὼν μὲ τὴν φροντίδα γιὰ τὰ γήινα, ἐμποδίζοντας τὴν ψυχὴ ἀπὸ τὴν ἀπόλαυσι τῶν θείων ἀγαθῶν καὶ φροντίζοντας καὶ περιθάλποντας τὴν σάρκα περισσότερο ἀπὸ τὸ νὰ εἶναι σὲ καλὴ κατάστασι; Τὴν ἀνατρέφομε [τὴν σάρκα] ἐχθρὸ ἀπὸ τοὺς οἰκείους μας καὶ ἀπὸ τοὺς ἀντιπάλους, ὥστε ὄχι μόνο γιὰ νὰ γίνη ἐξ αἰτίας της ἀμφισβητούμενη ἡ συμπλοκή, ἀλλὰ νὰ ἐπιθυμῇ ἀπ᾽ αὐτὸν ποὺ πολὺ ὑπερτέρησε τιμὲς καὶ στεφάνια, γιὰ νὰ ἀγωνίζεται ἰσχυρότερα ἐναντίον τῆς ψυχῆς.

21. Διότι ποιὰ εἶναι ἡ ἀνάγκη τοῦ σώματος, οὕτως ὥστε προφασιζόμενοι αὐτὴν ἐπεκτείνομε τὴν ἐπιθυμία σὲ ἀτέρμονη ἀνάγκη; Ἐξάπαντος εἶναι ψωμὶ καὶ νερό. Καὶ λοιπόν, δὲν παρέχουν οἱ πηγὲς ἄφθονο τρεχούμενο νερό, τὸ δὲ ψωμὶ δὲν βρίσκεται εὔκολα ἀπὸ ἐκείνους ποὺ ἔχουν χέρια; Ἀλλὰ προξενεῖ τὸ ἔνδυμα πολλὴ μέριμνα; Οὔτε αὐτό. Ἐὰν δὲν ἀποβλέπωμε πρὸς

βλακείαν, ἀλλὰ πρὸς τὴν χρείαν βλέπωμεν μόνην. Ποίας γὰρ ἀραχνοϋφεῖς ἐσθῆτας, ποίαν δὲ βύσσον, ἢ πορφύραν ἢ σηρικοῦν ὁ πρῶτος ἐφόρησεν ἄνθρωπος; ***[22.]*** *Οὐκ ἐκ δερμάτων αὐτῷ τὸ ἔνδυμα ὁ Δημιουργός, καὶ χόρτῳ τρέφεσθαι παρήγγειλε[47]; Τούτους τιθεὶς τοὺς ὅρους τῇ χρείᾳ τοῦ σώματος, οὕτω διαταξάμενος, καὶ πόῤῥωθεν ἀναστέλλων τὴν νῦν πολιτευομένην αἰσχρότητα τοῦ ἀνθρώπου. Οὐ λέγω δέ, ὅτι καὶ νῦν θρέψει πάντως εὐσεβοῦντας ἡμᾶς, ὁ τὰ πετεινὰ τρέφων τοῦ οὐρανοῦ, καὶ ἐνδύσει, ὁ τοῖς κρίνοις τοῦ ἀγροῦ τοσαύτην περιθεὶς δόξαν[48]. Ἐπεὶ μηδέπω πείθειν δυνατόν, τοὺς πολὺ ταύτης ἀφεστῶτας τῆς πίστεως.* ***[23.]*** *Τίς γὰρ οὐ μεθ᾽ ἱκεσίας παρέξει τὰ ἐπιτήδεια τῷ κατ᾽ ἀρετὴν βιοῦντι; Εἰ γὰρ ἄνθρωποι βάρβαροι καὶ πολέμου νόμῳ λαβόντες τὰ Ἱεροσόλυμα, οἱ Βαβυλώνιοι, τὴν ἀρετὴν ᾐδέσθησαν τοῦ Ἱερεμίου[49], καὶ πᾶσαν θεραπείαν παρέσχον σωματικὴν ἀφθό-*

τὴν ἠλιθιότητα, [ἡ ὁποία ὡς ἔθος προέρχεται] ἐκ τῆς συναναστροφῆς, ἀλλὰ σύμφωνα μόνο μὲ τὴν ἀνάγκη. Διότι ποιὰ ἀραχνοΰφαντα φορέματα, ποιὸ [ἔνδυμα] ἀπὸ βύσσο ἢ πορφύρα ἢ μετάξι ἐφόρεσε ὁ πρῶτος ἄνθρωπος;

22. Δὲν τοῦ ὅρισε ὁ Δημιουργὸς [νὰ εἶναι] τὸ ἔνδυμά [του] ἀπὸ δέρματα καὶ νὰ τρέφεται μὲ φυτικὴ τροφή; Μὲ τὸ νὰ θέσῃ στὴν ἀνάγκη τοῦ σώματος αὐτοὺς τοὺς ὅρους, ὅταν διέταξε κατ᾽ αὐτὸ τὸν τρόπο, ἐμποδίζει ἀπὸ τότε καὶ τὴν τωρινὴ κακοήθεια μὲ τὴν ὁποία πολιτεύεται ὁ ἄνθρωπος. Δὲν λέγω ὅμως, ὅτι καὶ τώρα θὰ θρέψῃ ἐξάπαντος ἐμᾶς οἱ ὁποῖοι ζοῦμε μὲ εὐσέβεια, ἐκεῖνος ποὺ δίνει τροφὴ στὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ ὅτι θὰ [μᾶς] ἐνδύσῃ ἐκεῖνος ποὺ περιέβαλλε τὰ κρίνα τοῦ ἀγροῦ μὲ τόσο μεγάλη δόξα, ἐπειδὴ δὲν [εἶναι] δυνατὸν ἀκόμα νὰ κάνω νὰ δεχθοῦν τὴν γνώμη μου ἐκεῖνοι οἱ ὁποῖοι ἔχουν πολὺ ἀπομακρυνθῆ ἀπὸ αὐτὴ τὴν πίστι.

23. Διότι ποιὸς μετὰ παρακλήσεως [παρακαλῶντας] δὲν θὰ προσφέρῃ τὰ χρειώδη σ᾽ ἐκεῖνον ποὺ ζῇ σύμφωνα μὲ τὴν ἀρετή; Διότι ἐὰν οἱ Βαβυλώνιοι, βάρβαροι ἄνθρωποι, οἱ ὁποῖοι καὶ τὰ Ἱεροσόλυμα κατέλαβαν μὲ τὸ δίκαιο τοῦ πολέμου, τίμησαν τὴν ἀρετὴ τοῦ Ἱερεμίου καὶ μὲ ἀφθονία [τοῦ] προσέφεραν κάθε σωματικὴ πε-

νως, οὐ τὰ πρὸς τροφὴν μόνον δεδωκότες, ἀλλὰ καὶ σκεύη, οἷς ἔθος διακονεῖσθαι τοὺς ἑστιωμένους· πῶς οὐκ αἰδεσθήσονται βίον ἐνάρετον οἱ ὁμόφυλοι, καὶ τὸν λογισμὸν ἐκ παιδείας βαρβαρικῆς μᾶλλον κεκαθαρμένοι πρὸς τὴν τῶν καλῶν κατανόησιν, καὶ ἀρετῆς ζηλωταί; Εἰ γὰρ καὶ μὴ δεδύνηνται ταύτης ἀσκηταὶ γενέσθαι διὰ τὴν ἀσθένειαν τῆς φύσεως, ἀλλ᾽ οὖν γε τιμῶσιν ἀρετήν, καὶ τοὺς ἀθλητὰς αὐτῆς θαυμάζουσι. Τίς ἔπεισε τὴν Σουμανίτιν οἰκοδομῆσαι τῷ Ἐλισσαίῳ καταγώγιον, καὶ θεῖναι τράπεζαν ἐκεῖ, καὶ δίφρον, καὶ λυχνίαν[50]. *Οὐχ᾽ ἡ ἀρετὴ τοῦ ἀνδρός; Τί δὲ τὴν χήραν ἐκείνην ἐδυσώπησε, λιμοῦ πᾶσαν κατανεμομένου τὴν χώραν, τῆς ἰδίας χρείας προκρῖναι τὴν τοῦ προφήτου θεραπείαν*[51]; *Πάντως γάρ, εἰ μὴ τὴν φιλοσοφίαν κατεπέπληκτο τοῦ Ἡλιού, οὐκ ἂν τὴν μικρὰν τῆς ζωῆς παραμυθίαν ἑαυτῆς καὶ τῶν τέκνων ἀφελομένη, παρεχώρησεν ἐκείνῳ· ὃν μετ᾽ ὀλίγον ἐφαντά-*

ρίθαλψι, ἔχοντας παράσχει ὄχι μόνο τὰ σχετικὰ μὲ τὴν τροφή, ἀλλὰ καὶ σκεύη μὲ τὰ ὁποῖα [ἦταν] συνήθεια νὰ διακονοῦνται οἱ φιλοξενούμενοι· πῶς δὲν θὰ σεβασθοῦν τὸν ἐνάρετο τρόπο ζωῆς οἱ ὁμογενεῖς [ἀδελφοὶ] καὶ τῆς ἀρετῆς θαυμαστές, οἱ ὁποῖοι ἔχουν μᾶλλον ἀπαλλαχθῆ ἀπὸ τὸν λογισμὸ ἐκ τῆς βαρβαρικῆς ἀγωγῆς μὲ σκοπὸ τὴν κατανόησι τῶν καλῶν; Διότι καὶ ἐὰν δὲν ἔχουν τὴν δύναμι νὰ γίνουν ἀγωνιστὲς αὐτῆς [τῆς ἀρετῆς] ἐξ αἰτίας τῆς ἀσθενείας τῆς φύσεως, ἀλλὰ ὅμως πράγματι τιμοῦν τὴν ἀρετὴ καὶ θαυμάζουν τοὺς ἀθλητές της. Ποιὸς ἔπεισε τὴν Σωμανίτιδα νὰ οἰκοδομήσῃ κατάλυμα στὸν Ἐλισσαῖο καὶ νὰ τοποθετήσῃ ἐκεῖ τραπέζι καὶ σκαμνὶ καὶ λυχνία; Δὲν [ἦταν] ἡ ἀρετὴ τοῦ ἀνδρός; Τί λοιπὸν προκάλεσε τὸ δέος στὴν χήρα ἐκείνη, ἐνῶ ἡ πεῖνα ἐπεκτεινόταν σὲ ὁλόκληρη τὴν χώρα, ὥστε νὰ ἐπιλέξῃ τὴν περίθαλψι τοῦ προφήτη ἀπὸ τὴν δική της ἀνάγκη; Ὁπωσδήποτε βέβαια, ἐὰν δὲν εἶχε ἐκθαμβωθῆ ἀπὸ τὴν φιλοσοφία τοῦ Ἠλιού, δὲν θὰ μποροῦσε τὴν μικρὴ παρηγορία τῆς ζωῆς της καὶ τῶν παιδιῶν [της], ἀφοῦ [τὴν] ἀποστερήθηκε, νὰ [τὴν] παραχωρήσῃ σ᾽ ἐκεῖνον. Τὸν θάνατο τὸν ὁποῖο

ζετο θάνατον, πρὸ καιροῦ τοῦτον ἑλομένη, διὰ τὴν εἰς τὸν ξένον φιλοτιμίαν. [24.] Ἐποίησε δὲ τοιούτους αὐτοὺς τὸ γενναῖον, καὶ τὸ πρὸς τοὺς πόνους ἀνένδοτον, καὶ τὸ καταφρονητικῶς ἔχειν πρὸς τὰ τοῦ βίου πράγματα· εὐτέλειαν γὰρ ἐπιτηδεύσαντες, καὶ ἐπὶ τὸ ἀνενδεὲς ἐλθεῖν ἐκ τῆς ὀλιγοδεΐας προκόψαντες, πλησίον τῶν ἀσωμάτων ἔστησαν δυνάμεων· ὅθεν, καίτοι ἀφανεῖς ὄντες κατὰ τὸ σωματικόν, καὶ ἄσημοι, τῶν πάντα φερόντων, καὶ ἀγόντων ἐγένοντο δυνατώτεροι· μετὰ τοσαύτης παῤῥησίας τοῖς τὰ διαδήματα περικειμένοις διαλεγόμενοι, μεθ' ὅσης οὐδὲ ἐκεῖνοι τοῖς ὑποχειρίοις. [25.] Ποίοις γὰρ ὅπλοις θαῤῥῶν, ποίᾳ δὲ δυνάμει, πρὸς τὸν Ἀχαὰβ ἔλεγεν ὁ Ἠλιού· οὐ διαστρέφω ἐγὼ τὸν Ἰσραήλ, ἀλλ' ἢ σὺ καὶ ὁ οἶκος τοῦ πατρός σου[52]; Πῶς δὲ ὁ Μωϋσῆς ἀντικαθίστατο τῷ Φαραὼ πρὸς ἅμιλλαν, οὐδὲν ἔχων, πλὴν τῆς ἀρετῆς, θάρσους ἐφόδιον[53]; Πῶς δὲ Ἐλισσαιέ, συνηγμένης ἐπὶ πολέμου τῆς στρατιᾶς, καὶ

[τὸν] ἐφαντάζετο [τὸν περίμενε] μετὰ ἀπὸ λίγο, αὐτὸν τὸν προτίμησε πρόωρα, ἀπὸ φιλοτιμία πρὸς τὸν ξένο.

24. Τοὺς [ἀθλητὲς τῆς ἀρετῆς, τοὺς] διέπλασε αὐτοῦ τοῦ ὕψους, τὸ γενναῖο καὶ τὸ ἄκαμπτο στοὺς κόπους [φρόνημά τους] καὶ ἡ καταφρόνησί [τους] πρὸς τὰ πράγματα τοῦ κόσμου· διότι ἐπειδὴ ἀσκήθηκαν στὴν ἀπόλυτη λιτότητα καὶ πρόκοψαν ἐξ αἰτίας τῆς ὀλιγαρκείας, ὥστε νὰ φθάσουν στὸ νὰ μὴν ἔχουν ἀνάγκη, [τοὺς] τοποθέτησαν πλησίον τῶν ἀσωμάτων δυνάμεων. Κατὰ συνέπεια, ἂν καὶ πράγματι εἶναι ἀφανεῖς ὅσον ἀφορᾶ τὸ σωματικὸ [μέρος] καὶ ἄσημοι, ἔγιναν δυνατώτεροι ἀπὸ ἐκείνους οἱ ὁποῖοι διευθύνουν καὶ ὁδηγοῦν τὰ πάντα· καθὼς μιλοῦν μὲ τόση μεγάλη παρρησία σ' ἐκείνους ποὺ φοροῦν τὰ διαδήματα [στοὺς ἐξουσιαστές], μὲ ὅση [δὲν μιλοῦν] ἐκεῖνοι οὔτε σὲ ὅσους εἶναι ὑπὸ τὴν ἐξουσία τους.

25. Διότι λαμβάνοντας θάρρος ἀπὸ ποιὰ ὅπλα καὶ ἀπὸ ποιὰ δύναμι, ἔλεγε ὁ Ἠλίας πρὸς τὸν Ἀχαάβ: «δὲν στρέφω [μακριὰ ἀπὸ τὸν Θεὸ] ἐγὼ τὸν Ἰσραήλ, ἀλλὰ ἀσφαλῶς ἐσὺ καὶ ὁ οἶκος τοῦ πατέρα σου»; Πῶς δὲ ὁ Μωυσῆς ἀντιτασσόταν στὸν Φαραὼ μὲ σκοπὸ τὴν ἀντιμαχία, ἐνῶ δὲν ἔχει κανένα ἐφόδιο γιὰ θάρρος ἐκτὸς ἀπὸ τὴν ἀρετή; Πῶς ἐξάλλου ὁ Ἐλισσαῖος, ἐνῶ ἡ στρατιὰ καὶ τῶν δύο βασιλέων [τοῦ βασι-

τῶν δύο βασιλέων Ἰσραήλ, καὶ Ἰούδα, ἔλεγε τῷ Ἰωράμ· ζῇ Κύριος τῶν δυνάμεων, ᾧ παρέστην ἐνώπιον αὐτοῦ· ὅτι εἰ μὴ πρόσωπον Ἰωσαφὰτ ἐγὼ λαμβάνω, εἰ ἐπέβλεψα ἐπὶ σὲ καὶ εἶδόν σε[54]· οὔτε τὴν στρατιὰν κεκινημένην φοβηθείς, οὔτε τὸν θυμὸν δείσας τοῦ βασιλέως, ᾧ παρὰ καιρὸν πολέμου εἰκὸς χρήσασθαι, καὶ ἀλόγῳ ὁρμῇ, τοῦ λογισμοῦ δι᾽ ἀγωνίαν συγκεχυμένου. Τί γὰρ δύναται τοιοῦτον βασιλεύς, οἷον ἀρετή; Ποία πορφυρὶς ἔρρηξε ποταμόν, ὡς ἡ μηλωτὴ Ἠλιού[55]; Ποῖον δὲ διάδημα νοσήματα ἔλυσεν, ὡς τὰ τῶν Ἀποστόλων σουδάρια[56]; Ἤλεγχέ ποτε Προφήτης βασιλέα παρανομήσαντα μόνος, μετὰ πάσης ὄντα τῆς στρατιᾶς· καὶ ἐπειδὴ τὸν θυμὸν ὁ ἔλεγχος ἠρέθισεν, ἐκτείνας ὁ βασιλεὺς τὴν χεῖρα ἐπὶ τὸν Προφήτην, οὔτε ἐκείνου ἐπελάβετο, καὶ τὴν χεῖρα πρὸς ἑαυτὸν συναγαγεῖν ξηρανθεῖσαν οὐκ ἠδυνήθη[57]· καὶ ἦν ἀγὼν ἀρετῆς, καὶ δυναστείας βασιλικῆς· καὶ ἡ νίκη τῆς ἀρετῆς ἐγένετο· οὐκ ἐμά-

λείου] Ἰσραὴλ καὶ [τοῦ βασιλείου] Ἰούδα εἶχε συναχθῇ γιὰ πόλεμο, ἔλεγε στὸν Ἰωρὰμ [τὸν βασιλέα τοῦ Ἰσραήλ]: «ζῇ Κύριος τῶν δυνάμεων, Χάριτι τοῦ Ὁποίου παραστάθηκα ἐνώπιον Αὐτοῦ· ὅτι ἐὰν δὲν ἐλάμβανα ὑπ᾽ ὄψιν μου τὸ πρόσωπο τοῦ Ἰωσαφὰτ [τοῦ βασιλέως τοῦ Ἰούδα], δὲν θὰ ἔστρεφα τὸ βλέμμα μου πάνω σου οὔτε θὰ σὲ πρόσεχα»· χωρὶς οὔτε νὰ φοβηθῇ τὴν στρατιὰ ἡ ὁποία εἶχε ἐξεγερθῇ, οὔτε νὰ ὑπολογίσῃ τὸν θυμὸ τοῦ βασιλέως, τὸν ὁποῖο [θὰ ἦταν] πιθανὸ σὲ καιρὸ πολέμου νὰ ἐκδηλώσῃ καὶ μὲ παράλογη ὁρμή, καθὼς ὁ λογισμὸς ἔχει συγχυσθῇ ἀπὸ τὴν ἀγωνία. Διότι ἔχει τὴν δύναμι ὁ βασιλεὺς [νὰ ἐνεργήσῃ] κάτι τόσο μεγάλο, τέτοιο ὅπως [ἔχει] ἡ ἀρετή; Ποιὰ πορφύρα ἔσχισε ποταμό, ὅπως ἡ μηλωτὴ τοῦ Ἠλία; Ποιὸ λοιπὸν [βασιλικὸ] διάδημα θεράπευσε ἀσθένειες, ὅπως τῶν Ἀποστόλων τὰ μαντήλια; Ἐπέπληττε κάποτε κάποιος Προφήτης μόνος του ἕναν βασιλέα, ὁ ὁποῖος εἶχε ἐνεργήσει παρὰ τὸν νόμο [τοῦ Θεοῦ], ἐνῶ [ὁ βασιλεὺς] ἦταν μαζὶ μὲ ὁλόκληρη τὴν στρατιά [του]. Καὶ ἐπειδὴ ὁ ἔλεγχος [τοῦ Προφήτου] διέγειρε τὸν θυμὸ [τοῦ βασιλέα], ἀφοῦ ἅπλωσε ὁ βασιλεὺς τὸ χέρι του ἐναντίον τοῦ Προφήτου, οὔτε ἐκεῖνον προσέβαλε καὶ τὸ χέρι [του], τὸ ὁποῖο ξεράθηκε δὲν μπόρεσε νὰ ἐπαναφέρῃ στὸν ἑαυτό του. Καὶ ἦταν ἀγώνας ἀρετῆς καὶ βασιλικῆς ἰσχύος. Καὶ συνετελέσθη ἡ νίκη τῆς ἀρετῆς. Ὁ Προφή-

χετο ὁ Προφήτης, καὶ ἡ ἀρετὴ ἐτροποῦτο τὸν πολέμιον· ἤργει ὁ ἀγωνιστής, καὶ ἡ πίστις εἰργάζετο. Οἱ σύμμαχοι τοῦ βασιλέως, βραβευταὶ τοῦ ἀγῶνος ἐγένοντο· καὶ ἡ χεὶρ είστήκει, μαρτυροῦσα τῇ ἀρετῇ τὴν νίκην. Ταῦτα δὲ ἔπραττον, ἐπειδὴ ψυχῇ μόνη ζῆν ἔκριναν, τὸ σῶμα, καὶ τὰς τοῦ σώματος ἀνάγκας ἀποστρεφόμενοι· καὶ πάντων αὐτοὺς ὑψηλοτέρους ἐποίει, τὸ μηδενὸς χρείαν ἔχειν. Μᾶλλον γὰρ καταλιπεῖν ᾑροῦντο τὸ σῶμα, καὶ τῆς ἐν σαρκὶ ζωῆς ἀπαλλαγῆναι, ἢ καταπροδοῦναι τῆς ἀρετῆς τὸ ἀξίωμα, καί, χρείας ἕνεκεν σωματικῆς, κολακεῦσαί τινα τῶν εὐπόρων. [26.] Ἡμεῖς δὲ ὅταν ἐν χρείᾳ καταστῶμέν τινος, ἀφέντες τὸ γενναίως ἀγωνίζεσθαι θλιβεροῖς, καθάπερ κυνίδια μεθ' ἱλαρωτέρας κινήσεως τῆς κέρκου σαίνουσι τοὺς ὀστέον ἴσως γυμνὸν ἢ ψίχας προσακοντίζοντας· οὕτως τοῖς πλουσίοις προστρέχομεν, εὐεργέτας αὐτοὺς καὶ τῶν χριστιανῶν κηδεμόνας λέγοντες· καὶ πᾶσαν αὐτοῖς

της δὲν πολεμοῦσε καὶ ἡ ἀρετὴ κατετρόπωνε τὸν ἐχθρό. Ἔμενε ἀργὸς ὁ ἀγωνιστὴς καὶ ἐνεργοῦσε ἡ πίστι. Οἱ συμπολεμιστὲς τοῦ βασιλέως ἔγιναν οἱ κριτὲς τοῦ ἀγῶνος καὶ τὸ χέρι εἶχε σταθῇ μαρτυρώντας τὴν νίκη ἀπὸ τὴν ἀρετή. Ἔκαναν βέβαια αὐτά, ἐπειδὴ διάλεξαν νὰ ζοῦν μόνο γιὰ τὴν ψυχή, ἀποστρεφόμενοι τὸ σῶμα καὶ τὶς ἀνάγκες τοῦ σώματος. Καὶ τὸ ὅτι δὲν εἶχαν ἀνάγκη ἀπὸ τίποτα, τοὺς καθιστοῦσε ἀνώτερους ἀπὸ ὅλους. Διότι προτιμοῦσαν νὰ ἐγκαταλείψουν μᾶλλον τὸ σῶμα καὶ νὰ ἀπαλλαγοῦν ἀπὸ τὴν σαρκικὴ ζωή, παρὰ νὰ προδώσουν τὸ ἀνώτερο ἀξίωμα τῆς ἀρετῆς καὶ ἐξ αἰτίας τῆς σωματικῆς ἀνάγκης νὰ κολακεύσουν κάποιον ἀπὸ τοὺς πλουσίους.

26. Ἐμεῖς ὅμως, ὅταν περιέλθωμε στὴν ἀνάγκη κάποιου [πράγματος], ἀφοῦ ἐγκαταλείπωμε τὸ νὰ ἀγωνιζώμαστε γενναῖα ὡς πρὸς τὰ θλιβερά, ὅπως ἀκριβῶς τὰ μικρὰ σκυλιά, κουνοῦν τὴν οὐρά [τους] μὲ πιὸ χαρούμενη κίνησι σὲ ἐκείνους ποὺ τυχὸν [τοὺς] ἐκσφενδονίζουν κάποιο γυμνὸ κόκκαλο ἢ ψίχουλα· κατ' αὐτὸν τὸν τρόπο [καὶ ἐμεῖς], προστρέχομε στοὺς πλουσίους, ὀνομάζοντάς τους εὐεργέτες καὶ κηδεμόνες τῶν χριστιανῶν. Καὶ γενικῶς ἀποδίδοντας σ' αὐτοὺς

ἁπλῶς μαρτυροῦντες ἀρετήν, κἂν ἐν ἐσχάτῃ κακίᾳ τυγχάνωσιν, ὑπὲρ τοῦ ἀνῦσαι τὸ σπουδαζόμενον· οὐ περιεργαζόμενοι τὴν τῶν ἁγίων διαγωγήν, ὧν δῆθεν ζηλοῦν τὴν ἀρετὴν προεθέμεθα. [27.] Ἦλθε πρὸς τὸν Ἐλισσαῖον, Νεεμὰν ὁ τῆς Συρίας Στρατηλάτης, πολλὰ κομίσας δῶρα μεθ' ἑαυτοῦ. Τί οὖν ὁ Προφήτης; Ἆρα ὑπήντησεν; Ἆρα προσέδραμεν; Οὐχὶ δι' ἑνὸς μειρακίου, τὴν χρείαν ἐφ' ᾗ παρῆν, ἐδήλωσεν; Οὐδὲ εἰς ὄψιν αὐτὸν δεξάμενος, ἵνα μὴ τῶν κομισθέντων ἕνεκα τὴν θεραπείαν προσαγηοχέναι νομισθῇ[58]*. Ταῦτα δὲ εἴρηται, οὐχ ἵνα μάθωμεν ἀλαζονείαν, ἀλλ' ἵνα μὴ χρείας ἕνεκεν κολακεύωμεν τοὺς ἐκεῖνα περιέποντας, ὧν ἡμεῖς καταφρονεῖν ἐπαγγελλόμεθα. [28.] Τί οὖν ἀφέντες τὸν σκοπὸν φιλοσοφίας, γεωργίας, καὶ ἐμπορίας ἐπιτηδεύομεν; Τί μέγα τῷ Θεῷ εἰ τὴν ἑαυτῶν φροντίδα συνεισφέρομεν, ἵνα δὲ καὶ δοθῇ κοινὴν εἶναι τὴν τῆς γεωργίας ἐπιμέλειαν; Ἡ ἀνθρωπίνη*

κάθε ἀρετή, ἀκόμη κι ἂν τυχαίνῃ νὰ βρίσκωνται στὴν μεγαλύτερη κακία, μὲ σκοπὸ τὸ νὰ πραγματοποιήσωμε τὸ ἐπιδιωκόμενο· χωρὶς νὰ ἐξετάζωμε προσεκτικὰ τὴν διαγωγὴ τῶν Ἁγίων, τῶν ὁποίων τὴν ἀρετὴ σκοπεύαμε, δῆθεν νὰ μιμηθοῦμε.

27. Ἦρθε πρὸς τὸν Ἐλισσαῖο ὁ στρατηλάτης τῆς Συρίας Νεεμάν, φέρνοντας μαζί του πολλὰ δῶρα. Τί λοιπὸν [ἔκανε] ὁ Προφήτης; Μήπως [τὸν] συνάντησε; Μήπως ἔσπευσε πρὸς αὐτόν; Δὲν κατέδειξε τὴν ἀνάγκη γιὰ τὴν ὁποία πλησίαζε [ὁ Νεεμὰν] μέσῳ ἑνὸς ἐφήβου; Χωρὶς νὰ τὸν δεχθῇ αὐτοπροσώπως, γιὰ νὰ μὴν νομισθῇ ὅτι εἶχε ἐπιφέρει τὴν θεραπεία ἕνεκα τῶν [δώρων], τὰ ὁποῖα ἔφερε [ὁ Νεεμάν]. Αὐτὰ δὲ ἔχουν λεχθῇ, ὄχι γιὰ νὰ διδαχθοῦμε τὴν ἀλαζονεία, ἀλλὰ γιὰ νὰ μὴν κολακεύωμε ἕνεκα κάποιας ἀνάγκης [μας], ἐκείνους ποὺ ἔχουν σὲ μεγάλη ὑπόληψι αὐτά, τὰ ὁποῖα ἐμεῖς ὑποσχόμεθα νὰ καταφρονοῦμε.

28. Γιατὶ λοιπὸν ἀφοῦ ἐγκαταλείψαμε τὸν σκοπὸ τῆς [κατὰ Χριστόν, τῆς ὄντως] φιλοσοφίας, ἀσχολούμεθα μὲ τὴν γεωργία καὶ τὸ ἐμπόριο; [Εἶναι] κάτι πολὺ σημαντικὸ γιὰ τὸν Θεό, ἐὰν συνεισφέρωμε τὴν φροντίδα μας, γιὰ νὰ θεωρηθῇ ὅτι εἶναι δηλαδὴ κοινὴ [μετὰ τοῦ Θεοῦ] ἡ μέριμνα τῆς γεωργικῆς καλλιέργειας; Ἡ ἀνθρώπινη

σπουδὴ τὴν γῆν ἀνατέμνει, καὶ σπέρματα καταβάλλει· ὁ δὲ Θεὸς ὑετοῖς ἐπαλλήλοις ἄρδει τὰ σπέρματα ἁπαλαῖς ταῖς λαγόσι τῆς γῆς τὰς ῥίζας ἐνδιατείνεσθαι παρασκευάζων· ἥλιον ἀνατέλλει διαθερμαίνοντα τὴν γῆν, καὶ τῇ θέρμῃ προσκαλούμενον ἄνω τὰ φυτά· αὔρας ἀνέμων ἐπιπέμπει, τῇ ἡλικίᾳ τῶν τρεφομένων γεννημάτων συμμέτρους· μαλακαῖς μὲν πνοαῖς ἐπιρριπίζων ἐν ἀρχῇ χλοηφοροῦσαν τὴν πεδιάδα, ὡς ἂν μὴ θερμοῖς λεαινόμενα πνεύμασι περιφλέγοιτο τὰ σπαρέντα· σταθερωτέραις δὲ ἐμβολαῖς πνευμάτων, ταῖς θήκαις τὸ γαλακτῶδες ἐμπεπαίνων τοῦ κόκκου· ἀλοητῷ φλογμὸν παρέχων ἐπιτήδειον, λικμητῷ προσφόρους ἀνέμους· κἂν ἕν τι τούτων ἐπιλίπῃ, μάταιος ἠλέγχθη ὁ ἀνθρώπινος πόνος· καὶ ἤργησεν ἡ ἡμετέρα σπουδή, μὴ σφραγισθεῖσα ταῖς τοῦ Θεοῦ δωρεαῖς· πολλάκις δὲ καὶ τούτων πρὸς τὴν τελείωσιν ἐνέλιπεν οὐδέν, ὑετὸς δὲ λάβρος παρὰ καιρὸν γενόμενος καὶ

ἐπιμέλεια ὀργώνει τὴν γῆ καὶ ρίχνει κάτω τοὺς σπόρους [σπέρνει]. Ὁ δὲ Θεὸς μὲ ἀλλεπάλληλες βροχὲς ποτίζει τοὺς σπόρους, ἑτοιμάζοντας νὰ ἁπλωθοῦν οἱ ρίζες μέσα στὶς μαλακὲς σχισμὲς τῆς γῆς. Ἀνατέλλει τὸν ἥλιο, ὁ ὁποῖος ζεσταίνει παντοῦ τὴν γῆ καὶ μὲ τὴν θερμότητα ἀνυψώνει ἐπάνω τὰ φυτά. Ἀποστέλλει πνοὲς ἀνέμων ἀνάλογες μὲ τὴν ἡλικία τῶν φυτῶν τὰ ὁποῖα ἀναπτύσσονται. Στὴν ἀρχὴ φυσώντας μὲ λεπτοὺς ἀνέμους ἐπάνω τὴν πεδιάδα, ἡ ὁποία πρασινίζει ὡς χλόη, ὥστε νὰ μὴν εἶναι δυνατὸν νὰ καοῦν, ὅσα ἐσπάρησαν, συντριβόμενα ἀπὸ θερμοὺς ἀνέμους· μὲ ἰσχυρότερες δὲ πνοὲς ἀνέμων, γιὰ νὰ μεστώσῃ μέσα στὶς θῆκες τοῦ σπόρου τὸ γαλακτῶδες [ὑγρό]· στὸ ἁλώνισμα μὲ τὸ νὰ παρέχῃ τὸν ἀπαραίτητο καύσωνα, στὸ λίχνισμα τοὺς καταλλήλους ἀνέμους. Καὶ ἐὰν ἕνα μόνο ἀπ᾽ αὐτὰ λείψῃ, ἀπεδείχθη μάταιος ὁ ἀνθρώπινος κόπος. Καὶ ἔμεινε ἀδρανὴς ἡ δική μας προσπάθεια, ἀφοῦ δὲν ἐπισφραγίσθηκε ἀπὸ τὶς δωρεὲς τοῦ Θεοῦ. Πολλὲς φορὲς μάλιστα καὶ τίποτε ἀπ᾽ αὐτὰ δὲν ἔλειψε γιὰ τὴν ὁλοκλήρωσι [τῆς προσπαθείας μας], καὶ βίαιη καὶ ἄφθονη βροχή, ἡ ὁποία συνέβη σὲ ἀκατάλληλη

πολύς, ἢ τριβόμενον ἔτι τὸν στάχυν, ἢ καθαρὸν σωρευθέντα τὸν σῖτον, κατέσυρεν· ἔστι δ᾿ ὅτε καὶ ἐν αὐτῇ τῇ ἀποθήκῃ, σκώληξ διέφθειρεν· ἐξ αὐτοῦ τοῦ στόματος, ὡς εἰπεῖν, ἑτοίμην ἀποσυλήσας τὴν τράπεζαν. Ποῦ τοίνυν ἡμῖν, καὶ εἰς τί χρήσιμος ἡ ἡμετέρα σπουδή, Θεοῦ τοὺς οἴακας τῶν πραγμάτων κρατοῦντος, καὶ πάντα φέροντος καὶ ἄγοντος, ὡς ἂν βούληται; [29.] Ἀλλ᾿ ἐν ταῖς ἀσθενείαις παραμυθίας χρῄζειν ἐροῦμεν τὸ σῶμα· καὶ πόσῳ βελτίων; Τεθνάναι, ἢ πρᾶξαί τι τῶν τῷ ἐπαγγέλματι μὴ πρεπόντων; Πάντως δὲ ἐὰν ἔτι ζῆν ἡμᾶς, βούλεται ὁ Θεός, ἢ ἰσχὺν ἐντίθησι τῷ σώματι ἰσόῤῥοπον, ὡς καὶ τὸν ἐκ τῆς ἀῤῥωστίας πόνον φέρειν· ἢ τοὺς ἐπὶ τῇ γενναιότητι δέξασθαι στεφάνους· ἢ πόρον ἐπινοήσει πρὸς παραμυθίαν τοῦ κάμνοντος· καὶ οὐκ ἐπιλήψει πρὸς παραμυθίαν ἐπίνοια, τῇ πηγῇ τῆς σοφίας. Καλὸν οὖν, ἀγαπητοί, καὶ σφόδρα καλόν, εἰς τὴν ἀρχαίαν ἀναβῆναι μακαριότητα, καὶ τῆς τῶν

ἐποχή, ἢ ὅταν τὸ στάχυ εἶναι ἀκόμη ἀδύνατο [τὸ] παρέσυρε, ἢ [ἔκανε τὸ ἴδιο ὅταν εἶναι] τὸ σιτάρι μαζεμένο καθαρὸ σὲ σωρούς. Ἐνίοτε καὶ σ᾿ αὐτὴν τὴν ἀποθήκη τὸ σκουλήκι [τὸ] κατέστρεψε· σὰν νὰ ποῦμε, ὅτι ἅρπαξε ἕτοιμο τὸ φαγητὸ ἀπ᾿ αὐτὸ τὸ ἴδιο τὸ στόμα [μας]. Ποῦ λοιπὸν καὶ σὲ τί εἶναι χρήσιμη σὲ μᾶς ἡ δική μας φροντίδα, ἀφοῦ ὁ Θεὸς κρατᾶ τὰ πηδάλια τῶν καταστάσεων καὶ ὅλα τὰ ὁδηγεῖ καὶ τὰ κατευθύνει, ὅπως θὰ ἤθελε;

29. Ἀλλὰ θὰ ποῦμε ὅτι τὸ σῶμα κατὰ τὶς ἀσθένειες ἔχει ἀνάγκη παρηγορίας. Καὶ πόσο καλλίτερο [εἶναι] νὰ πεθάνῃ [κανεὶς] παρὰ νὰ πράξῃ κάτι ἀπὸ ἐκεῖνα ποὺ δὲν ἁρμόζουν στὸ [μοναχικὸ] ἐπάγγελμα; Πάντως ὅμως, ἐὰν ὁ Θεὸς θέλῃ ἀκόμα ἐμεῖς νὰ ζοῦμε, [τότε] ἢ ἐνισχύει τὸ σῶμα μὲ τὴν ἀνάλογη δύναμι, ὥστε νὰ ὑπομένωμε καὶ τὸν πόνο ἀπὸ τὴν ἀσθένεια ἢ νὰ δεχθοῦμε τὰ στεφάνια γιὰ τὴν γενναιότητα· ἢ θὰ ἐπινοήσῃ μέσον γιὰ τὴν παρηγορία τοῦ ἀσθενοῦς· καὶ στὴν πηγὴ τῆς σοφίας, δὲν θὰ λείψῃ ἡ ἐπινόησι γιὰ τὴν παρηγορία. Καλὸν [εἶναι] λοιπόν, ἀγαπητοί, καὶ πολὺ καλό, νὰ ὑψωθοῦμε στὴν ἀρχαία μακαριότητα καὶ νὰ πά-

*παλαιῶν ἐπιδράξασθαι πολιτείας· ἔσται γὰρ πᾶσιν εὔκολος, ὡς νομίζω, θελήσασι· κἂν δὲ προσείῃ τις πόνος, οὐκ ἄκαρπος ἔσται· ἱκανὴν ἔχων παραμυθίαν, τήντε τῶν προωδευκότων εὔκλειαν, καὶ τῶν ἐφεπομένων τὴν διόρθωσιν· οὐ μικρὸν δὲ ἔσται κέρδος τοῖς ἀρξαμένοις τῆς τοιαύτης διαγωγῆς, καὶ τοῖς μετέπειτα καταλιποῦσι πολιτείας ἀρίστης εἰκόνα, ἡ τῶν ἀπολειφθέντων ἀνάληψις. [**30.**] Φύγωμεν τὰς ἐν πόλεσι καὶ κώμαις διαγωγάς, ἵνα οἱ ἐν πόλεσι καὶ κώμαις τρέχωσι πρὸς ἡμᾶς· ἐρημίας μεταδιώξωμεν, ἵνα ἐπισπασώμεθα τοὺς νῦν ἡμᾶς φεύγοντας, εἰ φίλον ὅλως τοῦτό τισι· καὶ γὰρ περί τινων ἐν ἐπαίνῳ γέγραπται, ὅτι κατέλιπον τὰς πόλεις, καὶ ᾤκησαν ἐν πέτραις καὶ ἐγένοντο ὡς περιστεραὶ μελετητικαί[59]· καὶ ὁ Βαπτιστὴς δὲ Ἰωάννης ἐν ἐρήμῳ διέτριβε[60], καὶ πᾶσαι πρὸς αὐτὸν αὔτανδροι παρῆσαν αἱ πόλεις· καὶ πρὸς τὴν θεωρίαν τῆς δερματίνης ζώνης ἠπείγοντο, οἱ τὰ σηρι-*

ρωμε στὰ χέρια μας τὴν πολιτεία τῶν παλαιῶν [μοναχῶν]. Διότι γιὰ ὅλους, θὰ εἶναι εὔκολη, ὅπως νομίζω, ἐὰν [τὴν] θελήσουν. Καὶ ἂν ὡστόσο ἤθελε παρουσιασθῇ κάποιος κόπος, δὲν θὰ εἶναι ἄκαρπος, ἐπειδὴ ἔχει ἐπαρκῆ παρηγορία καὶ τὴν δόξα ἐκείνων οἱ ὁποῖοι ἔχουν προηγηθῇ στὴν [ἀσκητικὴ] πορεία καὶ τὴν διόρθωσι ἐκείνων οἱ ὁποῖοι ἀκολουθοῦν. Καὶ δὲν θὰ εἶναι ἡ ἀνάληψι [ἀγώνων], οἱ ὁποῖοι ἐγκαταλείφθηκαν, μικρὸ κέρδος γιὰ ἐκείνους οἱ ὁποῖοι ἄρχισαν αὐτοῦ τοῦ εἴδους τὸν τρόπο ζωῆς καὶ γιὰ ἐκείνους οἱ ὁποῖοι κληροδότησαν στοὺς μετέπειτα τὴν μορφὴ τῆς ἀρίστης [μοναχικῆς] πολιτείας.

30. Νὰ ἀποφύγωμε τὶς μεταβάσεις στὶς πόλεις καὶ στὰ χωριά, γιὰ νὰ τρέχουν σ᾽ ἐμᾶς ἐκεῖνοι [ποὺ βρίσκονται] στὶς πόλεις καὶ στὰ χωριά. Νὰ ἐπιζητήσωμε τὶς ἐρημίες, γιὰ νὰ προσελκύσωμε ἐκείνους οἱ ὁποῖοι τώρα μᾶς ἀποφεύγουν, ἐὰν αὐτὸ [εἶναι] σὲ κάποιους πλήρως ἀρεστό. Διότι καὶ γιὰ κάποιους ἔχει γραφῆ ἐπαινετικά, ὅτι ἐγκατέλειψαν τὶς πόλεις καὶ κατοίκησαν στοὺς βράχους καὶ ἔγιναν σὰν περιστέρια θρηνητικά. Καὶ ὁ Βαπτιστὴς Ἰωάννης ζοῦσε στὴν ἔρημο καὶ παρευρίσκονταν κοντά του αὔτανδρες [μὲ ὅλο τὸν πληθυσμὸ] οἱ πόλεις. Καὶ ἔσπευδαν στὴν θέα τῆς δερμάτινης ζώνης, ἐκεῖνοι ποὺ εἶχαν πε-

κὰ περιβεβλημένοι ἱμάτια· καὶ τὴν ὕπαιθρον ᾑροῦντο ταλαιπωρίαν, οἱ τὰς χρυσορόφους ἔχοντες οἰκίας· καὶ τὰς ἐπὶ λιθοκολλήτων κλινῶν ἀναπαύσεις, ἡ ἐπὶ τῆς ψάμμου παρευδοκίμει κατάκλισις· καὶ πάντα ἦν αὐτοῖς ἀνεκτά, καίτοι παρὰ τὸ ἔθος γινόμενα· ὑπέτεμνε γὰρ τὴν ἐπὶ τοῖς ἀλγεινοῖς αἴσθησιν, ὁ πόθος τῆς θεωρίας τοῦ ἀνδρός· καὶ τὸν ἐπὶ τῇ σκληραγωγίᾳ πόνον, ἔκλεπτε τὸ θαῦμα τῆς ἀρετῆς. [31.] Τοσοῦτόν ἐστι ἀρετὴ πλούτου τιμιωτέρα, καὶ βίος ἡσύχιος χρημάτων πολλῶν περιφανέστερος. Πόσοι κατὰ τὸν καιρὸν ἐκεῖνον ἦσαν πλούσιοι, καὶ μέγα φρονοῦντες ἐπὶ δόξῃ, καὶ σεσίγηνται· καὶ τὸ θαῦμα τοῦ ἀδόξου, μέχρι τοῦ νῦν ᾄδεται· καὶ ἡ μνήμη τοῦ ἐρημοπολίτου, πᾶσίν ἐστι περισπούδαστος· ἀΐδιον γὰρ τῆς ἀρετῆς τὸ ἀοίδιμον, καὶ τὴν φήμην ἐξαποστέλλει ἄγγελον τῶν οἰκείων καλῶν. [32.] Παραιτησώμεθα κτηνοτροφίαν, ἵνα ποιμαντικὴν ἕξιν αναλάβωμεν· καταλίπωμεν ἐμ-

ριβληθῆ τὰ μεταξωτὰ ἐνδύματα. Καὶ ἐπέλεγαν τὴν ὑπαίθρια κακοπάθεια, ἐκεῖνοι ποὺ ἔχουν τὰ σπίτια μὲ τὶς χρυσὲς ὀροφές. Καὶ ὑπερτεροῦσε στὴν προτίμησι τὸ πλάγιασμα πάνω στὴν ἄμμο, ἀπὸ τὶς ἀναπαύσεις πάνω στὶς στολισμένες μὲ πολυτίμους λίθους κλίνες. Καὶ ὅλα ἦταν ἀνεκτὰ σ᾿ αὐτούς, καίτοι ἐγίνοντο ἀντίθετα πρὸς τὴν συνήθεια. Διότι ἐμπόδιζε μυστικὰ τὴν αἴσθησι ἀπὸ τὰ ὀδυνηρά, ὁ πόθος τῆς θέας τοῦ ἀνδρός. Καὶ τὸν πόνο ἀπὸ τὴν σκληραγωγία, [τὸν] ἔκλεπτε τὸ θαῦμα τῆς ἀρετῆς.

31. Τόσο πολὺ εἶναι ἡ ἀρετὴ τιμιώτερη ἀπὸ τὸν πλοῦτο καὶ ὁ ἡσυχαστικὸς τρόπος ζωῆς ἐνδοξότερος ἀπὸ τὰ πολλὰ χρήματα. Πόσοι τὸν καιρὸ ἐκεῖνο ἦταν πλούσιοι καὶ ὑπερηφανεύοντο γιὰ τὴν δόξα [τους] καὶ ἔχουν χαθῆ στὴ σιωπή. Καὶ τὸ μέγα θαῦμα τοῦ ἄδοξου [Ἰωάννου τοῦ Βαπτιστοῦ] μέχρι τώρα ὑμνεῖται· καὶ ἡ μνήμη τοῦ πολίτη τῆς ἐρήμου εἶναι περιπόθητη σὲ ὅλους. Διότι [εἶναι] αἰώνια ἡ δόξα τῆς ἀρετῆς καὶ τὴν φήμη [της] ἐξαποστέλλει ὡς ἀγγελιοφόρο τῶν δικῶν της καλῶν.

32. Νὰ παραιτηθοῦμε ἀπὸ τὴν κτηνοτροφία γιὰ νὰ ἀναδεχθοῦμε τὴν ποιμαντικὴ ἱκανότητα· νὰ ἐγκαταλείψωμε τὸ ἐπονείδι-

πορίαν ἐπονείδιστον, ἵνα τὸν πολύτιμον κτησώμεθα μαργαρίτην· φύγωμεν γεωργίαν γῆς, ἀκάνθας καὶ τριβόλους ἀνατελλούσης[61]*, ἵνα ἐργάται καὶ φύλακες τοῦ παραδείσου γενώμεθα· πάντα ῥίψωμεν, καὶ τὸν ἡσύχιον ἑλώμεθα βίον, ἵνα ἐντρέψωμεν τοὺς νῦν ἡμῖν ὄνειδος τὸ κεκτῆσθαι προφέροντας· οὐδὲν γὰρ οὕτως δυσωπεῖ τοὺς ἐπεμβαίνοντας, ὡς ἡ ἐπὶ τοῖς ὀνειδιζομένοις μετ᾽ ἐπιεικείας διόρθωσις· γίνεται γὰρ ἡ τῶν ὀνειδιζομένων μεταβολή, τοῖς ὀνειδίζουσι διατροπή. [33.] Αἰσχρὸν δὲ καὶ τοῦτο νομίζω, καὶ ἔστιν αἰσχρὸν ἀληθῶς, ἐφ᾽ ᾧ καὶ παρὰ πάντων εἰκότως γελώμεθα· ἄρτι γάρ τις προσελθὼν τῷ μονήρει βίῳ, καὶ τὰ ἤθη μόνον μαθὼν τῆς ἀσκήσεως, ὅπως τε προσεύχονται καὶ πότε καὶ ποία τίς ἐστιν ἡ τῆς διαίτης διαγωγή· διδάσκαλος εὐθέως ὧν οὐ μεμάθηκε γίνεται· καὶ προέρχεται ὁρμαθὸν μαθητῶν ἐπισυρόμενος, αὐτὸς ἔτι δεόμενος διδασκαλίας, καὶ τοσοῦτον πλέον καὶ εὔκολον τὸ*

στο ἐμπόριο, γιὰ νὰ ἀποκτήσωμε τὸν πολύτιμο μαργαρίτη, [τὸν Χριστό]. Νὰ ἀποφύγωμε τὴν γεωργία τῆς γῆς, ἡ ὁποία βγάζει ἀγκάθια καὶ τριβόλια, γιὰ νὰ γίνωμε ἐργάτες καὶ φύλακες τοῦ παραδείσου. Νὰ ἀπορρίψωμε τὰ πάντα καὶ νὰ προτιμήσωμε τὸν ἡσυχαστικὸ τρόπο ζωῆς, γιὰ νὰ ντροπιάσωμε ἐκείνους οἱ ὁποῖοι τώρα μᾶς λέγουν ὅτι ἡ ἀπόκτησι εἶναι ντροπή. Διότι τίποτα δὲν πείθει τόσο πολὺ ἐκείνους οἱ ὁποῖοι προσβάλλουν, ὅπως ἡ διόρθωσι μὲ μετριοφροσύνη, ἐκείνων γιὰ τὰ ὁποῖα κατηγοροῦνται. Διότι ἡ μετάνοια ἐκείνων οἱ ὁποῖοι κατηγοροῦνται γίνεται, ἡ ἀλλαγὴ τῆς γνώμης ἐκείνων ποὺ κατηγοροῦν.

33. Ἐπονείδιστο ἐξάλλου νομίζω [ὅτι εἶναι] καὶ αὐτό, καὶ εἶναι ἀληθινὰ ἐπονείδιστο, καὶ ἐξ αἰτίας τοῦ ὁποίου ἀπὸ ὅλους δικαίως περιγελώμεθα· διότι ἐνῶ μόλις τώρα κάποιος προσῆλθε στὸν μοναχικὸ βίο καὶ μόνον ἔμαθε τὶς [στοιχειώδεις] συνήθειες τῆς ἀσκήσεως, καὶ πότε καὶ μὲ ποιὸν τρόπο προσεύχονται καὶ ἀκόμα ποιὸς εἶναι ὁ κανόνας τοῦ τρόπου τῆς διατροφῆς, ἀμέσως γίνεται διδάσκαλος σὲ ὅσα [ἀκόμη] δὲν ἔχει μάθει. Καὶ προπορεύεται σύροντας πίσω του σειρὰ μαθητῶν, αὐτὸς ὁ ὁποῖος χρειάζεται ἀκόμα διδασκαλία καὶ περισσότερο καὶ ἀπὸ ἁπλῆ ἐνόμισε τὴν ὑπόθεσι [τοῦ

πρᾶγμα ἐνόμισεν· οὐκ εἰδώς, ὅτι πάντων ἐστὶ χαλεπώτατον, ψυχῶν ἐπιμέλεια· δεομένων πρότερον μὲν καθάρσεως τῶν παλαιῶν μολυσμῶν, ἔπειτα πολλῆς προσοχῆς, εἰς τὸ δέξασθαι τύπους τῶν μαθημάτων τῆς ἀρετῆς· ὁ δὲ μηδὲν πλέον τῆς σωματικῆς ἀσκήσεως φαντασθείς, πῶς διορθώσεται τὰ ἤθη τῶν ὑποτεταγμένων; Πῶς δὲ μεταῤῥυθμίσει τοὺς τῇ πονηρᾷ συνηθείᾳ κεκρατημένους; Πῶς δὲ τοῖς πολεμουμένοις ὑπὸ παθῶν βοηθήσει, μηδ᾽ ὅλως τὸν κατὰ διάνοιαν εἰδὼς πόλεμον; Ἢ πῶς τὰ ἐν πολέμῳ συμβαίνοντα τραύματα θεραπεύσει, αὐτὸς ἔτι τραυματίας κατακείμενος, καὶ καταδέσμων δεόμενος; [34.] Ἢ πᾶσα μὲν τέχνη χρόνου δεῖται καὶ διδασκαλίας πολλῆς πρὸς κατόρθωσιν, μόνη δὲ ἡ τέχνη τῶν τεχνῶν ἀμαθητεύτως ἐπιτηδεύεται; Καὶ γεωργίας μὲν οὐ καταθαῤῥήσειεν ἄπειρος· οὐδὲ ἀμύητος ἰατρικῆς, ἐγχειρίσεται ἔργοις ἰατρικοῖς· ἐλεγχθήσεται γὰρ ὁ μέν, πρὸς τὸ

μοναχισμοῦ]· δίχως νὰ γνωρίζῃ, ὅτι ἀπ᾽ ὅλα τὸ δυσκολώτερο εἶναι ἡ ἐπιμέλεια τῶν ψυχῶν, οἱ ὁποῖες χρειάζονται προηγουμένως μὲν κάθαρσι ἀπὸ τὰ παλαιὰ μολύσματα [ἀπὸ τὴν ἁμαρτία], ἔπειτα πολλὴ προσοχὴ στὸ νὰ δεχθοῦν τύπους [πρότυπα] ἀπὸ τὰ μαθήματα τῆς ἀρετῆς. Αὐτὸς ὅμως ὁ ὁποῖος δὲν φαντάσθηκε τίποτε περισσότερο ἀπὸ τὴν σωματικὴ ἄσκησι, πῶς θὰ διορθώσῃ τὰ ἤθη τῶν ὑποτακτικῶν; Πῶς ἐξάλλου θὰ ἀλλάξῃ τάξι, σ᾽ ἐκείνους οἱ ὁποῖοι ἐξουσιάζονται ἀπὸ τὴν πονηρὴ συνήθεια; Πῶς ἄλλωστε θὰ βοηθήσῃ ἐκείνους οἱ ὁποῖοι πολεμοῦνται ἀπὸ τὰ πάθη, χωρὶς καθόλου νὰ γνωρίζῃ τὸν σχετικὸ μὲ τὴν διάνοια [νοερὸ] πόλεμο; Ἢ πῶς θὰ θεραπεύσῃ τὰ τραύματα, τὰ ὁποῖα συμβαίνουν στὸν πόλεμο, αὐτὸς ὁ ἴδιος ὁ ὁποῖος ἀκόμα κείτεται κάτω τραυματίας καὶ χρειάζεται στέρεα δεσίματα [τῶν τραυμάτων του];

34. Ἢ μήπως κάθε τέχνη ἔχει ἀνάγκη ἀπὸ χρόνο καὶ πολλὴ διδασκαλία, γιὰ τὴν ὀρθὴ ἐκτέλεσι, καὶ μόνη ἡ τέχνη τῶν τεχνῶν ἀσκεῖται χωρὶς μαθητεία; Καὶ βέβαια τὴν καλλιέργεια τῆς γῆς δὲν ἤθελε ἀποτολμήσῃ ὁ ἄπειρος· οὔτε ὁ ἀμύητος στὴν ἰατρική, θὰ ἀναλάβῃ ἔργα ἰατρικά. Διότι θὰ ἐλεγχθῇ, ὁ ἕνας μὲν γιὰ

μηδὲν ὀνῆσαι τοὺς κάμνοντας, ἔτι καὶ βαρυτέραν κατασκευάσαι τὴν νόσον· ὁ δέ, χέρσον, καὶ ῥυπαρὰν τὴν ἀρῶσαν [recte: ἀροῦσαν] γῆν καταστήσας· μόνης δὲ θεοσεβείας, ὡς πάντων εὐκολωτέρας, κατατολμῶσιν ἀπαιδότριβοι· καὶ τὸ δυσκατόρθωτον πρᾶγμα, εὐχερὲς εἶναι νενόμισται τοῖς πολλοῖς· καὶ ὃ μηδέπω Παῦλος κατειληφέναι λέγει[62]*, τοῦτο ἀκριβῶς ἐγνωκέναι διαβεβαιοῦνται, οἱ μηδὲ αὐτὸ τοῦτο εἰδότες, ὅτι ἀγνοοῦσι. Διὰ τοῦτο εὐκαταφρόνητος ὁ βίος ἐγένετο, καὶ οἱ μετερχόμενοι αὐτὸν παρὰ πάντων χλευάζονται· τίς γὰρ μὴ γελάσεται τὸν χθὲς ἐν καπηλείῳ ὑδροφοροῦντα, σήμερον ὁρῶν ὡς διδάσκαλον ἀρετῆς, παρὰ μαθητῶν δορυφορούμενον; Ἢ τὸν πρῴην τῶν πολιτικῶν ἀναχωρήσαντα κακοπραγιῶν, σήμερον μετὰ πλήθους μαθητῶν, διὰ πάσης σοβοῦντα τῆς ἀγορᾶς; [35.] Εἰδὲ ἦσαν πεπεισμένοι σαφῶς, ὅτι πολύς ἐστιν ὁ πόνος ἄγειν τινὰς εἰς θεοσέβειαν καὶ τὸν ἀκολουθοῦντα τῷ πράγμα-*

τὸ ὅτι σὲ τίποτα δὲν ὠφέλησε τοὺς ἀσθενεῖς καὶ ἐπιπλέον ὅτι ἔκανε βαρύτερη τὴν ἀσθένεια· ὁ ἄλλος δέ, διότι κατέστησε τὴν καλλιεργημένη γῆ, ἄγονη καὶ ἀκάθαρτη. Ἀλλὰ μόνο τὴν θεοσέβεια, σὰν [νὰ εἶναι] εὐκολώτερη ἀπὸ ὅλες [τὶς τέχνες], ἀποτολμοῦν ἐκεῖνοι οἱ ὁποῖοι δὲν ἔχουν ἀσκηθῆ ἀπὸ [πνευματικὸ] γυμναστή. Καὶ τὸ δυσκατόρθωτο πρᾶγμα, ἔχει θεωρηθῆ ἀπὸ τοὺς πολλούς, ὅτι εἶναι εὔκολο. Καὶ ἐκεῖνο, τὸ ὁποῖο λέγει ὁ Παῦλος ὅτι δὲν ἔχει καταλάβει ἀκόμα, αὐτὸ ἀκριβῶς διαβεβαιώνουν, ὅτι ἔχουν γνωρίσει, ἐκεῖνοι οἱ ὁποῖοι οὔτε αὐτὸ τὸ ἴδιο δὲν γνωρίζουν, ὅτι [τὸ] ἀγνοοῦν. Γι᾽ αὐτὸν τὸν λόγο ἔγινε εὐκαταφρόνητος ὁ [μοναχικὸς] βίος καὶ χλευάζονται ἀπὸ ὅλους, ἐκεῖνοι οἱ ὁποῖοι τὸν ἀκολουθοῦν. Διότι ποιὸς δὲν θὰ περιγελάσῃ, ὅταν βλέπῃ συνοδευόμενο ἀπὸ μαθητές, σὰν διδάσκαλο τῆς ἀρετῆς, ἐκεῖνον ὁ ὁποῖος χθὲς κουβαλοῦσε νερὸ στὴν ταβέρνα; Ἢ ἐκεῖνον ποὺ πρόσφατα ἀποσύρθηκε ἀπὸ τὶς πολιτικὲς κακουργίες, σήμερα μαζὶ μὲ πλῆθος ἀπὸ μαθητές, νὰ βαδίζῃ μεγαλοπρεπῶς μέσα ἀπὸ ὅλη τὴν ἀγορά;

35. Ἐὰν ὅμως ἦταν πεπεισμένοι σαφῶς, ὅτι εἶναι πολὺς ὁ κόπος νὰ ὁδηγοῦν κάποιους στὴν θεοσέβεια καὶ γνώριζαν ἀκριβῶς τὸν

τι κίνδυνον ᾔδεισαν ἀκριβῶς, πάντως ἂν ὡς ὑπερβαῖνον αὐτοὺς παρῃτήσαντο τὸ πρᾶγμα· ἕως δὲ ὅτε τοῦτο ἀγνοοῦσι, καὶ δόξαν ἡγοῦνται τὸ προεστάναι τινῶν, εὐκαίρως κυβιστῶσι κατὰ τοῦ βαράθρου· καὶ τὸ ἐνάλλεσθαι καιομένῃ τῇ καμίνῳ, κοῦφον νομίζουσι· γέλωτα μὲν κινοῦντες τοῖς ἐπισταμένοις τὸν χθὲς αὐτῶν βίον, Θεῷ δὲ ἀγανάκτησιν ἐπὶ τῇ τοιαύτῃ προπετείᾳ. [36.] Εἰ γὰρ τὸν Ἠλεὶ οὐδὲν παρῃτήσατο τῆς ὀργῆς τοῦ Θεοῦ, οὐ γῆρας σεμνόν, οὐ παλαιὰ παρρησία· οὐχ ἱερατικὴ τιμή, ἀμελήσαντα τῆς τῶν τέκνων διορθώσεως[63], πῶς ἐξελεῖται νῦν τῆς τοιαύτης ἀγανακτήσεως, τοὺς οὔτε ἐκ παλαιῶν ἔργων ἀξιοπιστίαν ἔχοντας παρὰ Θεῷ, οὔτε εἰδότας οὔτε τὸν τοῦ ἁμαρτήματος τρόπον, ἢ τὴν τῆς διορθώσεως μέθοδον· ἀλλ' ἀπείρως, δι' ἔρωτα δόξης, ἐγχειροῦντας ἐπικινδύνῳ πράγματι. [37.] Διὰ τοῦτο τῷ μὲν δοκεῖν, Φαρισαίους διδασκάλους, ὁ Κύριος ἔλεγεν· οὐαὶ ὑμῖν Γραμ-

κίνδυνο ὁ ὁποῖος ἐπακολουθεῖ στὸ ἔργο [τῆς πνευματικῆς διαποιμάνσεως], ὁπωσδήποτε θὰ παραιτοῦντο τοῦ ἔργου ἐπειδὴ τοὺς ὑπερβαίνει. Ἕως ὅτου ὅμως τὸ ἀγνοοῦν αὐτὸ καὶ θεωροῦν δόξα τὸ νὰ προΐστανται σὲ κάποιους, σὲ εὔθετο χρόνο πέφτουν μὲ τὸ κεφάλι στὸ βάραθρο. Καὶ νομίζουν εὔκολο τὸ νὰ πηδήξουν μέσα στὴν καιομένη κάμινο, προκαλώντας σὲ ἐκείνους μὲν οἱ ὁποῖοι γνωρίζουν τὸν χθεσινό τους τρόπο ζωῆς τὸ γέλιο, στὸν δὲ Θεὸ ἀγανάκτησι γιὰ μιὰ τόσο μεγάλη θρασύτητα.

36. Διότι ἐὰν ἀπὸ τὸν Ἠλεί, ὁ ὁποῖος ἀμέλησε τὴν διόρθωσι τῶν παιδιῶν [του], τίποτα δὲν ἀπέτρεψε τὴν ὀργὴ τοῦ Θεοῦ, οὔτε τὸ σεμνό [του] γῆρας, οὔτε ἡ παλαιὰ παρρησία [ἐνώπιον τοῦ Θεοῦ], οὔτε τὸ ἱερατικό [του] ἀξίωμα, μὲ ποιὸ τρόπο θὰ ἀπαλλάξῃ τώρα ἀπὸ αὐτοῦ τοῦ εἴδους τὴν ἀγανάκτησι ἐκείνους, οἱ ὁποῖοι οὔτε κατέχουν ἀπὸ παλαιά [τους] ἔργα ἀξιοπιστία ἐνώπιον τοῦ Θεοῦ, οὔτε γνωρίζουν κἂν τὴν ποιότητα τοῦ ἁμαρτήματος ἢ τὴν μέθοδο τῆς διορθώσεως. Ἀλλὰ μὲ ἀπειρία, ἐπιχειροῦν ἐπικίνδυνο ἔργο, ἕνεκα σφοδρῆς ἀγάπης γιὰ τὴν δόξα.

37. Γι' αὐτὸ βέβαια ὁ Κύριος στοὺς Φαρισαίους, ὡς κατὰ τὸ φαινόμενο διδασκάλους, ἔλεγε: «ἀλλοίμονό σας Γραμμα-

ματεῖς, καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι περιάγετε θάλασσαν καὶ τὴν ξηράν, τοῦ ποιῆσαι ἕνα προσήλυτον· καὶ ὅταν γένηται, ποιεῖτε αὐτὸν υἱὸν γεέννης διπλότερον ὑμῶν[64]*· τῷ δὲ ἀληθεῖ, διὰ τῆς ἐκείνων ἐπιπλήξεως, νουθετῶν τοὺς ὕστερον τοῖς αὐτοῖς ἁλίσκεσθαι μέλλοντας παραπτώμασιν· ἵνα τῷ οὐαὶ προσέχοντες, εἴρξωσιν ἑαυτοὺς τῆς ἀκαίρου ἐπιθυμίας τῆς παρὰ τοῖς ἀνθρώποις δόξης, φοβερώτερον κρίνοντες τὸν ταλανισμόν· δυσωπείτω δὲ καὶ ὁ Ἰὼβ αὐτούς, ἢ ὁμοίως κήδεσθαι τῶν ὑποτεταγμένων, ἢ παραιτεῖσθαι τὴν τοιαύτην προστασίαν, μὴ εἰδότας τὰ αὐτὰ ἐκείνῳ ποιεῖν, μηδὲ τὴν αὐτὴν ὑπὲρ τῶν προνοουμένων εἰσφέρειν βουλομένους σπουδήν· εἰ γὰρ ἐκεῖνος, καὶ ἀπὸ τῶν κατὰ διάνοιαν ῥύπων τοὺς υἱοὺς καθαροὺς εἶναι θέλων, θυσίας καθ᾽ ἑκάστην ἡμέραν ὑπὲρ αὐτῶν προσέφερε, μήποτε, λέγων, οἱ υἱοί μου ἐν τῇ διανοίᾳ αὐτῶν κακὰ ἐνενόησαν πρὸς τὸν Θεόν*[65]*· πῶς οὗτοι καὶ φανερῶν*

τεῖς καὶ Φαρισαῖοι ὑποκριτές, ὅτι περιέρχεστε τὴν θάλασσα καὶ τὴν ξηρὰ γιὰ νὰ κάνετε ἕναν προσήλυτο· καὶ ὅταν γίνῃ, τὸν κάνετε υἱὸ τῆς γέενας δυὸ φορὲς περισσότερο ἀπὸ ἐσᾶς». Στὴν πραγματικότητα ὅμως, [τὸ ἔλεγε], νουθετώντας διὰ τῆς ἐπιπλήξεως ἐκείνων, ὅσους πρόκειται ὕστερα ἀπὸ ἐκείνους νὰ κυριευθοῦν ἀπὸ τὰ ἴδια παραπτώματα· γιὰ νὰ ἐμποδίσουν τοὺς ἑαυτούς τους ἀπὸ τὴν ἄκαιρη ἐπιθυμία, ἐπειδὴ σκέπτονται τὸ «ἀλλοίμονο» [καὶ] κρίνουν τὸν ταλανισμὸ [τῆς κολάσεως] φοβερώτερο ἀπὸ τὴν δόξα [ποὺ λαμβάνουν] ἀπὸ τοὺς ἀνθρώπους. Ἂς πείσῃ δὲ καὶ ὁ Ἰὼβ αὐτούς, ἢ νὰ φροντίζουν τοὺς ὑποτακτικούς [τους] κατὰ τὸν ἴδιο τρόπο, ἢ νὰ ἀποφεύγουν αὐτοῦ τοῦ εἴδους τὴν ἐξουσία, ἐπειδὴ δὲν γνωρίζουν νὰ κάνουν τὰ ἴδια μ᾽ ἐκεῖνον, οὔτε [καὶ] ἐπιθυμοῦν νὰ προσφέρουν ὑπὲρ ἐκείνων γιὰ τοὺς ὁποίους μεριμνοῦν τὴν ἴδια [μὲ τὸν Ἰὼβ] φροντίδα. Διότι ἐὰν ἐκεῖνος θέλοντας νὰ εἶναι καθαροὶ οἱ υἱοί [του] καὶ ἀπὸ τὶς κατὰ διάνοια ἁμαρτίες, καθημερινὰ προσέφερε ὑπὲρ αὐτῶν θυσίες λέγοντας: «μήπως κάποτε οἱ υἱοί μου σκέφθηκαν ἄσχημα μὲ τὴν διάνοιά τους ἐνώπιον τοῦ Θεοῦ». Πῶς αὐτοὶ [οἱ ἡγούμενοι], σπεύδουν

ἁμαρτημάτων ἀγνοοῦντες τὴν διάκρισιν, διὰ τὸν ἔτι καὶ πρὸς τὰ πάθη μάχης κονιορτὸν ἐπισκοτεῖν αὐτοῖς τῷ λογιστικῷ, ἐπιπηδῶσιν εἰς ἑτέρων προστασίαν, καὶ θεραπείας ἄλλων ἀναδέχονται, οὔπω τὰ ἑαυτῶν πάθη θεραπεύσαντες, οὐδὲ ἐκ τῆς ἑαυτῶν νίκης, ἑτέρους ἐπὶ τὸ νικᾷν ὁμοίως ὁδηγεῖν δυνάμενοι; [38.] Δεῖ γὰρ πρότερον μαχήσασθαι τοῖς πάθεσι, καὶ μετὰ πολλῆς νήψεως τὰ ἐν τῷ πολέμῳ τῇ μνήμῃ παραδοῦναι· καὶ οὕτως ἐκ τῶν καθ᾽ ἑαυτούς, ἑτέροις ὑποτίθεσθαι τὰ τῆς μάχης· καὶ τὴν νίκην αὐτοῖς εὐχερεστέραν ποιῆσαι, διὰ τὸ προλέγειν τὰς ἐν τῷ πολέμῳ μεθόδους. Εἰσὶ γάρ τινες κεκρατηκότες τῶν παθῶν, διὰ πολλὴν ἴσως σκληραγωγίαν· καὶ τὸν τρόπον ἀγνοοῦντες τῆς νίκης, διὰ τὸ ὡς ἐν νυκτομαχίᾳ παρηκολουθηκέναι ταῖς συμβολαῖς, μηδὲ ταῖς τῶν ἐχθρῶν ἐπιβουλαῖς παραστῆσαι τὸν νοῦν. [39.] Τοῦτο συμβολικῶς ἐποίει καὶ ὁ Ἰησοῦς, ἐν νυκτὶ τὸν Ἰορδάνην διαβαινούσῃ τῇ στρατιᾷ, προστά-

ὁρμητικὰ στὴν προστασία κάποιων καὶ ἀναλαμβάνουν τὴν φροντίδα ἄλλων, ἐνῶ ἀγνοοῦν τὴν διάκρισι καὶ τῶν φανερῶν ἁμαρτημάτων, [ὄχι μόνο τῶν ὑποκρυπτομένων], ἐξ αἰτίας τοῦ ὅτι καὶ τὸ σύννεφο τῆς σκόνης [ποὺ προέρχεται] ἀπὸ τὴν μάχη ἐναντίον τῶν [ἰδικῶν τους] παθῶν τοὺς συσκοτίζει τὸ λογιστικό, ἐπειδὴ ἀκόμη δὲν ἐθεράπευσαν τὰ δικά τους πάθη, οὔτε ἔχουν τὴν δυνατότητα ἐκ [τῆς ἐμπειρίας] τῆς δικῆς τους νίκης, νὰ ὁδηγοῦν ἄλλους στὴ νίκη κατὰ τὸν ἴδιο τρόπο [νὰ τοὺς διδάσκουν ἐμπειρικὰ τὶς μεθόδους τοῦ πνευματικοῦ πολέμου];

38. Διότι πρέπει [αὐτοὶ οἱ ὁποῖοι καθοδηγοῦν], πρῶτα νὰ πολεμήσουν μὲ τὰ πάθη καὶ μετὰ ἀπὸ πολλὴ νῆψι νὰ παραδώσουν στὴν μνήμη τὰ σχετικὰ μὲ τὸν πόλεμο · καὶ κατ᾽ αὐτὸν τὸν τρόπο ἀπὸ τὶς δικές τους [ἐμπειρίες] νὰ ἀφήσουν ὑποθῆκες στοὺς ἄλλους τὰ σχετικὰ μὲ τὴν μάχη· καὶ νὰ κάνουν τὴν νίκη εὐκολώτερη γιὰ ἐκείνους [ποὺ θὰ συμβουλεύουν], ἕνεκα τοῦ ὅτι προσδιορίζουν ἐκ τῶν προτέρων τὶς μεθόδους [ποὺ εἶναι ἀναγκαῖες] γιὰ τὸν [πνευματικὸ] πόλεμο. Διότι εἶναι κάποιοι οἱ ὁποῖοι ἔχουν νικήσει τὰ πάθη, ἕνεκα πολλῆς ἴσως σκληραγωγίας, καὶ [παραταῦτα] ἀγνοοῦν τὸν τρόπο τῆς νίκης, ἐξ αἰτίας τοῦ ὅτι ἔχουν παρακολουθήσει τὶς [πολεμικὲς] συγκρούσεις ὅπως σὲ νυκτερινὴ μάχη, χωρὶς ὁ νοῦς [νὰ δύναται] νὰ παρουσιάσῃ τὶς ἐπιβουλὲς τῶν ἐχθρῶν [λείπει ἡ ἐν γνώσει διεξαγωγὴ τοῦ ἰδίου πολέμου].

39. Αὐτὸ συμβολικῶς ἔκανε καὶ ὁ Ἰησοῦς τοῦ Ναυῆ, μὲ τὴν στρατιὰ ἡ ὁποία περνοῦσε νύκτα τὸν Ἰορδάνη, ὅταν διέταξε νὰ ἀνασύρουν πέτρες ἀπὸ

ξας ἐκ τοῦ ποταμοῦ λίθους ἀνιμῆσαι· καὶ ἔξω τοῦ ποταμοῦ στηλώσαντας κονιᾶσαι καὶ ἐπιγράψαι, ὅπως παρῆλθον τὸν Ἰορδάνην[66]*· σημαίνων ὅτι δεῖ τὰ βύθια τῆς ἐμπαθοῦς διαγωγῆς νοήματα εἰς φανερὸν ἄγειν καὶ σαφῶς στηλιτεύειν, καὶ μὴ φθονεῖν ἑτέροις τῆς γνώσεως· ἵνα μὴ μόνον ὁ παρελθὼν γινώσκῃ τὸν τρόπον τῆς διαβάσεως, ἀλλὰ καὶ οἱ τὸ αὐτὸ ποιεῖν προαιρούμενοι, εὐχερῆ τὴν διάβασιν ἐκ τῆς μαθήσεως ποιήσωνται· καὶ ἡ ἑτέρων πεῖρα, γένηται καὶ ἑτέρων διδασκαλία.* ***[40.]*** *Ἀλλὰ ταῦτα μὲν οὔτε ὁρῶσιν ἐκεῖνοι, οὔτε δὲ ἑτέρων λεγόντων ἀκούουσιν· εἰς μόνην δὲ αὐτῶν ὁρῶντες πληροφορίαν, καθάπερ ἀργυρωνήτοις, δουλικὰς ἐπιτάττουσιν ὑπηρεσίας τοῖς ἀδελφοῖς· ἐν τούτῳ τὸ πᾶν τῆς δόξης τιθέμενοι, ἐν τῷ προεστάναι πλειόνων· καὶ ἔστιν αὐτοῖς ἅμιλλα μὴ ἥττονας τῶν λοιπῶν ἀδελφοτήτων ἐν ταῖς προόδοις ἐπισύρεσθαι, δίκην ἀνδραπόδων· καπήλων μᾶλλον, ἢ διδασκάλων κα-*

τὸν ποταμό. Καὶ ἀφοῦ ἔστησαν ἔξω ὄρθιες [τὶς πέτρες] νὰ [τὶς] ἐπιχρίσουν μὲ κονίαμα καὶ νὰ γράψουν ἐπάνω πῶς [μὲ ποιὸ τρόπο] διῆλθαν τὸν Ἰορδάνη· ὑποδεικνύοντας ὅτι πρέπει τὰ βαθιὰ νοήματα τῆς ἐμπαθοῦς διαγωγῆς νὰ [τὰ] ὁδηγῇ [κανεὶς] στὴν ἀποκάλυψι, καὶ μὲ σαφήνεια νὰ [τὰ] στιγματίζῃ δημόσια μὲ δριμύτητα, καὶ νὰ μὴν ἀποποιῆται ἀπὸ φθόνο [νὰ μεταδώσῃ] τὴν γνῶσι στοὺς ἄλλους, γιὰ νὰ μὴν γνωρίζῃ μόνο ἐκεῖνος ποὺ διῆλθε [τὸν ποταμὸ τῶν παθῶν] τὸν τρόπο τῆς διαβάσεως, ἀλλὰ καὶ ἐκεῖνοι, ποὺ ἐπιθυμοῦν νὰ κάνουν τὸ ἴδιο νὰ καταστήσουν εὔκολη γιὰ τοὺς ἑαυτούς τους τὴν διάβασι ἐξ αἰτίας τῆς γνώσεως. Καὶ ἡ πεῖρα τῶν ἄλλων [τῶν προηγουμένων], γίνεται ἄλλων διδασκαλία.

40. Ἀλλὰ αὐτά, ἐκεῖνοι μὲν οὔτε [τὰ] προσέχουν, οὔτε ὅταν ἄλλοι [τοὺς τὰ] λένε, ἀκούουν· ἀλλὰ προσέχοντας μόνο στὴν δική τους πεποίθησι, διατάζουν δουλικὲς ὑπηρεσίες στοὺς ἀδελφούς, σὰν σὲ ἀγορασμένους δούλους· συνοψίζοντας σ᾽ αὐτὸ τὸ ὅλον τοῦ φρονήματός [τους]: στὸ νὰ προΐστανται σὲ πάρα πολλούς. Καὶ ὑπάρχει ἀνάμεσά τους ἅμιλλα στὶς ἐξόδους [ἀπὸ τὶς Ἰ. Μονές], νὰ μὴν σέρνουν πίσω τους λιγώτερους [μοναχοὺς] ἀπὸ τὶς ἄλλες ἀδελφότητες, κατὰ τὸν τρόπο [ποὺ σέρνουν] τοὺς αἰχμαλώτους δούλους· ἐπιδεικνύοντας κατάστασι περισσότερο καπή-

τάστασιν ἐπιδεικνυμένους· ὅταν γὰρ λόγῳ μὲν εὐχερὲς εἶναι τὸ ἐπιτάσσειν ἡγῶνται, κἂν βαρέα ᾖν τὰ ἐπιτασσόμενα, ἔργῳ δὲ διδάσκειν οὐδὲν ἀνέχωνται· πρόδηλον πᾶσι τὸν ἑαυτῶν ποιοῦσι σκοπόν, ὅτι οὐκ ὠφελῆσαι τοὺς προσερχομένους, ἀλλ' ἰδίαν ἡδονὴν ἀνύσαι σπουδάζοντες, τὴν ἡγεμονίαν ὑποδύονται ταύτην. [41.] Μαθέτωσαν δὲ οὗτοι, εἰ βούλονται, παρὰ τοῦ Ἀβιμέλεχ, καὶ τοῦ Γεδεών, ὅτι οὐ λόγος, ἀλλ' ἔργον τοὺς ἀρχομένους ἐνάγει πρὸς τὴν μίμησιν· τοῦ μὲν ποιήσαντος φορτίον ξύλον [recte: ξύλων], καὶ μετὰ τὸ ποιῆσαι βαστάζοντος καὶ λέγοντος, ὃν τρόπον εἴδετέ με ποιοῦντα, ποιήσατε καὶ ὑμεῖς[67]. Τοῦτο δὲ τὸ ἔργον εἰσηγουμένου κοινόν, καὶ ἑαυτὸν προτάσσοντος τῆς ἐργασίας, καὶ λέγοντος, ἀπ' ἐμοῦ ὄψεσθε καὶ οὕτω ποιήσατε[68]· καὶ ὁ Ἀπόστολος λέγων, ὅτι ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται[69]· καὶ αὐτὸς ὁ Κύριος ποιῶν, καὶ τότε διδάσκων[70]· τίνα

λων παρὰ διδασκάλων. Ὅταν βέβαια νομίζουν, ὅτι εἶναι εὔκολο μὲν τὸ νὰ διατάζουν μὲ λόγο, ἀκόμα κι ἂν ἦταν βαριὰ ἐκεῖνα ποὺ προστάσσονται, ἀλλὰ μὲ ἔργο δὲν ἀντέχουν νὰ [τὰ] διδάσκουν, [τότε] κάνουν φανερὸ σὲ ὅλους τὸν σκοπό τους, ὅτι [δηλαδὴ] ἀναλαμβάνουν αὐτὴ τὴν καθοδήγησι, ὄχι γιὰ νὰ ὠφελήσουν ἐκείνους, οἱ ὁποῖοι προσέρχονται [στὸ μοναχικὸ πολίτευμα], ἀλλὰ ἐπειδὴ φροντίζουν νὰ ἐπιτύχουν τὴν προσωπική τους εὐχαρίστησι.

41. Ἂς μάθουν λοιπὸν αὐτοί, ἂν θέλουν, ἀπὸ τὸν Ἀβιμέλεχ καὶ τὸν Γεδεών, ὅτι ὄχι ὁ λόγος ἀλλὰ ἡ πρᾶξι παρακινεῖ τοὺς ὑποτακτικοὺς στὴν μίμησι. [Ἂς μάθουν ἀπὸ τὸν] μὲν [Ἀβιμέλεχ], ὅταν ἔφτιαξε φορτίο ἀπὸ ξύλα καὶ ὅταν μετὰ τὴν κατασκευή, [τὸ] σηκώνῃ ἐπάνω καὶ λέγῃ: «μὲ ὅποιο τρόπο εἴδατε νὰ κάνω, κάνετε καὶ ἐσεῖς». [Ἀπὸ τὸν] δὲ [Γεδεών], ὅταν διδάσκῃ ὅτι τὸ ἔργο αὐτὸ εἶναι κοινὸ καὶ ὅταν τοποθετῇ τὸν ἑαυτό του ἐπικεφαλῆς τῆς ἐργασίας καὶ λέγῃ: «ἀπὸ ἐμένα θὰ βλέπετε καὶ θὰ κάνετε κατὰ τὸν ἴδιο τρόπο». [Τὸ ἴδιο διδάσκει] καὶ ὁ Ἀπόστολος, ὅταν λέγῃ, ὅτι τὶς ἀνάγκες μου καὶ [τὶς ἀνάγκες] ἐκείνων ποὺ εἶναι μαζί μου, ὑπηρέτησαν αὐτὰ τὰ χέρια· καὶ αὐτὸς ὁ ἴδιος ὁ Κύριος ὅταν πράττῃ καὶ τότε διδάσκει. Ποῖον δὲν πεί-

οὐ πείθουσιν, ἀξιοπιστοτέραν τὴν ἐν τοῖς ἔργοις διδασκαλίαν, τῆς διὰ λόγων ἡγεῖσθαι; [42.] Οἱ δέ, πρὸς μὲν τὰς τοιαύτας εἰκόνας, καμμύουσιν· ἀλαζονικῶς δέ, τὰ πρακτέα προτάσσουσιν. Ὅταν δὲ εἰδέναι τι τούτων δόξωσιν ἐξ ἀκοῆς, κατὰ τοὺς ἐπὶ ἀπειρίᾳ διαβαλλομένους παρὰ τοῦ Προφήτου ποιμένας, μάχαιραν ἐπὶ τοῦ βραχίονος φοροῦσι· διὸ καὶ ἐπὶ τὸν βραχίονα, ὁ δεξιὸς ὀφθαλμὸς αὐτῶν ἐκτυφλοῦται[71]*· ἀμελουμένη γὰρ δι᾽ ἀπόνοιαν ἡ δεξιὰ πρᾶξις, συγκατασβέννυσιν ἑαυτῇ καὶ τὴν λαμπηδόνα τῆς θεωρίας· τοῦτο δὲ οἱ ὠμῶς καὶ ἀπανθρώπως ποιμαίνοντες πάσχουσιν, ὅταν πρόχειρον τὴν τιμωρητικὴν ἔχωσι δύναμιν· εὐθέως γὰρ τὰ μὲν θεωρητικὰ νοήματα ἐκ δεξιῶν, σβέννυνται· πάλιν δὲ αἱ πράξεις στερηθεῖσαι τῆς θεωρίας μαραίνονται· οὔτε πρᾶξαί τι, οὔτε ἰδεῖν δυναμένων, τῶν μὴ τῷ μηρῷ, ἀλλὰ τῷ βραχίονι συζευξάντων τὴν μάχαιραν· ἐπὶ μὲν τοῦ μηροῦ φοροῦσι τὴν μάχαιραν, οἱ κατὰ τῶν ἰδί-*

θουν νὰ θεωρῇ τὴν διδασκαλία μὲ ἔργα πιὸ ἀξιόπιστη ἀπὸ ἐκείνη μὲ λόγια;

42. Ἐκεῖνοι ὅμως [οἱ ὁποῖοι ἀναλαμβάνουν ἀπὸ φιλοδοξία τὴν ἐπιμέλεια τῶν ἄλλων], ὡς πρὸς μὲν αὐτοῦ τοῦ εἴδους τὰ πρότυπα κλείνουν τὰ μάτια τους· προστάζουν δὲ μὲ ἀλαζονικὸ τρόπο ἐκεῖνα ποὺ πρέπει νὰ ἐκτελεσθοῦν. Ὅταν δὲ νομίσουν, ὅτι γνωρίζουν ἐξ ἀκοῆς κάτι ἀπ᾽ αὐτὰ [τά ὁποῖα διδάσκουν μὲ λόγια], βαστοῦν μαχαίρι πάνω στὸν βραχίονά [τους], ὅμοια μὲ ἐκείνους τοὺς ποιμένες ποὺ κατηγοροῦνται ἀπὸ τὸν Προφήτη [Ζαχαρία] γιὰ ἀπειρία· γι᾽ αὐτὸ καὶ τυφλώνεται ὁ δεξιὸς ὀφθαλμός τους [ἐπειδὴ φέρουν τὸ μαχαίρι] στὸν βραχίονα. Διότι ὅταν ἡ δεξιὰ [ἡ ἀγαθὴ] πρᾶξι ἀμελῆται ἀπὸ ἀνοησία, κατασβήνει συγχρόνως μαζί της καὶ τὴν λάμψι τῆς θεωρίας. Αὐτὸ βέβαια παθαίνουν ἐκεῖνοι, οἱ ὁποῖοι ποιμαίνουν ὠμὰ καὶ ἀπάνθρωπα, μὲ τὸ νὰ ἔχουν εὔκολη τὴν τιμωρητικὴ δύναμι. Ἀμέσως βέβαια σβήνονται τὰ ἐκ δεξιῶν [τὰ ἀγαθὰ] νοήματα τῆς θεωρίας. Οἱ δὲ πράξεις τανάπαλιν, ἀφοῦ στερήθηκαν τὴν θεωρία μαραίνονται, ἐπειδὴ ἐκεῖνοι ποὺ συνέδεσαν τὸ μαχαίρι στὸν βραχίονα καὶ ὄχι στὸν μηρό, δὲν δύνανται οὔτε νὰ πράξουν κάτι, οὔτε νὰ δοῦν [ἐξαντλεῖται στὶς τιμωρίες ἡ παιδαγωγία καὶ ἡ διάθεσι γιὰ ὑψηλὴ πνευματικὴ ζωή]. Φέρουν μὲν τὸ μαχαίρι πάνω στὸν μηρό, ἐκεῖνοι οἱ ὁποῖοι ἔχουν χρη-

ων παθῶν κεχρημένοι τῷ τομικῷ λόγῳ· ἐπὶ τοῦ βραχίονος δέ, οἱ τὴν τιμωρίαν πρόχειρον ἔχοντες ἐπὶ τῶν ἀλλοτρίων ἁμαρτημάτων. Οὕτω γὰρ καὶ Ναὰς ὁ Ἀμμανίτης, ὃς ἑρμηνεύεται ὄφις, ἀπειλῶν τῷ διορατικῷ Ἰσραήλ, ἐξορύξαι πάντα δεξιὸν αὐτοῦ ὀφθαλμόν[72], ἵνα μηδὲν νόημα δεξιὸν ἐνυπάρχον, ἐπὶ δεξιὰν πρᾶξιν ὁδηγήσῃ τὸν κεκτημένον· εἰδὼς αἴτιον τοῦτο μεγάλης προκοπῆς, τοῖς ἀπὸ τῆς θεωρίας ἐπὶ τὴν πρακτικὴν ἐρχομένοις· γίνεται γὰρ τοῖς τοιούτοις ἀνυπαίτιον τὸ πραχθέν, προθεωρηθὲν τοῖς τῆς γνώσεως ὀξυδερκεστάτοις ὀφθαλμοῖς. [43.] Ὅτι δὲ εὐχερῶν ἀνθρώπων καὶ μηδεμίαν οἴκοθεν ἐχόντων ὠφέλειάν ἐστι τὸ τὴν ἑτέρων ἀναδέχεσθαι προστασίαν, δῆλον μὲν καὶ ἐκ τῆς πείρας· οὐ γὰρ ἕλοιτό τις ἡσυχίας γευσάμενος καὶ θεωρίας, ποσῶς σχολάζειν ἀρξάμενος, ταῖς περὶ τῶν σωματικῶν φροντίσιν ἐνδῆσαι τὸν νοῦν· ἀποστήσας αὐτὸν τῆς γνώσεως, καὶ μετάρσιον ὄντα πολλὰ φερό-

σιμοποιήσει τὸν λόγο ποὺ κόβει ἐναντίον τῶν δικῶν τους παθῶν· ἐνῶ πάνω στὸν βραχίονα, ἐκεῖνοι οἱ ὁποῖοι ἔχουν πρόχειρη τὴν τιμωρία γιὰ τὰ ξένα ἁμαρτήματα. Διότι κατ᾽ αὐτὸν τὸν τρόπο [ἐνήργησε] καὶ ὁ Ναὰς ὁ Ἀμμανίτης, ὁ ὁποῖος ἑρμηνεύεται φίδι, ὅταν ἀπείλησε τὸν διορατικὸ Ἰσραήλ, νὰ ἐξορύξῃ κάθε δεξὶ ὀφθαλμό του[α'], ὥστε κανένα δεξὶ [ἀγαθὸ] νόημα νὰ μὴν ὑπάρχῃ μέσα [στὸν νοῦ τῶν ἀνθρώπων], γιὰ νὰ ὁδηγήσῃ ἐκεῖνον ποὺ ἔχει ἀποκτήσει [τὸ ἀγαθὸ νόημα] στὴν δεξιὰ [στὴν ἀγαθὴ] πρᾶξι· ἐπειδὴ γνώριζε [ὅτι εἶναι] αὐτὸ αἴτιο μεγάλης προκοπῆς γιὰ ἐκείνους οἱ ὁποῖοι ἔρχονται ἀπὸ τὴν θεωρία στὴν πρακτικὴ [ζωή]. Διότι γίνεται γι᾽ αὐτοὺς ἡ πρᾶξι ἄμεμπτη, ἐπειδὴ ἐξετάστηκε προηγουμένως μὲ τοὺς ἐξαιρετικὰ ὀξυδερκεῖς ὀφθαλμοὺς τῆς γνώσεως.

43. Ὅτι δὲ ἡ ἀνάληψι τῆς [πνευματικῆς] ἡγεσίας ἄλλων, εἶναι [ἴδιον] ἐμπείρων ἀνθρώπων, οἱ ὁποῖοι καὶ δὲν ἔχουν καμία ἀπολύτως δική τους ἀπολαβή, [αὐτὸ] εἶναι καὶ ἀπὸ τὴν πεῖρα προφανές. Διότι κανεὶς ὁ ὁποῖος γεύθηκε τὴν ἡσυχία καὶ τὴν θεωρία, ἐνῶ ἄρχισε κατ᾽ ἐλάχιστον νὰ ἀναπαύεται, δὲν θὰ προτιμήσῃ νὰ περιπλέξῃ τὸν νοῦ [του] στὶς σχετικὲς μὲ τὰ σωματικὰ φροντίδες· ἀπομακρύνοντας αὐτὸν ἀπὸ τὴν γνῶσι καὶ ἐνῶ εἶναι μετάρσιος [ὑψωμένος στὸν οὐρανὸ] ἀποκομίζοντας πολλά, νὰ σέρνεται

μενον, ἐπὶ τὰ γήϊνα κατασύρεσθαι πράγματα· εὐδηλότερον δὲ καὶ ἐκ τῆς πολυθρυλήτου παραβολῆς ἐκείνης, ἣν ὁ Ἰωνάθαν τοῖς Σικιμίταις προεβάλετο λέγων· πορευόμενα ἐπορεύθησαν τὰ ξύλα τοῦ δρυμοῦ τοῦ χρῖσαι ἐφ᾽ ἑαυτὰ βασιλέα· καὶ εἶπον τῇ ἀμπέλῳ· βασίλευσον ἐφ᾽ ἡμᾶς· καὶ εἶπεν ἡ ἄμπελος· ἀφήσω τὸν καρπὸν μου τὸν ἀγαθόν, ὃν ἐδόξασεν ὁ Θεὸς καὶ οἱ ἄνθρωποι, καὶ πορευθῶ τοῦ ἄρχειν ξύλων; Ὁμοίως δέ, καὶ τῆς συκῆς διὰ τὴν ἰδίαν γλυκύτητα· καὶ τῆς ἐλαίας, διὰ τὴν οἰκείαν ποιότητα, παραιτησαμένων· θάμνος, ξύλον ἄκαρπον καὶ ἀκανθῶδες, τὴν τούτων ἀρχὴν κατεδέξατο, οὔτε οἰκείαν ἔχουσα ποιότητα, οὔτε τῶν ὑποτεταγμένων ξύλων[73]. Οὐ γὰρ παραδείσου ξύλα, ἀλλὰ δρυμοῦ, τὰ δεόμενα τῆς ἐπιστασίας, εἶπεν ἡ παραβολή. Ὡς γὰρ ἡ ἄμπελος, καὶ ἡ συκῆ, καὶ ἡ ἐλαία παρητήσαντο τὸ ἄρχειν τῶν ξύλων τοῦ δρυμοῦ, μᾶλλον τῷ ἑαυτῶν εὐφραινόμεναι καρπῷ, ἢ τῷ τῆς ἀρχῆς ἀξιώματι, οὔ-

κάτω στὰ γήινα πράγματα. [Εἶναι αὐτὸ] ἐξάλλου προφανέστερο καὶ ἀπὸ ἐκείνη τὴν πολυθρύλητη παραβολή, τὴν ὁποία ὁ Ἰωνάθαν ὑπέδειξε στοὺς Σικιμίτες[β'] λέγοντας: «Τὰ δένδρα τοῦ δάσους πήγαιναν περπατώντας γιὰ νὰ χρίσουν βασιλέα γι᾽ αὐτὰ τὰ ἴδια. Καὶ εἶπαν στὴν ἄμπελο· βασίλευσε πάνω σ᾽ ἐμᾶς. Καὶ εἶπε ἡ ἄμπελος· θὰ ἀφήσω τὸν ἀγαθό μου καρπό, τὸν ὁποῖο ἐδόξασε ὁ Θεὸς καὶ οἱ ἄνθρωποι καὶ θὰ πάω νὰ κυβερνῶ δένδρα; Ἀφοῦ λοιπὸν κατὰ τὸν ἴδιο τρόπο παραιτήθηκαν, καὶ ἡ συκιὰ γιὰ τὴν γλυκύτητά της, καὶ ἡ ἐλιὰ γιὰ τὴν δική της ποιότητα, ὁ θάμνος, ἕνα δένδρο ἄκαρπο καὶ ἀκανθῶδες δέχθηκε μὲ εὐχαρίστησι τὴν διακυβέρνησί τους, ἐνῶ οὔτε δική του εἶχε ποιότητα, οὔτε [ἐκείνη] τῶν δένδρων τὰ ὁποῖα εἶχαν ὑποταχθῆ [σ᾽ αὐτόν]». Ἡ παραβολὴ βέβαια ἀνέφερε, ὅτι ἐκεῖνα τὰ ὁποῖα εἶχαν ἀνάγκη ἐπιστασίας, δὲν [ἦταν] δένδρα τοῦ περιβολιοῦ [καλλιεργημένα] ἀλλὰ τοῦ δάσους. Διότι ὅπως ἡ ἄμπελος καὶ ἡ συκιὰ καὶ ἡ ἐλιὰ ἀποποιήθηκαν τὴν διακυβέρνησι τῶν δένδρων τοῦ δάσους, ἐπειδὴ εὐφραίνοντο περισσότερο μὲ τὸν δικό τους καρπὸ παρὰ μὲ τὸ ἀξίωμα τῆς ἐξουσίας, κατὰ τὸν ἴδιο

τως οἱ ἐν ἑαυτοῖς τινα ἐμβλέποντες καρπὸν ἀρετῆς, καὶ τῆς ἐκ τούτου ὠφελείας αἰσθανόμενοι· κἂν πολλοὶ πρὸς τὴν τοιαύτην ἀρχὴν βιάζωνται, ἀνανεύουσι· τῆς παρὰ τῶν πολλῶν τιμῆς, τὴν ἑαυτῶν ὠφέλειαν προκρίνοντες. Ὅπερ δὲ ἐπηράσατο τοῖς ἐν τῇ παραβολῇ ξύλοις, τοῦτο καὶ τοῖς ὁμοίως ἐκείνοις πραγματευομένοις ἀνθρώποις συμβαίνει· ἢ γὰρ ἐξέλθοι, φησί, πῦρ ἐκ τῆς θάμνου, καὶ καταφάγοι τὰ ξύλα τοῦ δρυμοῦ· ἢ ἐκ τῶν ξύλων ἐξέλθοι, καὶ καταφάγοι τὴν θάμνον· τῶν γὰρ συνθηκῶν ἀνωφελῶν γινομένων, ἀνάγκη κίνδυνον ἀκολουθεῖν τοῖς τε ὑποτάσσουσιν ἑαυτοὺς διδασκάλῳ ἀπείρῳ, αὐτοῖς τε τοῖς τὴν ἀρχὴν ἀναδεχομένοις, ἐπὶ τῇ τῶν μαθητευομένων ἀπροσεξίᾳ. [44.] Καὶ γὰρ ἡ τοῦ διδασκάλου ἀπειρία ἀπόλλυσι τοὺς μαθητευομένους. Καὶ ἡ τῶν μαθητῶν ἀμέλεια, κίνδυνον φέρει τῷ διδασκάλῳ, καὶ μάλιστα ὅταν παρὰ τὴν αὐτοῦ ἀνεπιστημοσύνην ῥαθυμῶσιν ἐκεῖνοι· οὔτε γὰρ τὸν

τρόπο, ἐκεῖνοι οἱ ὁποῖοι παρατηροῦν ἐντός τους [στὸ βάθος τῆς καρδίας τους] κάποιον καρπό ἀρετῆς καὶ αἰσθάνονται τὴν ὠφέλεια ἀπὸ αὐτόν, ἀκόμα κι ἂν πολλοὶ [τοὺς] ἐξαναγκάζουν γι᾽ αὐτοῦ τοῦ εἴδους τὴν ἐξουσία, ἀρνοῦνται, ἐπειδὴ προτιμοῦν τὴν προσωπική τους ὠφέλεια ἀπὸ τὴν τιμὴ ἐκ μέρους τῶν πολλῶν. Αὐτὸ δὲ ἀκριβῶς τὸ ὁποῖο ἐκφράστηκε ὡς κατάρα ἐναντίον τῶν δένδρων στὴν παραβολή, αὐτὸ συμβαίνει καὶ σὲ ἐκείνους [τοὺς καθηγουμένους], οἱ ὁποῖοι ἀσχολοῦνται μὲ ἀνθρώπους κατὰ τὸν ἴδιο τρόπο μ᾽ ἐκεῖνα. Διότι λέγει [ἡ παραβολή]: «ἢ θὰ ἔβγαινε φωτιὰ ἀπὸ τὸν θάμνο καὶ θὰ κατέστρεφε τὰ ξύλα τοῦ δάσους· ἢ θὰ ἔβγαινε ἀπὸ τὰ ξύλα καὶ θὰ κατέστρεφε τὸν θάμνο». Διότι ὅταν γίνουν οἱ ὅροι τῶν σχέσεων [Γέροντος καὶ Ὑποτακτικοῦ] ἀνωφελεῖς, κατ᾽ ἀνάγκη ἀκολουθεῖ κίνδυνος καὶ σ᾽ ἐκείνους οἱ ὁποῖοι ὑποτάσσουν τοὺς ἑαυτούς τους σὲ ἄπειρο διδάσκαλο, καὶ σ᾽ αὐτοὺς τοὺς ἴδιους, οἱ ὁποῖοι ἀναδέχονται τὴν [πνευματικὴ] ἡγεσία, ἕνεκα τῆς ὀλιγωρίας τῶν μαθητῶν.

44. Διότι καὶ ἡ ἀπειρία τοῦ διδασκάλου καταστρέφει τοὺς μαθητές. Καὶ ἡ ἀμέλεια τῶν μαθητῶν ἐπιφέρει κίνδυνο στὸ διδάσκαλο καὶ μάλιστα ὅταν ἐκεῖνοι ραθυμοῦν ἕνεκα τῆς δικῆς του πνευματικῆς ἀγνωσίας. Διότι καὶ ὁ

διδάσκαλον λανθάνειν τι ὀφείλει τῶν εἰς διόρθωσιν τῶν ὑποτεταγμένων ἡκόντων, οὔτε οἱ μαθητευόμενοι παρορᾷν τι τῶν τοῦ διδασκἀλου παραγγελμάτων ὀφείλουσι· καὶ γὰρ καὶ τούτων τὸ παρασκευάσαι, κᾀκείνου τὸ παριδεῖν πλημμελοῦντας, βαρὺ καὶ ἐπικίνδυνον. [45.] Μηδὲ νομιζέτωσαν ἀνέσεως καὶ ἀπολαύσεως εἶναι πρόφασιν, τὸ πρᾶγμα· πάντων γάρ ἐστιν ἐπιπονώτερον τὸ ἄρχειν ψυχῶν. Οἱ μὲν γὰρ ἀλόγων ἄρχοντες καὶ κτηνῶν, πρὸς οὐδὲν ἀντιτασσομένας ἔχουσι τὰς ἀγέλας, καὶ διὰ τοῦτο αὐτοῖς τὰ τῆς ἀρχῆς εὐοδοῦνται πολλάκις· τοῖς δὲ ἀνθρώπων ἐπιστατοῦσιν, ἡ ποικιλία τῶν ἠθῶν, καὶ τὸ ἐκ τοῦ λογισμοῦ πανοῦργον, δυσχερεστέραν ποιεῖ τὴν ἐπιστασίαν· καὶ δεῖ τοὺς ἐπὶ τοῦτο ἐρχομένους, ἀλείψασθαι, ὡς πρὸς ἀγῶνα ἐπίπονον· ἵνα, καὶ τὰ πάντων ἐλαττώματα, μετὰ πολλῆς φέρωσιν ἀνεξικακίας, καὶ τἀ λανθάνοντα διὰ τὴν ἀγνωσίαν, διδάσκωσιν αὐτοὺς μακροθύμως.

διδάσκαλος ἔχει καθῆκον, νὰ μὴν τοῦ διαφεύγῃ κάτι ἀπὸ ἐκεῖνα ποὺ ἀποβλέπουν στὴν διόρθωσι τῶν ὑποτακτικῶν, καὶ οἱ μαθητὲς ἔχουν καθῆκον νὰ μὴν παραμελοῦν καμία ἀπὸ τὶς ἐντολὲς τοῦ διδασκάλου. Ἐπειδὴ καὶ αὐτῶν [τῶν ὑποτακτικῶν] ἡ ἀθέτησι [τοῦ διδασκάλου] καὶ ἐκείνου ἡ παράβλεψι ὅταν σφάλουν, [εἶναι] βαρὺ καὶ ἐπικίνδυνο.

45. Ἂς μὴν θεωροῦν ἀκόμα ὅτι εἶναι τὸ ἔργο [τῆς ἡγουμενίας] πρόφασι γιὰ ἄνεσι καὶ ἀπόλαυσι· διότι τὸ νὰ κυβερνᾷ [κανεὶς] ψυχὲς εἶναι τὸ πλέον ἐπίπονο ἀπὸ ὅλα. Διότι ἐκεῖνοι μὲν ποὺ κυβερνοῦν ἄλογα [ζῶα] καὶ ποίμνια, κατευθύνουν τὶς ἀγέλες ἐπειδὴ δὲν ἐναντιώνονται σὲ τίποτα καὶ γι᾽ αὐτὸ τὰ σχετικὰ μὲ τὴν διαποίμανσι πολλὲς φορὲς ἔχουν καλὴ ἔκβασι. Σ᾽ ἐκείνους ὅμως ποὺ ἐπιστατοῦν σὲ ἀνθρώπους ἡ ποικιλία τῶν ἠθῶν καὶ ἡ πανουργία [ποὺ προέρχεται] ἀπὸ τὸν λογισμό, κάνει τὴν ἐπιστασία πιὸ δύσκολη. Καὶ πρέπει ὅσοι προσέρχονται σ᾽ αὐτὸ νὰ ἀλείφωνται [νὰ προετοιμάζωνται] ὅπως γιὰ ἀγῶνα ἐπίπονο, γιὰ νὰ ἀνέχωνται καὶ μὲ πολλὴ ἀνεξικακία τὰ ἐλαττώματα ὅλων καὶ νὰ τοὺς διδάσκουν μὲ μακροθυμία ὅσα διαφεύγουν τῆς προσοχῆς ἀπὸ ἄγνοια.

[46.] Διὰ τοῦτο γάρ, τὸν μὲν νιπτῆρα βόες ἐν τῷ ναῷ βαστάζουσιν[74]· ἡ δὲ λυχνία ὅλη στερεά, καὶ τορευτὴ κατεσκευάσθη[75]· δηλούσης μὲν τῆς λυχνίας, ὅτι ὁ φωτίζειν ἑτέρους προθέμενος, ὀφείλει δι᾽ ὅλων στερεοῦσθαι τῶν μερῶν, καὶ μηδὲν κοῦφον ἔχειν, ἢ ὑπόκενον· καὶ πάντα περιτετορεῦσθαι τὰ περισσά, ὅσα μὴ χρησιμεύειν εἰς παράδειγμα πολιτείας ἀνεπιλήπτου τοῖς ὁρῶσιν ἔμελλε· τῶν δὲ ὑπὸ τὸν νιπτῆρα βοῶν, μηδὲν παραιτεῖσθαι τῶν ἐπερχομένων, τὸν ὑπελθόντα τὸ τοιοῦτον ἔργον, ἀλλὰ καὶ τὰ βάρη καὶ τὸν ῥύπον φέρει τῶν ἐλαττόνων, ἕως ὅτε ἀκίνδυνόν ἐστι τὸ φέρειν· πάντως γάρ, εἰ μέλλοι καθαρὰς ἐργάζεσθαι τὰς πράξεις τῶν προσιόντων, ἀνάγκη καὶ αὐτόν τινος παραπολαῦσαι ῥύπου· ἐπεὶ καὶ ὁ νιπτὴρ καθαίρων τὰς τῶν νιπτομένων χεῖρας, αὐτὸς δέχεται τὸν ἐκείνων ῥύπον· τὸν γὰρ περὶ παθῶν διαλεγόμενον, καὶ ἑτέρους τῶν τοιούτων ἀποσμήχοντα κηλίδων, οὐκ ἔστιν

46. Γι᾽ αὐτὸ μέσα στὸν Ναὸ [ὅπως περιγράφεται στὴν Παλαιὰ Διαθήκη], τὸν μὲν νιπτῆρα βαστάζουν βόδια, ἡ δὲ λυχνία κατασκευάσθηκε ὁλόκληρη στερεὰ καὶ σκαλιστὴ στὸν τόρνο, διότι ἡ μὲν λυχνία ὑποδηλώνει, ὅτι ἐκεῖνος ὁ ὁποῖος προτίθεται νὰ φωτίζῃ ἄλλους, ὀφείλει νὰ εἶναι συγκροτημένος κατὰ πάντα καὶ νὰ μὴν ἔχῃ τίποτα ἐλαφρὸ [ψεύτικο] ἢ μισοκούφιο [νὰ μὴν ἔχῃ κάποια ἔλλειψι]. Καὶ ὅλα τὰ περιττά, τὰ ὁποῖα δὲν ἐπρόκειτο νὰ χρησιμεύσουν ὡς παράδειγμα ἄμεμπτης πολιτείας σ᾽ ἐκείνους οἱ ὁποῖοι [τὰ] παρατηροῦν [τοὺς ὑποτακτικούς], νὰ τὰ ἀποβάλλῃ στὸν τόρνο. Ἀπὸ δὲ τὰ βόδια [τὰ ὁποῖα βρίσκονται] κάτω ἀπὸ τὸν νιπτῆρα [ὑποδηλώνεται], νὰ μὴν ἀποφεύγῃ κανένα ἀπὸ τὰ ἐπερχόμενα [δεινὰ] ἐκεῖνος ποὺ ἀναδέχθηκε αὐτὸ τὸ βαρὺ ἔργο, ἀλλὰ νὰ ἀνέχεται καὶ τὰ βάρη καὶ τὴν ἀκαθαρσία τῶν ἀδυνάτων, μέχρις [ἐκεῖ] ὅπου εἶναι ἀκίνδυνη [αὐτὴ] ἡ ἀνοχή. Διότι πάντως, ἐὰν πρόκειται νὰ ἀπεργάζεται καθαρὲς τὶς πράξεις [τὰ πρακτικὰ ἁμαρτήματα] ἐκείνων οἱ ὁποῖοι προσέρχονται, κατ᾽ ἀνάγκη καὶ αὐτὸς [πρόκειται] νὰ ὑπομείνῃ τὶς ἐπιπτώσεις ἀπὸ κάποια ἀκαθαρσία. Ἐπειδὴ καὶ ὁ νιπτήρας, ὁ ὁποῖος καθαρίζει τὰ χέρια ἐκείνων ποὺ πλένονται, αὐτὸς ὁ ἴδιος δέχεται τὴν ἀκαθαρσία ἐκείνων. Ἐκεῖνος λοιπὸν ὁ ὁποῖος συνομιλεῖ σχετικὰ γιὰ τὰ πάθη καὶ καθαρίζει ἄλλους ἀπὸ αὐτοῦ τοῦ εἴδους τὶς κηλίδες, δὲν εἶναι δυνατὸν

ἀμόλυντον παρελθεῖν· αὐτὴ γὰρ ἡ μνήμη, ῥυποῦν τὴν διάνοιαν τοῦ λέγοντος πέφυκε· κἂν δὲ γλαφυρωτέραις βαφαῖς τῶν αἰσχρῶν μὴ σφραγίσητε τοὺς τύπους, ἀλλ᾽ ὅμως τὴν ἐπιπολὴν μιαίνει τοῦ νοῦ, ταῖς τοῦ λόγου διεξόδοις, χρώμασιν οὐ καθαροῖς ἐπιθολοῦσα. [47.] Δεῖ δὲ καὶ ἐπιστήμονα τὸν ἡγούμενον οὕτως εἶναι, ὡς μηδὲν ἀγνοεῖν τῶν τοῦ ἐχθροῦ ἐνθυμημάτων· ἵνα, τὰ λανθάνοντα τοῖς ἐγκεχειρισμένοις αὐτῷ τῶν παλαισμάτων ἀπογυμνῶν, ὑποδεικνύναι, καί, τὰς ἐπιβουλὰς προλέγων τοῦ ἀντιπάλου, ἀπονητὶ τὴν νίκην αὐτοῖς βραβεύσῃ, καὶ στεφανίτας ἐξαγάγῃ τοῦ ἀγῶνος αὐτούς· σπάνιος δὲ ὁ τοιοῦτος καὶ οὐ ῥᾳδίως εὑρισκόμενος. [48.] Ὁ μὲν γὰρ μέγας Παῦλος, τοῦτο ἑαυτῷ μαρτυρεῖ λέγων· οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν[76]· ὁ δὲ θαυμάσιος Ἰώβ, ἀπορῶν περὶ τοῦ τοιούτου, φησί· τίς ἀποκαλύψει πρόσωπον ἐνδύσεως αὐτοῦ; εἰς δὲ πτύξιν θώρακος αὐτοῦ τίς ἂν εἰσέλθοι; πύλας δὲ

νὰ διέλθῃ ἀμόλυντος· διότι αὐτὴ ἡ ἴδια ἡ μνήμη, ἔχει ἀπὸ τὴν φύσι της τὴν ἰδιότητα νὰ λερώνῃ τὴν διάνοια ἐκείνου ὁ ὁποῖος διδάσκει. Ἀκόμα κι ἂν δὲν προσδιορίσετε τὶς εἰκόνες τῶν αἰσχροτήτων μὲ τὶς πιὸ ζωντανὲς ἀποχρώσεις, ἀλλὰ ὅμως [ἡ συνομιλία] μολύνει τὴν ἐπιφάνεια τοῦ νοὸς ἀπὸ τὶς περιγραφὲς τοῦ λόγου, θολώνοντάς [την] μὲ ὄχι καθαρὰ χρώματα.

47. Πρέπει δὲ ὁ ἡγούμενος νὰ εἶναι ἔμπειρος κάτοχος πνευματικῆς γνώσεως κατὰ τέτοιο τρόπο, ὥστε νὰ μὴν ἀγνοῇ καμία ἀπὸ τὶς ἐπινοήσεις τοῦ ἐχθροῦ, ὥστε, ἀφοῦ ἀποκαλύπτῃ ὅσα ἀπὸ τὰ τεχνάσματα εἶναι ἄγνωστα σ᾽ ἐκείνους ποὺ ἔχουν παραδοθῆ σ᾽ αὐτὸν [στοὺς ὑποτακτικούς], νὰ [τὰ] ὑποδεικνύῃ καὶ προλέγοντας [προλαμβάνοντας] τὶς ἐπιβουλὲς τοῦ ἀντιπάλου, νὰ τοὺς χαρίσῃ χωρὶς κόπο ὡς βραβεῖο τὴν νίκη καὶ νὰ τοὺς βγάλῃ ἀπὸ τὸν ἀγῶνα νικητὲς στεφανωμένους. Ὅμως ἕνας τέτοιος [εἶναι] σπάνιος καὶ δὲν βρίσκεται εὔκολα.

48. Διότι ὁ μὲν μέγας Παῦλος αὐτὸ μαρτυρεῖ ὡς πρὸς τὸν ἑαυτό του, λέγοντας: «Δὲν ἀγνοοῦμε βέβαια τὶς ἐπινοήσεις αὐτοῦ [τοῦ διαβόλου]». Ὁ δὲ θαυμάσιος Ἰώβ, εὑρισκόμενος σὲ ἀμηχανία σχετικὰ μ᾽ αὐτὸν [τόν διάβολο], λέγει: «Ποιὸς θὰ ἀποκαλύψῃ τὸ πρόσωπό του ἀπὸ τὴν ἀμφίεσι; Ποιός θὰ μπορέσῃ δὲ νὰ εἰσέλθῃ στὴν πτυχὴ τοῦ θώρακός του; Καὶ ποιὸς θὰ ἀνοίξῃ τὶς εἰσό-

προσώπου αὐτοῦ τίς ἀνοίξει[77]; Ὁ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὐκ ἔστι, φησί, τὸ φαινόμενον πρόσωπον ἐπ᾽ αὐτοῦ· πολλοῖς γὰρ ἐνδύμασι καλύπτει τὴν πονηρίαν· δελεάζων μὲν τῷ φαινομένῳ ἀπατηλῶς, ἐνεδρευτικῶς δὲ τῷ κεκρυμμένῳ τεκταίνων τὸν ὄλεθρον· καὶ ἵνα μὴ καὶ ἑαυτὸν συναριθμήσῃ τοῖς ἀγνοοῦσι τὰ κατ᾽ αὐτόν, λέγει τὰ τεκμήρια αὐτοῦ σαφῶς· εἰδὼς πᾶσαν τὴν περὶ αὐτὸν τερατουργίαν· οἱ ὀφθαλμοὶ αὐτοῦ, λέγων, εἶδος Ἑωσφόρου· τὰ δὲ ἔγκατα αὐτοῦ, ἀσπίδες· καὶ ταῦτά φησιν ἐλέγχων τὴν ἐκείνου κακουργίαν, ὡς διὰ μὲν τοῦ ἐπιμορφάζεσθαι τὸ τοῦ Ἑωσφόρου εἶδος, ἐπισπᾶσθαι πρὸς ἑαυτὸν τοὺς ὁρῶντας μηχανωμένου· διὰ δὲ τῶν ἐντὸς ἀσπίδων, θάνατον τοῖς προσεγγίζουσι πραγματευομένου.

[49.] Καὶ ἡ παροιμία δὲ τὸ ἐπικίνδυνον τοῦ πράγματος ἐλέγχουσα, λέγει· σχίζων ξύλα, κινδυνεύει ἐν αὐτοῖς, ἐὰν ἐκπέσῃ τὸ σιδήριον[78]· ὁ γὰρ διαιρῶν τῷ λόγῳ τὰ πράγματα, καὶ τὰ νομιζό-

δους τοῦ προσώπου του;». Ἐκεῖνο βέβαια, τὸ ὁποῖο ἐννοεῖ, εἶναι αὐτό. Δὲν εἶναι, λέγει, πάνω σ᾽ αὐτόν, τὸ πρόσωπο, τὸ ὁποῖο φαίνεται. Διότι μὲ πολλὰ ἐνδύματα καλύπτει τὴν πονηρία. Ἐνῶ μὲν δελεάζει ἀπατηλὰ μὲ ἐκεῖνο τὸ ὁποῖο φαίνεται, ὅμως καταχθόνια μὲ ἐκεῖνο ποὺ ἔχει κρυμμένο μηχανεύεται τὸν ὄλεθρο. Καὶ γιὰ νὰ μὴν συναριθμήσῃ καὶ τὸν ἑαυτό του [ὁ Ἰὼβ ἀνάμεσα] σ᾽ ἐκείνους ποὺ ἀγνοοῦν τὰ σχετικὰ μ᾽ αὐτὸν [τὶς πονηρίες τοῦ διαβόλου], ἀναφέρει μὲ σαφήνεια τὰ διακριτικά του στοιχεῖα, ἐπειδὴ γνωρίζει καλὰ ὁλόκληρη τὴν τερατώδη ἀπάτη γύρω ἀπὸ αὐτόν, λέγοντας [ὅτι]: «Οἱ ὀφθαλμοί του [τοῦ διαβόλου ἔχουν] τὸ εἶδος τοῦ πρωινοῦ ἄστρου, Αὐγερινοῦ, ἀλλὰ τὰ μύχια του [εἶναι τὰ δηλητηριώδη φίδια], οἱ ἀσπίδες». Καὶ λέγει αὐτά, γιὰ νὰ ἐλέγξῃ τὴν κακουργία ἐκείνου, ὅτι [δηλαδὴ ἐνεργεῖ τὴν κακία] διὰ μὲν τῆς ὑποκριτικῆς ἀμφιέσεώς του στὴν μορφὴ τοῦ λαμπροῦ ἄστρου Ἑωσφόρου, ἐνῶ μηχανεύεται νὰ προσελκύῃ πρὸς τὸν ἑαυτό του, ἐκείνους οἱ ὁποῖοι [τὸν] παρατηροῦν, διὰ δὲ τῶν ἀσπίδων [ποὺ εὑρίσκονται] ἐντός του προξενώντας τὸν θάνατο σ᾽ ἐκείνους οἱ ὁποῖοι [τὸν] πλησιάζουν.

49. Καὶ ἡ παροιμία ἐξάλλου ἐπιβεβαιώνοντας τὸ ἐπικίνδυνο τοῦ πράγματος λέγει: «ἐκεῖνος ὁ ὁποῖος σχίζει ξύλα κινδυνεύει [νὰ χτυπήσῃ] μ᾽ αὐτά, ἐὰν [τοῦ] ἐκτραπῇ τὸ τσεκούρι». Διότι ἐκεῖνος ὁ ὁποῖος διαιρεῖ μὲ τὸν λόγο τὰ πράγματα καὶ χωρίζει

μενα ἡνῶσθαι χωρίζων τῆς συμφυΐας· καὶ ξένα πάντη ἀλλήλων δεικνύναι βουλόμενος, τὰ ὄντως ἀγαθά, τῶν νομιζομένων τοιούτων, ἐὰν μὴ πάντοθεν ἠσφαλισμένον ἔχῃ τὸν λόγον, κινδυνεύει ἐν τοῖς ἀκούουσι· τοῦ ἐκπεσόντος τῆς ἀσφαλείας λόγου, σκανδάλου ἀφορμὴν τοῖς ἀκούουσι παρέχοντος. [50.] Οὕτω τὶς τῶν τῷ Ἐλισσαίῳ φοιτησάντων κόπτων ξύλον ἐν τῷ Ἰορδάνῃ, καὶ τοῦ σιδήρου εἰς τὸν ποταμὸν ἐκπεσόντος, τὸν κίνδυνον ὑφορώμενος, πρὸς τὸν διδάσκαλον ἐβόα λέγων[79]· οἴμοι, Κύριε, καὶ αὐτῷ κεχρημένον. Τοῦτο δὲ πάσχουσιν, οἱ ἐκ παρακουσμάτων διδάσκειν ἐπιχειροῦντες καὶ πρὸς τὸ τέλος ἐλθεῖν ἀδυνατοῦντες, διὰ τὸ μὴ ἀπὸ οἰκείας ἕξεως λέγειν· ὅταν δὲ ἐν τῷ μεταξὺ ἐναντίον τι τῷ προκειμένῳ φωραθῶσι λέγοντες, τότε τὴν ἄγνοιαν ὁμολογοῦσιν, ἐπὶ τῷ κεχρημένῳ λόγῳ κινδυνεύοντες· διὸ καὶ ὁ μέγας Ἐλισσαῖος, ξύλον εἰς τὸν βυθὸν ἐμβαλών, ἐπιπολάσαι πεποίηκε τὸ ἀπορηθὲν παρὰ τοῦ μα-

ἀπὸ τὴν σύνδεσί [τους] ἐκεῖνα τὰ ὁποῖα θεωροῦνται ὅτι ἔχουν συνδεθῆ· καὶ ἐπιθυμεῖ νὰ παραστήσῃ κατὰ πάντα ξένα μεταξύ τους τὰ ὄντως ἀγαθά, ἀπὸ ἐκεῖνα τὰ ὁποῖα θεωροῦνται [ὅτι εἶναι] τέτοια, ἐὰν δὲν ἔχῃ ἀπὸ κάθε ἄποψι κατοχυρωμένο τὸν λόγο, κινδυνεύει ἀπὸ ὅσους [τὸν] ἀκοῦν· διότι παρέχει ἀφορμὴ σκανδάλου σ᾽ ἐκείνους οἱ ὁποῖοι [τὸν] ἀκοῦν [στοὺς μαθητές του], ἐὰν ὁ λόγος ἐκπέσῃ ἀπὸ τὴν ἀκρίβεια.

50. Ἔτσι κάποιος ἀπὸ ἐκείνους οἱ ὁποῖοι μαθήτευσαν στὸν Ἐλισσαῖο, ὅταν ἔκοβε κάποιο ξύλο στὸν Ἰορδάνη καὶ ἐξέπεσε τὸ τσεκούρι στὸν ποταμό, ὑποπτευόμενος τὸν κίνδυνο φώναζε πρὸς τὸν διδάσκαλο, λέγοντας: «Ἀλλοίμονο Κύριε καὶ αὐτὸ [μοῦ] εἶχε δοθῆ [μόνο] πρὸς χρῆσι [δανεικό]». Αὐτὸ βέβαια παθαίνουν ἐκεῖνοι, οἱ ὁποῖοι ἐπιχειροῦν νὰ διδάσκουν ἀπὸ δανεικὰ ἀκούσματα καὶ ἀδυνατοῦν νὰ φθάσουν στὸ τέλος [νὰ ὁλοκληρώσουν τὴν παιδαγωγία], ἐξ αἰτίας τοῦ ὅτι δὲν ὁμιλοῦν ἀπὸ τὴν δική τους κατάστασι [ἐμπειρία]. Ὅταν δὲ ἐν τῷ μεταξὺ συλληφθοῦν νὰ λέγουν κάτι ἀντίθετο πρὸς τὸ προκείμενο [θέμα], τότε ὁμολογοῦν τὴν ἄγνοια, γιατὶ κινδυνεύουν ἀπὸ τὸν δανεισμένο λόγο [παιδαγωγία μόνο ἀπὸ λόγια καὶ ὄχι ἀπὸ ἐμπειρία]. Γι᾽ αὐτὸ καὶ ὁ μέγας Ἐλισσαῖος, ἀφοῦ ἔβαλε μέσα στὸν βυθὸ ἕνα ξύλο, ἐνήργησε, νὰ ἔρθῃ στὴν ἐπιφάνεια ἐκεῖνο, τὸ ὁποῖο ἦταν ἀγνοημένο [χαμένο] ἀπὸ τὸν μα-

θητοῦ[80]*, καὶ ἐν βυθῷ κεκαλύφθαι νομισθὲν νόημα σαφηνίσας, καὶ ὑπ᾽ ὄψιν ἀγαγὼν τῶν ἀκουόντων. [51.] Ἰδοὺ ὁ Ἰορδάνης τὸν τῆς μετανοίας σημαίνει λόγον· ἐκεῖ γὰρ ἐτελεῖτο παρὰ τοῦ Ἰωάννου τὸ Βάπτισμα τῆς μετανοίας*[81]*· ὁ δὲ περὶ μετανοίας οὐκ ἠκριβωμένως εἰρηκώς, ἀλλὰ διὰ τοῦ γυμνῶσαι τὴν κεκρυμμένην χρηστότητα, εἰς καταφρόνησιν ἐλθεῖν παρασκευάσαι τοὺς ἀκροατάς, ἐν τῷ Ἰορδάνῃ κατέλαβε τὸ σιδήριον· εὖ δὴ καὶ τὸ φανὲν ξύλον ἀναφέρει ἐκ τοῦ βυθοῦ τὸ σιδήριον, καὶ ἐπιπολάζειν ποιεῖ. Πρὸ μὲν γὰρ τοῦ Σταυροῦ, ἐκέκρυπτο ὁ περὶ μετανοίας λόγος, διὸ καὶ ὁ περὶ αὐτοῦ βουληθεὶς εἰπεῖν τι, ἠλέγχθη προχείρως τολμήσας· μετὰ δὲ τὸν Σταυρόν, φανερὸς πᾶσι γέγονε, τῷ οἰκείῳ καιρῷ διὰ τοῦ ξύλου ἀναδειχθείς. [52.] Ταῦτα δέ φημι οὐκ ἀποτρέπων ἡγεῖσθαί τινων, οὐδὲ κωλύων ὁδηγεῖν τινας τῶν νέων ἐπὶ τὴν θεοσέβειαν· ἀλλὰ παρακαλῶν, πρῶτον ἀναλαβεῖν ἕξιν ἐπὶ τὴν ἀρετήν,*

θετὴ καὶ ἀποσαφηνίζοντας [ἀναλύοντας εἰς βάθος] τὸ νόημα τὸ ὁποῖο θεωρήθηκε, ὅτι εἶχε καλυφθῆ μέσα στὸν βυθό, καὶ [τὸ] ἔθεσε ὑπ᾽ ὄψιν ἐκείνων ποὺ ἀκούουν.

51. Ἰδού! ὁ Ἰορδάνης σημαίνει τὸν λόγο τῆς μετανοίας· διότι ἐκεῖ [στὸν Ἰορδάνη] ἐτελεῖτο ἀπὸ τὸν Ἰωάννη τὸ βάπτισμα τῆς μετανοίας. Ἐκεῖνος δὲ [ὁ ἡγούμενος], ὁ ὁποῖος δὲν ἔχει μιλήσει μὲ σαφήνεια περὶ [τῆς ἀρετῆς] τῆς μετανοίας, ἀλλὰ ἕνεκα τοῦ ὅτι ἀπεγύμνωσε [ἐμείωσε] τὴν κρυμμένη ὑψηλὴ ἰδιότητά της, [συνετέλεσε] στὸ νὰ καταστήσῃ νὰ ἔρθουν οἱ ἀκροατὲς στὴν καταφρόνησί [της], [αὐτός], ἔλαβε στὴν κατοχή του τὸ [δανεικὸ] τσεκούρι στὸν Ἰορδάνη. Καλῶς λοιπόν, καὶ τὸ ξύλο τὸ ὁποῖο ἐμφανίστηκε φέρνει ἐπάνω ἀπὸ τὸν βυθὸ τὸ τσεκούρι καὶ [τὸ] κάνει νὰ ἐπιπλέῃ [ἱστορικὴ προτύπωσι τοῦ Τιμίου Σταυροῦ]. Διότι πρὶν μὲν ἀπὸ τὸν Σταυρὸ ἔμενε κρυμμένος ὁ σχετικὸς μὲ τὴν μετάνοια λόγος, γι᾽ αὐτὸ καὶ ἐκεῖνος ὁ ὁποῖος θέλησε νὰ πῇ κάτι σχετικὰ μ᾽ αὐτόν, ἐλέγχθηκε, γιατὶ [τὸ] ἀπετόλμησε πρόχειρα [πρὸ τῆς σταυρικῆς–θυσιαστικῆς ζωῆς δὲν ὑπάρχει ἐμπειρικὸς λόγος μετανοίας]. Μετὰ ὅμως ἀπὸ τὸν Σταυρὸ ἔχει γίνει φανερὸς σὲ ὅλους [ὁ λόγος τῆς μετανοίας], ἀφοῦ ἀναδείχθηκε στὸν ἁρμόζοντα χρόνο διὰ τοῦ [Τιμίου] ξύλου.

52. Ἀλλὰ αὐτὰ τὰ λέω, ὄχι ἐπειδὴ [τοὺς] ἀποτρέπω νὰ προΐστανται σὲ κάποιους, οὔτε ἐπειδὴ [τοὺς] κωλύω νὰ ὁδηγοῦν κάποιους ἀπὸ τοὺς νέους στὴν θεοσέβεια. Ἀλλὰ παρακαλώντας, πρῶτα νὰ ἀποκτήσουν κατάστασι ἀπὸ τὴν ἀρετὴ [ἐμπειρία], ἢ

ἀναλογοῦσαν τῷ μεγέθει τοῦ πράγματος, καὶ μὴ προχείρως ἐπιδιδόναι ἑαυτοὺς τῷ σκοπῷ. Τὰ μὲν ἡδέα λογιζομένους, καὶ τὴν ἐκ τῶν μαθητῶν θεραπείαν, καὶ τὴν παρὰ τῶν ἔξωθεν εὐφημίαν· τὸν δὲ ἀκολουθοῦντα κίνδυνον παραλογιζομένους· καὶ μή, πρὸ τῆς εἰρηνικῆς καταστάσεως, τὰ πολεμικὰ ὄργανα σκεύη ποιεῖν γεωργικά. [53.] Μετὰ γὰρ τὸ πάντα ὑποτάξαι τὰ πάθη, καὶ μηδαμόθεν ἔτι πολέμους ὀχλεῖν, μηδὲ εἰς ἀνάγκην χρήσεως ἀμυντηρίων ὀργάνων ἕλκεσθαι, καλὸν τὸ γεωργεῖν ἑτέρους. Ἕως δὲ ὅτε τυραννεῖ τὰ πάθη, καὶ συνέστηκεν ὁ τῆς σαρκὸς πόλεμος πρὸς τὸ φρόνημα τῆς σαρκός, οὐ δεῖ ἀνέχειν τὰς χεῖρας τῶν ὅπλων, ἀλλ' ἐπ' αὐτοῖς ἀδιαλείπτως ἔχειν· ἵνα μή, καιρὸν ἐπιθέσεως οἱ ἐπίβουλοι τὴν ἡμετέραν ἄνεσιν λαβόντες, ἀναιμωτὶ χειρώσωνται ἡμᾶς. Ὡς γὰρ τοῖς καλῶς ὑπὲρ τῆς ἀρετῆς ἀγωνιζομένοις, καὶ διὰ πολλὴν ταπεινοφροσύνην οὐδέπω νενικηκέναι νομίζουσι, φησὶ προτρεπτικῶς

ὁποία νὰ ἀναλογῇ στὸ μέγεθος τοῦ ἔργου [τῆς κυβερνήσεως τῶν ψυχῶν], καὶ νὰ μὴν παραδίδουν ἀπροετοίμαστα στὸν [ὑψηλὸ αὐτὸ] σκοπὸ τοὺς ἑαυτούς τους· ἐπειδὴ ἀναλογίζονται τὰ εὐχάριστα καὶ τὴν περιποίησι ἀπὸ τοὺς μαθητὲς καὶ τὴν ἐκδήλωσι σεβασμοῦ ἐκ μέρους τῶν ἀπ' ἔξω, ἐνῶ ὅμως παραβλέπουν τὸν κίνδυνο ποὺ ἀκολουθεῖ· καὶ νὰ μὴν μετατρέπουν τὰ πολεμικὰ ὄργανα σὲ γεωργικὰ σκεύη πρὶν ἀπὸ τὴν εἰρηνικὴ κατάστασι.

53. Διότι μετὰ ἀπὸ τὴν ὑποταγὴ ὅλων τῶν παθῶν, [τότε εἶναι] καλὸ τὸ νὰ καλλιεργοῦμε ἄλλους, [ὅταν] πλέον δὲν ἐνοχλοῦν ἀπὸ πουθενὰ πόλεμοι, οὔτε ἐρχώμεθα στὴν ἀνάγκη χρήσεως ἀμυντικῶν μέσων. Ἕως ὅτου ὅμως κυριαρχοῦν τὰ πάθη καὶ συνυπάρχῃ ὁ πόλεμος τῆς σαρκὸς ἐναντίον τοῦ φρονήματος τῆς σαρκός, δὲν πρέπει νὰ σηκώνωμε τὰ χέρια ἀπὸ τὰ ὅπλα, ἀλλὰ ἀδιαλείπτως νὰ [τὰ] ἔχωμε ἐπάνω σ' αὐτά· γιὰ νὰ μὴν μᾶς αἰχμαλωτίσουν χωρὶς αἱματοχυσία οἱ ἐπίβουλοι [δαίμονες], βρίσκοντας ὡς εὐκαιρία γιὰ ἐπίθεσι τὴν δική μας χαλάρωσι. Ἐπίσης βέβαια, σ' ἐκείνους ποὺ καλῶς ἀγωνίζονται γιὰ τὴν ἀρετὴ καὶ νομίζουν ἀπὸ πολλὴ ταπεινοφροσύνη, ὅτι ποτὲ δὲν ἔχουν νικήσει, λέγει παραινετικὰ

ὁ λόγος, συγκόψατε τὰς μαχαίρας ὑμῶν εἰς ἄροτρα, καὶ τὰς ζηβίνας ὑμῶν εἰς δρέπανα[82]*· παραινῶν αὐτοῖς μὴ τοῖς ἡττημένοις ἐχθροῖς μάτην λοιπὸν προσασχολεῖν ἑαυτούς, ἀλλ᾽ ἐπ᾽ ὠφελείᾳ τῶν πολλῶν ἀπὸ τῆς πολεμικῆς ἕξεως μετασκευάσαι τὰς δυνάμεις τῆς ψυχῆς ἐπὶ τὸ γεωργεῖν ἐκείνους, ὅσοι ἔτι ἐν τοῖς τῆς κακίας ὑλομανοῦσιν ἔργοις· οὕτω τοῖς πρὸ τῆς τοιαύτης καταστάσεως, εἴτε δι᾽ ἀπειρίαν, ἢ δι᾽ ἀπόνοιαν ἐγχειρήσασιν ὑπὲρ τὴν ἑαυτῶν δύναμιν, συμβουλεύει τὸ ἐναντίον, λέγων· συγκόψατε τὰ ἄροτρα ὑμῶν εἰς ῥομφαίας, καὶ τὰ δρέπανα ὑμῶν εἰς σειρομάστας*[83]*· τί γὰρ καὶ ὄφελος γεωργίας, πολέμου τὴν γῆν κατέχοντος καὶ τὴν ἀπόλαυσιν τῶν γεωργηθέντων τοῖς πολεμίοις μᾶλλον, ἢ τοῖς πονέσασιν τὴν ἀφθονίαν παρέχοντος; Διὰ τοῦτο τάχα καὶ τοῖς ἔτι κατὰ τὴν ἔρημον πρὸς διάφορα μαχομένοις ἔθνη Ἰσραηλίταις, οὐκ ἐπιτρέπει τὴν τῆς γεωργίας ἐπιμέλειαν, ἵνα μὴ ταῖς πολεμικαῖς ἐμ-*

ὁ λόγος [τοῦ Θεοῦ]: «Συντρίψτε τὰ μαχαίρια σας γιὰ [νὰ φτιάξετε] ἀλέτρια καὶ τὰ ἀκόντιά σας γιὰ [νὰ φτιάξετε] δρεπάνια», προτρέποντάς τους νὰ μὴν ἀπασχολοῦνται πλέον μάταια μὲ τοὺς ἡττημένους ἐχθρούς, ἀλλὰ γιὰ τὴν ὠφέλεια τῶν πολλῶν νὰ μετατρέψουν τὶς δυνάμεις τῆς ψυχῆς ἀπὸ τὴν πολεμικὴ κατάστασι στὸ νὰ καλλιεργοῦν ἐκείνους, ὅσοι ἀκόμα ὀργιάζουν στὰ ἔργα τῆς κακίας. Κατὰ ἀντίστοιχο τρόπο, σ᾽ ἐκείνους οἱ ὁποῖοι πρὶν ἀπὸ αὐτοῦ τοῦ εἴδους τὴν κατάστασι, εἴτε ἀπὸ ἀπειρία ἢ ἀπὸ μωρία, ἐπεχείρησαν [τὸ ὑψηλὸ ἔργο τῆς πνευματικῆς πατρότητος] πάνω ἀπὸ τὴν δύναμί τους, [τοὺς] συμβουλεύει τὸ ἀντίθετο λέγοντας: «Συντρίψτε τὰ ἀλέτρια σας γιὰ [νὰ φτιάξετε] σπαθιὰ καὶ τὰ δρεπάνια σας γιὰ [νὰ φτιάξετε] λόγχες». Διότι ποιὸ [εἶναι] τὸ ὄφελος ἀπὸ τὴν καλλιέργεια τῆς γῆς, ὅταν ὁ πόλεμος εἶναι ἐξαπλωμένος στὴν γῆ καὶ παρέχῃ τὴν ἀπόλαυσι ὅσων [ἀγαθῶν] καλλιεργήθηκαν, περισσότερο στοὺς ἐχθρούς, παρὰ σ᾽ ἐκείνους ποὺ κοπίασαν γιὰ τὴν ἀφθονία [τῶν ἀγαθῶν]; Γι᾽ αὐτὸ ἴσως καὶ στοὺς Ἰσραηλίτες στὴν ἔρημο, ὅταν ἀκόμα πολεμοῦσαν ἐναντίον διαφόρων ἐθνῶν, δὲν ἐπιτρέπει τὴν φροντίδα γιὰ τὴν καλλιέργεια τῆς γῆς, γιὰ νὰ μὴν ἐμποδίσῃ

ποδίσῃ γυμνασίαις· μετὰ δὲ τὴν τῶν πολεμίων ἐκεχειρίαν, ταύτῃ χρήσασθαι συμβουλεύει, λέγων· ὅταν εἰσέλθητε εἰς τὴν γῆν τῆς ἐπαγγελίας, οὐ φυτεύσετε[84]*· προσυπακούεται γὰρ τοῦτο παρ᾽ ἐκείνῳ, καὶ εἰκότως· πρὸ γὰρ τῆς τελειότητος, τὰ φυτευόμενα οὐ γίνεται βέβαια, περιφερομένων ἔτι ἐν ἀστάτῳ ἤθει τῶν φυτεύειν ὀφειλόντων· τάξις γὰρ καὶ ἀκολουθία, εἴπερ ἐν ἄλλῳ τινί, καὶ ἐν τοῖς τῆς θεοσεβείας ἐστί, καὶ δεῖ ἀπὸ τῶν ἀρχῶν προσάγεσθαι. [54.] Οἱ γὰρ παριδόντες τὰ τῆς εἰσαγωγῆς, καὶ τοῖς λιχνοτέροις δελεασθέντες, καὶ κατ᾽ ἀνάγκην στοιχεῖν τῇ τῆς τάξεως ἀκολουθίᾳ πείθονται· καθάπερ Ἰακὼβ τῷ κάλλει τῆς Ῥαχὴλ ἑλκυσθείς, ὑπερεῖδε τὸ ἀσθενὲς τῶν τῆς Λείας ὀφθαλμῶν, οὐ μὴν ἔφυγε τὸν ἐπὶ τῇ κτήσει τῆς τοιαύτης ἀρετῆς πόνον· ἀνεπλήρωσε γὰρ καὶ ταύτης τὰ ἕβδομα*[85]*. Δεῖ οὖν τὸν ἐννόμως στοιχεῖν τῇ πολιτείᾳ θέλοντα, μὴ ἀπὸ τοῦ τέλους ἐπὶ τὰς ἀρχὰς κατάγεσθαι, ἀλλ᾽ ἀπὸ τῆς ἀρχῆς προ-*

τὶς πολεμικὲς ἀσκήσεις. Μετὰ ὅμως τὴν ἐκεχειρία ἐκ μέρους τῶν ἐχθρῶν, συμβουλεύει νὰ ἀσχοληθοῦν μ᾽ αὐτή, ἂν καὶ λέγει: «ὅταν εἰσέλθετε στὴ γῆ τῆς ἐπαγγελίας δὲν θὰ φυτεύσετε» [στὴ Βασιλεία τοῦ Θεοῦ ὅλα καταργοῦνται καὶ τὰ τῆς γεωργίας καὶ τὰ τοῦ πολέμου]. Ἐννοεῖται βέβαια αὐτὸ φυσικὰ καὶ ἀπὸ ἐκεῖνο. Διότι πρὶν ἀπὸ τὴν τελειότητα, ἐκεῖνα τὰ ὁποῖα φυτεύονται δὲν ἀναπτύσσονται σίγουρα, ἐπειδὴ ἐκεῖνοι οἱ ὁποῖοι εἶναι ὑποχρεωμένοι νὰ φυτεύουν, [εἶναι] ἀκόμα περιπλανώμενοι μὲ ἀκατάστατο ἦθος. Διότι ἡ τάξι καὶ ἡ ἀλληλουχία, ἐὰν βέβαια [ὑπάρχῃ] σὲ κάθε τι ἄλλο, ὑπάρχει καὶ σὲ ὅσα ἀφοροῦν τὴν θεοσέβεια καὶ πρέπει νὰ τηρῆται ἀπὸ τὴν ἀρχή.

54. Διότι ἐκεῖνοι ποὺ παρέβλεψαν τὰ ἀρχικὰ [δηλαδὴ τὰ πρακτικά], ἐπειδὴ δελεάστηκαν ἀπὸ τὰ πιὸ ἑλκυστικὰ [τὰ πιὸ ὑψηλὰ – θεωρητικά], πείθονται κατ᾽ ἀνάγκη νὰ συμμορφωθοῦν πρὸς τὴν κατ᾽ ἀλληλουχία τάξι [ἀναγκαστικὰ θὰ τηρηθῇ ἡ τάξι τῶν πραγμάτων]. Καθὼς ἀκριβῶς ὁ Ἰακώβ, ὁ ὁποῖος ἐπειδὴ γοητεύθηκε ἀπὸ τὴν ὀμορφιὰ τῆς Ραχήλ, περιφρόνησε τὸ ἀσθενικὸ τῶν ὀφθαλμῶν τῆς Λείας, ὅμως δὲν ἀπέφυγε τὸν κόπο γιὰ τὴν ἀπόκτησι αὐτοῦ τοῦ εἴδους τῆς ἀρετῆς [δηλαδὴ τῆς τάξεως]· διότι ἐκπλήρωσε καὶ αὐτῆς τὸ χρέος [μὲ τὰ ἑπτὰ χρόνια ἐργασίας] γ΄. Πρέπει λοιπὸν ἐκεῖνος, ὁ ὁποῖος θέλει νὰ ἀκολουθήσῃ νόμιμα τὴν [μοναχικὴ] πολιτεία, νὰ μὴν προχωρῇ ἀπὸ τὸ τέλος στὴν ἀρχή, ἀλλὰ ἀπὸ τὴν ἀρχὴ νὰ προο-

κόπτειν ἐπὶ τὴν τελειότητα· οὕτω γὰρ καὶ αὐτὸς ἐπιτεύξεται τοῦ σπουδαζομένου, καὶ τοὺς γνωρίμους ἀμέμπτως ὁδηγήσει πρὸς τὸ τέλος τῆς ἀρετῆς· ἀλλ' οἱ πολλοί, μηδένα πόνον συνεισενέγκαντες, μηδὲ μικρόν, ἢ μέγα κατορθώσαντες ἔργον θεοσεβείας, ὡς ἔτυχεν ἐπιτρέχουσι τῷ ὀνόματι, μὴ κίνδυνον τοῦτο ἡγούμενοι· καὶ οὐ μόνον οὐ παραιτοῦνται προτρεπομένων αὐτούς τινων ἐπὶ τὸ ἔργον, ἀλλὰ καὶ περιερχόμενοι τοὺς στενωπούς, ἅπαντας ἕλκουσι τοὺς παρατυγχάνοντας, πᾶσαν ἐπαγγελλόμενοι θεραπείαν, καθάπερ πρὸς μισθωτούς, συνθήκας περὶ τροφῆς, καὶ ἐνδυμάτων τιθέμενοι. [55.] Ἀνάγκη δὲ τοὺς οὕτως ἐρῶντας τοῦ πράγματος καὶ βουλομένους μετὰ πλήθους ἐν ταῖς προόδοις φαίνεσθαι, καὶ χειραγωγοῖς ἐπαναπαύεσθαι, καὶ πᾶσαν σκηνὴν σῴζειν τῶν καθηγουμένων, ὡς δράματος ὑπόκρισιν ὑπελθόντας, ὑπὲρ τοῦ μὴ καταλειφθῆναι παρὰ τῶν ταύτην αὐτοῖς ἐκτελούντων τὴν

δεύῃ στὴν τελειότητα. Διότι κατ' αὐτὸν τὸν τρόπο, καὶ ὁ ἴδιος θὰ ἐπιτύχῃ αὐτό, τὸ ὁποῖο ἐπιδιώκει, καὶ θὰ ὁδηγήσῃ τοὺς μαθητές [του] ἀμέμπτως πρὸς τὸν σκοπὸ τῆς ἀρετῆς. Ἀλλὰ οἱ πολλοί, ἐνῶ δὲν ἔχουν συνεισφέρει κανέναν κόπο, οὔτε κατόρθωσαν [κανένα] μικρὸ ἢ μεγάλο ἔργο θεοσεβείας, κυνηγοῦν, ὡς ἔτυχε τὸ ὄνομα [τοῦ ἡγουμένου], χωρὶς νὰ θεωροῦν αὐτὸ ὡς ἐπικίνδυνο. Καὶ ὄχι μόνον δὲν παραιτοῦνται, ἂν καὶ κάποιοι τοὺς προτρέπουν γι' αὐτὸ τὸ ἔργο [τῆς παραιτήσεως], ἀλλὰ περιφερόμενοι στὰ στενὰ προσελκύουν ὅλους αὐτοὺς τοὺς ὁποίους τυχαίως συναντοῦν, ὑποσχόμενοι κάθε ἀνάπαυσι, συνάπτοντας συμφωνίες γύρω ἀπὸ τὴν τροφὴ καὶ τὰ ἐνδύματα, καθὼς ἀκριβῶς μὲ μισθωτούς.

55. Ἐκεῖνοι βέβαια, οἱ ὁποῖοι τόσο σφοδρὰ ἀγαποῦν τὴν ὑπόθεσι [τῆς ἡγουμενίας] καὶ ἐπιθυμοῦν νὰ ἐμφανίζωνται στὶς ἐξόδους [ἀπὸ τὶς Ἱ. Μονὲς] μαζὶ μὲ πλῆθος [ἀπὸ μοναχοὺς] καὶ νὰ ἐπαναπαύωνται σ' αὐτοὺς [στοὺς μαθητές], οἱ ὁποῖοι [πλέον λόγῳ τῶν ὑποχωρήσεων] τοὺς χειραγωγοῦν καὶ [ἐπιθυμοῦν] νὰ διασώζουν ὅλη τὴν ὑποκριτικὴ εἰκόνα [τους] ὡς καθηγουμένων, ὡς νὰ ὑποδύθηκαν θεατρικὴ παράστασι, [αὐτοὶ] εἶναι ἀνάγκη, γιὰ νὰ μὴν ἐγκαταλειφθοῦν ἀπὸ ἐκείνους ποὺ ἐκπληρώνουν γιὰ χάρι τους αὐ-

ὑπουργίαν, χαρίζεσθαι τὰ πολλὰ ταῖς ἡδοναῖς αὐτῶν· καὶ ταῖς ἐπιθυμίαις, φέρεσθαι ἀκωλύτως κατὰ βαράθρων, καθάπερ ἡνιόχους ἀφέντας τὰς ἡνίας, καὶ αὐτεξούσιον αὐτοῖς τὸν δρόμον ἐπιτρέψαντας· ὡς ἐκ τούτου κατὰ κρημνῶν φέρεσθαι, καὶ βαράθρων, καὶ παντὶ προσπταίειν τῷ ἐν ποσί, μηδενὸς ὄντος τοῦ ἀνακόπτοντος, καὶ ταῖς ἀτάκτοις ὁρμαῖς ἐμποδίζοντος. Ἀλλ' ἀκουέτωσαν οἱ τοιοῦτοι τοῦ μακαρίου Ἰεζεκιήλ, ταλανίζοντος τοὺς ταῖς ἑτέρων ἡδοναῖς ὕλας ἐκποριζοντας· καὶ διὰ τὸ συμπεριφέρεσθαι τοῖς ἑκάστου θελήμασιν, ἑαυτοῖς τὸ οὐαὶ θησαυρίζοντας· φησὶ γάρ· οὐαὶ συῤῥαπτούσαις προσκεφάλαια ὑπὸ πάντα ἀγκῶνα χειρός, καὶ ποιούσαις ἐπιβόλαια ἐπὶ πᾶσαν κεφαλὴν πάσης ἡλικίας, τοῦ ἀπολέσαι ψυχὰς ἕνεκεν δρακὸς κριθῶν, καὶ ἕνεκεν κλάσματος ἄρτου[86]· οὕτως δὲ καὶ οὗτοι, τὰς χρείας τοῦ σώματος ἐξ ἐράνων συλλέγοντες, καὶ ταῖς συνεῤῥαμέναις ὡς ἐκ ῥακῶν παρα-

τὴν τὴν ὑπηρεσία, νὰ ἐνδίδουν σὲ μεγάλο βαθμὸ στὶς ἡδονὲς αὐτῶν [τῶν μαθητῶν]· καὶ ὅσον ἀφορᾶ τὶς ἐπιθυμίες, νὰ παρασύρωνται ἀνεμπόδιστα κάτω σὲ βάραθρα, ὅπως ἀκριβῶς οἱ ἡνίοχοι, οἱ ὁποῖοι ἄφησαν τὰ ἡνία καὶ ἐπέτρεψαν σ' αὐτοὺς [στοὺς ὑποτακτικοὺς] τὴν αὐθαίρετη πορεία· ὡς ἐκ τούτου [ἀνέχονται] νὰ παρασύρωνται [οἱ μαθητές τους] κάτω σὲ γκρεμοὺς καὶ σὲ βάραθρα καὶ νὰ προσκρούουν στὸ κάθε τι, τὸ ὁποῖο [εὑρίσκεται] στὰ πόδια [τους], ἐπειδὴ δὲν ὑπάρχει κανείς, ὁ ὁποῖος [τὸ] ἀνακόπτει καὶ γίνεται ἐμπόδιο στὶς ἄτακτες ὁρμές. Ἀλλὰ ἂς ἀκούσουν οἱ [ἡγούμενοι] αὐτοῦ τοῦ εἴδους τὸν μακάριο Ἰεζεκιὴλ νὰ ἐλεεινολογῇ ἐκείνους, ποὺ προμηθεύουν ὑλικὸ γιὰ τὶς ἡδονὲς τῶν ἄλλων· καὶ ἀποθησαυρίζουν γιὰ τοὺς ἑαυτούς τους τὸ οὐαί, ἐξ αἰτίας τοῦ ὅτι συμπεριφέρονται σύμφωνα μὲ τὰ θελήματα τοῦ καθενός. Διότι λέγει: «Ἀλλοίμονο σ' ἐκεῖνες, ποὺ ῥάβουν προσκεφάλια κάτω ἀπὸ κάθε ἀγκῶνα τοῦ χεριοῦ καὶ κάνουν καλύμματα γιὰ κάθε κεφάλι κάθε ἡλικίας γιὰ νὰ ἀφανιστοῦν ψυχὲς γιὰ μιὰ χούφτα κριθάρι καὶ ἕνα κομμάτι ψωμί»[δ']. Κατὰ τὸν ἴδιο τρόπο λοιπὸν κι αὐτοὶ [οἱ ἡγούμενοι], καλύπτοντας τὶς ἀνάγκες τοῦ σώματος μὲ ἐνδύματα συναρμολογημένα ὅπως ἀπὸ κουρέλια, τὰ ὁποῖα συγκεντρώ-

σκευαῖς ἐπαναπαύοντες· τοὺς γυμνῇ τῇ κεφαλῇ προσεύχεσθαι, ἢ προφητεύειν ὀφείλοντας, διὰ τῶν ἐπιβολαίων αἰσχύνουσι[87]*· τὴν ἀνδρείαν κατάστασιν ταῖς τῶν σκεπασμάτων ἐπιβολαῖς ἐκθηλύνοντες, καὶ ψυχὰς ἀπολλύντες, ἃς οὐκ ἔδει ἀποθανεῖν. [56.] Καὶ μάλιστα μὲν ἔδει, πειθομένους τῷ ὄντως Διδασκάλῳ Χριστῷ, παραιτήσασθαι, ὅση δύναμις, τὴν ἑτέρων κηδεμονίαν· φησὶ γὰρ πρὸς τοὺς ἑαυτοῦ μαθητάς· ὑμεῖς μὴ κληθῆτε Ῥαββί*[88]*. Εἰ δὲ Πέτρῳ καὶ Ἰωάννῃ, καὶ παντὶ τῷ χορῷ τῶν Ἀποστόλων, παρῄνει μακρὰν ἑστάναι τοῦ τοιούτου ἔργου, καὶ μικροὺς ἑαυτοὺς ἡγῆσθαι τῆς τοιαύτης ἀξίας· τίς ἔσται λοιπὸν ὁ ὑπὲρ ἐκείνους ἑαυτὸν φανταζόμενος, καὶ ἐγκρίνων ἀξιώματι, οὗπερ ἐκωλύθησαν ἐκεῖνοι; Ἢ τάχα λέγων μὴ κληθῆτε Ῥαββί, οὐ τὸ εἶναι, ἀλλὰ τὸ καλεῖσθαι κωλύει; [57.] Εἰ δέ τις ἀπροαιρέτως, ἐκ τοῦ ἕνα καὶ δεύτερον κατεδέξασθαι, ἐκβιασθείη, καὶ πλειόνων ἡγεῖσθαι· πρῶτον μέν, ἑαυ-*

νουν ἀπὸ ἐράνους, ντροπιάζουν μὲ αὐτὰ τὰ καλύμματα, ἐκείνους ποὺ ἔχουν χρέος νὰ προσεύχωνται ἢ νὰ προφητεύουν μὲ γυμνὴ κεφαλή· ἐκθηλύνοντας μὲ τὶς προσθῆκες τῶν σκεπασμάτων τὴν ἀνδρεία κατάστασι [τῶν ψυχῶν] καὶ καταστρέφοντας ψυχές, οἱ ὁποῖες δὲν ἔπρεπε νὰ φονευθοῦν [εἶναι ἀθάνατες].

56. Καὶ μάλιστα ἔπρεπε μέν, ἀφοῦ ὑπακούουν στὸν ὄντως Διδάσκαλο τὸν Χριστό, νὰ ἀπέφευγαν, ὅσο μποροῦσαν, τὴν [πνευματικὴ] κηδεμονία ἄλλων. Διότι λέγει [ὁ Κύριος] πρὸς τοὺς μαθητές του: «ἐσεῖς νὰ μὴν κληθῆτε Ῥαββὶ [διδάσκαλοι]». Ἐὰν λοιπὸν συμβούλευε τὸν Πέτρο καὶ τὸν Ἰωάννη καὶ ὁλόκληρο τὸν χορὸ τῶν Ἀποστόλων, νὰ στέκωνται μακριὰ ἀπὸ αὐτοῦ τοῦ εἴδους τὸ ἔργο καὶ νὰ θεωροῦν τοὺς ἑαυτούς τους μικροὺς γιὰ ἕνα τέτοιο μεγάλο ἀξίωμα· ποιὸς ἄρα θὰ εἶναι ἐκεῖνος, ὁ ὁποῖος φαντάζεται τὸν ἑαυτό του ἀνώτερο ἀπὸ ἐκείνους καὶ ἀποδέχεται ἀξίωμα, ἀπὸ τὸ ὁποῖο ἐκεῖνοι ἐμποδίστηκαν; Ἢ μὲ τὸ νὰ λέγῃ: «νὰ μὴν κληθῆτε Ῥαββὶ [διδάσκαλοι]», ἐμποδίζει τάχα ὄχι τὸ νὰ εἶναι, ἀλλὰ τὸ νὰ ὀνομάζωνται [διδάσκαλοι];

57. Ἐὰν δὲ κάποιος ἀκούσια, μὲ τὸ νὰ δεχθῇ ἕναν καὶ δεύτερο [ὑποτακτικό], ἤθελε ἐξαναγκασθῇ νὰ ἡγηθῇ καὶ περισσοτέρων· πρῶτα μὲν

τὸν ἀκριβῶς δοκιμαζέτω, εἰ οἷός τέ ἐστιν, ἔργῳ μᾶλλον ἢ λόγῳ διδάσκειν τὰ πρακτέα, εἰκόνα πάσης ἀρετῆς τὸν ἑαυτοῦ βίον προτιθεὶς τοῖς μανθάνουσιν· ὡς μὴ τοὺς μεταγράφοντας ἐκεῖθεν, ἀμορφίᾳ τοῦ σφάλματος ἀμβλῦναι τὸ κάλλος τῆς ἀρετῆς. Ἔπειτα γινωσκέτω, ὅτι οὐκ ἔλαττον ὑπὲρ τῶν ἀρχομένων, ἢ ὑπὲρ ἑαυτοῦ ἀγωνιᾷν ὀφείλει· ὡς γὰρ ὑπὲρ ἑαυτοῦ, οὕτω καὶ ὑπὲρ ἐκείνων ὑφέξει λόγον, ἅπαξ καταδεξάμενος τὴν σωτηρίαν αὐτῶν. [58.] Καὶ γὰρ τοῖς Ἁγίοις σπουδὴ γέγονε, μὴ ἐλαττουμένους τῆς ἑαυτῶν ἀρετῆς καταλιπεῖν τοὺς μαθητάς, ἀλλ' ἐκ τῆς πρώτης καταστάσεως, μεταῤῥυθμίσαι εἰς βελτίονα κατάστασιν· οὕτως ὁ μὲν Ἀπόστολος Παῦλος τὸν Ὀνήσιμον[89], ἐκ δραπέτου, μάρτυρα πεποίηκεν, ὁ δὲ Ἠλίας, ἐξ ἀροτῆρος, προφήτην τὸν Ἐλισσαῖον κατέστησεν[90]· ὁ δὲ Μωυσῆς, τὸν Ἰησοῦν πάντων νεώτερον, ἐπὶ τὸ βέλτιον κατεκόσμησεν[91]· ὁ δὲ Ἠλεί, τὸν Σα-

ἂς δοκιμάζῃ ἀκριβῶς τὸν ἑαυτόν του, ἐὰν εἶναι τέτοιος ποὺ νὰ μπορῇ νὰ διδάσκῃ μὲ ἔργο περισσότερο παρὰ μὲ λόγο, ἐκεῖνα τὰ ὁποῖα πρέπει νὰ γίνουν, θέτοντας τὸν δικό του τρόπο ζωῆς, ὡς πρότυπο κάθε ἀρετῆς γιὰ τοὺς μαθητές, ὥστε ἐκεῖνοι ποὺ ἀντιγράφουν ἀπὸ ἐκεῖ [ἀπὸ τὸ πρότυπο τοῦ ἡγουμένου], νὰ μὴν ὑποβιβάσουν τὸ κάλλος τῆς ἀρετῆς ἀπὸ τὴν ἀσχημία τοῦ σφάλματος. Ἔπειτα ἂς γνωρίζῃ, ὅτι ἔχει καθῆκον νὰ ἀγωνιᾷ γιὰ τοὺς ὑποτακτικούς [του], ὄχι λιγώτερο ἀπὸ ὅτι γιὰ τὸν ἑαυτό του. Διότι ὅπως γιὰ τὸν ἑαυτό του, κατὰ τὸν ἴδιο τρόπο καὶ γιὰ ἐκείνους θὰ δώσῃ λόγο, ἀφοῦ ἅπαξ διὰ παντὸς ἀναδέχθηκε αὐτῶν [τῶν ὑποτακτικῶν του] τὴν σωτηρία.

58. Καὶ ἀπὸ τοὺς Ἁγίους βέβαια ἔχει γίνει προσπάθεια νὰ μὴν ἀφήσουν τοὺς μαθητές [τους] νὰ ὑπολείπωνται τῆς δικῆς τους ἀρετῆς, ἀλλὰ ἀπὸ τὴν πρώτη [πνευματικὴ] κατάστασι νὰ [τοὺς] ἀναβαθμίσουν σὲ καλλίτερη [πνευματικὴ] κατάστασι. Κατὰ τοῦτο ὁ μὲν Ἀπόστολος Παῦλος, τὸν Ὀνήσιμο ἀπὸ δραπέτη [τὸν] ἔχει κάνει μάρτυρα. Ὁ δὲ Ἠλίας ἀπὸ γεωργὸ κατέστησε τὸν Ἐλισσαῖο προφήτη. Ὁ Μωυσῆς δὲ τὸν Ἰησοῦ [τοῦ Ναυῆ], τὸν νεώτερο ἀπὸ ὅλους, [τὸν] τοποθέτησε πάνω στὴν καλλίτερη [θέσι], ἐνῶ ὁ Ἠλεὶ ἀπέδειξε τὸν Σαμουὴλ

μονὴλ καὶ μείζονα ἑαυτοῦ ἀπέδειξεν[92]. Εἰ δὲ καὶ ἡ τούτων σπουδὴ συνήργησεν αὐτοῖς πρὸς τὴν κτίσιν τῆς ἀρετῆς, ἀλλὰ τὸ πᾶν τῆς προκοπῆς αἴτιον αὐτοῖς γεγένηται, τὸ τυχεῖν διδασκάλων, δυνηθέντων τὸν τυφόμενον σπινθῆρα τῆς προθυμίας, ἐπὶ τὸ μεῖζον τῆς προτροπῆς ἀναῤῥιπίσαι, καὶ ἐκλάμψαι ποιῆσαι· διὰ τοῦτο καὶ στόμα Θεοῦ γεγόνασιν, οἱ τὰ αὐτοῦ βουλήματα τοῖς ἀνθρώποις διακονήσαντες. Ἤκουσαν γὰρ τούτου λέγοντος· ἐὰν ἐξάγῃς τίμιον ἐξ ἀναξίου, ὡς στόμα μου ἔσῃ[93]. [59.] Τὴν δὲ τοῦ διδασκάλου ἕξιν, καὶ τῷ Ἰεζεκιὴλ ὁ Θεὸς ὑποτίθεται· διδάσκων, οἵους ἐξ οἵων δεῖ τοὺς μαθητὰς κατασκευάζειν· υἱέ, γάρ φησιν, ἀνθρώπου, λάβε σεαυτῷ πλίνθον, καὶ θήσεις αὐτὴν πρὸ προσώπου σου· καὶ διαγράψεις ἐπ᾽ αὐτῇ πόλιν Ἱερουσαλήμ[94]· σημαίνων ὅτι δὴ [recte: δεῖ] ἐκ πηλοῦ ναὸν ἅγιον ὁ διδάσκαλος τὸν μαθητὴν ἐργάζεται. Καλὸν δὲ καὶ τὸ θήσεις αὐτὴν πρὸ προσώπου σου· οὕτω γὰρ ταχεῖα

καὶ ἀπὸ τὸν ἑαυτό του ἀνώτερο. Ἐὰν ὅμως καὶ ἡ προσπάθεια αὐτῶν συνήργησε γιὰ τὴν κατόρθωσι ἐκ μέρους τους τῆς ἀρετῆς, ὅμως ἐξ ὁλοκλήρου αἴτιο τῆς προκοπῆς ἔχει ἀποβῆ γι᾽ αὐτούς, τὸ ὅτι εὐτύχησαν διδασκάλων, οἱ ὁποῖοι εἶχαν τὴν δύναμι νὰ ἀναζωπυρώσουν τὸν μισοσβησμένο σπινθῆρα τῆς προθυμίας σὲ μεγαλύτερη [ἔντασι] διὰ τῆς προτροπῆς καὶ νὰ [τὸν] κάνουν νὰ φεγγοβολήσῃ. Γι᾽ αὐτὸ καὶ ἔχουν γίνει τὸ στόμα τοῦ Θεοῦ, ἐκεῖνοι οἱ ὁποῖοι διακόνησαν τὰ θελήματά Του στοὺς ἀνθρώπους. Διότι ἄκουσαν Ἐκεῖνον νὰ λέγῃ: «ἐὰν βγάλῃς ἀπὸ ἀνάξιο ἄξιο τιμῆς, θὰ εἶσαι ὡς τὸ στόμα μου».

59. Τὴν δὲ κατάστασι τοῦ διδασκάλου ὁ Θεὸς ὑποδεικνύει καὶ στὸν Ἰεζεκιήλ, διδάσκοντας ποιοὺς ἀπὸ ποιούς, πρέπει νὰ πλάσῃ τοὺς μαθητές. Διότι λέγει: «υἱὲ ἀνθρώπου, πᾶρε γιὰ σένα τὸν ἴδιο ἕνα ἄψητο τοῦβλο καὶ τοποθέτησέ [το] ἐμπρὸς ἀπὸ τὸ πρόσωπό σου καὶ θὰ σχεδιάσῃς ἐπάνω σ᾽ αὐτὸ τὴν πόλι Ἱερουσαλήμ», ὑποδεικνύοντας, ὅτι πρέπει ὁ διδάσκαλος ἀπὸ λάσπη νὰ ἀπεργάζεται τὸν μαθητὴ ναὸ ἅγιο. Καλὸ ἐξάλλου [εἶναι] καὶ τὸ νὰ θέσῃς αὐτὸ [τό τοῦβλο] ἐμπρὸς ἀπὸ τὸ πρόσωπό σου· διότι κατ᾽ αὐτὸν τὸν τρόπο θὰ εἶναι γρήγορη ἡ

ἡ βελτίωσις ἔσται τῷ μαθητῇ, ἐὰν ἐν ὄψει τοῦ διδασκάλου ᾖ διαπαντός. Αἱ γὰρ συνεχεῖς τῶν καλῶν παραδειγμάτων ἐνέργειαι, παραπλησίας εἰκόνας ἐγχαράττουσι, ταῖς μὴ πάνυ σκληραῖς καὶ ἀποκρότοις ψυχαῖς. Διὰ τοῦτο Γιεζῆ, καὶ Ἰούδας ὑπέπεσαν, ὁ μέν, τῇ κλοπῇ, ὁ δέ, τῇ προδοσίᾳ, ἐπειδὴ ὑπεξήγαγον ἑαυτοὺς τῶν τοῦ διδασκάλου ὀφθαλμῶν· ὡς εἰ ἔμειναν παρὰ τοῖς σωφρονισταῖς, οὐκ ἂν ἐπλημμέλησαν. Ὅτι δὲ κίνδυνος ἀκολουθεῖ τῷ διδασκάλῳ ἐκ τῆς ἀμελείας τῶν μαθητῶν, διὰ τῶν ἑξῆς ἐδήλωσεν εἰπών· καὶ θήσεις τήγανον σιδηροῦν ἀνὰ μέσον σοῦ καὶ ἀνὰ μέσον τῆς πλίνθου· καὶ ἔσται τεῖχος ἀνὰ μέσον σοῦ, καὶ ἀνὰ μέσον αὐτῆς[95]*. Ὁ γὰρ θέλων μὴ κοινωνεῖν τῷ ῥᾳθυμοῦντι τῆς κολάσεως, μετὰ τὸ ποιῆσαι αὐτῷ ἐκ πηλοῦ πόλιν, τὰς τοῖς παλινδρομοῦσιν ἀπὸ τοιαύτης καταστάσεως ἀπειλημένας τιμωρίας, ἐπιλέγειν ὀφείλει· ἵνα, τεῖχος γενόμεναι, εἴργωσι τὸν ἀναίτιον ἀπὸ τοῦ*

βελτίωσι γιὰ τὸν μαθητή, ἐὰν εἶναι πάντοτε μέσα στὸ βλέμμα τοῦ διδασκάλου [του]. Διότι οἱ συνεχεῖς ἐνέργειες ἀπὸ τὰ καλὰ πρότυπα, σμιλεύουν παραπλήσιες εἰκόνες [ἐπάνω] στὶς ὄχι πολὺ σκληρὲς καὶ τραχεῖς ψυχές. Γι᾿ αὐτὸ ὁ Γιεζῆ καὶ ὁ Ἰούδας ὑπέπεσαν, ὁ μὲν στὴν κλοπή, ὁ δὲ στὴν προδοσία, ἐπειδὴ ἀπομάκρυναν κρυφὰ τοὺς ἑαυτούς τους ἀπὸ τὰ μάτια τοῦ διδασκάλου. Διότι ἐὰν ἔμεναν κοντὰ στοὺς ὁδηγούς τους στὴν σωφροσύνη, δὲν θὰ παρανομοῦσαν. Ὅτι ἐξάλλου ἐπακολουθεῖ κίνδυνος γιὰ τὸν διδάσκαλο ἀπὸ τὴν ἀμέλεια τῶν μαθητῶν, δήλωσε μὲ τὰ ἑξῆς λέγοντας: «Καὶ θὰ τοποθετήσῃς σιδερένιο τηγάνι ἀνάμεσα σὲ σένα καὶ στὸ τοῦβλο· καὶ θὰ ὑπάρχῃ τεῖχος ἀνάμεσα σὲ σένα καὶ σ᾿ αὐτό». Διότι ἐκεῖνος [ὁ διδάσκαλος], ὁ ὁποῖος ἐπιθυμεῖ νὰ μὴν γίνῃ κοινωνὸς τῆς κολάσεως μ᾿ αὐτὸν [τὸν μαθητὴ] ποὺ ραθυμεῖ, μετὰ τὴν μετάπλασι αὐτοῦ, ἀπὸ λάσπης σὲ [ἁγία] πόλι, τὶς ἐπαπειλούμενες τιμωρίες γιὰ ἐκείνους ποὺ παλινδρομοῦν ἀπὸ μιὰ τέτοια [ὑψηλὴ] κατάστασι, ὀφείλει νὰ ἐπαναλαμβάνῃ· γιὰ νὰ ἀποκλείσουν μὲ τὸ νὰ γίνουν τεῖχος [οἱ νουθεσίες], τὸν ἀναίτιο ἀπὸ

αἰτίου. Τοῦτο προστάσσων ὁ Θεὸς τῷ Ἰεζεκιήλ, φησί· υἱὲ ἀνθρώπου, σκοπὸν δέδωκά σε τῷ οἴκῳ Ἰσραήλ· καὶ ἐὰν ἴδῃς τὴν ῥομφαίαν ἐρχομένην, καὶ μὴ διαμαρτύρῃ αὐτοῖς, λάβῃ δέ τινα ἐξ αὐτῶν, τὴν ψυχὴν αὐτοῦ ὡς ἐκ χειρός σου ἐκζητήσω[96]. ***[60.]*** *Τοιοῦτον τεῖχος ἐτίθει καὶ Μωϋσῆς ἑαυτῷ, λέγων τοῖς Ἰσραηλίταις· πρόσεχε σεαυτῷ, μὴ ἐκζητήσῃς ἐπακολουθῆσαι αὐτοῖς, μετὰ τὸ ἐξολοθρεῦσθαι αὐτοὺς ἀπὸ σοῦ*[97]. *Γίνεται γὰρ τοῖς ἀμελέστερον τῇ διανοίᾳ προσέχουσι τῇ ἑαυτῶν, μετὰ τὴν τῶν παθῶν ἐκκοπήν, ὥς περ βλαστοί τινες παρακύπτειν ἄρχονται αἱ εἰκόνες τῶν παλαιῶν φαντασιῶν· αἷς εἴτις δῷ χώραν συνεχῶς ἐμπίπτειν τῷ ἡγεμονικῷ, καὶ μὴ κωλύῃ τὴν εἴσοδον αὐταῖς, αὖθις εἰσοικίσει τὰ πάθη, ἐναγώνιον ἑαυτῷ μετὰ τὴν νίκην πάλιν ποιῶν τὴν διαγωγήν. Ἔστι καὶ γὰρ τῶν παθῶν ἐξημερωθέντων, καὶ χόρτον ἶσα βουσὶν ἐσθίειν δεδιδαγμένων, ἀμελείᾳ τοῦ τιθασεύοντος πά-*

τὸν αἴτιο. Αὐτὸ προστάζοντας ὁ Θεὸς στὸν Ἰεζεκιήλ, λέγει: «υἱὲ ἀνθρώπου σὲ ἔχω δώσει στὸν οἶκο Ἰσραήλ, ὡς φρουρὸ καὶ ἐὰν δῇς νὰ ἔρχεται ἡ [τιμωρητικὴ γιὰ τοὺς παρανομοῦντας] ρομφαία καὶ δὲν ζητήσῃς ἐπιμόνως ἀπ᾽ αὐτοὺς [τὴν μετάνοιά τους], καὶ ἁρπάξῃ [ἡ ρομφαία] κάποιον ἀπ᾽ αὐτούς, τὴν ψυχή του θὰ τὴν ζητήσω σὰν [νὰ ἀφανίστηκε] ἀπὸ τὸ χέρι σου».

60. Αὐτοῦ τοῦ εἴδους τὸ τεῖχος [πρὸς τὴν ἁμαρτία] ἔθετε καὶ ὁ Μωυσῆς στὸν ἑαυτό του, ὅταν ἔλεγε στοὺς Ἰσραηλίτες: «Πρόσεχε τὸν ἑαυτό σου, μὴν ἐπιθυμήσῃς μετὰ τὴν ἐξολόθρευσί τους [τῶν ἐθνῶν-παθῶν] ἀπὸ σένα, νὰ συμμορφωθῇς μ᾽ αὐτούς». Συμβαίνει βέβαια σ᾽ ἐκείνους, οἱ ὁποῖοι προσέχουν τὴν διάνοιά τους ἀμελέστερα μετὰ τὴν ἐκκοπὴ τῶν παθῶν, ὅπως ἀκριβῶς μερικοὶ βλαστοί, ἀρχίζουν νὰ ἐμφανίζωνται πλαγίως, οἱ εἰκόνες τῶν παλαιῶν φαντασιῶν· στὶς ὁποῖες ἐὰν κανεὶς δώσῃ τόπο γιὰ νὰ εἰσέρχωνται συνεχῶς στὸ ἡγεμονικὸ [στὸν νοῦ] καὶ δὲν ἐμποδίζῃ σ᾽ αὐτὲς τὴν εἴσοδο, ἀμέσως θὰ ἐγκαταστήσῃ ἐντός [του] τὰ πάθη, κάνοντας μετὰ τὴν νίκη πάλι τὸν τρόπο ζωῆς γιὰ τὸν ἑαυτό του, γεμάτο ἀγωνία. Καὶ εἶναι βέβαια δυνατόν, ὅταν ἐξημερώθηκαν τὰ πάθη καὶ ὅμοια μὲ τὰ βόδια ἔχουν διδαχθῆ νὰ τρώγουν χορτάρι, ἀπὸ ἀμέλεια ἐκείνου ὁ ὁποῖος τὰ τιθασεύει, νὰ

λιν ἐξαγριωθῆναι, καὶ τὴν τῶν θηρίων ἀναλαβεῖν ὠμότητα· ὡς ἂν οὖν μὴ τοῦτο γένηται φησί· μὴ ἐκζητήσῃς ἐπακολουθῆσαι αὐτοῖς, μετὰ τὸ ἐξολοθρευθῆναι αὐτοὺς ἀπὸ σοῦ[98]· ἵνα μὴ ἐν τῷ ἐκζητεῖν, ἕξιν λαβοῦσα ἡ ψυχὴ ἐνήδεσθαι ταῖς τοιαύτας φαντασίαις, ἐπὶ τὴν ἀρχαίαν παλινδρομήσῃ κακίαν. Ταῦτα εἰδὼς ὁ μακάριος Ἰακὼβ γινόμενα, ὅτι θεωρούμενα καὶ συνεχῶς μελετώμενα τὰ τοιαῦτα, μᾶλλον βλάπτειν τὴν διάνοιαν, τρανοτάτας, καὶ ἀριδήλους ἐνσφραγίζοντα τὰς τῶν αἰσχρῶν φαντασιῶν εἰκόνας, ἐν Σικίμοις κρύπτει τοὺς θεοὺς τοὺς ἀλλοτρίους[99]. Ὁ γὰρ περὶ τὰ πάθη πόνος κρύπτει καὶ ἀπόλλυσι ταῦτα, οὐ πρὸς βραχύν τινα χρόνον, ἀλλ᾽ ἕως τῆς σήμερον ἡμέρας· τουτέστι τὸν ἅπαντα χρόνον· ἐπειδὴ τῷ παντὶ αἰῶνι συμπαρεκτείνεται τὸ σήμερον, τὸν ἐνεστῶτα πάντοτε σημαίνων καιρόν. Σίκιμα δέ, ὠμίασις ἑρμηνεύεται· ὅπερ δηλοῖ τὸν περὶ τὰ πάθη πόνον· διὸ καὶ τῷ Ἰωσὴφ δί-

ἐξαγριωθοῦν πάλι καὶ νὰ ἐπανακτήσουν τὴν ὠμότητα τῶν θηρίων. Γιὰ νὰ μὴν γίνῃ λοιπὸν αὐτό, λέγει: «μὴν ἐπιθυμήσῃς μετὰ τὴν ἐξολόθρευσί τους [τῶν ἐθνῶν-παθῶν] ἀπὸ σένα, νὰ συμμορφωθῇς μ᾽ αὐτούς»· γιὰ νὰ μὴν παλινδρομήσῃ μὲ τὴν ἀναζήτησι ἡ ψυχὴ στὴν παλαιὰ κακία, ἀποκτώντας τὴν συνήθεια νὰ εὐχαριστῆται σ᾽ αὐτοῦ τοῦ εἴδους τὶς φαντασίες. Αὐτὰ γνωρίζοντας, ὅτι συμβαίνουν ὁ μακάριος Ἰακώβ, κρύβει τοὺς ξένους θεοὺς [τὰ εἴδωλα] στὰ Σίκιμα[ε], διότι [γνώριζε] ὅτι ἐὰν παρατηροῦνται καὶ συνεχῶς μελετῶνται αὐτοῦ τοῦ εἴδους [οἱ φαντασίες], βλάπτουν περισσότερο τὴν διάνοια, ἀφοῦ ἀποτυπώνουν τὶς εἰκόνες τῶν αἰσχρῶν φαντασιῶν, πιὸ διαυγεῖς καὶ φανερές. Ὁ σχετικὸς βέβαια μὲ τὰ πάθη κόπος, τὰ κρύβει καὶ τὰ ἐξολοθρεύει, ὄχι γιὰ κάποιο μικρὸ χρόνο, ἀλλὰ ἕως τὴν σημερινὴ ἡμέρα· δηλαδὴ τὸν ἅπαντα χρόνο· ἐπειδὴ ἀντιπαραβάλλει τὸ σήμερα μὲ τὸν ἀτελεύτητο αἰῶνα, ὥστε νὰ ὑποδηλώνῃ πάντοτε τὸν παρόντα καιρό. Σίκιμα δὲ ἑρμηνεύεται ὦμος· τὸ ὁποῖο ἀκριβῶς δηλώνει τὸν ὡς πρὸς τὰ πάθη κόπο. Γι᾽ αὐτὸ καὶ [ὁ Ἰακὼβ] δίδει στὸν Ἰωσήφ,

δωσι Σίκιμα[100], ἐξαίρετον τῷ πρὸς τὰ πάθη μαχομένῳ τὸν ἐν αὐτοῖς πόνον. Καὶ γὰρ αὐτοῖς ὁ Ἰακὼβ, ἐν μαχαίρᾳ καὶ τόξῳ λαβεῖν λέγων τὰ Σίκιμα, δείκνυσιν, ὅτι μάχῃ καὶ πόνῳ κεκράτηκε τῶν παθῶν, κατακρύψας αὐτὰ ἐν τῇ Σικίμων γῇ· δοκεῖ δέ πως ἐναντίον φαίνεσθαι, τὸ κρύπτειν ἐν Σικίμοις τοὺς θεούς, καὶ τὸ τιθέναι εἴδωλον ἐν ἀποκρύφῳ. Τὸ μὲν γάρ ἐστιν ἐπαινετόν, τό, ἐν Σικίμοις κατακρύπτειν· τὸ δὲ ψεκτόν, τό, τιθέναι εἴδωλον ἐν ἀποκρύφῳ· οὕτω γοῦν καὶ μετὰ κατάρας ἔθηκε τοῦτο εἰπών, ἐπικατάρατος ὁ τιθεὶς εἴδωλον ἐν ἀποκρύφῳ[101]. Οὐ ταυτὸν γάρ ἐστιν ἐν γῇ πρὸς τὸ παντελῶς κατακρύψαι, καὶ τὸ θεῖναι ἐν ἀποκρύφῳ· τὸ μὲν γὰρ ἐν γῇ κατακρυφθέν, καὶ μηκέτι τῇ αἰσθήσει φαινόμενον, τῷ χρόνῳ, καὶ τῆς μνήμης ἀπαλείφεται· τὸ δὲ ἐν ἀποκρύφῳ τεθέν, τοὺς μὲν ἔξωθεν ἴσως λανθάνει, παρ' αὐτοῦ δὲ τοῦ τεθεικότος ὁρώμενον συνεχῶς, τὴν μνήμην ἀνακαινίζει ἀγαλματοφορούμενον λαθραίως.

ὁ ὁποῖος πολεμοῦσε ἐναντίον τῶν παθῶν, [τὴν πόλι] Σίκιμα, [δηλαδὴ] τὸν ἐξαιρετικὸ κόπο [τοῦ ἀγῶνος του, τὸν ὁποῖο διεξήγαγε] μέσα σ' αὐτὰ [τὰ Σίκιμα][ς]. Διότι καὶ ὁ Ἰακὼβ, λέγοντας σ' αὐτοὺς [στὸν Ἰωσὴφ καὶ τοὺς υἱούς του], ὅτι κατέλαβε τὰ Σίκιμα μὲ τὸ σπαθὶ καὶ τὸ τόξο, φανερώνει ὅτι μὲ μάχη καὶ ἀγῶνα ἔχει κυριαρχήσει στὰ πάθη, ἀφοῦ τὰ κατέκρυψε μέσα στὴν γῆ τῶν Σικίμων. Ἀλλὰ φαίνεται ὅτι μοιάζει κατὰ κάποιο τρόπο ἀντίθετο, τὸ νὰ κρύβῃ [κανεὶς] στὰ Σίκιμα τοὺς [εἰδωλικοὺς] θεοὺς καὶ τὸ νὰ τοποθετῇ εἴδωλο μέσα σὲ ἀπόκρυφο [μέρος]. Διότι αὐτὸ μέν, [δηλαδὴ] τὸ νὰ ἐξαφανίζῃ μέσα στὰ Σίκιμα, εἶναι ἐπαινετό· ἐκεῖνο ὅμως, [δηλαδὴ] τὸ νὰ τοποθετῇ εἴδωλο μέσα σὲ ἀπόκρυφο [μέρος εἶναι], ἀξιοκατάκριτο. Κατ' αὐτὸν τὸν τρόπο λοιπὸν καὶ [ὁ λόγος τοῦ Θεοῦ-ἡ Ἁγία Γραφή], ἔχει κανονίσει αὐτὸ μὲ κατάρα, ἀφοῦ εἶπε: «Καταραμένος ἐκεῖνος ποὺ τοποθετεῖ εἴδωλο σὲ ἀπόκρυφο [μέρος]». Διότι δὲν εἶναι τὸ ἴδιο [τὸ νὰ τοποθετήσῃ κανεὶς τὸ εἴδωλο], μέσα στὴν γῆ πρὸς παντελῆ ἐξαφάνισι καὶ τὸ νὰ [τὸ] τοποθετήσῃ μέσα σὲ ἀθέατο [μέρος]. Γιατὶ ἐκεῖνο μέν, τὸ ὁποῖο κρύφτηκε βαθειὰ μέσα στὴν γῆ καὶ δὲν εἶναι πλέον φανερὸ στὴν αἴσθησι, μὲ τὸν χρόνο ἐξαφανίζεται ἀπὸ τὴν μνήμη. Ἐκεῖνο ὅμως τὸ ὁποῖο τοποθετήθηκε μέσα σὲ ἀπόκρυφο [μέρος], ἴσως μένει κρυμμένο ἀπὸ τοὺς ἔξω, ἀλλὰ καθὼς συνεχῶς θεᾶται ἀπὸ ἐκεῖνον ποὺ τὸ ἔχει τοποθετήσει [στὸ ἀθέατο μέρος], ἀνανεώνει τὴν μνήμη [ἐκείνου], ἐπειδὴ λάθρα μορφώνεται [μέσα σ' αὐτὴν] ὡς προσφιλὲς εἴδωλο.

*[**61.**] Πᾶς γὰρ λογισμὸς αἰσχρός, μορφούμενος ἐν τῇ διανοίᾳ, γλυπτόν ἐστιν ἀπόκρυφον· οὕτω γοῦν αἰσχύνη ἐστίν, εἰς μέσον προτιθέναι τὰς τοιαύτας ἐννοίας· ἐπισφαλὲς οὖν καὶ τὸ ἐν ἀποκρύφῳ θεῖναι γλυπτόν, ἐπισφαλέστερον δέ, καὶ τὸ ἐπακολουθεῖν καὶ ἐκζητεῖν τὰς ἤδη ἐξαφανισθείσας μορφάς, εὐχερῶς τῆς διανοίας πάλιν ῥεπούσης ἐπὶ τὸ ἐκβληθὲν πάθος, καὶ τὴν τῶν ἡδονῶν πλάστιγγα ἐπιβριθούσης ἕως ἐδάφους. [**62.**] Τοιαύτη γὰρ ἡ ἕξις τῆς ἀρετῆς, ὀξυρρεπής τις ἐστὶν ἄγαν, εἰ ἀμελεῖτο [recte: ἀμελεῖται], ἐπὶ τἀναντία ταλαντεύουσα. Τοῦτο γὰρ διὰ συμβόλου ἡμῖν σημαίνειν ἔοικεν ἡ Γραφή, ὅταν φησίν, ἡ γῆ εἰς ἣν πορεύεσθε, μετακινουμένη ἐστίν, ἐν μετακινήσει λαῶν τῶν ἐθνῶν*[102]*· ἅμα γὰρ εἰ κινήσει πρὸς τἀναντία ὁ τὴν ἕξιν ἔχων τῆς ἀρετῆς, συμμετεκινήθη καὶ αὕτη· γῆ γὰρ μετακινουμένη ἐστί· διὸ χρὴ τὴν ἀρχὴν μὴ διδόναι πάροδον ἐπὶ τὴν διάνοιαν, ταῖς τῶν βλάπτειν πεφυκότων λογισμῶν φαντασίαις· μηδὲ*

61. Διότι κάθε αἰσχρὸς λογισμός, ὁ ὁποῖος σχηματίζεται στὴν διάνοια, εἶναι ἀθέατο γλυπτὸ [εἴδωλο]. Ἔτσι λοιπὸν εἶναι ἐντροπὴ νὰ φέρῃ [κανεὶς] στὸ μέσον [τῆς διανοίας του], αὐτοῦ τοῦ εἴδους τοὺς λογισμούς. [Εἶναι] ἑπομένως ἐπικίνδυνο καὶ τὸ νὰ τοποθετήσῃ γλυπτὸ [εἴδωλο] σὲ ἀθέατο [μέρος], πιὸ ἐπικίνδυνο ὅμως [εἶναι] καὶ τὸ νὰ ἀκολουθῇ ἐκ τοῦ πλησίον καὶ νὰ ἀναζητᾷ τὶς μορφές, οἱ ὁποῖες ἤδη ἐξαφανίσθηκαν, ἐπειδὴ ἡ διάνοια ῥέπει εὔκολα πάλι στὸ πάθος, τὸ ὁποῖο ἐκδιώχθηκε καὶ ἐπιβαρύνει τὴν ζυγαριά, ἕως [νὰ ἀγγίξῃ] τὸ ἔδαφος ἀπὸ τὸ βάρος τῶν ἡδονῶν.

62. Διότι αὐτοῦ τοῦ εἴδους εἶναι ἡ κατάστασι τῆς ἀρετῆς, μία ὑπερβολικὰ εὐαίσθητη στὴν ἰσορροπία [κατάστασι], ἡ ὁποία ταλαντεύεται στὰ ἀντίθετα, ἐὰν παραμελῆται. Αὐτὸ βέβαια φαίνεται ὅτι μᾶς ὑποδηλώνει μὲ σύμβολο ἡ [Ἁγία] Γραφή, ὅταν λέγῃ: «ἡ γῆ στὴν ὁποία βαδίζετε, εἶναι μετακινουμένη μὲ τὴν μετακίνησι τῶν λαῶν τῶν ἐθνῶν». Διότι, ἐὰν θὰ κινήσῃ γιὰ τὰ ἀντίθετα [γιὰ τὰ πάθη], ἐκεῖνος, ὁ ὁποῖος ἔχει τὴν κατάστασι τῆς ἀρετῆς, ταυτοχρόνως μετακινήθηκε μαζὶ καὶ ἡ ἴδια [ἡ ἀρετή]. Διότι εἶναι ἡ γῆ, ἡ ὁποία μετακινεῖται. Γι᾽ αὐτὸ πρέπει ἀπὸ τὴν ἀρχὴ νὰ μὴν δίδῃ δίοδο στὶς φαντασίες τῶν λογισμῶν, μέσα στὴν διάνοιά [του], οἱ ὁποῖες ἔχουν ἀπὸ τὴν φύσι τους τὸ ἰδίωμα νὰ βλάπτουν· οὔτε

συγχωρεῖν αὐτῇ καταβαίνειν εἰς Αἴγυπτον, ἐκεῖθεν γὰρ εἰς Ἀσσυρίους κατάγεται[103]*. Ἐὰν γὰρ εἰς τὸν σκοτασμὸν τῶν ἀκαθάρτων λογισμῶν κατέλθῃ ἡ διάνοια, τοῦτο γὰρ Αἴγυπτος ἑρμηνεύεται, βίᾳ λοιπόν, καὶ μὴ θέλουσα ὑπὸ τῶν παθῶν ἐπὶ τὴν ἐργασίαν ἕλκεται· διὰ τοῦτο συμβολικῶς καὶ ὁ νομοθέτης ἀποκλείων τῇ ἡδονῇ τὴν παρείσδυσιν, τὴν κεφαλὴν τοῦ ὄφεως τηρεῖν ἐκέλευσεν, ἐπειδὴ κᾀκεῖνος τὴν πτέρναν τηρεῖ*[104]*· ἐκείνῳ μὲν γὰρ σκοπός, ἡ ἐνέργεια πρόκειται· ἧς εἰ μὴ ἐπιλάβηται, ἐγκεράσαι τῷ δήγματι τὸν ἰὸν οὐκ εὐχερῶς δύναται· ἡμῖν δὲ σπουδή, αὐτὴν συνθλάσαι τὴν προσβολὴν τῆς ἡδονῆς. [63.] Ταύτης γὰρ συντριβείσης, ἀσθενὴς ἡ ἐνέργεια. Τάχα δὲ καὶ ὁ Σαμψών, οὐκ ἂν ἐνέπρησε τὰ τῶν ἀλλοφύλων θέρη, εἰ μὴ τὰς κεφαλὰς ἀντιστρέψας τῶν ἀλωπέκων συνέδησε τὰς οὐράς*[105]*· ὁ γὰρ δυνηθεὶς τῶν πανούργων λογισμῶν, ἐκ προοιμίων, στοχάσασθαι τὴν ἔνεδραν, καὶ*

νὰ ἐπιτρέπῃ σ᾽ αὐτὴ νὰ κατεβαίνῃ στὴν Αἴγυπτο [στὴν χώρα τῶν παθῶν], διότι ἀπὸ ἐκεῖ καταλήγει κάτω, στοὺς Ἀσσυρίους [στὸν τόπο τῶν δαιμόνων]. Διότι, ἐὰν ἡ διάνοια κατέλθῃ στὸ σκοτασμὸ τῶν ἀκαθάρτων λογισμῶν - αὐτὸ βέβαια ἑρμηνεύεται Αἴγυπτος - μὲ τὴν βία ἔπειτα καὶ ἐνῶ δὲν θέλει, σύρεται ἀπὸ τὰ πάθη στὸ ἔργο [τῆς ἁμαρτίας]. Γι᾽ αὐτὸ συμβολικὰ καὶ ὁ Νομοθέτης [Θεός], ἀποκλείοντας τὴν κρυφὴ εἴσοδο στὴν ἡδονή, διέταξε νὰ συντρίβωμε τὴν κεφαλὴ τοῦ φιδιοῦ, ἐπειδὴ κι ἐκεῖνο [μᾶς] κεντᾶ τὴν πτέρνα. Διότι πράγματι, ἐκ τῶν προτέρων εἶναι σκοπὸς ἐκείνου [τοῦ φιδιοῦ] ἡ ἐνεργοποίησι [τοῦ ἀρχικοῦ λογισμοῦ], τὴν ὁποία, ἐὰν δὲν ἀδράξῃ, δὲν μπορεῖ εὔκολα νὰ ἐνσταλάξῃ μὲ τὸ δάγκωμα τὸ δηλητήριο. Γιὰ ἐμᾶς ἡ προσπάθεια [εἶναι], νὰ κατασυντρίψωμε αὐτὴ καθεαυτὴν τὴν προσβολὴ τῆς ἡδονῆς [τὴν πρώτη προσβολὴ – τὰ νήπια].

63. Διότι ἐὰν αὐτὴ συντριβῇ, ἡ ἐνέργεια [τοῦ διαβόλου γίνεται] ἀσθενής. Ἴσως ἄλλωστε καὶ ὁ Σαμψὼν δὲν θὰ κατέκαιε τὰ σπαρτὰ τῶν ἐχθρῶν, ἐὰν δὲν ἔδενε μεταξὺ τους τὶς οὐρὲς τῶν ἀλεπούδων, στρέφοντας πρὸς τὸ ἀντίθετο μέρος τὰ κεφάλια [τους] [ς]. Ἐκεῖνος βέβαια, ὁ ὁποῖος μπόρεσε νὰ ἀντιληφθῇ τὴν ἐνέδρα ἀπὸ τὶς πρῶτες ἐνδεί-

τὰς ἀρχὰς παριδών, σεμνὰς γὰρ τῷ δοκεῖν αὐτὰς ποιεῖσθαι μηχανῶνται, τοῦ ἐπιλαβέσθαι τοῦ τέλους. Καὶ ἐκ τῆς τῶν περάτων συγκρίσεως πρὸς ἄλληλα ἐλέγξει τὸ ἄτοπον τῶν λογισμῶν, κέρκῳ συνδήσας κέρκον, λαμπάδα θεὶς ἀνὰ μέσον αὐτῶν τὸν ἔλεγχον· καὶ ἵνα σαφέστερον γένηται τὸ λεγόμενον, ἐπὶ δύο λογισμῶν γυμνάσω τὸ εἰρημένον· ἔσται γὰρ τοῦτο καὶ τῶν λοιπῶν πίστις ἀληθής. ***[64.]*** *Πολλάκις ἀπὸ κενοδοξίας ἔρχεται ὁ τῆς πορνείας λογισμός, καὶ σεμνὰ μὲν δείκνυσι τὰ προπύλαια, τῶν εἰς τὸν ᾅδην φερουσῶν ὁδῶν· κρύπτει δὲ τοὺς ὀλεθρίους τόπους, δι᾽ ὧν εἰς τὰ ταμεῖα τοῦ θανάτου κατάγει*[106] *τοὺς ἑπομένους ἀλογίστως αὐτῷ· ὑποτίθεται, γὰρ ἔσθ᾽ ὅτε μὲν ἱερωσύνην, ἔσθ᾽ ὅτε δὲ βίον Μοναχοῦ τέλειον· πολλοὺς δὲ τοὺς ἐπ᾽ ὠφελείᾳ παραγινομένους ποιεῖ πρὸς αὐτόν, καὶ τὴν εὐδοκίμησιν ἔκ τε λόγου, καὶ πράξεως αὐτὸν φαντάζεσθαι παρασκευάζει· καὶ ὅταν ἱκανῶς αὐτὸν αὐταῖς περιβουκολήσας ταῖς*

ξεις τῶν πονηρῶν λογισμῶν καὶ παρέβλεψε τὶς ἀρχές, [τὰ πρῶτα μηνύματα] - διότι [οἱ δαίμονες] μηχανεύονται κατὰ τὸ φαινόμενο νά παρουσιάζουν αὐτὰ ἀθῶα - [αὐτὸς μπόρεσε] νὰ κερδίσῃ τὸ τέλος· καὶ ἀπὸ τὴν σύγκρισι τῶν ἄκρων τοῦ ἑνὸς πρὸς τὸ ἄλλο [δηλαδὴ ἀρχῆς καὶ τέλους] θὰ ἀποδείξῃ τὸ ἄτοπο τῶν λογισμῶν, ὅταν συνδέσῃ οὐρὰ μὲ οὐρά, βάζοντας ἀνάμεσά τους ὡς δαυλὸ τὸν ἔλεγχο. Καὶ γιὰ νὰ γίνῃ πιὸ σαφὴς ὁ λόγος, θὰ καταστήσω φανερὸ ἀπὸ δύο λογισμούς, αὐτὸ τὸ ὁποῖο ἔχει εἰπωθῆ. Διότι αὐτὸ θὰ εἶναι ἀληθινὴ ἀπόδειξι καὶ γιὰ τὰ ὑπόλοιπα.

64. Πολλὲς φορές, ἐξ αἰτίας τῆς κενοδοξίας, ἐπέρχεται ὁ λογισμὸς τῆς πορνείας καὶ δείχνει μὲν ἀθῶα τὰ πρόθυρα τῶν ὁδῶν, οἱ ὁποῖες ὁδηγοῦν στὸν Ἅδη. Ἀποκρύπτει δὲ τοὺς ὀλεθρίους τόπους, μέσῳ τῶν ὁποίων ὁδηγεῖ κάτω στὰ ἀπόκρυφα μέρη τοῦ θανάτου, ἐκείνους οἱ ὁποῖοι ἀπερίσκεπτα τὸν ἀκολουθοῦν. Διότι ὑποδεικνύει μὲ τρόπο, μερικὲς φορὲς μὲν τὴν ἱερωσύνη, μερικὲς φορὲς δέ, τὸν τέλειο τρόπο ζωῆς τοῦ Μοναχοῦ [τὴν πλέον ὑψηλὴ μοναχικὴ πολιτεία]. Πολλοὺς δὲ [ἀνθρώπους] κάνει νὰ φθάνουν πρὸς αὐτὸν τὸν ἴδιο γιὰ [πνευματικὴ] ὠφέλεια καὶ τὸν ἑτοιμάζει νὰ φαντάζεται τὴν προκοπή [του] καὶ ἀπὸ τὸν λόγο [του τὸν πνευματικό], καὶ ἀπὸ τὴν πρᾶξι τῆς ἀσκήσεώς [του]. Καὶ ὅταν τὸν ἀπομακρύνῃ πολὺ ἀπὸ τὴν φυσικὴ

ἐννοίαις, ἀπαγάγῃ πολὺ τῆς φυσικῆς νήψεως, τότε συντυχίαν σεμνῆς δῆθεν γυναικὸς ὑπογράψας, ἐπὶ τὴν τοῦ μιαροῦ πράγματος φέρει συγκατάθεσιν, τὴν τῆς συνειδήσεως παῤῥησίαν εἰς ἐσχάτην καταφέρων αἰσχύνην. **[65.]** *Ὁ τοίνυν τὰς κέρκους συνδῆσαι βουλόμενος, λαμβανέτω τῶν λογισμῶν τὰ τέλη. Τῆς μὲν κενοδοξίας τὸ ἐπιτίμιον, καὶ τῆς πορνείας τὸ ἄτιμον· καὶ ὅταν ἐναντιουμένας ἀλλήλαις ἴδῃ σαφῶς, τότε νομιζέτω τὸ τοῦ Σαμψὼν πεποιηκέναι.* **[66.]** *Πάλιν ὁ τῆς γαστριμαργίας λογισμός, τέλος ἔχει τὸν τῆς πορνείας· ὁ δὲ τῆς πορνείας, τέλος ἔχει τὸν τῆς λύπης· εὐθέως γὰρ ἀθυμία καὶ λύπη ἕπεται τῷ ἡττηθέντι τοῖς τοιούτοις λογισμοῖς, μετὰ τὴν ἀνάνηψιν· λογιζέσθω γοῦν ὁ ἀγωνιζόμενος, μὴ τὴν ἀπόλαυσιν τῶν βρωμάτων, μηδὲ τὸ λεῖον τῆς ἡδονῆς, ἀλλ᾽ ἑκατέρων τὰ τέλη· καὶ ὅταν εὕρῃ λύπην ἀκολουθοῦσαν ἀμφοτέροις, ἴστω κέρκῳ κέρκον συνδεδεκώς, καὶ τῷ ἐλέγχῳ τὰ τῶν ἀλλοφύλων*

νῆψι, ἀφοῦ μὲ κάθε τρόπο [τὸν] ἐξαπατήσῃ ἀρκετὰ μ᾽ αὐτοὺς τοὺς λογισμούς, τότε, ἀφοῦ σκιαγραφήσῃ [στὸν νοῦ] τὴν συνάντησι μὲ κάποια σεμνὴ δῆθεν γυναῖκα, [τὸν] ὁδηγεῖ στὴν συγκατάθεσι τῆς μιαρᾶς πράξεως, κρημνίζοντας τὴν παρρησία τῆς συνειδήσεως στὴν ἔσχατη ἐντροπή.

65. Ἐκεῖνος λοιπόν, ὁ ὁποῖος ἐπιθυμεῖ νὰ συνδέσῃ μαζὶ τὶς οὐρές, ἂς πάρῃ τὰ τέλη τῶν λογισμῶν [δηλαδὴ ποῦ κατέληξαν οἱ λογισμοί]· ἀπὸ τὴν μὲν κενοδοξία τὸ ἐπιτίμιο καὶ ἀπὸ τὴν πορνεία τὴν ἀτιμία· καὶ ὅταν [τὶς] δῇ σαφῶς νὰ ἐναντιώνωνται ἡ μία στὴν ἄλλη, τότε ἂς νομίζῃ ὅτι ἔχει κάνει τὸ [ἔργο] τοῦ Σαμψών.

66. Πάλι ὁ λογισμὸς τῆς γαστριμαργίας, ἔχει τέλος τὸν [λογισμὸ] τῆς πορνείας· ὁ δὲ τῆς πορνείας, ἔχει τέλος τὸν [λογισμὸ] τῆς λύπης. Διότι ἐκεῖνον, ὁ ὁποῖος νικήθηκε ἀπὸ αὐτοῦ τοῦ εἴδους τοὺς λογισμούς, μετὰ τὴν ἀνάνηψι [ἀπὸ αὐτούς], ἀκολουθεῖ ἀμέσως ἡ ἀθυμία καὶ ἡ λύπη. Λοιπόν, ἂς ἀναλογισθῇ ὁ ἀγωνιζόμενος, ὄχι τὴν ἀπόλαυσι τῶν φαγητῶν, οὔτε τὸ ἀπολαυστικὸ τῆς ἡδονῆς, ἀλλὰ καὶ τῶν δύο τὰ τέλη. Καὶ ὅταν βρῇ νὰ ἐπακολουθῇ καὶ στοὺς δύο [λογισμοὺς] ἡ λύπη, ἂς γνωρίζῃ ὅτι ἔχει συνδέσει οὐρὰ μαζὶ μὲ οὐρὰ καὶ μὲ τὸν ἔλεγχο ἀφάνισε τὰ σπαρτὰ τῶν

ἀφανίσας θέρη. [67.] Εἰ τοίνυν τοσαύτης ἐπιστήμης καὶ ἐμπειρίας δεῖται ὁ πρὸς τὰ πάθη πόλεμος, γιγνωσκέτωσαν οἱ τὴν ἑτέρων ἀναδεχόμενοι προστασίαν, πόσης αὐτοῖς χρεία τῆς γνώσεως, ἵνα καὶ τοὺς ὑποτεταγμένους ἐμφρόνως ὁδηγῶσιν ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως[107]*, καὶ πάντα σαφῶς τὰ τῆς πάλης διδάξωσιν· ὡς μὴ χειρονομοῦντας μόνον ἐν ἀέρι τὰ τῆς νίκης σχηματίζειν, ἀλλὰ καὶ ἐν αὐτῇ τῇ πρὸς τὸν ἀντίπαλον μάχῃ, καιρίας ἐπιφέρειν τὰς πληγάς· ἵνα μὴ διακενῆς ῥιπτῶσιν ἐν ἀέρι τὰς χεῖρας, ἀλλ᾽ αὐτὸν θλίβωσι τὸν ἀντίπαλον· τοῦ γὰρ γυμνικοῦ ἀγῶνος, οὗτος ὁ ἀγὼν δυσχερέστερος· ἐκεῖ μὲν γάρ, ἀθλητῶν σώματα κλίνεται, ῥαδίως ἀνορθοῦσθαι δυνάμενα· ἐνταῦθα δέ, ψυχαὶ καταπίπτουσιν, ἃς ἅπαξ ἀνατραπείσας, μόλις ἐστὶν ἀνεγεῖραι. [68.] Εἰ δέ τις ἔτι τὸν ἐμπαθῆ βίον διαπυκτεύων καὶ πεφυρμένος ἐν αἵμασι, Ναὸν Θεοῦ ἐκ λογικῶν ἐπιχειροίη ψυχῶν οἰκοδομεῖν, πάντως ἀκού-*

ἐχθρῶν.

67. Ἐὰν λοιπόν, ὁ πόλεμος ἐναντίον τῶν παθῶν, ἔχῃ ἀνάγκη τόσης μεγάλης πνευματικῆς καταρτίσεως καὶ ἐμπειρίας, ἂς συναισθανθοῦν ἐκεῖνοι οἱ ὁποῖοι ἀναδέχονται τὴν φροντίδα τῶν ἄλλων, πόσης [πνευματικῆς] γνώσεως [ὑπάρχει] ἀνάγκη σ᾽ αὐτούς, ὥστε καὶ μὲ φρόνησι νὰ καθοδηγοῦν τοὺς ὑποτακτικοὺς στὸ βραβεῖο τῆς ἄνω κλήσεως, καὶ μὲ σαφήνεια νὰ διδάξουν ὅλα τὰ σχετικὰ μὲ τὸν [πνευματικὸ] πόλεμο· ὥστε νὰ μὴν κάνουν μόνο μὲ χειρονομίες στὸν ἀέρα ὅτι σχηματίζουν τὰ τῆς νίκης [σύμβολα], ἀλλὰ καὶ σ᾽ αὐτὴ τὴν ἴδια τὴν μάχη, ἐναντίον τοῦ ἀντιπάλου νὰ ἐπιφέρουν καίριες πληγές· γιὰ νὰ μὴν ἐκτινάσσουν μάταια στὸν ἀέρα τὰ χέρια [τους], ἀλλὰ νὰ συντρίβουν τὸν ἴδιο τὸν ἀντίπαλο. Ἀπὸ τὸν γυμναστικὸ ἀγῶνα, αὐτὸς βέβαια ὁ ἀγώνας [εἶναι] δυσκολώτερος. Διότι ἐκεῖ μὲν κάμπτονται τὰ σώματα τῶν ἀθλητῶν, τὰ ὁποῖα δύνανται εὔκολα νὰ ἀνορθωθοῦν· ἐνῶ ἐδῶ πέφτουν κάτω ψυχές, οἱ ὁποῖες, ἐὰν ἀνετράπησαν μία φορά, μὲ δυσκολία εἶναι δυνατὸν [κάποιος] μόλις νὰ [τὶς] ἀνορθώσῃ.

68. Ἐὰν δὲ κάποιος ἤθελε ἐπιχειρήσῃ νὰ οἰκοδομῇ ἀπὸ λογικὲς ψυχὲς Ναὸ τοῦ Θεοῦ, ἐνῶ πυγμαχεῖ μὲ τὸν ἐμπαθῆ βίο καὶ εἶναι λερωμένος μὲ αἵματα, αὐτοῦ τοῦ εἴδους [ὁ ἄνθρωπος] δίχως ἄλλο

σεται ὁ τοιοῦτος· ὅτι οὐ σὺ οἰκοδομήσεις μοι Ναόν, ὅτι ἀνὴρ αἱμάτων εἶ σύ[108]*· εἰρηνικῆς γάρ ἐστι καταστάσεως οἰκοδομεῖν Ναὸν τῷ Θεῷ. Καὶ Μωϋσῆς δὲ λαβὼν τὴν σκηνήν, ἔξω τῆς παρεμβολῆς πηξάμενος*[109]*, δηλοῖ ὅτι πορρωτάτω τοῦ πολεμικοῦ θορύβου, δεῖν εἶναι τὸν διδάσκαλον· καὶ μακρὰν τοῦ πεφυρμένου ἀπῳκίσθαι στρατοπέδου, πρὸς εἰρηνικὸν καὶ ἀπόλεμον μεταστάντα βίον. [69.] Ἀλλ' ὅταν εὑρεθῶσι τοιοῦτοι διδάσκαλοι, χρῄζουσι μαθητῶν οὕτως ἀρνησαμένων ἑαυτούς, καὶ τὰ ἑαυτῶν θελήματα, ὡς μηδὲν ἀψύχου σώματος αὐτοὺς διαφέρειν, ἢ ὕλης ὑποβεβλημένης τεχνίτῃ. Ἵν' ὥσπερ ψυχὴ ἐν σώματι ἐνεργῇ ὅπερ βούλεται, μηδὲν τοῦ σώματος ἀντιπράττοντος· ἢ ὡς τεχνίτης ἐν ὕλῃ τὴν οἰκείαν ἐπιδείκνυται τέχνην, οὐδὲν παρὰ τῆς ὕλης ἐμποδιζόμενος πρὸς τὸν σκοπὸν τὸν ἴδιον· οὕτως ὁ διδάσκαλος τοῖς μαθηταῖς τὴν τῆς ἀρετῆς πίστιν ἐργάσηται, ἔχων πειθηνίους καὶ πρὸς μηδὲν ἀντιλέγοντας· τὸ γὰρ*

θὰ ἀκούσῃ· ὅτι «δὲν θὰ μοῦ οἰκοδομήσῃς ἐσὺ Ναό, διότι ἐσὺ εἶσαι ἄνθρωπος αἱμάτων»· διότι εἶναι καταστάσεως εἰρηνικῆς τὸ νὰ οἰκοδομῇ [κανεὶς] Ναὸ στὸ Θεό. Καὶ ὁ Μωυσῆς ἄλλωστε, ἀφοῦ πῆρε τὴν Σκηνὴ [τοῦ Μαρτυρίου], μὲ τὸ νὰ [τὴν] στήσῃ ἔξω τῆς παρεμβολῆς, φανερώνει ὅτι πρέπει νὰ εἶναι ὁ διδάσκαλος ἀπολύτως μακριὰ ἀπὸ τὸν πολεμικὸ θόρυβο καὶ νὰ ἔχῃ ἐγκατασταθῆ ἐκτὸς τοῦ στρατοπέδου, στὸ ὁποῖο ἐπικρατεῖ σύγχυσι, ἀφοῦ μετετέθη πρὸς τὸν εἰρηνικὸ καὶ ἀπόλεμο τρόπο ζωῆς.

69. Ἀλλά, ὅταν εὑρεθοῦν αὐτοῦ τοῦ εἴδους οἱ διδάσκαλοι, ἔχουν ἀνάγκη ἀπὸ μαθητές, οἱ ὁποῖοι ἀρνήθηκαν τὸν ἑαυτό τους καὶ τὰ θελήματά τους κατὰ τέτοιον τρόπο, ὥστε νὰ μὴν διαφέρουν αὐτοὶ σὲ τίποτα ἀπὸ ἄψυχο σῶμα ἢ ἀπὸ ὑλικό, τὸ ὁποῖο ἔχει ἀφεθῆ σὲ τεχνίτη· ὥστε, ὅπως ἀκριβῶς ἡ ψυχὴ ἐνεργεῖ μέσα στὸ σῶμα, ἐκεῖνο τὸ ὁποῖο ἀπολύτως θέλει, ἐνῶ τὸ σῶμα σὲ τίποτα δὲν ἀντιδρᾶ, ἢ ὅπως ὁ τεχνίτης ἐπιδεικνύει μὲ τὴν ὕλη τὴν δική του τέχνη, χωρὶς νὰ ἐμποδίζεται σὲ τίποτα ἀπὸ τὴν ὕλη γιὰ τὸν δικό του σκοπό, κατὰ τὸν ἴδιο τρόπο καὶ ὁ διδάσκαλος θὰ καλλιεργήσῃ στοὺς μαθητὲς τὴν ἀφοσίωσι στὴν ἀρετή, ἐὰν [τοὺς] ἔχῃ εὐπειθεῖς καὶ χωρὶς νὰ ἀντιλέγουν σὲ τίποτα. Διότι τὸ

περιεργάζεσθαι τὰς τοῦ διδασκάλου οἰκονομίας, καὶ δοκιμάζειν ἐθέλειν τὰ παρ' αὐτοῦ προσταττόμενα, ἐμποδίζειν ἐστὶ τῇ ἰδίᾳ προκοπῇ· οὐ γὰρ πάντως ὅπερ εὔλογον, καὶ πιθανὸν φαίνεται τῷ ἀπείρῳ, τοῦτο καὶ ἀληθῶς εὔλογόν ἐστιν· ἄλλως γὰρ ὁ τεχνίτης, καὶ ἄλλως ὁ ἀτεχνὴς κρίνει τὰ τῆς τέχνης· κανόνι γάρ, ὁ μέν, τῇ ἐπιστήμῃ· ὁ δέ, τῷ εἰκότι κέχρηται· τὸ δὲ εἰκὸς ὀλιγάκις μὲν στοχάζεται διὰ τῆς ἀληθείας, τὰ πολλὰ δὲ μᾶλλον ἀποτυγχάνει τῆς ὀρθότητος, πρὸς τὴν ἀπάτην ἔχον τὴν συγγένειαν. Τί γὰρ κατὰ τὸ φαινόμενον ὀλιγώτερον δοκεῖ, τοῦ τὸν κυβερνήτην πλαγίας φερομένης τῆς νηὸς κατὰ τὸν πρὸς ὄρθιον τὸν ὑπὸ τῶν ναυτικῶν καλούμενον πλοῦν, ἐπὶ τὸν βαπτιζόμενον τοῖχον προστάττειν καθῆσθαι, ἀφέντας τὸν ὑπερανεστῶτα, καὶ τοῦ ἀνέμου ἐπ' ἐκείνῳ μᾶλλον ὠθοῦντος καὶ ἀνατρέποντος ἐφ' ὃν βαρεῖν ἐκέλευσεν; Καὶ μὴν τὸ εἰκὸς ἦν τὸν ἐπανιστάμενον τοῖχον βαρεῖν συμβουλεύειν,

νὰ ἐξετάζῃ [ὁ μαθητὴς] τὶς οἰκονομίες τοῦ διδασκάλου καὶ τὸ νὰ θέλῃ νὰ ἐλέγχῃ αὐτὰ τὰ ὁποῖα προστάσσονται ἀπὸ ἐκεῖνον, εἶναι τὸ ἐμπόδιο στὴν δική του προκοπή. Γιατὶ ὅ,τι ἀκριβῶς φαίνεται στὸν ἄπειρο εὔλογο καὶ πιθανό, αὐτὸ δὲν εἶναι καὶ ἀληθινὰ εὔλογο. Διαφορετικὰ βέβαια κρίνει τὰ σχετικὰ μὲ τὴν τέχνη ὁ τεχνίτης, καὶ διαφορετικὰ ὁ ἄσχετος μὲ τὴν τέχνη. Διότι ὁ ἕνας ἔχει μὲν χρησιμοποιήσει ὡς γνώμονα τὴν ἐμπεριστατωμένη γνῶσι, ἐνῶ ὁ ἄλλος αὐτὸ ποὺ τοῦ φαίνεται σωστό. Αὐτὸ ὅμως ποὺ τοῦ φαίνεται σωστό, [προσωπικὴ ἄποψι] λίγες φορὲς ἐπιτυγχάνει τὸν σκοπὸ μέσῳ τῆς ἀληθείας, ἐνῶ περισσότερο συχνὰ ἀποτυγχάνει ἀπὸ τὴν ὀρθότητα, ἐπειδὴ ἔχει συγγένεια μὲ τὴν ἀπάτη. Διότι τί θεωρεῖται κατὰ τὸ φαινόμενο πιὸ παράλογο ἀπὸ τὴν περίπτωσι: ὁ κυβερνήτης τοῦ πλοίου, τὸ ὁποῖο παρουσιάζει κλίσι ἐν σχέσει πρὸς τὴν [ὁμαλὴ] ὄρθια πλεῦσι, ὅπως ἀποκαλεῖται ἀπὸ τοὺς ναυτικούς, νὰ διατάζῃ [τὸ πλήρωμα] νὰ καθήσουν στὴ βυθιζομένη πλευρὰ τοῦ πλοίου, ἀφοῦ ἀφήσουν τὴν ἀνυψουμένη, καὶ ἐνῶ ὁ ἄνεμος ἀσκεῖ πίεσι περισσότερο σ' ἐκείνη [ποὺ ἄφησαν] καὶ ἀνατρέπει [τὴν πλευρὰ] ἐπὶ τῆς ὁποίας διέταξε νὰ ἀσκῆται τὸ βάρος; Καὶ πράγματι ἦταν τὸ πρέπον, νὰ ὑποδεικνύῃ νὰ ἀσκῆται τὸ βάρος στὴν ἀνυψουμένη πλευρά,

οὐχὶ δὲ τρέχειν ἐπὶ τὸν κινδυνεύοντα· ἀλλ᾽ ὅμως τῷ κυβερνήτῃ πείθονται μᾶλλον οἱ ἐμπλέοντες, ἢ ταῖς ἑαυτῶν ἐπινοίαις· πείθει γὰρ αὐτοὺς ἡ ἀνάγκη, δουλεύειν τῇ τέχνῃ τοῦ τὴν ἐξουσίαν ἐγκεχειρισμένου, κἂν τὸ πιθανὸν ἐκ τῶν ὁρωμένων μὴ ἔχῃ τὸ γινόμενον. Οὐκοῦν καὶ οἱ ἐπιτρέψαντες ἑτέροις τὴν ἑαυτῶν σωτηρίαν, ἀφέντες τὰ εἰκότα, τῇ τέχνῃ τοῦ εἰδότος παραχωρείτωσαν, τῶν ἰδίων λογισμῶν ἀξιοπιστοτέραν τὴν ἐκείνων κρίνοντες ἐπιστήμην. [70.] Καὶ πρῶτον μὲν ἀποτασσόμενοι, μηδὲν ἔξω καταλιμπανέτωσαν, τὸ τοῦ Ἀνανίου βαρύτατον δεδοικότες ὑπόδειγμα· ὃς ἀνθρώπους νομίσας λαθεῖν τῷ νοσφίσασθαι, θεόθεν ἐπὶ τῇ κλοπῇ καταδίκην ἐδέξατο[110]· ἀλλ᾽ ὡς ἑαυτούς, οὕτω καὶ τὰ ἑαυτῶν πάντα ἐπιδιδότωσαν· εὖ εἰδότες, ὅτι τὸ ἀπολειφθέν, συνεχῶς πρὸς ἑαυτὸ τὴν διάνοιαν ἕλκον, ἐπὶ πολὺ μὲν περισπάσει τῶν κρειττόνων· ὕστερον δέ, καὶ τέλεον ἀποῤῥήξει τῆς ἀδελφότητος· διὰ τοῦτο γὰρ τοὺς

καὶ ὄχι νὰ τρέχουν σ᾽ ἐκείνην, ἡ ὁποία διατρέχει κίνδυνο [νὰ βυθιστῆ]. Ἀλλὰ ὅμως ἐκεῖνοι ποὺ ταξιδεύουν [τὸ πλήρωμα], πείθονται περισσότερο στὸν κυβερνήτη, παρὰ στὶς δικές τους ἐκτιμήσεις. Διότι ἡ ἀνάγκη τοὺς πείθει νὰ ὑποτάσσωνται στὴν τέχνη ἐκείνου, ὁ ὁποῖος ἔχει ἀναλάβει τὴν ἐξουσία, ἀκόμα κι ἂν ἐκεῖνο, τὸ ὁποῖο γίνεται, δὲν ἔχῃ τὴν ἀξιοπιστία κατὰ τὰ φαινόμενα. Ἑπομένως, καὶ αὐτοὶ οἱ ὁποῖοι παρέδωσαν σὲ ἄλλους τὴ δική τους σωτηρία, ἀφοῦ ἀφήσουν αὐτὰ τὰ ὁποῖα [τοὺς] φαίνονται σωστά, ἂς ὑποτάσσωνται στὴν τέχνη ἐκείνου, ποὺ γνωρίζει καλῶς [τὸ ὀρθό], προκρίνοντας πιὸ ἀξιόπιστη τὴν βαθειὰ πνευματικὴ γνῶσι ἐκείνων [στοὺς ὁποίους παρέδωσαν τὴν σωτηρία τους], ἀπὸ τοὺς δικούς τους λογισμούς.

70. Καὶ κατὰ πρῶτον, ὅταν ἐγκαταλείπουν [τὸν κόσμο], ἂς μὴν ἀφήνουν τίποτα ἔξω [ἀπὸ τὴν ἀποταγή], φοβούμενοι τὸ θλιβερώτατο παράδειγμα τοῦ Ἀνανίου· ὁ ὁποῖος μὲ τὸ νὰ νομίσῃ, ὅτι διέφυγε τὴν προσοχὴ τῶν ἀνθρώπων, ὅσον ἀφορᾶ τὴν ἰδιοποίησι [τῶν χρημάτων ἀπὸ τὴν περιουσία του], δέχθηκε τὴν καταδίκη ἀπὸ τὸν Θεὸ γιὰ τὴν ἀπάτη τῆς κλοπῆς. Ἀλλὰ ὅπως [ἀφιέρωσαν] τοὺς ἑαυτούς τους, κατὰ τὸν ἴδιο τρόπο ἂς ἀφιερώνουν καὶ ὅλα τὰ δικά τους, γνωρίζοντας καλά, ὅτι ἐκεῖνο τὸ ὁποῖο ἀπέμεινε [χωρὶς νὰ ἀφιερωθῆ], ἐπειδὴ συνεχῶς ἑλκύει τὴν διάνοια πρὸς τὸν ἑαυτό του, σὲ μεγάλο βαθμὸ θὰ ἀποσπάσῃ τὴν προσοχὴ ἀπὸ τὰ ἀνώτερα [τοῦ Θεοῦ]. Ὕστερα δὲ καὶ ἐντελῶς θὰ [τοὺς] ἀποβάλῃ ἀπὸ τὴν ἀδελφότητα. Γι᾽ αὐτὸ βέβαια τὸ

βίους τῶν ἀρχαίων ἔγραψε τὸ Πνεῦμα τὸ Ἅγιον, ἵν' ἕκαστον τῶν ἥντινα οὖν ἐπιτηδευόντων ἀγωγήν, ἐξ οἰκείων ὑποδειγμάτων προσαγάγῃ τῇ ἀληθείᾳ. [71.] Πῶς οὖν ὁ Ἐλισσαῖος συντασσόμενος τῷ διδασκάλῳ ἀπετάξατο τῷ κόσμῳ; Ἠροτρία φησὶν ἐν βουσί· καὶ δώδεκα ζεύγη βοῶν ἐνώπιον αὐτοῦ· καὶ ἔσφαξε τὰς βοῦς, καὶ ἔψησεν αὐτὰς ἐν τοῖς σκεύεσι τῶν βοῶν[111]*· τοῦτο δέ, τὸ θερμὸν τῆς προθυμίας αἰνίσσεται. Οὐ γὰρ εἶπε, πωλήσω τὰ σκεύη τῶν βοῶν, καθηκόντως οἰκονομήσω· οὐδ' ὅτι πραθέντα ταῦτα, πλείονα χρείαν ἀνοίσειν ἔμελλεν, ἐλογίσατο. Ὅλος δὲ τῆς ἐπιθυμίας γενόμενος, τῆς ἑλκούσης αὐτὸν πρὸς τὴν τοῦ διδασκάλου συνουσίαν, κατεφρόνησε τῶν ὁρωμένων· καὶ μᾶλλον, ὡς περισπώντων ἀπὸ τῆς ὀρθῆς προαιρέσεως, ἀπαλλαγῆναι τούτων ἐσπούδασεν· εἰδὼς τὴν ἀναβολήν, καὶ μεταμελείας αἰτίαν πολλάκις. [72.] Πῶς οὖν ὁ Κύριος τῷ πλουσίῳ τὴν τελειότητα τοῦ κατὰ*

Πνεῦμα τὸ Ἅγιον ἔγραψε τοὺς βίους τῶν παλαιῶν [Ὁσίων], γιὰ νὰ ὁδηγήσῃ στὴν ἀλήθεια πράγματι καθέναν ἀπὸ ἐκείνους οἱ ὁποῖοι ἀσκοῦνται σὲ ὁποιαδήποτε ἄσκησι, μὲ [ἀνάλογα] γνωστὰ ὑποδείγματα.

71. Πῶς λοιπὸν ὁ Ἐλισσαῖος, προσκολλώμενος στὸν διδάσκαλό [του – τὸν Προφήτη Ἠλία] ἀποστράφηκε τὸν κόσμο; Ὄργωνε, λέγει [ἡ Ἁγία Γραφή], μὲ βόδια· καὶ [ὑπῆρχαν] δώδεκα ζεύγη βοδιῶν ἐμπρός του· καὶ ἔσφαξε τὰ βόδια καὶ τὰ ἔψησε, μὲ [καύσιμη ὕλη τὰ ξύλινα] ἀλέτρια ἀπὸ τὰ βόδια. Αὐτὸ βέβαια ὑπαινίσσεται τὸ φλογερὸ τῆς προθυμίας [τῆς ἀποταγῆς]. Διότι δὲν εἶπε, θὰ πουλήσω τὰ ἀλέτρια ἀπὸ τὰ βόδια. Θὰ [τὰ] διαχειριστῶ, ὅπως πρέπει. Οὔτε σκέφθηκε, ὅτι ἐὰν αὐτὰ πουληθοῦν, ἐπρόκειτο νὰ ἀποφέρουν μεγαλύτερο κέρδος. Ἀφοῦ κατελήφθη ὁλόκληρος ἀπὸ τὴν ἐπιθυμία, ἡ ὁποία τὸν εἵλκυε πρὸς τὴν βαθειὰ σχέσι μὲ τὸν διδάσκαλο, κατεφρόνησε [ὅλα] τὰ αἰσθητά· καὶ μᾶλλον φρόντισε ἐπιμελῶς νὰ ἀπαλλαγῇ ἀπὸ αὐτά, ἐπειδὴ [τὸν] ἀποσποῦσαν πολὺ ἀπὸ τὴν πραγματική [του] ἐπιθυμία· διότι γνώριζε ὅτι ἡ ἀναβολή, [εἶναι] πολλὲς φορὲς καὶ αἰτία ματαιώσεως.

72. Πῶς λοιπόν, ὁ Κύριος διέταζε, ὅταν ὑπεδείκνυε στὸν πλούσιο τὴν τελειότητα τοῦ κατὰ Θε-

Θεὸν ὑποτιθέμενος βίου πωλῆσαι τὰ ὑπάρχοντα καὶ διδόναι πτωχοῖς προσέτασσε[112]*, μηδὲν ἑαυτῷ καταλιπεῖν, εἰμὴ τὸ καταλιμπανόμενον ᾔδει ὁμοίως τῷ παντὶ περισπασμῷ γενόμενον αἴτιον; [73.] Νομίζω δὲ καὶ τὸν Μωσέα τοῖς ἀφαγνίζειν ἑαυτοὺς ἐν τῇ μεγάλῃ βουλομένους [recte: βουλομένοις] εὐχῇ διὰ τοῦ προστάσσειν ἅπαν ξυρᾶσθαι τὸ σῶμα*[113]*, τὴν παντελῆ τῶν ὑπαρχόντων ἐπιτάσσειν ἀπόθεσιν. [74.] Δεύτερον δέ, συγγενείας καὶ οἰκειότητος οὕτως ἐπιλανθανέσθωσαν, ὡς μηδ᾽ ὅλως ταῖς τούτων μνήμαις ἐνοχλεῖσθαί ποτε. [75.] Εἰ γὰρ τὰς βοῦς τὰς ἐν τῇ ἁμάξῃ ὑποζευχθείσας τῆς Κιβωτοῦ, ἐπιλαθέσθαι τῆς φύσεως ἡ Κιβωτὸς ἐποίησε· καὶ τῶν μόσχων αὐταῖς ἀποκλεισθέντων οἴκοι, καὶ οὐδενὸς ὄντος τοῦ βιαζομένου, ἀμέμπτως ἤνυσαν τὴν ὁδόν, οὐκ ἐκκλίνασαι δεξιὰ ἢ ἀριστερά*[114]*· οὐδὲ μυκηθμῷ τὴν ἐπὶ τῇ διαζεύξει τῶν ἐκγόνων ὀδύνην ἐμφήνασαι. Ἀλλὰ καὶ τῷ βάρει τῆς Κιβωτοῦ θλι-*

ὸν βίου, νὰ πωλήσῃ [ὅλα] τὰ ὑπάρχοντά [του] καὶ νὰ [τὰ] δώσῃ στοὺς πτωχούς, χωρὶς νὰ ἀφήσῃ τίποτα γιὰ τὸν ἑαυτό του, ἐὰν δὲν γνώριζε καλά, ὅτι ἐκεῖνο [τὸ ὑπόλοιπο] τὸ ὁποῖο ἀφήνεται [καὶ κρατεῖται ὡς ἴδιο κτῆμα], κατὰ τὸν ἴδιο τρόπο [μὲ τὸ ὅλον] γίνεται συνήθως αἰτία γιὰ κάθε περισπασμό;

73. Νομίζω δέ, ὅτι καὶ ὁ Μωυσῆς, μὲ τὸ νὰ προστάζῃ νὰ ξυρίζεται ὁλόκληρο τὸ σῶμα ἀπὸ ἐκείνους, οἱ ὁποῖοι ἐπιθυμοῦν νὰ ἐξαγνίζουν τοὺς ἑαυτούς τους μὲ τὴν μεγάλη εὐχή, [νομίζω] διατάζει τὴν ὁλοκληρωτικὴ ἐγκατάλειψι τῶν ὑπαρχόντων.

74. Κατὰ δεύτερον δέ, ἂς λησμονοῦν κατὰ τέτοιο τρόπο τὴν συγγένεια καὶ τὴν φιλία, ὥστε καθόλου νὰ μὴν ἐνοχλοῦνται ποτὲ μὲ τὶς ἐνθυμήσεις αὐτές.

75. Διότι ἐὰν τὶς ἀγελάδες, οἱ ὁποῖες ζεύτηκαν στὴν ἅμαξα τῆς Κιβωτοῦ, ἔκανε ἡ Κιβωτὸς νὰ λησμονήσουν τὴν [μητρικὴ] φύσι· καὶ ἐνῶ τὰ μοσχάρια ἀπομονώθηκαν ἀπ᾽ αὐτὲς στὸ στάβλο καὶ δὲν ὑπῆρχε κανεὶς ὁ ὁποῖος νὰ [τὶς] ἐξαναγκάζῃ, διήνυσαν τὴν πορεία τέλεια, χωρὶς νὰ παρεκκλίνουν δεξιὰ ἢ ἀριστερά· χωρὶς οὔτε νὰ ἐκδηλώσουν μὲ μυκηθμὸ τὴν ὀδύνη γιὰ τὸν ἀποχωρισμὸ τῶν τέκνων [τους]. Ἀλλὰ παρ᾽ ὅτι πιέζονται ἀπὸ τὸ βάρος τῆς Κι-

βόμεναι, καὶ τῇ τῆς φύσεως τυραννίδι τραχηλιζόμεναι, ὥς περ ἐπὶ κανόνος βαδίζουσαι τῆς εὐθείας παρετράπησαν, ἡττηθεῖσαι τῷ τῆς ἐπικειμένης Κιβωτοῦ σεβάσματι. [76.] Εἰ γοῦν αἱ βοῦς ἐκεῖναι οὕτω διετέθησαν, διατί μὴ καὶ τοῖς τὴν νοητὴν Κιβωτὸν αἴρειν μέλλουσι τὸ αὐτὸ πρακτέον; Ἔδει μὲν οὖν καὶ πλέον ἵνα μὴ παρὰ τῆς ἀλόγου φύσεως ἐν τοῖς ἀναγκαίοις ἔργοις ἡ λογικὴ παρευδοκιμουμένη ἐλέγχηται, τῷ μὴ πράττειν ἐκεῖνα λογισμῷ, ἅπερ ἀνάγκῃ πράττει τὰ ἄλογα. [77.] Ἴσως δὲ καὶ Ἰωσὴφ διὰ τοῦτο πλανᾶται κατὰ τὴν ἔρημον, ἐπειδὴ ἐν τοῖς τῆς συγγενείας ὀνόμασιν ἐζήτει τὸν τῆς τελειότητος ὅρον· διόπερ ὁ πρὸς ἀλήθειαν ἄνθρωπος πυνθανόμενος παρ᾽ αὐτοῦ τὴν αἰτίαν τῆς πλάνης, καὶ μαθών, ὅτι ἡ τῶν οἰκείων ἐστὶ προσπάθεια· οὐ γὰρ ἂν βόσκειν αὐτούς, ἀλλὰ ποιμαίνειν εἶπεν, εἰ μὴ πεπλανημένην εἶχεν περὶ τῆς τέχνης τὴν κρίσιν· φησὶ γὰρ πρὸς αὐτὸν ἀπήρκασιν ἐν-

βωτοῦ καὶ βασανίζονται ἀπὸ τὴν τυραννία τῆς φύσεως, σὰν νὰ πορεύωνται ἀκριβῶς πάνω σὲ γνώμονα, ἀπέκλιναν ἀπὸ τὴν εὐθεία [τὴν φυσικὴ ὁδὸ τοῦ μητρικοῦ φίλτρου], ἐπειδὴ νικήθηκαν ἀπὸ τὸν σεβασμὸ γιὰ τὴν Κιβωτό, ἡ ὁποία ἦταν τοποθετημένη ἐπάνω [τους].

76. Ἐὰν λοιπὸν οἱ ἀγελάδες ἐκεῖνες, ἐπέδειξαν αὐτὴν τὴν διάθεσι, γιατὶ δὲν πρέπει νὰ γίνῃ τὸ ἴδιο καὶ μ᾽ αὐτούς, οἱ ὁποῖοι πρόκειται νὰ σηκώνουν τὴν νοητὴ Κιβωτὸ [τῆς ἀφιερώσεως]; Ἔπρεπε μὲν λοιπὸν καὶ περισσότερο [αὐτοὶ νὰ κάνουν], γιὰ νὰ μὴν ἐλέγχεται στὰ ἀναγκαῖα ἔργα ἀπὸ τὴν ἄλογη φύσι ἡ λογική, παρ᾽ ὅτι ὑπερτερεῖ σὲ τιμή, ἐξ αἰτίας τοῦ ὅτι δὲν πράττει μὲ τὴν λογική [της], ἐκεῖνα ἀκριβῶς τὰ ὁποῖα πράττουν ἀπὸ ἀνάγκη τὰ ἄλογα [ζῷα].

77. Ἴσως μάλιστα καὶ ὁ Ἰωσήφ, γι᾽ αὐτὸ περιπλανήθηκε στὴν ἔρημον, ἐπειδὴ ὑπὸ τὸ πρόσχημα τῆς συγγενείας ἐπιζητοῦσε τὸ μέτρο τῆς τελειότητος· γι᾽ αὐτὸ ἀκριβῶς ὁ ἄνθρωπος [ἐκεῖνος], ἀφοῦ ζήτησε ἀληθινὴ πληροφορία ἀπ᾽ αὐτὸν γιὰ τὴν αἰτία τῆς περιπλανήσεώς [του], καὶ ἔμαθε, ὅτι εἶναι ἡ προσπάθεια [προσκόλλησι] πρὸς τοὺς οἰκείους [του], διότι δὲν θὰ ἔλεγε [ὁ Ἰωσήφ], ὅτι αὐτοὶ [οἱ οἰκεῖοι του] βόσκουν, ἀλλὰ [θὰ ἔλεγε] ποιμαίνουν, ἐὰν δὲν εἶχε ἐσφαλμένη τὴν κρίσι, ὅσον ἀφορᾶ τὴν τέχνη τοῦ [ποιμένος]· [ἀφοῦ ἔμαθε αὐτὰ] λέγει λοιπὸν πρὸς αὐτόν: «ἔχουν φύγει ἀπὸ

τεῦθεν· ἤκουσα γὰρ αὐτῶν λεγόντων, πορευθῶμεν εἰς Δωθαείμ[115]· Δωθαεὶμ δὲ ἑρμηνεύεται, ἔκλειψις ἱκανή· διδάσκων τὸν ἐν τοῖς περὶ τὸ σῶμα φίλοις ἔτι πλανώμενον· ὅτι οὐκ ἔστιν ἄλλως ἐπιτυχεῖν τῆς τελειότητος, μὴ ἱκανῶς ἐκλιπόντα τὴν περὶ τὰ οἰκεῖα τῆς σαρκὸς προσπάθειαν· κἂν γὰρ ἀπολίπῃ τὶ [recte: τὶς] τὴν Χαῤῥάν, ὅπερ σημαίνει τὰς αἰσθήσεις, τρῶγλαι γὰρ ἑρμηνεύονται· καὶ ἐκ τῆς κοιλάδος Χεβρῶν ἐξέλθῃ[116], τῶν ταπεινῶν ἔργων· καὶ ἐκ τῆς ἐρήμου, καθ' ἣν ἡ πλάνη γίνεται τῷ ζητοῦντι τὴν τελείωσιν· εἰς δὲ τὴν ἱκανὴν ἔκλειψιν μὴ μετοικίσηται, οὐδὲν ὄφελος αὐτῷ τῆς ματαίας ταλαιπωρίας, διὰ τὸ περὶ τὴν συγγένειαν φίλτρον ἀποσφαλλομένῳ τῆς τελειότητος. [78.] Οὐ μήν, ἀλλὰ καὶ ὁ Κύριος ἐπιτιμῶν τῇ Θεοτόκῳ Μαρίᾳ ἐν τοῖς συγγενέσιν ἀναζητούσῃ αὐτόν[117]· καὶ τὸν φιλοῦντα πατέρα ἢ μητέρα ὑπὲρ αὐτόν, ἀνάξιον ἑαυτοῦ κρίνων[118]· ἀραρότως ἔκλειψιν τῶν συγ-

ἐδῶ· διότι τοὺς ἄκουσα νὰ λέγουν: νὰ πορευθοῦμε στὴν Δωθαείμ». Δωθαεὶμ δὲ ἑρμηνεύεται, «ὁλοκληρωτικὴ ἐγκατάλειψι», διδάσκοντας ἐκεῖνον, ὁ ὁποῖος ἀκόμη περιπλανᾶται σ' ἐκεῖνα τὰ ὁποῖα [εἶναι] προσφιλῆ ὡς πρὸς τὸ σῶμα τὰ ὑλικά], ὅτι δὲν εἶναι δυνατὸν νὰ ἐπιτύχῃ μὲ διαφορετικὸ τρόπο τὴν τελειότητα, ἐὰν δὲν ἐγκαταλείψῃ ὁλοκληρωτικὰ τὴν προσπάθεια [προσκόλλησι], πρὸς ὅσα [εἶναι] συγγενῆ πρὸς τὴν σάρκα. Διότι κι ἂν ἀκόμη ἐγκατέλειψε κάποιος τὴν Χαρράν, τὸ ὁποῖο ἀκριβῶς ὑποδηλώνει τὶς αἰσθήσεις, γιατὶ «τρῶγλες» [διαβρωμένες καὶ σαθρὲς τρύπες] ἑρμηνεύονται· καὶ [ἂν] ἐξέλθῃ ἀπὸ τὴν κοιλάδα Χεβρῶν, τῶν ποταπῶν ἔργων· καὶ [ἂν ἐξέλθῃ] ἀπὸ τὴν ἔρημο, στὴν ὁποία γίνεται ἡ περιπλάνησι σ' ἐκεῖνον, ὁ ὁποῖος ἐπιζητεῖ τὴν τελειότητα· ἐὰν δὲν μετοικήσῃ στὴν «ὁλοκληρωτικὴ ἐγκατάλειψι» [στὴν Δωθαείμ], δὲν [ὑπάρχει] κανένα ὄφελος γι' αὐτὸν ἀπὸ τὴν μάταιη ταλαιπωρία [στὴν ἔρημο – στὴν μοναχικὴ ζωή], ἀφοῦ ἔχασε τὴν τελειότητα, ἕνεκα τοῦ φίλτρου [τῆς προσπάθειας-προσκολλήσεως] πρὸς τὴν συγγένεια.

78. Ὄχι μόνον, ἀλλὰ καὶ ὁ Κύριος ὁμιλώντας αὐστηρὰ στὴν Θεοτόκο Μαρία, ἐπειδὴ Τὸν ἀναζητοῦσε μεταξὺ τῶν συγγενῶν· καὶ κρίνοντας ἀνάξιό Του ἐκεῖνον ποὺ ἀγαπᾶ πατέρα ἢ μητέρα περισσότερο ἀπ' Αὐτόν, ἀσφαλῶς παραγγέλλει τὴν

γενικῶν ὑποτίθεται δεσμῶν. [79.] Μετὰ δὲ τὴν τούτων κατόρθωσιν, συμβουλευτέον αὐτοῖς, εἴ τινες εἶεν ἔτι νεωστὶ τῶν θορύβων ἀπηλλαγμένοι, ἡσυχίαν ἄγειν. Καὶ μὴ ταῖς συνεχέσι προόδοις, τὰ διὰ τῶν αἰσθήσεων ἐγγινόμενα τραύματα, τῇ διανοίᾳ ἀναξαίνειν· μηδὲ τοῖς παλαιοῖς τῶν ἁμαρτημάτων εἰδώλοις, ἐπεισφέρειν ἑτέρας μορφάς· ἀλλ᾽ ἐκκλίνειν μὲν τὴν τῶν νεαρῶν προσβολήν, ἔχειν δὲ πᾶσαν σπουδὴν πρὸς τὸ ἐξαλεῖψαι τὰς παλαιὰς φαντασίας· ἐπίπονος μὲν γὰρ τοῖς νεωστὶ ἀποτασσομένοις ἡ ἡσυχία· τότε γὰρ καιρὸν λαβοῦσα ἡ μνήμη, πᾶσαν ἀνακινεῖ τὴν ἐγκειμένην ἀκαθαρσίαν· οὐ σχολάζουσα πρότερον τοῦτο ποιεῖν, διὰ τὸ πλῆθος τῶν περισσευόντων πραγμάτων· ἔχει γὰρ μετὰ τοῦ πόνου καὶ τὸ ὠφέλιμον, ἀπαλάττουσα τὸν νοῦν τῷ χρόνῳ τῆς ὀχλήσεως τῶν μιαρῶν λογισμῶν. [80.] Εἰ γὰρ αὐτοὺς ἐκνίψασθαι πρόκειται τὴν ψυχήν, καὶ καθαρεῦσαι πάντων τῶν μολυνόντων· ἀναχωρεῖν πάντη

ἐγκατάλειψι τῶν συγγενικῶν δεσμῶν.

79. Μετὰ τὴν ἐπίτευξι αὐτῶν [τῆς ἀποταγῆς τῶν ὑπαρχόντων καὶ τῆς ἐγκαταλείψεως τῶν συγγενῶν], αὐτὸ ποὺ πρέπει νὰ ὑποδειχθῇ σ᾽ αὐτούς, ἐὰν κάποιοι ἤθελε εἶναι μόλις προσφάτως ἀπηλλαγμένοι ἀπὸ τοὺς θορύβους [ἀρχάριοι], [εἶναι] νὰ ἀσκοῦν τὴν ἡσυχία. Καὶ νὰ μὴν ἀναξαίνουν στὴν διάνοια [δηλαδὴ νὰ φέρουν συνεχῶς στὴν μνήμη], μὲ τὶς συνεχεῖς ἐξόδους [ἀπὸ τὴν Ἱ. Μονή], τὶς πληγὲς οἱ ὁποῖες προκαλοῦνται διὰ τῶν αἰσθήσεων· οὔτε νὰ προσθέτουν ἐπιπλέον στὶς παλαιὲς εἰκόνες τῶν ἁμαρτημάτων ἄλλες μορφές· ἀλλὰ νὰ ἀποφεύγουν μὲν τὴν προσβολὴ τῶν νέων εἰκόνων, νὰ συγκεντρώνουν δὲ ὅλη τὴν φροντίδα, στὸ νὰ ἐξαλείψουν τὶς παλαιὲς φαντασίες. [Εἶναι] βέβαια πράγματι ἐπίπονη ἡ ἡσυχία γιὰ ἐκείνους οἱ ὁποῖοι πρόσφατα ἔκαναν τὴν ἀποταγή τους [ἀπὸ τόν κόσμο]· διότι τότε ἀφοῦ βρῇ ἡ μνήμη κατάλληλο καιρό, ἀνακινεῖ ὅλη τὴν ἀκαθαρσία, ἡ ὁποία βρίσκεται μέσα [στὴν ψυχή]· ἐνῶ προηγουμένως δὲν εὐκαιροῦσε νὰ κάνῃ αὐτό, ἕνεκα τοῦ πλήθους τῶν ὑπερβολικῶν ἀπασχολήσεων. Ἔχει βέβαια [ἡ ἡσυχία] μαζὶ μὲ τὸν κόπο καὶ τὴν ὠφέλεια, διότι ἀπαλάσσει τὸν νοῦ, σὺν τῷ χρόνῳ, ἀπὸ τὴν ἐνόχλησι τῶν ἀκαθάρτων λογισμῶν.

80. Διότι ἐὰν προτίθενται αὐτοὶ [οἱ Μοναχοὶ] νὰ ἀποπλύνουν τελείως τὴν ψυχὴ [τους] καὶ νὰ καθαρισθοῦν ἀπὸ ὅλα ὅσα μολύνουν· ὀφείλουν νὰ ἀναχωροῦν ἐντελῶς

τῶν πραγμάτων ὀφείλουσι, δι᾽ ὧν ὁ ῥύπος αὐξάνεται· καὶ πολλὴν τῷ λογιστικῷ παρέχειν γαλήνην, καὶ μακρὰν τῶν ἐρεθιζόντων γίνεσθαι, καὶ τὰς τῶν εἰκαιοτέρων φεύγειν συνδιαιτήσεις, μόνωσιν ἀσπαζομένους, τὴν τῆς φιλοσοφίας μητέρα. Ἔστιν δὲ εὐχερὲς πάλιν τοῖς αὐτοῖς περιπεσεῖν δικτύοις, ὧν ἀπηλλάχθαι ἐνόμισαν, ὅταν ἀδεῶς τοῖς πεφυρμένοις ὄχλοις συνδιαιτᾶσθαι σπουδάζωσιν· ἀλυσιτελὲς γὰρ τῷ μετῳκισμένῳ πρὸς ἀρετήν, τὸ τοῖς αὐτοῖς χαίρειν πράγμασιν, ὧν καταγνοὺς ἀπέδρα. [81.] Ὁλκὸν γὰρ ἡ συνήθεια ὡς δέος εἶναι· μὴ τὴν ἐκ πολλῆς σπουδῆς ἐγγινομένην ἡσυχίαν, τῶν αἰσχρῶν ἐπιτηδευμάτων πάλιν ἀνακαινίσωσιν, καὶ μνήμας τῶν ἐπιλελησμένων κακῶν ἐργάσωνται. Ἔοικε γὰρ ὁ νοῦς τῶν ἔναγχος τῆς κακίας ἀναχωρησάντων, σώματι ἐκ μακρᾶς ἀρρωστίας ἀναλαμβάνειν ἀρξαμένῳ· ᾧ καὶ τυχοῦσα πρόφασις τὴν νόσον ἀναλήψεσθαι, αἰτία γίνεται, μήπω πρὸς ἰσχὺν παγέντι

ἀπὸ τὰ πράγματα, μέσῳ τῶν ὁποίων αὐξάνεται ἡ ἀκαθαρσία· καὶ νὰ παρέχουν πολλὴ γαλήνη στὸ νοῦ καὶ νὰ ἀπομακρύνωνται ἀπὸ ὅσα προκαλοῦν καὶ νὰ ἀποφεύγουν τὶς συναναστροφὲς μὲ τοὺς πιὸ ἀπρόσεκτους, ἐπιλέγοντας τὴν μόνωσι, τὴν μητέρα τῆς [ἐν Χριστῷ] φιλοσοφίας. Εἶναι δὲ εὔκολο νὰ περιπέσουν πάλι στὶς ἴδιες παγίδες, ἀπὸ τὶς ὁποῖες νόμισαν ὅτι ἀπηλλάγησαν, ὅταν σπεύδουν ἄφοβα νὰ συναναστρέφωνται μὲ τοὺς διεφθαρμένους ὄχλους. Διότι εἶναι ἀσύμφορο γιὰ ἐκεῖνον ὁ ὁποῖος μετώκησε πρὸς τὴν ἀρετὴ [δηλαδὴ ἔφυγε ἀπὸ τὸν κόσμο γιὰ τὸν μοναχικὸ βίο], τὸ νὰ χαίρεται μὲ τὰ ἴδια πράγματα, ἀπὸ τὰ ὁποῖα ἀπέδρασε, ἀφοῦ τὰ κατεδίκασε.

81. Διότι ἡ συνήθεια [εἶναι] δύναμι ἕλξεως [τόσο μεγάλη], ὥστε νὰ ὑπάρχῃ φόβος, μήπως ἀνανεώσουν πάλι τὴν κατάπαυσι τῶν αἰσχρῶν πράξεων, ἡ ὁποία εἶχε κατορθωθῆ μὲ πολὺ ἀγῶνα καὶ ἐπαναφέρουν τὶς μνῆμες τῶν ἤδη λησμονημένων κακῶν. Διότι ὁ νοῦς ἐκείνων οἱ ὁποῖοι πρόσφατα ἀνεχώρησαν ἀπὸ τὴν κακία, [ἀπὸ τὸν κόσμο] μοιάζει μὲ σῶμα, τὸ ὁποῖο ἄρχισε νὰ ἀναλαμβάνῃ [μετὰ] ἀπὸ μακροχρόνια ἀσθένεια· στὸ ὁποῖο καὶ ἡ παραμικρὴ ἀφορμή, γίνεται αἰτία νὰ ἐπανακτήσῃ [τὸ σῶμα] τὸ νόσημα, ἐπειδὴ ἀκόμη δὲν σταθεροποιήθηκε, ὅσον ἀφορᾶ τὴν ἰσχυρὴ

κραταιάν. Πλαδῶσι γὰρ καὶ τούτου οἱ νοεροὶ τόνοι καὶ κραδαίνονται· ὡς δέος εἶναι, μὴ παλινδρομῆσαι τὸ πάθος, πεφυκὸς ἐκ τῆς ἐν τοῖς ὄχλοις ἀναχύσεως διερεθίζεσθαι. [82.] Διὰ τοῦτο μένειν ἐντὸς τῶν κλισιάδων τοὺς μηδὲν παθεῖν ὑπὸ τοῦ ὀλοθρευτοῦ βουλομένους, ὁ Μωσῆς ἐκέλευσε λέγων· οὐκ ἐξελεύσεσθε ἕκαστος τὴν θύραν τοῦ οἴκου ὑμῶν, ἵνα μὴ ὁ ὀλοθρευτὴς ἅψηται ὑμῶν[119]*· καὶ ὁ Ἱερεμίας δέ, τοῦτο προστάσσειν ἔοικεν, ὅταν λέγῃ· μὴ ἐκπορεύεσθε εἰς ἀγρόν, καὶ ἐν ταῖς ὁδοῖς μὴ βαδίζετε, ὅτι ῥομφαία τῶν ἐχθρῶν παροικεῖ κυκλόθεν*[120]*. Γενναίων γὰρ ἀγωνιστῶν τὸ ὁμόσε χωρεῖν τοῖς πολεμίοις. Εἰ δέ τις εἴη τῶν οὐδ' ὅλως μάχεσθαι δυναμένων, ἀνεπηρεάστως οἴκοι μενέτω, ἀσφάλειαν ἀκίνδυνον ἐκ τῆς ἡσυχίας ἑαυτῷποριζόμενος. Τοιοῦτος ἦν Ἰησοῦς ὁ τοῦ Ναυῆ, περὶ οὗ γέγραπται· ὁ δὲ θεράπων Ἰησοῦς νέος ὤν, οὐκ ἐξεπορεύετο ἔξω τῆς σκηνῆς*[121]*· ᾔδει γὰρ τοὺς ἐπὶ τὸ πεδίον ἐκπορευομέ-*

δύναμί [του]. Διότι καὶ αὐτοῦ [τοῦ ἀρχαρίου] χαλαρώνουν καὶ οἱ νοεροὶ τόνοι καὶ κλονίζονται· ὥστε νὰ ὑπάρχῃ φόβος, μήπως [συμβῇ] νὰ ἐπιστρέψῃ τὸ πάθος, ἐπειδὴ ἔχει ἀπὸ τὴν φύσι του τὴν ἰδιότητα νὰ ἐρεθίζεται ἀπὸ τὴν ἀνάμειξί [του] μὲ τοὺς ὄχλους.

82. Γι' αὐτὸ ὁ Μωυσῆς διέταξε νὰ παραμένουν ἐντὸς τῶν πυλῶν, ἐκεῖνοι οἱ ὁποῖοι δὲν θέλουν νὰ πάθουν τίποτα ἀπὸ τὸν ὀλοθρευτὴ [ἄγγελο], λέγοντας: «δὲν θὰ βγῆτε κανεὶς ἀπὸ τὴν πόρτα τοῦ σπιτιοῦ σας, γιὰ νὰ μὴν σᾶς ἐγγίξῃ ὁ ὀλοθρευτής». Καὶ ὁ Ἱερεμίας ἐπίσης, αὐτὸ φαίνεται νὰ προστάζῃ, ὅταν λέγῃ: «μὴν βγαίνετε στὸ χωράφι καὶ μὴν βαδίζετε στοὺς δρόμους, διότι ἡ ρομφαία τῶν ἐχθρῶν βρίσκεται ὁλόγυρα». [Εἶναι] βέβαια [χαρακτηριστικὸ] τῶν γενναίων ἀγωνιστῶν, νὰ συμπλέκωνται μὲ τοὺς ἐχθρούς. Ἐὰν ὅμως ἤθελε εἶναι κάποιος ἀπὸ ἐκείνους οἱ ὁποῖοι δὲν μποροῦν καθόλου νὰ πολεμοῦν, ἃς μείνῃ κατὰ τρόπο ἀνεπηρέαστο στὸ σπίτι του, ἐξασφαλίζοντας γιὰ τὸν ἑαυτό του ἀσφάλεια ἀπὸ τὴν ἡσυχία, χωρὶς κίνδυνο. Αὐτοῦ τοῦ εἴδους ἦταν καὶ ὁ Ἰησοῦς τοῦ Ναυῆ, γιὰ τὸν ὁποῖο ἔχει γραφῆ: «ὁ δὲ θεράπων Ἰησοῦς, ἐπειδὴ ἦταν νέος, δὲν ἔβγαινε ἔξω ἀπὸ τὴν σκηνή». Διότι γνώριζε, διδασκόμενος ἀπὸ τὴν σχετικὴ μὲ τὸν Ἄβελ ἱστορία[θ'], ὅτι ἐκεῖνοι οἱ ὁποῖοι ἐξέρχονται

νους, ὑπὸ τῶν ἀδελφῶν τοῦ σώματος καὶ τῇ σαρκὶ φίλων, διὰ τὴν πρόωρον ἅμιλλαν ἀναιρουμένους, ἐκ τῆς κατὰ τὸν Ἄβελ παιδευόμενος ἱστορίας[122]· οὐχ ἥκιστα δέ, καὶ ἐκ τῶν κατὰ τὴν Δίναν[123] ἔστιν ἀκριβῶς τοῦτο μαθεῖν, ὅτι κορικῆς ὄντως καὶ γυναικώδους ἐστὶ διανοίας, τὸ τῆς ὑπὲρ τὴν οἰκείαν ἕξιν ἐγχειρεῖν, καὶ τοῖς περὶ ἑαυτῶν ὡς ἱκανῶν ὑπολήψεως ἀπατᾶσθαι. Εἰ μὴ γὰρ αὕτη προχείρως ἐπαπεδύσατο τῇ τῶν ἐγχωρίων πραγμάτων θεωρίᾳ, ὡς δυνατὴ δῆθεν, καὶ μηδ' ὅλως ἐκ τῆς τούτων θελχθῆναι τέρψεως, ἐνόμισεν, οὐκ ἂν ἀώρως τὸ κριτικὸν διεφθάρη τῆς ψυχῆς δελεασθὲν ὑπὸ τῆς τῶν αἰσθητῶν φαντασίας, οὔπω νομίμῳ, καὶ ἀνδρείῳ ὁμιλήσασα λόγῳ. [83.] Τοῦτο τὸ πάθος ἐμπολιτευόμενον εἰδὼς ὁ Θεὸς τοῖς ἀνθρώποις, τὸ τῆς οἰήσεως λέγω· καὶ βουλόμενος πρόῤῥιζον αὐτὸ τῆς ἕξεως ἀνασπᾶσαι τῆς ἡμετέρας, φησὶ πρὸς τὸν Μωϋσῆν· εὐλαβεῖς ποίησον τοὺς υἱοὺς Ἰσραὴλ[124]· ὡς τό γε προχεί-

στὸ πεδίο [τῆς μάχης] γιὰ πρόωρο ἀγῶνα, φονεύονται ἀπὸ τοὺς ἀδελφοὺς τοῦ σώματος καὶ φίλους ὡς πρὸς τὴν σάρκα. Ἀλλὰ ἰδιαιτέρως μάλιστα, καὶ ἀπὸ τὰ σχετικὰ μὲ τὴν Δείνα' εἶναι δυνατὸν νὰ μάθωμε ἀκριβῶς τοῦτο: ὅτι πράγματι, εἶναι [ἴδιον] ἐφηβικοῦ καὶ θηλυπρεποῦς φρονήματος νὰ ἐπιχειροῦν [κάποιοι κάτι], τὸ ὁποῖο ὑπερβαίνει τὴν προσωπική τους κατάστασι καὶ νὰ ἐξαπατῶνται ἐν σχέσει πρὸς τὰ τοῦ ἑαυτοῦ τους, ὅτι [δῆθεν εἶναι] ἄξια κάποιας ἐκτιμήσεως. Διότι, ἐὰν αὐτὴ δὲν ἐπιχειροῦσε ἀπερίσκεπτα τὴν παρατήρησι τῶν ἐγχωρίων πραγμάτων [τῆς πόλεως Συχέμ], ἐπειδὴ νόμισε [ὅτι εἶναι] δῆθεν δυνατὴ καὶ ὅτι ὁπωσδήποτε καθόλου δὲν θὰ δελεασθῇ ἀπὸ τὴν ἡδονὴ ἐκείνων [τῶν πραγμάτων], δὲν θὰ διεφθείρετο πρόωρα τὸ διακριτικὸ τῆς ψυχῆς [της], τὸ ὁποῖο δελεάσθηκε ἀπὸ τὴν φαντασία τῶν αἰσθητῶν, ἐπειδὴ δὲν συνοδευόταν ἀκόμη ἀπὸ τὸν σύμφωνο μὲ τὸν Νόμο [τοῦ Θεοῦ] καὶ ἀνδρεῖο [ἀντιρρητικὸ] λόγο.

83. Ἐπειδὴ ὁ Θεὸς γνωρίζει, ὅτι τὸ πάθος αὐτό, δηλαδὴ λέγω τὸ τῆς οἰήσεως [τῆς ἐπάρσεως], ἐγκαθίσταται στοὺς ἀνθρώπους καὶ θέλει νὰ τὸ ξεριζώσῃ παντελῶς ἀπὸ τὴν ζωή μας, λέγει στὸν Μωυσῆ: «νὰ καταστήσῃς εὐλαβεῖς τοὺς υἱοὺς Ἰσραήλ»· διότι τὸ νὰ ἀποδύε-

ρως τοῖς ὑπὲρ δύναμιν ἄθλοις ἐπαποδύεσθαι, ἀλλότριον εὐλαβείας ἦθος· οὐκοῦν, οὐ καταμεικτέον ἑαυτοὺς πρὸ τῆς ἕξεως πολιτικοῖς θορύβοις· ἀλλὰ πορρωτάτω φευκτέον, μακρὰν τῶν περιηχούντων ψόφων ἱστῶντας τὴν διάνοιαν. [84.] Οὔτε γὰρ μέγα ὄφελος τῶν πραγμάτων ἀναχωρήσαντας, ταῖς περὶ αὐτῶν φήμαις περικτυπεῖσθαι· καὶ τὴν πόλιν ἐκλιπόντας τῶν ἐνεργειῶν, τῇ πύλῃ, καθάπερ Λώτ, παρακαθέζεσθαι[125], τῆς ἐκεῖθεν ἀναπιμπλαμένους ταραχῆς· ἔξω δὲ κατὰ τὸν μέγαν Μωϋσῆν ἀναχωρητέον, ἵνα μὴ μόνον τὰ ἔργα, ἀλλὰ καὶ αἱ φωναὶ παύσωνται τούτων, ὥς φησιν· ὅταν ἐξέλθω τὴν πόλιν, καὶ ἐκπετάσω τὰς χεῖράς μου, αἱ φωναὶ παύσονται[126]. [85.] Τότε γὰρ ἡ ἀληθινὴ γαλήνη, ὅταν μὴ μόνον αἱ ἐνέργειαι, ἀλλὰ καὶ αἱ περὶ αὐτῶν μνῆμαι σχολάζουσαι, καιρὸν παρέχωσι τῇ ψυχῇ δυνηθῆναι τοὺς ἐσφραγισμένους τύπους ἰδεῖν, καὶ πρὸς ἕκαστον ἀγωνίσασθαι καὶ ἐκκόψαι τῆς διανοίας. Ἐπει-

ται [κανεὶς] ἀπερίσκεπτα σὲ ἀγῶνες, οἱ ὁποῖοι ὑπερβαίνουν τὴν δύναμί [του, εἶναι] ἦθος ξένο τῆς εὐλαβείας. Ἑπομένως, δὲν πρέπει ἐντελῶς νὰ ἀναμειγνύουν τοὺς ἑαυτούς τους [οἱ Μοναχοὶ] μὲ τοὺς κοσμικοὺς θορύβους, πρὶν τὴν [ἀπόκτησι μονίμου πνευματικῆς] καταστάσεως. Ἀλλὰ πρέπει νὰ φεύγουν [ὅσο τὸ δυνατὸν] μακρύτερα, κρατῶντας τὴν διάνοια μακριὰ ἀπὸ τοὺς θορύβους [τοῦ κόσμου], οἱ ὁποῖοι ἀντηχοῦν ὁλόγυρα.

84. Διότι δὲν [εἶναι κάποιο] μεγάλο ὄφελος γιὰ ἐκείνους, ἀφοῦ ἀνεχώρησαν ἀπὸ τὰ πράγματα [τοῦ κόσμου] νὰ βάλλωνται ὁλόγυρα ἀπὸ τὶς σχετικὲς μ᾽ αὐτὰ πληροφορίες. Καὶ ἀφοῦ ἐγκατέλειψαν τὴν πόλι τῶν δραστηριοτήτων [τῶν κοσμικῶν ἐνασχολήσεων], νὰ κάθωνται κοντὰ στὴν πύλη [στὸν ἀπόηχο τῆς πόλεως], ὅπως ὁ Λώτ [ια'], μολυνόμενοι ἀπὸ τὴν ταραχὴ [ποὺ προέρχεται] ἀπὸ ἐκεῖ. Πρέπει δέ, σύμφωνα μὲ τὸν μέγα Μωυσῆ, νὰ ἀναχωρήσουν ἔξω, γιὰ νὰ μὴν παύσουν μόνο τὰ ἔργα ἀλλὰ καὶ οἱ ἀπόηχοι αὐτῶν, καθὼς λέγει: «ὅταν ἐξέλθω ἀπὸ τὴν πόλι, καὶ ἁπλώσω τὰ χέρια μου, οἱ βροντὲς θὰ παύσουν» [ιβ'].

85. Τότε πράγματι, [θὰ ἐπέλθῃ στὴν ψυχὴ] ἡ ἀληθινὴ γαλήνη, ὅταν ὄχι μόνον οἱ πράξεις, ἀλλὰ καὶ οἱ σχετικὲς μ᾽ αὐτὲς μνῆμες, ἀφοῦ καταπαύσουν, θὰ παρέχουν [τὴν] εὐκαιρία στὴν ψυχή, νὰ δυνηθῇ νὰ διακρίνῃ τὰ ἀποτυπωμένα σημάδια [τῶν παθῶν] καὶ νὰ ἀγωνισθῇ μὲ τὸ καθένα [ξεχωριστὰ] καὶ νὰ [τὰ] ἐξαλείψῃ ἀπὸ τὴν διάνοια. Ἐὰν ὅμως

σερχομένων δὲ καὶ ἑτέρων μορφῶν, οὔτε τοὺς προγενομένους τύπους ἀπαλεῖψαι δυνατόν, τοῦ λογιστικοῦ τοῖς ἐπιγενομένοις προσασχολουμένου· καὶ τὸν πόνον αὐτοῖς τὸν πρὸς τὸ ἐκκόψαι τὰ πάθη, ἀνάγκη γίνεσθαι χαλεπώτερον· ἰσχὺν κτησαμένων ἐκ τῆς κατ᾽ ὀλίγον αὐξήσεως· καὶ δίκην ποταμοῦ ἀδιαστάτῳ φορᾷ, ταῖς ἐπιῤῥεούσαις φαντασίαις, τὸ διορατικὸν ἐπικλυζόντων τῆς ψυχῆς. Ὡς γὰρ οἱ ποταμοῦ ῥεῖθρον ξηρὸν ἰδεῖν θέλοντες, ἴσως τινῶν ἱστορίας ἀξίων ἐναποκειμένων, οὐδὲν ὠφελοῦσιν ἐξαντλοῦντες τὸ κατ᾽ ἐκεῖνον τὸν τόπον ὕδωρ, ἐν ᾧ τὸ ζητούμενον ἀποκεῖσθαι νομίζουσι, τοῦ κενουμένου τὴν χώραν εὐθὺς ἀναπληροῦντος τοῦ ἐπιῤῥέοντος. Ὅταν δὲ τὴν ἄνωθεν φορὰν ἀναστείλωσιν, ἀκαμάτως αὐτοῖς τὸ ἔδαφος ἀναφαίνεται· τοῦ καταλειφθέντος ὕδατος αὐτομάτως ὑποχωροῦντος, καὶ ξηρὰν αὐτοῖς παραχωροῦντος τὴν γῆν, πρὸς τὴν ποθουμένων ἱστορίαν· οὕτω καὶ τὸ κενωθῆναι καὶ τὰς ποιη-

εἰσέρχωνται ἐπιπλέον συνεχῶς καὶ ἄλλες μορφὲς [καινούργιες], δὲν [εἶναι] δυνατὸν [ἡ ψυχὴ] νὰ ἀπαλείψη τὰ προηγούμενα σημάδια [τῶν παθῶν], ἐπειδὴ τὸ λογιστικὸ ἀσχολεῖται ἐπιπλέον μὲ ἐκεῖνα [τὰ σημάδια] ποὺ ἔγιναν μετά. Καὶ εἶναι ἀνάγκη νὰ γίνεται [τότε] σ᾽ αὐτοὺς [τοὺς Μοναχούς], σκληρότερος ὁ κόπος γιὰ νὰ κόψουν τὰ πάθη, τὰ ὁποῖα ἀπέκτησαν δύναμι ἀπὸ τὴν βαθμηδὸν αὔξησι· καὶ τὰ ὁποῖα κατακλύζουν τὸ διορατικὸ τῆς ψυχῆς μὲ τὶς φαντασίες, οἱ ὁποῖες κατὰ τὸν τρόπο τοῦ ποταμοῦ, χύνονται μὲ ἀδιάκοπη ὁρμή. Διότι, ὅπως ἐκεῖνοι οἱ ὁποῖοι θέλουν νὰ δοῦν τὴν κοίτη κάποιου ποταμοῦ ξηρά, ἴσως γιὰ κάποια [πράγματα] ἄξια ἐρεύνης, τὰ ὁποῖα εἶναι ἐκεῖ τοποθετημένα, δὲν προσφέρουν καμιὰ ὠφέλεια, ἐὰν ἀντλοῦν ἔξω τὸ νερὸ [μόνο] σ᾽ ἐκεῖνο τὸ σημεῖο, στὸ ὁποῖο νομίζουν ὅτι βρίσκεται αὐτὸ τὸ ὁποῖο ἀναζητοῦν, ἐπειδὴ τὸ [νερὸ] τὸ ὁποῖο ἀδειάζεται ἀπὸ τὸν χῶρο [αὐτό], ἀμέσως ἀναπληρώνεται ἀπὸ ἐκεῖνο τὸ ὁποῖο ρέει ἀπὸ ἐπάνω. Ὅταν ὅμως ἀνακόψουν τὴ ροὴ [τοῦ νεροῦ ποὺ ἔρχεται] ἀπὸ ἐπάνω, ἀποκαλύπτεται ἄκοπα σ᾽ αὐτοὺς τὸ ἔδαφος, ἐπειδὴ τὸ νερὸ τὸ ὁποῖο δεσμεύθηκε, αὐτόματα ἀποσύρεται καὶ παραχωρεῖ ξηρὸ σ᾽ αὐτοὺς τὸ ἔδαφος, γιὰ τὴν ἔρευνα ἐκείνων τὰ ὁποῖα ἐπιθυμοῦν. Κατὰ τὸν ἴδιο τρόπο, καὶ τὸ νὰ κενωθοῦν ἀκόμη [ἀπὸ τὸν νοῦ] καὶ οἱ εἰκόνες

τικὰς τῶν παθῶν μορφάς, εὔκολον γίνεται, μηκέτι τῶν αἰσθήσεων τὰ ἔξωθεν ἐπιχορηγουσῶν· τούτων δὲ ἐπιπεμπουσῶν δίκην ῥεύματος τὰ αἰσθητά, οὐ μόνον δυσχερές, ἀλλὰ καὶ ἀδύνατον πάντῃ, καθαρεῦσαι τὸν νοῦν τῆς τοιαύτης πλημμύρας. [86.] Κἂν γὰρ μὴ ὀχλῶσι τὰ πάθη διὰ τὰς συνεχεῖς συντυχίας, καιρὸν κινήσεως οὐχ εὑρίσκοντα, ἄλλα γοῦν λεληθότως ὑποστρεφόμενα, πλέον ἁδρύνεται, τὴν ἐκ τοῦ χρόνου ἰσχὺν προσλαμβάνοντα· καὶ ὥς περ ἡ συνεχῶς πατουμένη γῆ, κἂν ἔχῃ ἀκάνθας, οὐκ ἀναδίδωσι μὲν αὐτάς· κωλύει γὰρ τὴν φύσιν ἡ τριβὴ τῶν ποδῶν· βαθείας δὲ ἐν τοῖς ταύτης κόλποις τὰς ῥίζας ἐνδιατείνουσα, εὐερνεῖς καὶ πάνυ τεθηλυίας, ὅταν, καιροῦ τοῦ συγχωροῦντος, τὴν ἀνατολὴν λάβηται, βλαστάνει· οὕτω τὰ πάθη ταῖς συνεχέσι συντυχίαις προκύπτειν εἰς φανερὸν κωλυόμενα, ἀλκιμώτερα γίνεται· καὶ ἡσυχίας εὐπορήσαντα, μετὰ πολλῆς τῆς ῥώμης ἐπιτίθενται, βαρὺν καὶ ἐπικίν-

ἐκεῖνες οἱ ὁποῖες προκαλοῦν τὰ πάθη, γίνεται εὔκολο, ἐὰν οἱ αἰσθήσεις πλέον δὲν τὸν ἐφοδιάζουν μὲ τὰ ἀπὸ ἔξω [μνῆμες, εἰκόνες πληροφορίες]. Ἐὰν ὅμως αὐτὲς [οἱ αἰσθήσεις] στέλνουν συνεχῶς [τὸ ἕνα μετὰ τὸ ἄλλο], κατὰ τὸν τρόπο τῆς ῥοῆς τὰ αἰσθητά, ὄχι μόνο εἶναι δύσκολο ἀλλὰ καὶ παντελῶς ἀδύνατον νὰ καθαρίσουν [οἱ Μοναχοὶ ἐκεῖνοι] τὸν νοῦ ἀπὸ αὐτοῦ τοῦ εἴδους τὴν πλημμύρα.

86. Διότι κι ἂν ἀκόμη δὲν ἐνοχλοῦν τὰ πάθη, ἐπειδὴ δὲν βρίσκουν χρόνο ἐκδηλώσεως λόγῳ τῶν συνεχῶν συναναστροφῶν, ἀλλὰ ὁπωσδήποτε ὅταν συγκεκαλυμμένα ἐπιστρέφουν, καθίστανται περισσότερο εὔρωστα, ἐπειδὴ προσλαμβάνουν τὴν δύναμι ἀπὸ τὸν χρόνο [χρονίζουν]. Καὶ ὅπως ἀκριβῶς ἡ γῆ, ἡ ὁποία συνεχῶς πατιέται, ἀκόμη μὲν κι ἂν ἔχῃ ἀγκάθια, δὲν τὰ ἀναβλαστάνει, διότι ἐμποδίζει τὴν βλάστησι ἡ τριβὴ τῶν ποδιῶν· παραταῦτα ἐπειδὴ διακλαδώνει μέσα στοὺς κόλπους της βαθειὲς τὶς ρίζες [τῶν ἀκανθῶν] εὐθαλεῖς καὶ πολὺ εὔρωστες, καιροῦ ἐπιτρέποντος, ὅταν ἐπιτύχῃ τὴν ἔκφυσι [νὰ βγάλῃ τὸ φύτρο ἀπὸ τὴν γῆ], βλαστάνει [τὰ ἀγκάθια]. Κατὰ τὸν ἴδιο τρόπο τὰ πάθη, ἐπειδὴ ἐμποδίζονται νὰ ἐκδηλώνωνται ἀπροκάλυπτα, ἐξ αἰτίας τῶν συνεχῶν συναναστροφῶν, γίνονται δυνατώτερα· καὶ ὅταν χορτάσουν τὴν ἡσυχία, ἐπιτίθενται μὲ πολλὴ δύναμι, κάνοντας τὸν πόλεμο βαρὺ καὶ ἐπι-

δυνον τοῖς ἐν ἀρχῇ τῆς πρὸς αὐτὰ μάχης ἀμελήσασι, ποιοῦντα τὸν πόλεμον· διὰ τοῦτο καὶ ὁ προφήτης ἐξολοθρεῦσαι σπέρμα ἐκ Βαβυλῶνος κελεύει[127], *ὡς ἔτι ἐν ταῖς τῶν αἰσθήσεων ἀποθήκαις εἰσὶν αἱ μορφαί, ἐξαφανίσαι συμβουλεύων αὐτάς· ἵνα μὴ τῇ τῆς διανοίας ἐμπεσοῦσαι γῇ, βλαστήσωσι· καὶ τοῖς λάβροις, καὶ ἀνωφελέσιν ὑετοῖς τῆς ἐπαλλήλου μελέτης ποτισθεῖσαι, πολύχουν τὸν τῆς κακίας ἐνέγκωσι καρπόν. Ἕτερος δὲ προφήτης καὶ μακαρίζει τοὺς μὴ τὴν ἀκμὴν τῶν παθῶν ἐκδεχομένους, ἀλλ᾽ αὐτῇ προσπεφυκότα τῇ θηλῇ, διαφθείροντας· μακάριος, λέγων, ὃς κρατήσει τὰ νήπιά σου, καὶ ἐδαφιεῖ πρὸς τὴν πέτραν*[128]. *Τάχα δὲ καὶ ὁ μέγας Ἰὼβ τὰ καθ᾽ ἑαυτὸν φιλοσοφῶν, τοιοῦτόν τι αἰνίσσεται· ἐν ὕδατι μὲν θάλλειν Πάπυρον καὶ Βούτομον, λέγων· στερηθεῖσαν δὲ ποταμοῦ πᾶσαν βοτάνην ξηραίνεσθαι*[129]· *καὶ τό, Μυρμηκολέων ὤλετο, παρὰ τὸ μὴ ἔχειν βοράν*[130], *τοιοῦτόν*

κίνδυνο σ᾽ αὐτοὺς ποὺ ἀμέλησαν στὴν ἀρχὴ τὸν ἀγῶνα ἐναντίον τους. Γι᾽ αὐτὸ καὶ ὁ Προφήτης [Ἱερεμίας] διατάζει νὰ ἐξολοθρεύσουν τὸ σπέρμα [ποὺ προέρχεται] ἀπὸ τὴν Βαβυλῶνα, ἐνῶ ἀκόμη εὑρίσκονται μέσα στὶς ἀποθῆκες τῶν αἰσθήσεων οἱ εἰκόνες, συμβουλεύοντας νὰ τὶς ἐξαφανίσουν· γιὰ νὰ μὴν ἀναβλαστήσουν πέφτοντας στὴν γῆ τῆς διανοίας· καὶ ἀφοῦ ποτισθοῦν μὲ τὶς καταρρακτώδεις καὶ ἀνωφελεῖς βροχὲς τῆς ἀλλεπάλληλης μέριμνας, παράξουν ἄφθονο τὸν καρπὸ τῆς κακίας. Ἄλλος δὲ Προφήτης, [ὁ Δαυΐδ], μακαρίζει ἐπιπλέον ἐκείνους, οἱ ὁποῖοι δὲν περιμένουν τὴν ἀνάπτυξι τῶν παθῶν ἀλλὰ [τὰ] ἐξολοθρεύουν, μόλις ἔχουν προσκολληθῆ σ᾽ αὐτὴ τὴν ἴδια τὴν θηλή, [ἐνῶ δηλαδὴ εἶναι νήπια]· λέγοντας: «μακάριος [εἶναι ἐκεῖνος], ὁ ὁποῖος θὰ συλλάβῃ τὰ νήπιά σου καὶ θὰ τὰ συντρίψῃ, [ἐκσφενδονίζοντάς τα πάνω] σὲ βράχο. Πιθανῶς δὲ καὶ ὁ μέγας Ἰώβ, φιλοσοφώντας τὰ σχετικὰ μὲ τὸν ἑαυτό του, κάτι τέτοιο ὑπαινίσσεται, ὅταν λέγῃ, ὅτι μέσα στὸ νερὸ εὐδοκιμεῖ ὁ πάπυρος καὶ τὸ ψαθί. [Λέγει] ἐπιπλέον, ὅτι ξηραίνεται κάθε φυτό, ἐὰν στερηθῇ τοῦ ποταμοῦ. Καὶ τὸ [ἁγιογραφικὸ ρητό]: «ὁ Μυρμηκολέων ἀφανίστηκε, ἕνεκα τοῦ ὅτι δὲν εἶχε τροφή», κάτι τέτοιο

τι σημαίνειν ἔοικε· τὸ γὰρ ἐνεδρευτικὸν τοῦ πάθους δεῖξαι θελήσας ὁ μέγας Ἰώβ, συνεξεῦρεν αὐτοῦ τὴν προσηγορίαν, ἐκ τοῦ θρασυτάτου Λέοντος, καὶ ἐκ τοῦ πάντων εὐτελεστάτου Μύρμηκος συνθεὶς τὸ ὄνομα. [87.] Αἱ μὲν γὰρ προσβολαὶ τῶν παθῶν ἀπὸ τῶν εὐτελῶν ἄρχονται φαντασιῶν, Μύρμηκος δίκην, λανθανόντως προσέρπουσαι· τὰ δὲ τελευταῖα, ἐπὶ μέγαν ἐξαίρετον ὄγκον, ὡς οὐκ ἔλαττον Λέοντος ἐπιδρομῆς τῷ παρατυχόντι παρέχειν τὸν κίνδυνον. Διὸ χρὴ τὸν ἀγωνιστήν, τότε παλαίειν πρὸς τὰ πάθη, ὅταν ὡς Μύρμηξ προσέρχωνται, δέλεαρ τὴν εὐτέλειαν προβαλλόμενα. Ἐὰν γὰρ ἐπὶ τὴν τοῦ Λέοντος φθάσωσιν ἰσχὺν προελθεῖν, δυσκαταγώνιστα γίνεται, ἢ βορὰν αὐτοῖς μὴ παρέχειν· βορὰ δὲ αὐτῶν, ὡς ἤδη πολλάκις εἴρηται, αἱ διὰ τῶν αἰσθήσεων εἰσερχόμεναι τῶν αἰσθητῶν εἰκόνες· αὗται γὰρ τρέφουσι τὰ πάθη, ἕκαστον εἴδωλον ἐκ διαδοχῆς ὁπλίζουσαι κατὰ τῆς ψυχῆς.

φαίνεται νὰ σημαίνῃ. Διότι, θέλοντας νὰ δείξῃ τὴν δολιότητα τοῦ πάθους, ὁ μέγας Ἰώβ, ὅταν συνέθεσε τὸ ὄνομα, ἐπινόησε τὴν ἐπωνυμία αὐτοῦ, συνάμα ἀπὸ τὸ τολμηρότατο λιοντάρι καὶ ἀπὸ τὸ εὐτελέστατο ἀπὸ ὅλα μυρμήγκι. 87. Διότι, οἱ μὲν προσβολὲς τῶν παθῶν ξεκινοῦν ἀπὸ τὶς ἀνάξιες λόγου φαντασίες, οἱ ὁποῖες ἕρπουν κοντά [μας] κρυφὰ ὅπως τὸ μυρμήγκι. Κατὰ τὸ τέλος δὲ [αὐξάνονται] σὲ ἐξαιρετικὰ μεγάλο μέγεθος, ὥστε νὰ παρέχουν σ᾿ ἐκεῖνον τὸν ὁποῖο συναντοῦν κίνδυνο, ὄχι μικρότερο ἀπὸ τὴν ἐπίθεσι ἑνὸς λιονταριοῦ. Γι᾿ αὐτὸ τότε πρέπει ὁ ἀγωνιστὴς νὰ παλεύῃ ἐναντίον τῶν παθῶν, ὅταν προσέρχωνται, καθὼς τὸ μυρμήγκι, προβάλλοντας ὡς δόλωμα τὴν εὐτέλεια. Διότι ἐὰν φθάσουν νὰ ἐμφανισθοῦν μὲ τὴν δύναμι τοῦ λεονταριοῦ, γίνονται δυσκολοπολέμητα, ἢ [πρέπει] νὰ μὴν τοὺς παρέχῃ τροφή. Ἡ δὲ τροφή τους, ὅπως ἤδη ἔχει εἰπωθῆ πολλὲς φορές, [εἶναι] οἱ εἰκόνες τῶν αἰσθητῶν [πραγμάτων], οἱ ὁποῖες εἰσέρχονται [στὸν νοῦ] διὰ τῶν αἰσθήσεων. Διότι αὐτὲς τρέφουν τὰ πάθη, ὁπλίζοντας ἐναντίον τῆς ψυχῆς διαδοχικὰ μία μία εἰκόνα.

[88.] Διὰ τοῦτο καὶ τῷ ναῷ τὰς δικτυωτὰς ὁ νομοθέτης κατεσκεύασε[131]*, σημαίνων, ὅτι δεῖ τοὺς ὡς ναὸν καθαρὰν τὴν αὐτῶν διάνοιαν φυλάττειν βουλομένους· καθάπερ ἐκεῖ δικτύῳ ταῖς θυρίσι πρὸς τὸ μηδὲν εἰσέρπειν τῶν ἀκαθάρτων κατεσκευάσθη, οὕτω καὶ ταῖς αἰσθήσεσι κωλύματα λογισμῶν ἐνδιαπλέκειν τὰ δυσχερῆ τῆς μελλούσης κρίσεως, ταῖς εἰσερπούσαις ἀκαθάρτοις μορφαῖς, ἀποτειχίζοντα τὴν εἴσοδον. Καὶ τάχα διὰ τοῦτο ὁ Χοζίας ἠῤῥώστησεν, ἐπειδὴ ἀπὸ τοῦ δικτυωτοῦ ἔπεσε*[132]*· τὸ γὰρ τοὺς τῆς ἀνταποδόσεως λόγους ἐν καιρῷ τῶν πειρασμῶν παραλογίσασθαι κατενεχθέντα ἐπὶ τὰς ἡδονάς, ἀπὸ τοῦ δικτυωτοῦ πεσεῖν ἐστι. Τί δὲ ταύτης τῆς ἀῤῥωστίας χαλεπώτερον; [89.] Σώματος γάρ ἐστιν ἀῤῥωστία, τὸ παρὰ φύσιν ἔχειν τῆς τῶν στοιχείων ἰσονομίας, ἐκ τῆς ἑνὸς ἐπικρατείας εἰς τὸ παρὰ φύσιν ἐπιτραπείσης· ψυχῆς δέ, τὸ ἐκκλῖναι τοῦ ὀρθοῦ λογισμοῦ, τοῖς νοσοποιοῖς, ἡττηθείσης πά-*

88. Γι᾽ αὐτὸ καὶ ὁ Νομοθέτης κατεσκεύασε στὸν Ναὸ δικτυωτὰ [πλέγματα], ὑποδεικνύοντας ὅτι πρέπει, ὅσοι θέλουν νὰ φυλάττουν τὴν διάνοιά τους καθαρὴ ὡσὰν Ναό, [νὰ κάνουν αὐτό]: ὅπως ἀκριβῶς ἐκεῖ κατασκευάσθηκε [πλέγμα] μὲ δικτυωτὸ στὰ παράθυρα, γιὰ νὰ μὴν εἰσχωρῇ ἕρποντας κανένα ἀπὸ τὰ ἀκάθαρτα, κατὰ τὸν ἴδιο τρόπο [πρέπει] νὰ τοποθετοῦν ἐνδιαμέσως στὶς αἰσθήσεις, ὡς ἐμπόδια τῶν λογισμῶν τὰ φοβερὰ τῆς μελλούσης κρίσεως, ἐπειδὴ ἐμποδίζουν τὴν εἴσοδο στὶς ἀκάθαρτες εἰκόνες, οἱ ὁποῖες εἰσχωροῦν ἕρποντας. Καὶ ἴσως γι᾽ αὐτὸ ἀρρώστησε ὁ Ὀχοζίας, ἐπειδὴ ἔπεσε ἀπὸ τὸ δικτυωτό. Διότι τὸ νὰ παραθεωρήσῃ [κανεὶς] κατὰ τὸν χρόνο τῶν πειρασμῶν τοὺς λόγους περὶ τῆς ἀνταποδόσεως [τῆς Κρίσεως τοῦ Θεοῦ], ἐνῶ βυθίστηκε στὶς ἡδονές, εἶναι [τὸ] νὰ πέσῃ ἀπὸ τὸ δικτυωτό. Καὶ τί εἶναι βαρύτερο ἀπὸ αὐτὴ τὴν ἀσθένεια;

89. Ἀσθένεια βέβαια τοῦ σώματος εἶναι ἡ παρὰ φύσιν κατάστασι τῆς ἰσορροπίας τῶν στοιχείων [του], ἕνεκα τῆς κυριαρχίας τοῦ ἑνὸς ἔναντι τῶν ἄλλων. [Ἀσθένεια] ὅμως τῆς ψυχῆς [εἶναι], τὸ νὰ παρεκκλίνῃ τοῦ ὀρθοῦ λογισμοῦ, ἐπειδὴ ἡττήθηκε ἀπὸ τὰ νοσογόνα πάθη.

θεσι. [90.] Τοιαῦτα δίκτυα τῇ ὁράσει τοῦ ἀκούειν δυναμένου διέπλεκεν ὁ Σολομών, λέγων· ὀφθαλμοί σου ὅταν ἴδωσιν ἀλλοτρίαν, τὸ στόμα σου τότε λαλήσει σκολιά[133]*· σκολιὰ λέγων, τὰ μετὰ τὴν ἁμαρτίαν ἀπαντᾶν μέλλοντα, ἐν καιρῷ τῆς ἀνταποδόσεως. Ταῦτα γὰρ λογισθέντα μετὰ τῆς προσηκούσης καταστάσεως, ἀπείργει πᾶσαν ἐπικίνδυνον τῶν ὀφθαλμῶν θεωρίαν· εἴτε δὲ καὶ τὴν κατάστασιν τοῦ λογισμοῦ ὁποίαν εἶναι δεῖ κατὰ τὸν καιρὸν ἐκεῖνον· κατάκεισαι γάρ, φησίν, ὥς περ ἐν καρδίᾳ θαλάσσης, καὶ ὡς κυβερνήτης ἐν πολλῷ κλύδωνι*[134]*. Ἐὰν γὰρ δυνηθῇ τις ἐν τῷ καιρῷ πρὸς τὴν ἐρεθίζουσαν ὄψιν μαχήσασθαι, οὕτως ἐναγώνιον ἑαυτὸν ποιήσει ταῖς ἠπειλημέναις τιμωρίαις, ὡς ὁ ἐν θαλάσσῃ χειμαζόμενος· ἀπόνως γὰρ περιέσεται τῶν παλαιόντων, μὴ αἰσθανόμενος τῶν προσφερομένων πληγῶν· ὡς εἰπεῖν, τύπτουσί με, καὶ οὐκ ἐπόνεσα· καὶ ἐνέπριζόν μοι, ἐγὼ δὲ οὐκ ᾔδειν*[135]*. Ἐκεῖνοι μὲν γὰρ ἔ-*

90. Αὐτοῦ τοῦ εἴδους τὰ δίκτυα γιὰ τὴν ὅρασι, ἐκείνου ὁ ὁποῖος δύναται νὰ ἀκούῃ [γιατὶ δὲν εἶναι ἐντελῶς μεθυσμένος ἀπὸ τὸ πάθος], διέπλεκε ὁ Σολομὼν λέγοντας: «ὅταν οἱ ὀφθαλμοί σου δοῦν [ἁμαρτωλὰ] τὴν ξένη [γυναῖκα], τότε τὸ στόμα σου θὰ πῇ [λόγια] ἄθλια». Λέγοντας «ἄθλια» [ὑπονοεῖ], ἐκεῖνα τὰ ὁποῖα πρόκειται νὰ συμβοῦν μετὰ τὴν ἁμαρτία, στὸν καιρὸ τῆς ἀνταποδόσεως. Διότι αὐτὰ [τὰ τῆς Κρίσεως], ἐὰν τὰ ἀναλογισθῇ [κανεὶς] μὲ τὴν ἁρμόζουσα [πνευματικὴ] κατάστασι, ἐμποδίζουν κάθε ἐπικίνδυνη [γιὰ ἁμαρτία] θεωρία τῶν ὀφθαλμῶν. Εἴτε [εἶναι δυνατὸν νὰ ὑπονοῇ] ἐπίσης, ποιὰ πρέπει νὰ εἶναι ἡ [πνευματικὴ] κατάστασι τοῦ λογισμοῦ στὸ καιρὸ ἐκεῖνο [τοῦ πειρασμοῦ]. Διότι λέγει [γιὰ τὸν μεθυσμένο ἀπὸ τὸ πάθος]: «εἶσαι πεσμένος, ὅπως ἀκριβῶς [ὁ ναυαγὸς] μέσα στὴν καρδιὰ τῆς θάλασσας, καὶ [εἶσαι] σὰν κυβερνήτης σὲ μεγάλη θαλασσοταραχή». Διότι, ἐὰν μπορέσῃ κάποιος νὰ πολεμήσῃ στὸν καιρὸ [τοῦ πειρασμοῦ] ἐναντίον τοῦ θεάματος τὸ ὁποῖο τὸν ἐρεθίζει, διὰ τῶν τιμωριῶν οἱ ὁποῖες ἐπαπειλήθηκαν [ἀπὸ τὸν Θεὸ γιὰ τὴν ἁμαρτία], θὰ καταστήσῃ ἔτσι ἀγωνιστικὸ τὸν ἑαυτό του, ὅπως ἐκεῖνος ὁ ὁποῖος [ἀγωνίζεται ἐπειδὴ] καταλήφθηκε ἀπὸ τρικυμία στὴν θάλασσα. Ἄκοπα βέβαια [μ᾽ αὐτὸν τὸν τρόπο] θὰ ὑπερισχύσῃ ἔναντι ἐκείνων ποὺ [τὸν] πολεμοῦν, χωρὶς νὰ αἰσθάνεται τὶς πληγές, οἱ ὁποῖες [τοῦ] καταφέρονται· ὅπως ἔλεγε [ὁ Δαυΐδ]: «μὲ χτυποῦν καὶ δὲν πόνεσα· μὲ πριόνιζαν καὶ δὲν [τὸ] γνώριζα». Διότι ἐκεῖνοι

τυπτον, φησί, καὶ ἐμπαίζειν ἐνόμιζον, ἐγὼ δὲ οὔτε τῶν πληγῶν ᾐσθανόμην, βέλη γὰρ νηπίων ἦσαν· οὐδὲ πρὸς τὰς ἀπάτας αὐτῶν ἐπεστράφην, ὡς μηδὲ ὅτι πάρεισι, προσποιούμενος. Οὕτω καὶ ὁ Δαβὶδ καταφρονῶν τῶν τοιούτων ἀντιπάλων, ἔλεγεν· ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ, οὐκ ἐγίνωσκον[136]*· οὐδὲ ὅτε προσῆλθον, φησίν, οὐδὲ ὅτε ὑπεχώρουν, αἴσθησιν ἐλάμβανον. [91.] Ὁ δὲ μηδὲ αὐτὸ τοῦτο εἰδώς, ὅτι ταῖς αἰσθήσεσι πρὸς τὰ αἰσθητὰ κοινωνία μέν ἐστι πολλή, ἀπάτη δὲ ἐκ τῆς κοινωνίας εὐχερῶς γίνεται· καὶ μὴ τὴν ἐκ τούτων βλάβην ὑφορώμενος, ἀλλ' ἀφυλάκτως αὐτῶν ἐμφορούμενος, πῶς ἐν καιρῷ τῆς ἀπάτης γνώσεται τὴν ἐπιβουλήν, μὴ προπαιδευθεὶς τὴν τούτων διάκρισιν; [92.] Ὅτι γὰρ ταῖς αἰσθήσεσι μάχη γίνεται πρὸς τὰ αἰσθητά, καὶ φόρους ἐπιτάσσουσι ταῖς ἡττημέναις αἰσθήσεσι τὰ αἰσθητά, δῆλον ἐκ τοῦ πρὸς Σοδομίτας τῶν Ἀσσυρίων πολέμου· ἱστορικῶς γὰρ ἡ Γραφή, τῶν*

βέβαια, λέγει, κτυποῦσαν καὶ νόμιζαν ὅτι [μὲ] ἐμπαίζουν, ἐγὼ δὲ οὔτε τὰ χτυπήματα αἰσθανόμουν, διότι ἦταν βέλη νηπίων· οὔτε ἔδωσα σημασία στοὺς ἐμπαιγμούς τους, ὡς νὰ προσποιοῦμαι, ὅτι δὲν εἶναι κἂν παρόντες. Κατὰ τὸν ἴδιο τρόπο καὶ ὁ Δαυΐδ, καταφρονώντας αὐτοῦ τοῦ εἴδους τοὺς ἀντιπάλους, ἔλεγε: «Ἐνῶ ἀπομακρυνόταν ὁ πονηρὸς ἀπὸ ἐμένα, ἐγὼ δὲν καταλάβαινα»· οὔτε ὅταν ἦρθαν, λέγει, οὔτε ὅταν ὑποχωροῦσαν [τὸ] ἀντιλήφθηκα.

91. Ἐκεῖνος ὅμως ὁ ὁποῖος δὲν γνωρίζει καλῶς αὐτό, ὅτι ὑπάρχει [δηλαδὴ] ἀφ' ἑνὸς μεγάλη κοινωνία τῶν αἰσθήσεων μὲ τὰ αἰσθητά, ἀφ' ἑτέρου δέ, [ὅτι] εὔκολα συντελεῖται δόλια ἐξαπάτησι ἕνεκα τῆς κοινωνίας [αὐτῆς]· καὶ ἐπειδὴ δὲν ὑποψιάζεται τὴν βλάβη ἀπ' αὐτά, ἀλλὰ ἀπρόσεκτα καταλαμβανόμενος ἀπὸ αὐτά, πῶς θὰ γνωρίσῃ κατὰ τὸν χρόνο τῆς δολίας ἐξαπατήσεως τὴν ἐπιβουλὴ [τοῦ ἐχθροῦ], ἐὰν δὲν διδαχθῇ προηγουμένως τὴν διάκρισί τους;

92. Ὅτι δηλαδὴ μὲ τὶς αἰσθήσεις γίνεται πόλεμος ἐναντίον τῶν αἰσθητῶν [πραγμάτων], καὶ ἐπιβάλλουν φόρους στὶς ἡττημένες αἰσθήσεις τὰ αἰσθητὰ [πράγματα], [εἶναι] φανερὸ ἀπὸ τὸν πόλεμο τῶν Ἀσσυρίων ἐναντίον τῶν Σοδομιτῶν. Διότι, ἱστορικῷ τῷ τρόπῳ ἡ [Ἁγία] Γραφή, παρουσιά-

τεσσάρων βασιλέων τοῦ Ἀσσυρίων ἔθνους εἰσάγει πρὸς τοὺς πέντε βασιλεῖς τοὺς περὶ Σόδομα[137]*, πρῶτον μὲν συμφωνίαν, καὶ σπονδάς, καὶ θυσίας εἰρηνικὰς ἐπὶ τὴν θάλασσαν τὴν ἁλικήν· εἶτα δουλείαν τῶν πέντε, ἐπὶ δώδεκα ἔτη· εἶτα, τῷ τρισκαιδεκάτῳ, ἀποστασίαν· ἐν δὲ τῷ τεσσαρεσκαιδεκάτῳ, πόλεμον ἐπιθεμένων τῶν τεσσάρων τοῖς πέντε, καὶ αἰχμαλώτων λαβόντων αὐτούς. Καὶ ἡ μὲν ἱστορία, ὧδε τὸ τέλος ἔχει· ἡμεῖς δὲ ἐκ τῆς ἱστορίας ταύτης παιδευόμεθα τὸ καθ᾽ ἑαυτούς, καὶ τὸν τῶν αἰσθήσεων πρὸς τὰ αἰσθητὰ διδασκόμεθα πόλεμον· ἕκαστος γὰρ ἡμῶν, ἀπὸ γεννήσεως ἄχρι τῶν δώδεκα ἐτῶν, οὔπω τὴν διάκρισιν κεκαθαρμένος, ὑποτίθησιν ἀνεξετάστως τὰς αἰσθήσεις τοῖς αἰσθητοῖς, καθάπερ δεσπόταις ὑπουργούσας πρὸς τὰ κελευόμενα· ὅρασιν μὲν γάρ, ὁρατοῖς· ἀκοὴν δέ, φωναῖς· γεῦσιν δέ, χυμοῖς· ἀτμοῖς δέ, τὴν ὄσφρησιν· ἁφὴν δέ, τοῖς αὐτὴν κινεῖν πεφυκόσιν αἰσθητοῖς· οὐδεμίαν τῶν*

ζει πρῶτον μὲν τὴν συμφωνία καὶ σπονδὲς καὶ εἰρηνικὲς θυσίες στὴν Νεκρὰ Θάλασσα τῶν τεσσάρων βασιλέων τοῦ ἔθνους τῶν Ἀσσυρίων, μὲ τοὺς πέντε βασιλεῖς [τοὺς] γύρω ἀπὸ τὰ Σόδομα· ἔπειτα [παρουσιάζει] τὴν ὑποδούλωσι τῶν πέντε [βασιλέων] γιὰ δώδεκα χρόνια· ἔπειτα, κατὰ τὸ δέκατο τρίτο [ἔτος], τὴν ἐπανάστασί [τους]· στὸ δὲ δέκατο τέταρτο [ἔτος παρουσιάζει], τὸν πόλεμο τῶν τεσσάρων [βασιλέων], οἱ ὁποῖοι ἐπετέθησαν στοὺς πέντε καὶ τοὺς συνέλαβαν αἰχμαλώτους. Καὶ ἡ μὲν ἱστορία ἐδῶ τελειώνει· ἐμεῖς ὅμως ἀπ᾽ αὐτὴν τὴν ἱστορία παίρνομε μαθήματα γιὰ τοὺς ἑαυτούς μας καὶ διδασκόμεθα τὸν πόλεμο τῶν αἰσθήσεων ἐναντίον τῶν αἰσθητῶν [πραγμάτων]. Διότι ὁ καθένας ἀπὸ ἐμᾶς, ἀπὸ τὴν γέννησί του μέχρι δώδεκα ἐτῶν, ἐπειδὴ δὲν ἔχει ἀκόμα καθαρθῆ ὡς πρὸς τὴν διάκρισι, ὑποτάσσει ἀνεξέλεγκτα τὶς αἰσθήσεις στὰ αἰσθητὰ [πράγματα], οἱ ὁποῖες [τὰ] ὑπηρετοῦν γιὰ ὅσα προστάζονται, ὅπως ἀκριβῶς τοὺς ἐξουσιαστές. Τὴν μὲν ὅρασι βέβαια [ὑποτάσσει] στὰ ὁρατὰ [πράγματα]· τὴν δὲ ἀκοὴ στούς ἤχους καὶ τὴν γεῦσι στοὺς χυμούς· τὴν δὲ ὄσφρησι στὶς ὀσμὲς καὶ τὴν ἁφὴ σ᾽ ἐκεῖνα τὰ αἰσθητά, τὰ ὁποῖα ἔχουν ἀπὸ τὴν φύσι τους τὴν ἰδιότητα νὰ τὴν ἐρεθίζουν. [Καὶ δὲν δύναται]

ἀντιλήψεων διακρῖναι κώλυσιν δυνάμενος εὑρεῖν διὰ τὴν νηπιότητα· ὅταν δὲ ὁ λογισμὸς ὑφαδρύνεσθαι μέλλῃ καὶ τῆς βλάβης ἄρξηται αἰσθάνεσθαι, ἀποστασίαν εὐθὺς ἐννοεῖ, καὶ φυγὴν τῆς τοιαύτης δουλείας. Κἂν μὲν ἰσχυρὸς γενόμενος τῷ λογισμῷ ταύτην βεβαιώσῃ τὴν γνώμην, ἐλεύθερος εἰσάπαν διαμένει, πικροὺς ἀποδράσας δεσπότας. Εἰδὲ ἀσθενεστέραν τοῦ ἐγχειρήματος ἔχει τὴν κρίσιν, πάλιν αἰχμαλώτους τὰς αἰσθήσεις προδίδωσιν, ἡττημένας τῇ τῶν αἰσθητῶν δυναστείᾳ· καὶ τὴν δουλείαν λοιπὸν τυραννικὴν ὑπομενούσας χωρίς τινος χρηστῆς ἐλπίδος. Διὰ τοῦτο γὰρ καὶ οἱ ἐν ἱστορίᾳ πέντε βασιλεῖς, ἡττηθέντες παρὰ τῶν τεσσάρων, συνελαύνονται εἰς φρέατα ἀσφάλτου· ἵνα ἡμεῖς μάθωμεν, ὅτι οἱ τοῖς αἰσθητοῖς ἡττημένοι, ὥς περ βαράθροις, ἢ φρέασιν, ἑκάστῃ αἰσθήσει τῷ κατ᾽ αὐτὴν ἐγκαταστρέφουσιν αἰσθητῷ. Μηδὲν πλέον τῶν ὁρωμένων ἐννοοῦντες λοιπόν, διὰ τὸ τοῖς γηΐνοις ἐνδῆσαι

νὰ διακρίνῃ κανέναν ἀπὸ τοὺς τρόπους ἐλέγχου [τῶν αἰσθητῶν], ἐπειδή, λόγῳ τῆς νηπιότητός [του], ἀδυνατεῖ νὰ βρῇ φραγμὸ [στὶς αἰσθήσεις]. Ὅταν ὅμως ὁ λογισμὸς πρόκειται λίγο νὰ ὡριμάσῃ καὶ ἀρχίσῃ νὰ αἰσθάνεται τὴν βλάβη, σκέπτεται ἀμέσως τὴν ἀποστασία [ἀπὸ τὰ αἰσθητὰ] καὶ τὴν ἀπόδρασι ἀπὸ μιὰ τέτοια σκλαβιά. Καὶ ἐὰν μὲν γενόμενος ἰσχυρὸς ὡς πρὸς τὸν λογισμό, σταθεροποιήσῃ αὐτὴ τὴν ἀπόφασι [καὶ τὴν κάνῃ πρᾶξι], μιὰ γιὰ πάντα παραμένει ἐλεύθερος, ἀφοῦ διέφυγε τοὺς σκληροὺς τυράννους. Ἐὰν ὅμως ἔχῃ ἀσθενέστερη τὴν ἀπόφασι ἀπὸ τὸ ἐγχείρημα, πάλι παραδίδει αἰχμάλωτες τὶς αἰσθήσεις, νικημένες ἀπὸ τὴν δυναστεία τῶν αἰσθητῶν [πραγμάτων] καὶ ἀνεχόμενες εἰς τὸ ἑξῆς τὴν τυραννικὴ σκλαβιά, χωρὶς κάποια χρηστὴ [καλὴ] ἐλπίδα. Γι᾽ αὐτὸ βέβαια καὶ οἱ πέντε βασιλεῖς στὴν ἱστορία, ἀφοῦ ἡττήθηκαν ἀπὸ τοὺς τέσσερεις, σύρονται μαζὶ μὲ βία [μέσα] στὰ πηγάδια τῆς ἀσφάλτου· γιὰ νὰ μάθωμε ἐμεῖς, ὅτι οἱ ἡττημένοι ἀπὸ τὰ αἰσθητὰ πράγματα, περιστρέφουν κάθε αἴσθησι μέσα στὸ [ἀντίστοιχο] πρὸς αὐτὴν αἰσθητὸ [πρᾶγμα], ὅπως ἀκριβῶς σὲ βάραθρα ἢ σὲ πηγάδια. [Δὲν δύνανται] νὰ ἀντιλαμβάνωνται εἰς τὸ ἑξῆς, κανένα ἀπὸ αὐτὰ τὰ ὁποῖα βλέπουν, ἕνεκα τοῦ ὅτι

τὴν ἐπιθυμίαν· καὶ τὴν ἀπόλαυσιν τῶν ἐνταῦθα πραγμάτων ἠγαπηκέναι μᾶλλον, ἢ τῶν νοητῶν. Οὕτως καὶ ὁ ἠγαπηκὼς τὸν κύριον ἑαυτοῦ δοῦλος, καὶ τὴν γυναῖκα, καὶ τὰ παιδία, τὴν ἀληθῆ παραιτούμενος ἐλευθερίαν διὰ τὴν πρὸς τὰ σωματικὰ συγγένειαν, δοῦλος αἰώνιος γίνεται μετατρυπηθεὶς τὸ οὖς ὀπητίῳ[138]· ἵνα μὴ τῇ φυσικῇ τῆς ἀκοῆς ἀκούων ὀπῇ, δέξηταί ποτε λόγον ἐλευθερίας· ἀλλὰ δοῦλος μένῃ διηνεκῶς, ἠγαπηκὼς τὰ παρόντα· διὰ τοῦτο καὶ τὴν χεῖρα τῆς ἐπιλαβομένης τῶν διδύμων γυναικός, ἐν τῷ μάχεσθαι τοὺς δύο ἄνδρας, ἀποκόπτειν ὁ νόμος ἐκέλευσεν[139]· ὅτι μάχης οὔσης τῶν λογισμῶν, περὶ τῆς αἱρέσεως τῶν κοσμικῶν, καὶ τῶν οὐρανίων ἀγαθῶν, ἀφεῖσα τὴν αἵρεσιν τῶν οὐρανίων, τῶν γενέσεως καὶ φθορᾶς ἐπεδράξατο· διὰ γὰρ τῶν γεννητικῶν, τὰ γενέσεως ἐδήλωσεν πράγματα.

[93.] Οὐδὲν οὖν ὄφελος τὸ ἀποτάξασθαι τοῖς πράγμασι, μὴ ἐπιμένοντας τῇ κρίσει, ἀλλ' ὑποσυρομένους πά-

ἔδεσαν τὴν ἐπιθυμία ἐπάνω στὰ γήινα καὶ ἔχουν ἀγαπήσει περισσότερο τὴν ἀπόλαυσι τῶν ἐδῶ πραγμάτων [τῶν αἰσθητῶν] ἀπὸ τὰ νοητά. Κατὰ τὸν ἴδιο τρόπο καὶ ὁ δοῦλος, ὁ ὁποῖος ἔχει ἀγαπήσει τὸν κύριό του καὶ τὴν γυναῖκα καὶ τὰ παιδιά [του], μὲ τὸ νὰ παραιτηθῇ ἀπὸ τὴν ἀληθινὴ ἐλευθερία ἕνεκα τῆς συγγενείας μὲ τὰ σωματικά, γίνεται αἰώνιος δοῦλος, ἀφοῦ τρυπηθῇ στὸ αὐτὶ μὲ τὸ τρυπητήρι[ιγ] · γιὰ νὰ μὴν δεχθῇ ποτὲ λόγο ἐλευθερίας, ἀφοῦ δὲν ἀκούει διὰ τοῦ φυσικοῦ πόρου τῆς ἀκοῆς· ἀλλὰ μένει διαρκῶς δοῦλος, ἐπειδὴ ἔχει ἀγαπήσει τὰ παρόντα. Γι' αὐτὸ καὶ ὁ [Μωσαϊκὸς] Νόμος διέταξε, στὴν περίπτωσι τῆς συμπλοκῆς δύο ἀνδρῶν, νὰ κόπτεται τὸ χέρι τῆς γυναίκας ἡ ὁποία ἔπιασε τὰ δίδυμα [τοῦ ἀντιπάλου τοῦ ἀνδρός της μὲ σκοπὸ νὰ τὸν ἀποδυναμώσῃ]. Ἐπειδή, ἐνῶ ὑπάρχει μάχη τῶν λογισμῶν περὶ τῆς ἐπιλογῆς τῶν κοσμικῶν καὶ τῶν οὐρανίων ἀγαθῶν, ἀφοῦ ἐγκατέλειψε τὴν ἐπιλογὴ τῶν οὐρανίων, ἅρπαξε ἐκεῖνα τῆς γεννήσεως καὶ τῆς φθορᾶς. Διὰ μέσου βέβαια τῶν γεννητικῶν, ἐδήλωσε τὰ πράγματα τῆς γεννήσεως.

93. Ἑπομένως κανένα ὄφελος [δὲν ἔχει] ἡ ἀποταγὴ τῶν [ὑλικῶν] πραγμάτων [γιὰ τοὺς Μοναχούς], ἐὰν δὲν μένουν σταθεροὶ στὴν ἀπόφασί [τους], ἀλλὰ παρασύρωνται πά-

λιν καὶ ὑπενδιδόντας τῷ λογισμῷ· καὶ διὰ τοῦ συνεχῶς ἐπὶ τὰ καταλειφθέντα στρέφεσθαι, τὴν πρὸς ἐκεῖνα κηρύσσοντας προσπάθειαν, ὡς ἡ γυνὴ τοῦ Λώτ. [94.] Ἐπιστραφεῖσα γάρ, ἕστηκεν ἕως τοῦ νῦν, ὑπόδειγμα τοῖς ἀπειθέσι, μεταβληθεῖσα εἰς στήλη ἁλός[140]· τοιοῦτον γὰρ ἡ συνήθεια, ἧς σύμβολον αὕτη, τοὺς ἀναχωρεῖν ἀμεταστρεπτὶ βουλομένους πρὸς ἑαυτὴν ἐπιστρέφουσα. Τί δὲ καὶ ὁ κελεύων νόμος τὸν εἰσερχόμενον εἰς τὸν ναόν, μετὰ τὸ τελέσαι τὰ τῆς εὐχῆς, μὴ ἐπ᾽ ἐκείνην ἀνακάμπτειν τὴν πύλην δι᾽ ἧς εἰσελήλυθεν· ἀλλὰ διὰ τῆς ἄντικρυς ἐκπορεύεσθαι, ἀνεπίστροφον τὴν κατ᾽ εὐθὺ πορείαν ποιούμενον; [95.] Ἤ, τὸ μὴ χρῆναι τὸ σύντονον τῆς ἐπὶ τὴν ἀρετὴν εὐθύτητος, ἀντιστρόφοις ἐκκλίνειν ἐνδοιασμοῖς· αἱ γὰρ συνεχεῖς πρὸς τὰ ἀφ᾽ ὧν ἐξεληλύθαμεν νεύσεις, παντελῶς ἀπὸ τῆς συνηθείας ἐπὶ τὰ ὀπίσω ἕλκουσι· καὶ τὴν ἐπὶ τὰ πρόσω χαυνώσασαι ὁρμήν, ὅλην ἀντισπῶσι, καὶ νοστῆσαι

λι καὶ ἀρχίζουν νὰ ἐνδίδουν στὸν λογισμό· καὶ μὲ τὸ νὰ στρέφωνται συνεχῶς σ᾽ ἐκεῖνα τὰ ὁποῖα ἔχουν ἐγκαταλειφθῆ, νὰ διακηρύσουν τὴν προσπάθεια πρὸς ἐκεῖνα [ποὺ ἄφησαν], ὅπως ἡ γυναῖκα τοῦ Λώτ.

94. Διότι, ἐπειδὴ στράφηκε πρὸς τὰ πίσω, ἔχει σταθῆ μέχρι σήμερα παράδειγμα γιὰ ἐκείνους, ποὺ εἶναι ἀπειθεῖς, μεταβληθεῖσα σὲ στήλη ἀπὸ ἁλάτι. Τέτοιο [πρᾶγμα εἶναι] ἡ συνήθεια, τῆς ὁποίας σύμβολο [εἶναι] αὐτὴ [ἡ γυναῖκα τοῦ Λώτ], ἐπειδὴ στρέφει πίσω πρὸς τὸν ἑαυτό της, ἐκείνους οἱ ὁποῖοι ἐπιθυμοῦν νὰ ἀναχωροῦν χωρὶς ἐπιστροφὴ [ἀπὸ τὸν κόσμο]. Τί δὲ [ὑποδηλώνει] καὶ ὁ νόμος ὁ ὁποῖος διατάζει, ἐκεῖνος ὁ ὁποῖος εἰσέρχεται στὸν Ναό, μετὰ τὴν τέλεσι ὅσων ἀφοροῦν στὴν προσευχή, νὰ μὴν ἐπανέρχεται διὰ τῆς πύλης διὰ τῆς ὁποίας ἔχει εἰσέλθη· ἀλλὰ νὰ ἐξέρχεται μέσῳ τῆς ἀπέναντι [πύλης], καθιστώντας τὴν εὐθεία πορεία χωρὶς ἐπιστροφή;

95. Ἤ, τὸ νὰ παρεκκλίνῃ [κάποιος] σὲ ἀντίθετους ἐνδοιασμοὺς [τί ἄλλο ὑποδηλώνει], παρὰ τὸ ὅτι δὲν χρησιμοποιεῖ τὸν συντονισμὸ τῆς εὐθυγραμμίσεώς [του] ἐπὶ τῆς ἀρετῆς [δὲν εἶναι εὐθυγραμμισμένος μὲ τὸν δρόμο τῆς ἀρετῆς]. Διότι οἱ συνεχεῖς συγκαταθέσεις σ᾽ ἐκεῖνα ἀπὸ τὰ ὁποῖα ἔχομε ἀποχωρήσει, [μᾶς] σύρουν, ἕνεκα τῆς συνηθείας, ἐντελῶς [πάλι] πρὸς τὰ ὀπίσω. Καὶ ἀφοῦ ἀποδυνάμωσαν τὴν ὁρμὴ πρὸς τὰ ἐμπρός, [τὴν] ἀναχαιτίζουν ὁλόκληρη καὶ [τὴν] προετοιμάζουν νὰ ἐπιστρέψῃ στὰ πα-

ἐπὶ τὰ ἀρχαῖα παρασκευάζουσι κακά· δεινὸν γὰρ ἡ συνήθεια κατασχεῖν πρὸς ἑαυτήν, καὶ μὴ συγχωρῆσαι πάλιν ἐπὶ τὴν πρώτην ἕξιν διαναστῆναι τῆς ἀρετῆς. Ἕξις μὲν γὰρ συνηθείας, ἀπὸ δὲ ἕξεως φύσις ἐγγίνεται· φύσιν δὲ μετακινῆσαι, καὶ μεταβαλεῖν, χαλεπόν. Κἂν γὰρ κλιθῇ μικρὸν βίᾳ, ταχέως πρὸς ἑαυτὴν ἀνατρέχει· σαλευομένη μὲν τῶν οἰκείων ὅρων, οὐ μέντοι εἰς τὸ παντελὲς μεταβαίνουσα, εἰ μὴ πάλιν πολὺς πόνος αὐτὴν διὰ τῆς αὐτῆς παλινδρομῆσαι παρασκευάσοι, ὡς ἐπὶ τὴν καταλειφθεῖσαν ἕξιν ἀπὸ τῆς συνηθείας ἐπανελθεῖν. **[96.]** *Ὅρα γὰρ τὴν ἐθισμοῖς ἀκολουθοῦσαν ψυχήν, πῶς εἰδώλοις ἐπικαθέζεται, προσηλώσασα ἑαυτὴν ταῖς ἀμόρφοις ὕλαις· καὶ πρὸς τὸν ἐπὶ τὰ ὑψηλότερα χειραγωγεῖν ἐθέλοντα λόγον οὐ προσιζημένη, ἀρνεῖται τὴν συνανάβασιν, λέγουσα· οὐ δύναμαι ἀναστῆναι ἐνώπιόν σου, ὅτι τὰ κατ᾽ ἐθισμὸν τῶν γυναικείων μου ἐστίν*[141]*· ἡ*

λαιὰ κακά. Διότι εἶναι φοβερὸ πρᾶγμα ἡ συνήθεια, [ἱκανὴ] νὰ μᾶς κρατήσῃ πρὸς τὸν ἑαυτόν της καὶ νὰ μὴν ἐπιτρέψῃ νὰ ἀνορθωθοῦμε πάλι στὴν πρώτη κατάστασι τῆς ἀρετῆς. Διότι ἀπὸ τὴ συνήθεια [προέρχεται] ἡ παγιωμένη κατάστασι, ἀπὸ δὲ τὴν παγιωμένη κατάστασι προέρχεται ἡ φύσι. Ἀλλὰ τὸ νὰ μετακινήσῃ καὶ νὰ μεταβάλλῃ [κανεὶς] τὴν φύσι [εἶναι] δύσκολο. Διότι καὶ ἂν μὲ τὴν βία μεταστραφῇ λίγο, γρήγορα ἐπιστρέφει στὸν ἑαυτό της. Καὶ ἐὰν μὲν σαλευθῇ [λίγο], ὅμως δὲν μετακινεῖται ἀπὸ τὰ ὅριά της οὔτε εἰς τὸ ἐλάχιστον, ἐὰν δὲν ἤθελε προετοιμάσῃ πάλι αὐτὴν [δηλαδὴ τὴν φύσι], πολὺς κόπος [ἄσκησι], γιὰ νὰ ἐπιστρέψῃ πάλι μέσῳ τῆς ἰδίας [τῆς συνηθείας], ὥστε νὰ ἐπανέλθῃ στὴν κατάστασι ἡ ὁποία ἐγκαταλείφθηκε ἀπὸ τὴν συνήθεια.

96. Διότι, πρόσεξε τὴν ψυχὴ ἡ ὁποία ἀκολουθεῖ τὶς συνήθειες, πῶς κάθεται ἐπάνω στὰ εἴδωλα, ἀφοῦ προσήλωσε τὸν ἑαυτόν της στὶς ἄμορφες ὕλες. Καὶ ἐπειδὴ δὲν ἀφοσιώνεται στὸν λόγο [ὁ ὁποῖος τῆς ἀπευθύνεται καὶ] θέλει νὰ τὴν ὁδηγήσῃ στὰ ὑψηλότερα, ἀρνεῖται τὴν ἀνάβασι μαζί του, λέγοντας [ὅπως ἡ Ραχήλ]: «δὲν μπορῶ νὰ σηκωθῶ μπροστά σου, γιατὶ [μοῦ] συμβαίνουν τὰ συνήθη τῶν γυναικῶν». Διότι

γὰρ τοῖς τοῦ βίου πράγμασιν ἐπαναπαυομένη ἀπὸ πολλοῦ χρόνου ψυχή, εἰδώλοις ἐπικαθέζεται, τοῖς ἐξ αὐτῶν μὲν ἀμόρφοις, τέχνη δὲ ἀνθρωπίνη τὴν μορφὴν δεχομένοις· ἢ γάρ, οὐκ ἄμορφον πρᾶγμα πλοῦτος, καὶ δόξα καὶ τὰ λοιπὰ τοῦ βίου πράγματα, οὐδὲν ἔχοντα τρανόν, οὐδὲ διηρθρωμένον· ὁμοιότητι δὲ εὐπαραγώγῳ ψευδόμενον τὴν ἀλήθειαν, τῷ καθ' ἑκάστην ἄλλας ἐξ ἄλλων δέχεσθαι μεταβολάς· μορφὴν δὲ περιτίθεμεν αὐτοῖς ἡμεῖς, ὅταν τοῖς πρὸς μηδὲν τῶν λυσιτελῶν χρησιμεύουσι χρησίμων φαντασίας περιπλάττωμεν διὰ τῶν ἀνθρωπίνων λογισμῶν. [97.] Ὅταν γὰρ τὴν ἀναγκαίαν τοῦ σώματος χρείαν ταῖς ἐπινοίαις εἰς ἀμήχανον πλατύνωμεν πολυτέλειαν, τὴν μὲν τροφὴν μυρίοις ἐπαρτύοντες ἡδύσμασι καὶ παραρτύοντες, τὰ δὲ ἐνδύματα πρὸς χλιδὴν καὶ θρύψιν φιλοτίμως ποικίλλοντες· εἶτα ἐγκαλούμενοι περὶ τῆς ματαιότητος ταύτης, ὡς εἰκῇ καὶ μάτην τὴν δι' ὀλίγων πληροῦσθαι δυναμέ-

ἡ ψυχή, ἡ ὁποία ἐπαναπαύεται ἐπὶ πολὺ καιρὸ στὰ πράγματα τοῦ κόσμου, κάθεται [ὅπως ἡ Ραχὴλ] ἐπάνω σὲ εἴδωλα[ιθ'], τὰ ὁποῖα [εἶναι] μὲν ἐξ ἑαυτοῦ τους χωρὶς μορφή, ὅμως δέχονται μέσῳ τῆς ἀνθρωπίνης τέχνης μορφή. Γι' αὐτὴν βέβαια [τὴν ἀνθρώπινη τέχνη] δὲν [εἶναι] ἄμορφο πρᾶγμα ὁ πλοῦτος καὶ ἡ δόξα καὶ τὰ ὑπόλοιπα τοῦ κόσμου πράγματα, τὰ ὁποῖα τίποτα τὸ σαφὲς δὲν ἔχουν, οὔτε τὸ μορφοποιημένο· ἀλλὰ [εἶναι] ψευδόμενο [πρᾶγμα] μὲ ὁμοιότητα, ποὺ ἐξαπατᾶ εὔκολα ὡς πρὸς τὴν ἀλήθεια, ἐξ αἰτίας τοῦ ὅτι δέχεται καθημερινὰ ἄλλες ἐξ ἄλλων μεταβολές. Ἐμεῖς βέβαια προσδίδομε σ' αὐτὰ μορφή, ὅταν περιπλάθωμε, μέσῳ τῶν ἀνθρωπίνων λογισμῶν, φαντασίες γιὰ [δῆθεν] χρησιμότητες, ὅσον ἀφορᾶ ἐκεῖνα τὰ ὁποῖα γιὰ κανένα ἀπὸ τὰ ὠφέλιμα [πράγματα] δὲν εἶναι χρήσιμα.

97. Διότι ὅταν τὴν ἀπαραίτητη ἀνάγκη τοῦ σώματος μὲ τὶς ἐπινοήσεις [μας, τὴν] εὐρύνωμε σὲ ἀπερίγραπτη πολυτέλεια, μὲ τὸ νὰ καρυκεύωμε καὶ νὰ ξανακαρυκεύωμε, τὴν μὲν τροφὴ μὲ μύρια ἐπιπλέον μυρωδικά, τὰ δὲ ἐνδύματα μὲ τὸ νὰ [τὰ] στολίζωμε κενόδοξα, μὲ σκοπὸ τὴν χλιδὴ καὶ τὴν ἡδυπάθεια. Ἔπειτα ὅταν κατηγορούμεθα γι' αὐτὴν τὴν ματαιότητα, ὅτι [δηλαδὴ] ἐνεργοῦμε τεχνηέντως σὰν [νὰ ἐπρόκειτο] γιὰ ἀπαραίτητες [ἀνάγκες], ἐνῷ ἄσκοπα καὶ μά-

νην χρείαν, ἁβροῖς ἀναλώμασι κομποστολοῦντες, ἀπολογίας ὡς περὶ καθηκόντων τεκταίνομεν· τί ἕτερον ἢ ταῖς ἀμόρφοις ὕλαις μορφὴν περιτιθέναι φιλονικοῦμεν; Καλῶς δὲ καὶ τό, ἐπικαθεζομένην τούτοις εἴπομεν τὴν τοιαύτην ψυχήν· ἡ γὰρ περὶ τῶν εἰρημένων τοιαύτας, παρ᾽ ἑαυτῇ τὰς κρίσεις βεβαιώσασα, προσήλωται τοῖς τῇδε πράγμασιν, ἔθει λοιπὸν καὶ οὐκ ἀληθείᾳ δουλεύουσα· καὶ τοῖς ἐθισμοῖς, ὥσπερ ἐμμήνῳ ἀκαθαρσίᾳ, τὴν τούτων μολύνουσα φύσιν. [98.] Τὸ δὲ καθέζεσθαι, ἀργίαν τῶν καλῶν, καὶ φιληδονίαν, ἡ Γραφὴ ἐνταῦθα λέγει· ἀργίαν μέν, ὅταν λέγῃ· καθημένους ἐν σκότει, καὶ σκιᾷ θανάτου[142], πεπεδημένους ἐν πτωχείᾳ καὶ σιδήρῳ[143]· τὸ σκότος γὰρ καὶ αἱ πέδαι, κωλύματα ἐργασίας εἰσί· φιληδονίαν δέ, ὅταν εἴπῃ περὶ τῶν στραφέντων τῇ καρδίᾳ εἰς Αἴγυπτον, καὶ πρὸς ἀλλήλους λεγόντων· ἐμνήσθημεν, ὅταν ἐκαθίσαμεν ἐπὶ τῶν λεβήτων τῶν κρεῶν, καὶ ἠσθίομεν κρέα εἰς πλη-

ταια ντύνομε κομψὰ μὲ πολυτελεῖς δαπάνες τὴν [ἀνθρώπινη] ἀνάγκη, ἡ ὁποία μπορεῖ νὰ ἱκανοποιηθῇ μὲ λίγα [πράγματα]· τί ἄλλο [πράττομε] παρὰ φιλονεικοῦμε, γιὰ νὰ προσδώσωμε μορφὴ στὶς ἄμορφες ὕλες; Σωστὰ ἐπομένως καὶ τὸ [ὅτι] εἴπαμε ὅτι μιὰ τέτοια ψυχὴ κάθεται ἐπάνω σ᾽ αὐτὰ [τὰ ψεύτικα εἴδωλα]. Διότι ἡ [ψυχή], ἡ ὁποία σταθεροποίησε, κατὰ τὴν ἄποψί της, αὐτοῦ τοῦ εἴδους τὶς ἐπιλογές, ὅσον ἀφορᾶ αὐτὰ τὰ ὁποῖα ἔχουν εἰπωθῆ, ἔχει προσηλωθῆ σ᾽ αὐτὰ ἀκριβῶς τὰ πράγματα, ὑπηρετώντας στὸ ἑξῆς τὶς συνήθειες καὶ ὄχι τὴν ἀλήθεια· καὶ μολύνοντας τὴν φύσι αὐτῶν [τῶν πραγμάτων] μὲ τὶς συνήθειες, ὅπως ἀκριβῶς μὲ ἔμμηνη ἀκαθαρσία.

98. Τὸ δὲ νὰ κάθεται [κανείς, τὸ] ὀνομάζει ἐδῶ ἡ [Ἁγία] Γραφὴ «ἀργία τῶν καλῶν» καὶ «φιληδονία». [Τὸ ὀνομάζει] μὲν «ἀργία», ὅταν λέγῃ: «καθισμένοι στὸ σκοτάδι καὶ στὴν σκιὰ τοῦ θανάτου, δεμένοι μὲ [τὶς στερήσεις] τῆς πτωχείας καὶ μὲ σιδερένια δεσμά». Τὸ σκοτάδι βέβαια καὶ τὰ δεσμὰ εἶναι τὰ ἐμπόδια τῆς ἐργασίας. [Τὸ ὀνομάζει] δὲ «φιληδονία», ὅταν εἶπε σχετικὰ μ᾽ ἐκείνους, οἱ ὁποῖοι μετεστράφησαν, ὡς πρὸς τὴν καρδία πρὸς τὴν Αἴγυπτο καὶ ἔλεγαν μεταξύ τους: «θυμηθήκαμε, ὅταν καθόμαστε κοντὰ στὰ καζάνια μὲ τὰ κρέατα καὶ τρώγαμε κρέατα μέ-

σμονήν[144]*· ὄντως γὰρ ἐπὶ λεβήτων καθέζονται οἱ φιλήδονοι, ὑγρᾷ καὶ ἀπαύστῳ θέρμῃ τὰς ὀρέξεις ἀνακαιόμενοι· φιληδονίας δέ, ἡ γαστριμαργία μήτηρ. [99.] Αὕτη γὰρ τίκτει φιληδονίαν, τάχα δὲ καὶ πολλὰ τῶν ἄλλων παθῶν· ἀπὸ γὰρ ταύτης, ὡς ῥίζης, ἀνατρέχουσιν εὐερνῆ τὰ λοιπὰ πάθη, καὶ κατὰ μικρὸν τῇ τεκούσῃ προσαναδενδρούμενα, οὐρανομήκεις στελεχοῦσι κακίας· φιλοχρηματία γάρ, καὶ θυμός, καὶ λύπη, γαστριμαργίας εἰσὶν ἔκγονα καὶ βλαστοί· χρεία γὰρ πρῶτον χρημάτων τῷ γαστριμάργῳ, πρὸς τὸ τὴν ἐπιθυμίαν ἀεὶ μένουσαν πληροῦν, εἰ καὶ αὕτη οὐδέποτε πληροῦται. Πρὸς δὲ τοὺς ἐμποδίζοντας τῇ τούτων κτήσει, ἀνάγκη κινεῖσθαι τὸ θυμικόν· λύπη δὲ ἐξ ἀνάγκης ἕπεται, τῷ μὴ εἰς ἔργον δι᾽ ἀσθένειαν προελθόντι θυμῷ. Καὶ γὰρ ὁ ἐπὶ τῷ στήθει, καὶ τῇ κοιλίᾳ πορευόμενος*[145]*, ὅταν μὲν ἔχῃ τὰς ποιητικὰς τῶν ἡδονῶν ὕλας, ἐπὶ γαστέρα πορεύεται· ὅταν δὲ τούτων ἀπορῇ, ἐπὶ τὸ στῆθος, ὅπου*

χρι χορτασμοῦ». Διότι πράγματι, κοντὰ στὰ καζάνια κάθονται οἱ φιλήδονοι, οἱ ὁποῖοι ἐξάπτονται ὡς πρὸς τὶς ὀρέξεις [τους], μὲ ὑγρὴ καὶ ἀδιάκοπη θερμότητα. Ἡ δὲ μητέρα τῆς φιληδονίας, [εἶναι] ἡ γαστριμαργία.

99. Διότι αὐτὴ γεννᾶ τὴν φιληδονία, ἴσως δὲ καὶ πολλὰ ἀπὸ τὰ ἄλλα πάθη. Ἀπὸ αὐτὴν βέβαια ὡς ρίζα, ἀναπτύσσονται ραγδαίως εὐθαλῆ καὶ τὰ ὑπόλοιπα πάθη καὶ σιγὰ σιγά, καθὼς ἀναπτύσσονται ἀκόμα περισσότερο ὡς δένδρα, μαζὶ μὲ τὴν μητέρα [γαστριμαργία], σχηματίζουν τὶς κακίες, ὡς οὐρανομήκεις κορμούς. Διότι ἡ φιλοχρηματία καὶ ὁ θυμὸς καὶ ἡ λύπη, εἶναι παιδιὰ καὶ βλαστοὶ τῆς γαστριμαργίας. Κατὰ πρῶτον βέβαια, [ὑπάρχει] ἀνάγκη χρημάτων στὸν γαστρίμαργο, μὲ σκοπὸ νὰ ἱκανοποιήσῃ τὴν παντοτινὰ ὑπάρχουσα ἐπιθυμία του, ἂν καὶ αὐτὴ οὐδέποτε ἱκανοποιεῖται. Ἐναντίον δὲ ἐκείνων, οἱ ὁποῖοι ἐμποδίζουν τὴν ἀπόκτησι αὐτῶν [τῶν χρημάτων], [ὑπάρχει] ἀνάγκη νὰ κινηθῇ τὸ θυμικὸ [τῆς ψυχῆς]. Ἡ λύπη βέβαια ἀκολουθεῖ ἐξ ἀνάγκης τὸν θυμό, ἐὰν [ὁ θυμὸς] δὲν φθάσῃ ἀπὸ ἀδυναμία στὸ [ἐπιθυμητὸ] ἀποτέλεσμα. Διότι κι ἐκεῖνος, ὁ ὁποῖος σέρνεται μὲ τὸ στῆθος καὶ τὴν κοιλία, ὅταν μὲν κατέχῃ τὰ ὑλικά, τὰ ὁποῖα κάνουν πρᾶξι τὶς ἡδονές, [τότε] σέρνεται μὲ τὴν γαστέρα· ὅταν ὅμως στερῆται αὐτά, [τότε σέρνεται] μὲ τὸ στῆθος, ὅπου [ἐκεῖ βρίσκε-

ὁ θυμός· οἱ γὰρ φιλήδονοι στερούμενοι τῶν ἡδονῶν, ὀργίζονται, καὶ πικραίνονται· ὅθεν ὁ μέγας Μωϋσῆς, λογεῖον ἐπιτίθησι τῷ στήθει τοῦ ἱερέως[146]· διὰ συμβόλων παραδηλῶν, ὅτι δεῖ κεκρυμμένως τὰς ὁρμὰς τοῦ θυμικοῦ πάθους ἡνιοχεῖν τῷ λογισμῷ· τὸ γὰρ λογεῖον, κρίσεως λογεῖόν ἐστι. Καὶ οὗτος μὲν λόγῳ κρατεῖ τοῦ πάθους, ἀτελὴς γάρ ἐστιν· ὁ δὲ τέλειος Μωϋσῆς, ὅλον ἀφαιρεῖ τὸ θυμικόν· οὐ γὰρ λογεῖον φέρει, ἀλλ' αὐτὸ τὸ στηθύνιον ἀφαιρεῖ· λαβὼν γὰρ φησὶ Μωϋσῆς τὸ στηθύνιον, ἀφεῖλεν αὐτὸ ἐπίθεμα ἔναντι Κυρίου[147]. Ἕτεροι δέ εἰσιν, οἳ μήτε ὅλον ἐκτεμόντες τὸν θυμόν, μήτε λόγῳ κρατοῦντες τοῦ πάθους, ἀλλὰ πόνῳ περιγενόμενοι· οὗτοι δέ εἰσιν, οἱ τὸ στηθύνιον σὺν τῷ βραχίονι ἀφαιροῦντες. Βραχίων γάρ, πόνου καὶ ἐργασίας σημεῖον. **[100.]** *Ὁμοίως δὲ καὶ τὸ ἐπὶ τῇ κοιλίᾳ πορεύεσθαι, τὴν ἡδονήν, ἀληθέστατόν ἐστι σχεδὸν γὰρ αἰτία τῶν ἡδονῶν ἐστιν αὕτη· πληρωθείσης γὰρ γαστρός,*

ται] ὁ θυμός. Διότι οἱ φιλήδονοι, ὅταν στεροῦνται τὶς ἡδονές, ὀργίζονται καὶ πικραίνονται. Γιὰ τοῦτο ὁ μέγας Μωυσῆς, τοποθετεῖ λογεῖον [ἐγκόλπιο] στὸ στῆθος τοῦ ἱερέως, ὑποδηλώνοντας μὲ σύμβολα, ὅτι πρέπει νὰ διευθύνη κρυφὰ τὶς ὁρμὲς τοῦ πάθους τοῦ θυμοῦ, μὲ τὴν λογική. Διότι τὸ λογεῖον εἶναι λογεῖον κρίσεως. Καὶ αὐτὸς μὲν [ὁ ἱερέας], συγκρατεῖ τὸ πάθος μὲ τὴν λογική, διότι εἶναι ἀτελής. Ὁ δὲ τέλειος Μωυσῆς, ἀφαιρεῖ ὁλόκληρο τὸ θυμικό. Βέβαια, δὲν φέρει λογεῖο, ἀλλὰ [κατὰ τὴν θυσία τοῦ ζώου] ἀφαιρεῖ αὐτὸ τὸ ἴδιο τὸ στῆθος. Διότι λέγει [ἡ Ἁγία Γραφή]: «ἀφοῦ ἔλαβε ὁ Μωυσῆς τὸ στῆθος, τὸ ἀφαίρεσε, ὡς ἀφιέρωμα στὸν Κύριο». Ἄλλοι βέβαια εἶναι ἐκεῖνοι, οἱ ὁποῖοι οὔτε ὁλόκληρο τὸν θυμὸ ἀπέκοψαν, οὔτε μὲ τὴν λογικὴ σκέψι κυριαρχοῦν στὸ πάθος, ἀλλὰ ὑπερέχουν μὲ τὸν κόπο. Αὐτοὶ βέβαια [ποὺ ὑπερέχουν μὲ τὸν κόπο] εἶναι ἐκεῖνοι, οἱ ὁποῖοι ἀφαιροῦν τὸ στῆθος μαζὶ μὲ τὸν βραχίονα. Διότι ὁ βραχίονας [εἶναι] σύμβολο κόπου καὶ ἐργασίας.

100. Κατὰ τὸν ἴδιο τρόπο, τὸ νὰ σέρνεται μὲ τὴν κοιλία, εἶναι ἀληθέστατο, ὅτι ὑποδηλώνει τὴν ἡδονή, διότι αὐτὴ [ἡ κοιλία], εἶναι αἰτία σχεδὸν ὅλων τῶν ἡδονῶν. Ἐπειδὴ ὅταν γεμίσῃ ἡ γαστέρα,

ὀρέξεις καὶ τῶν ἄλλων ἡδονῶν γίνονται σύντονοι· ἐνδεῶς δὲ ἐχούσης, ἠρεμαῖαι καὶ σταθερώτεραι· καὶ ἐνταῦθα δέ ἐστι διαφορὰ προκόπτοντος, καὶ τελείου. **[101.]** *Μωϋσῆς μὲν γὰρ τελείως τὴν τῶν βρωμάτων ἡδονὴν ἀποῤῥιπτόμενος, τὴν κοιλίαν καὶ τοὺς πόδας ἔπλυνεν ὕδατι*[148]*· κοιλίαν μέν, τὴν ἡδονήν· πόδας δέ, τὰς ἐπιβάσεις, καὶ προκοπὰς αἰνιττόμενος· ὁ δὲ προκόπτων, τὰ ἐν τῇ κοιλίᾳ πλύνει, οὐ τὴν κοιλίαν ὅλην. Καὶ τό, ἔπλυνε δέ· καὶ τό, πλυνοῦσι· πολλὴν ἔχει διαφοράν. Τὸ μὲν γάρ ἐστιν ἑκούσιον· τὸ δέ, ἐκ προστάξεως περιγενόμενον. Δεῖ γάρ, τὸν μὲν τέλειον, αὐτοκελεύστῳ προθυμίᾳ πρὸς τὰς κατ᾽ ἀρετὴν κινεῖσθαι πράξεις· τὸν δὲ προκόπτοντα, παραινέσει τοῦ ἡγουμένου πειθόμενον· σφόδρα δὲ παρατετηρημένως· τὸ μὲν στηθύνιον ὅλον ἀφαιρεῖ, τὴν δὲ κοιλίαν οὐκ ἀφαιρεῖ, πλύνει δέ. Ὁ γὰρ σοφός, ὅλον μὲν τὸν θυμὸν ἰσχύει παραιτήσασθαι, καὶ ἀποκόψαι· τὴν δὲ κοιλίαν*

γίνονται ἔντονες οἱ ὀρέξεις καὶ τῶν ἄλλων ἡδονῶν. Ἐὰν ὅμως εἶναι στερημένη, [γίνονται] ἤρεμες καὶ πιὸ ἥσυχες. Καὶ ἐδῶ ἀκριβῶς βρίσκεται ἡ διαφορὰ μεταξὺ ἐκείνου, ὁ ὁποῖος προοδεύει καὶ τοῦ τελείου. 101. Διότι ὁ μὲν Μωυσῆς, καθαρίζοντας τὸν ἑαυτό του τελείως ἀπὸ τὴν ἡδονὴ τῶν φαγητῶν, ἔπλυνε τὴν κοιλία καὶ τὰ πόδια [τοῦ ζώου μετὰ τὴν θυσία] μὲ νερό, μὲ τὴν κοιλία μὲν ὑπαινισσόμενος τὴν ἡδονή, μὲ τὰ πόδια δὲ τὶς ἀναβάσεις καὶ τὶς προόδους [στὴν ἀρετή]. Ἐκεῖνος δὲ ὁ ὁποῖος προοδεύει, πλένει ὅσα [εἶναι] μέσα στὴν κοιλία, ὄχι ὁλόκληρη τὴν κοιλία. Καὶ τὸ «ἔπλυνε» βέβαια καὶ τὸ «θὰ πλύνουν» ἔχει μεγάλη διαφορά. Διότι τὸ μὲν [ἕνα] εἶναι ἑκούσιο· τὸ δὲ [ἄλλο εἶναι] ἐκεῖνο τὸ ὁποῖο ὑπερέβη λόγῳ προσταγῆς. Διότι πρέπει ὁ μὲν τέλειος, νὰ κινῆται πρὸς τὶς πράξεις [τὶς] σύμφωνες μὲ τὴν ἀρετὴ μὲ προσωπική του βούλησι. Ἐκεῖνος δέ, ὁ ὁποῖος προοδεύει [δὲν εἶναι τέλειος, ἀλλὰ βρίσκεται στὴν πορεία πρὸς τὴν τελειότητα], νὰ πείθεται στὴν παραίνεσι τοῦ Ἡγουμένου· ὅμως μὲ πάρα πολλὴ ἀκρίβεια. Τὸ μὲν στῆθος [τὸ] ἀφαιρεῖ ὁλόκληρο, τὴν δὲ κοιλία δὲν [τὴν] ἀφαιρεῖ, ἀλλὰ τὴν πλένει. Διότι ὁ [κατὰ Θεὸν] σοφός, ἔχει τὴν δύναμι νὰ λάβῃ ὁλόκληρο τὸν θυμὸ καὶ νὰ τὸν ἀποκόψῃ. Τὴν κοιλία ὅμως,

*ἐκτεμεῖν ἀδυνατεῖ· τοῖς γὰρ ἀναγκαίοις σιτίοις ἡ φύσις βιάζεσθαι χρῆσθαι καὶ τὸν ἐγκρατέστατον· τῆς δὲ μὴ στοιχούσης τῷ ὀρθῷ καὶ μονίμῳ λόγῳ ψυχῆς, ἀλλὰ μοιχικαῖς φθαρείσης ἡδοναῖς, διὰ τοῦτο πίμπραται ἡ κοιλία· ἐπειδὴ κἂν αἱ τοῦ σώματος ὑπερπλήθωσι δεξαμεναί, μένει διψαλέα ἡ ἐπιθυμία· ἀκολουθεῖ δέ, τῷ πρησθῆναι τὴν κοιλίαν, τὸ διαπεσεῖν τὸν μηρόν[149]· ἀτονεῖ γὰρ ἡ διάνοια πρὸς τὴν τῶν καλῶν γένεσιν, φλεγμαινούσης γαστρὸς ἐκ τῆς τῶν βρωμάτων πολυτελείας, καὶ τοὺς πνευματικοὺς παραλύεται πόνους· τούτους γὰρ διὰ τοῦ μηροῦ, ὁ νομικὸς ᾐνίξατο λόγος. **[102.]** Οὐκοῦν ὁ μὲν φιλήδονος ἐπὶ κοιλίαν πορεύεται, ὅλος ἐπὶ τὰς ἀπολαυστικὰς καταῤῥέπων ἡδονάς· ὁ δὲ ἀρχόμενος τοῦ κατ᾽ ἀρετὴν βίου, τὸ στέαρ τῆς κοιλίας περιαιρεῖ, τὰς πιαινούσας τὸ σῶμα παραιτούμενος τροφάς· ὁ δὲ προκόπτων, τὰ ἐν τῇ κοιλίᾳ πλύνει· ὁ δὲ τέλειος, ὅλην ἐκπλύνει τὴν κοιλίαν, τὰ περιττὰ τῆς ἀναγκαίας*

ἀδυνατεῖ νὰ [τὴν] ἀποκόψῃ. Διότι ἡ φύσι [κάνει] καὶ τὸν πλέον ἐγκρατῆ, νὰ ἐξαναγκάζεται νὰ χρησιμοποιῇ τὴν ἀναγκαία διατροφή. Ὅσον ἀφορᾶ δὲ τὴν ψυχή, ἡ ὁποία δὲν ἀκολουθεῖ τὴν ὀρθὴ καὶ μόνιμη λογική, ἀλλὰ διεφθάρη μὲ τὶς μοιχικὲς ἡδονές [ιε΄], γιὰ τοῦτο φλέγεται ἡ κοιλία· ἐπειδὴ ἀκόμη κι ἂν εἶναι γεμάτες οἱ δεξαμενὲς τοῦ σώματος, ἡ ἐπιθυμία παραμένει διψασμένη. Στὸ πρήξιμο τῆς κοιλίας ἐπακολουθεῖ τὸ σάπισμα τοῦ μηροῦ. Διότι ἡ διάνοια ἀτονεῖ, γιὰ τὴν γέννησι τῶν καλῶν, ὅταν φλέγεται ἡ κοιλία ἀπὸ τὴν πολυτέλεια τῶν τροφῶν καὶ παραλύῃ γιὰ τοὺς πνευματικοὺς κόπους. Διότι διὰ τοῦ μηροῦ, αὐτοὺς συνήθως ὑπονοεῖ, ὁ λόγος τῆς Παλαιᾶς Διαθήκης.

102. Ἑπομένως, ὁ μὲν φιλήδονος σέρνεται μὲ τὴν κοιλία, ἀφοῦ στρέφεται ὁλόκληρος στὶς ἀπολαυστικὲς ἡδονές· ἐκεῖνος δέ, ὁ ὁποῖος ἀρχίζει τὸν σύμφωνο μὲ τὴν ἀρετὴ τρόπο ζωῆς, ἀφαιρεῖ τὸ λίπος τῆς κοιλίας, ἀποφεύγοντας τὶς τροφές, οἱ ὁποῖες παχαίνουν τὸ σῶμα. Ἐκεῖνος δὲ ὁ ὁποῖος προοδεύει, πλένει ὅσα [εἶναι] μέσα στὴν κοιλία. Ὁ δὲ τέλειος, ὁλόκληρη τὴν κοιλία ξεπλένει, ἀπορρίπτοντας ἐντελῶς ὅσα [εἶναι]

χρείας[150] παντελῶς ἀποῤῥιπτόμενος. Πάνυ δὲ προσφυῶς τῷ ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πρόσκειται, τό, πορεύσῃ· ἡ γὰρ ἡδονή, οὐ τῶν ἱσταμένων καὶ ἠρεμούντων· ἀλλὰ τῶν κινουμένων καὶ ταραχῆς γεμόντων ἐστί· μᾶλλον δὲ πρὸ τούτων γαστριμαργίᾳ συγγενέστερον, ἡ τῶν ἀφροδισίων κίνησις· παρ' ὃ καὶ ἡ φύσις τὴν οἰκειότητα τούτων δεῖξαι βουλομένη τῶν παθῶν, ὑπογάστρια τὰ συνουσιαστικὰ τέθεικεν ὄργανα, ἐκ τῆς ἐγγύτητος τὴν ἀγχιστείαν σημαίνουσα. ***[103.]*** *Ἐάν τε γὰρ ἀσθενῇ τοῦτο τὸ πάθος, ἐκ τῆς τοῦ ὑπερκειμένου ἐνδείας ἀσθενεῖ· ἐάν τε σφριγᾷ καὶ διακεκίνηται, ἐκεῖθεν ἐπιχορηγούμενον ἔχει τὴν δύναμιν.* ***[104.]*** *Οὐ μόνον δὲ τούτων, γαστριμαργία τιθηνός ἐστι καὶ τροφός, ἀλλὰ καὶ πάντων τῶν καλῶν καθαιρετικὴ πέφυκε. Κρατούσης γὰρ ταύτης καὶ τὴν ἀρχὴν ἀνημμένης, πίπτειν καὶ καθαιρεῖσθαι τὰ καλὰ πέφυκεν· ἐγκράτεια, σωφροσύνη, ἀνδρεία, καρτερία, καὶ αἱ λοιπαὶ πᾶ-*

περιττά, γιὰ τὴν ἀναπόφευκτη ἀνάγκη [τοῦ σώματος]. Πολὺ δὲ προσφυῶς, τοποθετεῖται δίπλα στὸ «μὲ τὸ στῆθος καὶ τὴν κοιλία», τὸ «νὰ σέρνεσαι»· διότι ἡ ἡδονὴ δὲν εἶναι [ἴδιον] ἐκείνων, οἱ ὁποῖοι στέκονται καὶ ἡσυχάζουν, ἀλλὰ ἐκείνων οἱ ὁποῖοι μεταβάλλονται καὶ εἶναι γεμάτοι ταραχή. Ἀπὸ αὐτὰ [δηλαδὴ τὰ πάθη], στὴν γαστριμαργία μᾶλλον πιὸ συγγενὲς [πάθος εἶναι] ἡ κίνησι τῶν σαρκικῶν ἡδονῶν. Ἕνεκα τούτου, θέλοντας καὶ ἡ φύσι νὰ δείξῃ τὴν συγγένεια αὐτῶν τῶν παθῶν, ἔχει τοποθετήσει τὰ γεννητικὰ ὄργανα κάτω ἀπὸ τὴν γαστέρα, γιὰ νὰ φανερώσῃ μὲ τὴν ἐγγύτητα τὴν στενὴ συγγένεια.

103. Διότι ἐὰν εἶναι ἀδύνατο αὐτὸ τὸ πάθος, εἶναι ἀδύνατο, ἐξ αἰτίας τῆς στερήσεως ἐκείνου, ποὺ βρίσκεται ὑπεράνω [δηλαδὴ τῆς κοιλίας]. Καὶ ἐὰν εἶναι ἰσχυρὸ καὶ ἔχῃ μεγάλη κίνησι, ἔχει πάρει τὴν δύναμι, ἐπιχορηγούμενο ἀπὸ ἐκεῖ.

104. Ἡ γαστριμαργία ὅμως, δὲν εἶναι μόνο αὐτῶν [τῶν παθῶν] ἐπιμελητὴς καὶ τροφός, ἀλλὰ εἶναι ἀπὸ τὴν φύσι της καταστρεπτικὴ ὅλων τῶν καλῶν. Διότι, ὅταν [αὐτὴ] δεσπόζῃ καὶ [τῆς] ἔχῃ ἀποδοθῇ ἡ ἐξουσία, προξενεῖ ἀπὸ τὴν φύσι της νὰ ἐκπίπτουν καὶ νὰ ἀφανίζωνται τὰ καλά, ἡ ἐγκράτεια, ἡ σωφροσύνη, ἡ ἀνδρεία, ἡ καρτερία καὶ ὅλες οἱ ὑ-

σαι ἀρεταί. Τοῦτο γὰρ αἰνιγματωδῶς ὁ Ἰερεμίας ἐδήλωσεν, εἰπών· ὅτι καθεῖλε κύκλῳ τὸ τεῖχος Ἰερουσαλήμ, ὁ ἀρχιμάγειρος τῶν Βαβυλωνίων[151]*· τὸ τῆς γαστριμαργίας πάθος, ἀρχιμάγειρον προσειπών. Ὡς γὰρ ὁ ἀρχιμάγειρος πᾶσαν ἔχει σπουδὴν γαστέρα θεραπεῦσαι, καὶ τέχνας ἐπινοεῖ, μυρίας ἡδονὰς δημιουργῶν· οὕτως ἡ γαστριμαργία πᾶσαν κινεῖ μηχανήν, ὑπηρετοῦσα τῇ κατὰ τὸν λαιμὸν ἡδονῇ· καθαιρεῖ δὲ καὶ ἐδαφίζει τὴν ὀχυρότητα τῶν ἀρετῶν, ἡ τῶν βρωμάτων ποικιλία. Τὰ γὰρ ἡδύσματα καὶ παραρτύματα, τῆς ἤδη καλῶς ἐστηριγμένης ἀρετῆς, μηχανήματα καὶ ἑλεπόλεις γίνονται, τὸ πάγιον αὐτῆς καὶ βέβαιον εἰς γῆν κατασείοντα καὶ καταβάλλοντα. [105.] Ὡς δὲ ἡ πολυτέλεια καθαιρετική ἐστι τῶν ἀρετῶν, οὕτω πάλιν καὶ ἡ εὐτέλεια τὰ τῆς κακίας ὀχυρώματα καταλύειν πέφυκεν. Ὥς περ γὰρ τὸ τεῖχος Ἰερουσαλήμ, τῆς εἰρηνικῆς ψυχῆς, ὁ τῶν Βαβυλωνίων καθεῖλεν ἀρχιμάγειρος, τὰς ἡδονὰς τῆς*

πόλοιπες ἀρετές. Αὐτὸ βέβαια ἀπέδειξε αἰνιγματικὰ ὁ Ἱερεμίας, ὅταν εἶπε, ὅτι γκρέμισε ὁλόγυρα τὸ τεῖχος τῆς Ἱερουσαλὴμ ὁ ἀρχιμάγειρος τῶν Βαβυλωνίων, ἀποκαλώντας τὸ πάθος τῆς γαστριμαργίας ἀρχιμάγειρο. Διότι, ὅπως ὁ ἀρχιμάγειρος συγκεντρώνει ὅλη τὴν ἐπιμέλειά του γιὰ νὰ ὑπηρετήσῃ τὴν γαστέρα καὶ ἐπινοεῖ κατασκευάσματα γιὰ νὰ δημιουργήσῃ μύριες ἀπολαύσεις· κατὰ τὸν ἴδιο τρόπο ἡ γαστριμαργία, ὑποκινεῖ κάθε τέχνασμα, γιὰ νὰ ὑπηρετήσῃ τὴν ἡδονὴ στὸν λαιμό. Ἀφανίζει δὲ καὶ κατεδαφίζει τὴν δύναμι ἀντιστάσεως τῶν ἀρετῶν, ἡ ποικιλία τῶν φαγητῶν. Διότι τὰ μυρωδικὰ καὶ καρυκεύματα γίνονται, τῆς ἕως τώρα καλὰ ἑδραιωμένης ἀρετῆς, τεχνάσματα καὶ πολιορκητικὲς μηχανές, οἱ ὁποῖες διασαλεύουν καὶ γκρεμίζουν τὴν στέρεη καὶ ἀδιασάλευτη [κατάστασί] της.

105. Ὅπως δὲ ἡ πολυτέλεια, εἶναι καταστρεπτικὴ τῶν ἀρετῶν, κατὰ τὸν ἴδιο τρόπο πάλι καὶ ἡ λιτότητα, ἔχει ἀπὸ τὴν φύσι της τὴν ἱκανότητα, νὰ καταστρέφῃ τὰ ὀχυρώματα τῆς κακίας. Διότι ὅπως ἀκριβῶς τὸ τεῖχος τῆς Ἱερουσαλήμ, τῆς εἰρηνικῆς ψυχῆς, γκρέμισε ὁ ἀρχιμάγειρος τῶν Βαβυλωνίων, μὲ τὸ νὰ ἐξαπλώσῃ διὰ τῆς μαγειρικῆς τέχνης

σαρκὸς τῇ ὀψαρτυκῇ προσαναῤῥήξας τέχνῃ· οὕτω καὶ μαγὶς ἄρτου κριθίνου τῶν Ἰσραηλιτῶν κυλιομένη, τὰς σκηνὰς κατέβαλε τῶν Μαδιανιτῶν[152]*. Ἡ γὰρ εὐτελὴς δίαιτα κυλιομένη καὶ προκόπτουσα ἐπὶ πολύ, καταλύει τὰ τῆς πορνείας παθήματα· Μαδιανῖται γάρ, τῶν τῆς πορνείας παθῶν φέρουσι σύμβολον· οὗτοί γάρ εἰσιν οἱ τὰς πορνείας ἐπαγαγόντες τῷ Ἰσραὴλ*[153] *καὶ πολὺ πλῆθος ἀπατήσαντες τῶν νέων. Πάνυ δὲ προσφυῶς, σκηνὰς μὲν ἔχειν ἡ Γραφὴ τοὺς Μαδιανίτας, τεῖχος δὲ τὴν Ἱερουσαλήμ· πάντα γὰρ τὰ περιέχοντα τὴν ἀρετήν, ἐρηρεισμένα καὶ βέβαια· τὰ δὲ τὴν κακίαν συνέχοντα, σχῆμά ἐστι καὶ σκηνή, φαντασίας οὐδὲν διαφέροντα. [106.] Διὰ τοῦτο τὰς πόλεις ἔφευγον οἱ ἅγιοι, καὶ τὰς συντυχίας ἐξετρέποντο τῶν πολλῶν· μᾶλλον δὲ λοιμικῆς νόσου, φθοροποιὸν εἰδότες τὴν τῶν διεφθαρμένων ἀνθρώπων συνδιαίτησιν· διὰ τοῦτο μηδὲν λαμβάνοντες, μηλοβότους τὰς κτήσεις ἠφίεσαν,*

ἀκόμη περισσότερο τὶς ἡδονὲς τῆς σαρκός, κατὰ τὸν ἴδιο τρόπο καὶ ἕνα κομμάτι κρίθινο ψωμί, καθὼς ἐκυλίετο, κατέστρεψε τὶς σκηνὲς τῶν Μαδιανιτῶν[ιϛ]. Διότι ἡ λιτὴ δίαιτα, ὅταν γίνεται κατ᾽ ἐπανάληψι καὶ εὐδοκιμῇ γιὰ μεγάλο διάστημα, παύει τὰ παθήματα τῆς πορνείας. Οἱ Μαδιανῖτες βέβαια εἶναι τὸ σύμβολο τῶν παθῶν τῆς πορνείας, διότι αὐτοὶ εἶναι ἐκεῖνοι οἱ ὁποῖοι εἰσήγαγαν τὶς πορνεῖες στὸν Ἰσραήλ, καὶ ἐξαπάτησαν μεγάλο πλῆθος νέων. Πολὺ δὲ προσφυῶς ἡ [Ἁγία] Γραφὴ [λέγει], ὅτι οἱ μὲν Μαδιανῖτες ἔχουν σκηνές, ἡ δὲ Ἱερουσαλὴμ τεῖχος. Διότι ὅλα ὅσα ἐμπεριέχουν τὴν ἀρετή, εἶναι σταθερὰ καὶ σίγουρα· ἐνῷ ἐκεῖνα τὰ ὁποῖα συγκροτοῦν τὴν κακία, εἶναι σχῆμα [κούφιο, χωρὶς ἐσωτερικὸ περιεχόμενο] καὶ [θεατρικὴ] σκηνή, ἀφοῦ τίποτα δὲν διαφέρουν ἀπὸ τὴν φαντασία.

106. Γι᾽ αὐτὸ οἱ ἅγιοι ἔφευγαν ἀπὸ τὶς πόλεις καὶ ἀπέφευγαν τὶς συναναστροφὲς μὲ πολλούς, ἐπειδὴ γνώριζαν, ὅτι ἡ συναναστροφὴ μὲ διεφθαρμένους ἀνθρώπους, [εἶναι] πιὸ ὀλέθρια ἀπὸ μολυσματικὴ ἀσθένεια. Γι᾽ αὐτό, χωρὶς τίποτα νὰ πάρουν, ἄφηναν τὰ κτήματά τους ἀκαλλιέργητα βοσκοτόπια,

τὸν ἐκ τούτων περισπασμὸν παραιτούμενοι. [107.] Διὰ τοῦτο ὁ μὲν Ἠλίας καταλιπὼν τὴν Ἰουδαίαν, ᾤκει τὸ Καρμήλιον ὄρος[154], ἔρημόντε καὶ θηρίων πεπληρωμένον· καὶ πλὴν τῶν δένδρων, εἰς παραμύθιον τροφῆς ἔχον οὐδέν· ἠρκεῖτο οὖν τοῖς ἀκροδρύοις τούτων, τὴν ἀνάγκην τῆς φύσεως πληροφορῶν. Ὁ δὲ Ἐλισσαῖος, ὁμοίως τὴν αὐτὴν εἶχε διαγωγήν, μετὰ τῶν ἄλλων καλῶν καὶ τὸ ταῖς ἐρήμοις ἐμφιλοχωρεῖν, παρὰ τοῦ διδασκάλου διαδεξάμενος[155]. [108.] Καὶ Ἰωάννης δὲ τὴν ἔρημον οἰκῶν τοῦ Ἰορδάνου, ἀκρίδας ἤσθιε, καὶ μέλι ἄγριον[156]· δεικνὺς τοῖς πολλοῖς τὸ ἀταλαίπωρον τῆς χρείας τοῦ σώματος, καὶ ὀνειδίζων αὐτοῖς τὴν πεφροντισμένην ἀπόλαυσιν. [109.] Τάχα δὲ καὶ καθολικῶς τοιοῦτον ὁ Μωϋσῆς τίθησι νόμον, τὸ περὶ τοῦ Μάννα τοῖς Ἰσραηλίταις παραγγέλλων, τὸ τῆς ἡμέρας εἰς ἡμέραν συνάγειν μόνον[157]· ἐφήμερον κεκρυμμένως κελεύων εἶναι τὸν ἀνθρώπινον βίον,

ἀποφεύγοντας τὸν περισπασμὸ ἀπ᾿ αὐτά.

107. Γι᾿ αὐτὸ καὶ ὁ μὲν Ἠλίας, ἀφοῦ ἐγκατέλειψε τὴν Ἰουδαία, κατοικοῦσε στὸ ἔρημο καὶ συνάμα γεμάτο θηρία Καρμήλιο ὄρος, τὸ ὁποῖο τίποτα [ἄλλο] δὲν ἔχει γιὰ ἀνακούφισι τῆς [ἐκεῖ] διαβιώσεως, ἐκτὸς ἀπὸ τὰ δένδρα. Ἀρκεῖτο λοιπὸν στοὺς καρποὺς τους, γιὰ νὰ ἱκανοποιήσῃ τὴν ἀνάγκη τῆς φύσεως. Ὁ δὲ Ἐλισσαῖος ὁμοίως, εἶχε τὸν ἴδιο τρόπο ζωῆς, καθὼς παρέλαβε ἀπὸ τὸν διδάσκαλό [του], μαζὶ μὲ τὰ ἄλλα καλὰ καὶ τὸ νὰ ἀγαπᾷ νὰ κατοικῇ στὶς ἐρήμους.

108. Καὶ ὁ Ἰωάννης βέβαια, ὅταν κατοικοῦσε τὴν ἔρημο τοῦ Ἰορδάνου, ἔτρωγε ἀκρίδες καὶ ἄγριο μέλι, δείχνοντας στοὺς πολλοὺς τὴν χωρὶς ταλαιπωρίες [ἱκανοποίησι] τῆς ἀνάγκης τοῦ σώματος καὶ ἐλέγχοντας αὐτοὺς γιὰ τὴν πολυμέριμνη ἀπόλαυσι.

109. Ἴσως δὲ καὶ ὁ Μωυσῆς, γενικῶς ὁρίζει αὐτοῦ τοῦ εἴδους τὸν νόμο στοὺς Ἰσραηλίτες, σχετικὰ μὲ τὸ «μάννα», μὲ τὸ νὰ παραγγέλλῃ τὴν συλλογὴ μόνο μιᾶς ἡμέρας, μέχρι τὴν [ἄλλη] ἡμέρα, προστάζοντας μυστικά, νὰ μὴν εἶναι τὰ πρὸς τὸ ζῆν μέσα τοῦ ἀνθρώπου

*καὶ οὐκ ἐμπαράσκευον· πρέπειν ἡγούμενος τοῦτο λογικῇ φύσει, τὸ ἀρκεσθέντας τοῖς παρατυχοῦσι, τῶν λοιπῶν ταμίαν ὁμολογῆσαι τὸν Θεόν· ἢ πρόνοιαν τῶν ἔμπροσθεν ποιουμένους, τῷ δοκεῖν, ἀπιστεῖν ταῖς τοῦ Θεοῦ χάρισιν, ὡς μὴ πάντοτε ὀμβριούσαις τοῖς ἀνθρώποις τὰς ἀενάους δωρεάς. [**110.**] Καὶ συλλήβδην εἰπεῖν, διὰ τοῦτο πάντες οἱ ἅγιοι, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος, κατέλιπον τὴν οἰκουμένην, ἐπ᾽ ἐρημίαις πλανώμενοι, καὶ ὄρεσι, καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς καὶ περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι[158]. Τὰς μὲν χειροήθεις τῶν ἀνθρώπων ἀποδιδράσκοντες κακίας, καὶ τῶν κατὰ τὰς πόλεις πλημμυρούντων ἀλλοκότων πραγμάτων· ὡς ἂν μὴ τῇ ῥύμῃ τῆς φορᾶς, καθάπερ ὑπὸ χειμάῤῥου βίας, εἰς τὴν τῶν πολλῶν παρενεχθῶσιν ἀδιάφορον ἀνάχυσιν· χαίροντες δὲ τῇ μετὰ τῶν θηρίων διαγωγῇ, καὶ τὴν ἐκ τούτων βλάβην*

προπαρασκευασμένα, ἐπειδὴ θεωρεῖ, ὅτι αὐτὸ ἁρμόζει στὴν λογικὴ φύσι, τό, ἀφοῦ ἀρκεσθοῦν σὲ ὅ,τι τυχαῖο βρέθηκε, νὰ ὁμολογήσουν τὸν Θεὸ διαχειριστὴ τῶν ὑπολοίπων, παρὰ τὸ νὰ φαίνεται, ὅτι ἀπιστοῦν στὶς Χάριτες τοῦ Θεοῦ, προνοώντας γιὰ τὰ μελλοντικά, σὰν νὰ μὴν ἔβρεξαν πάντοτε [οἱ Χάριτες τοῦ Θεοῦ] τὶς ἀέναες δωρεές [Του] στοὺς ἀνθρώπους.

110. Καὶ συνοψίζοντας, γι᾽ αὐτὸ ὅλοι οἱ Ἅγιοι, τῶν ὁποίων δὲν εἶναι ἄξιος ὁ κόσμος, ἐγκατέλειψαν τὸν κόσμο, περιπλανώμενοι στὶς ἐρήμους καὶ στὰ βουνὰ καὶ στὶς σπηλιὲς καὶ στὶς τρύπες τῆς γῆς καὶ περιφέρονταν [ντυμένοι] μὲ προβιές, μὲ γίδινα δέρματα, στερούμενοι, θλιβόμενοι, ὑποβαλλόμενοι σὲ πολλὲς κακουχίες· γιὰ νὰ διαφύγουν μὲν ἀπὸ τὶς συνήθεις κακίες τῶν ἀνθρώπων καὶ τῶν περιέργων γεγονότων, τὰ ὁποῖα κατακλύζουν τὶς πόλεις, ὥστε νὰ μὴν παρασυρθοῦν ἀπὸ τὴν σφοδρότητα τῆς ὁρμῆς [τους], πρὸς τὴν ἀπεριόριστη σύγχυσι τῶν πολλῶν, ὅπως ἀκριβῶς ἀπὸ τὴν δύναμι χειμάρρου. Αἰσθανόμενοι δὲ χαρὰ μὲ τὴν διαμονὴ [τους] μαζὶ μὲ τὰ θηρία, καὶ θεωρώντας μικρότερη μᾶλλον τὴν βλά-

*ἐλάττονα τῆς ἐκ τῶν ἀνθρώπων κρίνοντες μᾶλλον· ἀνθρώπους μέν, ὡς ἐπιβούλους φεύγοντες, θαῤῥοῦντες δὲ τοῖς θηρίοις, ὡς φίλοις· οὔτε γὰρ διδάσκει κακίαν ἐκεῖνα, καὶ τὴν ἀρετὴν τέθηπε καὶ τιμᾷ. [**111.**] Οὕτω γοῦν Δανιὴλ ἀπώλεσαν ὡς ἐδόκουν οἱ ἄνθρωποι, περιέσωσαν δὲ οἱ λέοντες· τὸν ἐκ βασκανίας ἀδίκως κατακριθέντα, αὐτοὶ φυλάξαντες*[159]*· καὶ δικαιοσύνην ἐν τοῖς ἀνθρώποις, παραβραβευθεῖσαν, αὐτοὶ τὴν ὀρθὴν περὶ τοῦ ἀδίκως κατακριθέντος κρίσιν ἀνακηρύξαντες. Καὶ γέγονεν ἡ ἀρετὴ τοῦ ἀνδρός, τοῖς μὲν ἀνθρώποις, φθόνου καὶ ἔριδος ὑπόθεσις· τοῖς δὲ θηρίοις, αἰδοῦς καὶ τιμῆς ἀφορμή. [**112.**] Ὅσοις οὖν ὁ τῆς βελτιώσεως ἔρως ἐνέσπαρται, ζηλώσωμεν τὰς τῶν ἁγίων ἀρετάς, καὶ τῆς δουλείας τῶν τοῦ σώματος ἐπιταγμάτων ἀποστάντες, ἐλευθερίαν μεταδιώξωμεν· καὶ τὸν ὑπὸ τοῦ Δημιουργοῦ ἐν ἐρήμῳ ἀφεθέντα ἄγριον ὄνον, καὶ μέμψιν φορολόγου οὐκ ἀκούοντα, καὶ*

βη ἀπὸ αὐτά, σὲ σχέσι μ᾽ ἐκείνη ἀπὸ τοὺς ἀνθρώπους· ἀποφεύγοντας ἀφ᾽ ἑνὸς τοὺς ἀνθρώπους ὡς ἐπιβούλους, ἀφ᾽ ἑτέρου ἐμπιστευόμενοι τὰ θηρία ὡς φίλους. Διότι ἐκεῖνα, οὔτε τὴν κακία διδάσκουν, καὶ θαυμάζουν καὶ τιμοῦν τὴν ἀρετή.

111. Ἔτσι παραδείγματος χάριν, οἱ ἄνθρωποι σκότωσαν τὸν Δανιήλ, ὅπως νόμιζαν, ἀλλὰ τὰ λιοντάρια [τὸν] διέσωσαν, διαφυλάσσοντας αὐτά, ἐκεῖνον ὁ ὁποῖος καταδικάστηκε ἄδικα ἀπὸ συκοφαντία· καὶ ἀφοῦ ἀποδόθηκε μεροληπτικὰ καὶ ἄδικα ἡ δικαιοσύνη μεταξὺ τῶν ἀνθρώπων, αὐτὰ [τὰ λιοντάρια] κήρυξαν δημόσια τὴν σωστὴ ἀπόφασι γιὰ ἐκεῖνον, ὁ ὁποῖος καταδικάστηκε ἄδικα. Καὶ ἔχει γίνει ἡ ἀρετὴ τοῦ ἀνθρώπου ἐκείνου, γιὰ τοὺς μὲν ἀνθρώπους ὑπόθεσι φθόνου καὶ φιλονεικίας, γιὰ δὲ τὰ θηρία, ἀφορμὴ δέους καὶ τιμῆς.

112. Σὲ ὅσους λοιπὸν εἶναι σπαρμένος ὁ ἔρωτας τῆς τελειοποιήσεως, ἂς μιμηθοῦμε τὶς ἀρετὲς τῶν Ἁγίων καὶ ἀφοῦ ἀπομακρυνθοῦμε ἀπὸ τὴν δουλεία τῶν διαταγῶν τοῦ σώματος, ἂς ἐπιδιώξωμε τὴν ἐλευθερία. Καὶ τὸν ἄγριο ὄνο, ὁ ὁποῖος ἀφέθηκε ἀπὸ τὸν Δημιουργὸ στὴν ἔρημο καὶ δὲν ἀκούει κατηγορία φοροεισπράκτορα

καταγελῶντα πολυοχλίας πόλεως[160]*, εἰ καὶ μέχρι τοῦ νῦν ἀχθοφορεῖν παρεσκευάσαμεν αὐτόν, πάθεσι καὶ κακίαις ὑποζεύξαντες, ἀλλὰ νῦν γοῦν λύσωμεν τῶν δεσμῶν, κἂν ἀντιλέγωσιν οἱ μὴ φύσει κύριοι, ἀλλ᾽ ἐκ συνηθείας τὴν δεσποτείαν ἐπικτησάμενοι· πάντως ἀκούοντες, μὴ γλώττῃ μόνῃ καὶ ψιλῇ φωνῇ, ἀλλὰ διαθέσει λεγόντων ἡμῶν, ὅτι ὁ Κύριος αὐτοῦ χρείαν ἔχει*[161]*, εὐθέως ἀποστελοῦσιν αὐτόν· ἵνα κατακοσμηθεὶς τοῖς ἀποστολικοῖς ἱματίοις, ὄχημα τοῦ λόγου γένηται· ἢ εἰς τὴν ἀρχαίαν ἀπολυθεὶς νομήν, ὀπίσω παντὸς χλωροῦ ζητεῖν· ὅπερ ἐστί, τοῖς τεθηλόσι τῆς θείας Γραφῆς ἑπόμενον ῥητοῖς, ὁδηγεῖσθαι εἰς ἀνεπίληπτον βίον, καὶ τροφὴν ὁμοῦ καὶ τέρψιν καρπούμενον πολλήν. Ἅμα δὲ καὶ ζητητέον, πῶς ὀπίσω παντὸς χλωροῦ ζητεῖ, ὁ ἐν ἐρήμῳ ἀφεθεὶς παρὰ τοῦ Θεοῦ ἄγριος ὄνος, τὴν δίαιταν ἔχων ἔρημον, καὶ τὸ σκήνωμα ἔχων ἁλμυρίδα, τῆς ἁλμυρίδος καὶ τῆς ἐρήμου, ὡς ἐπὶ τὸ*

καὶ περιγελᾶ τὴν πολυκοσμία τῆς πόλεως, ἂν καὶ μέχρι σήμερα τὸν κάναμε νὰ σηκώνῃ φορτία, ἀφοῦ [τὸν] ζεύξαμε μὲ πάθη καὶ κακίες, ἀλλὰ τώρα ὁπωσδήποτε ἂς [τὸν] λύσωμε ἀπὸ τὰ δεσμά, ἀκόμη κι ἂν ἀντιλέγουν ἐκεῖνοι [τὰ πάθη], οἱ ὁποῖοι δὲν [εἶναι] οἱ φυσικοί [του] κύριοι, ἀλλὰ ἀπέκτησαν ἐπίκτητη τὴν ἐξουσία ἀπὸ συνήθεια. Πάντως, ὅταν ἀκούουν ἐμᾶς, ὄχι μὲ μόνη τὴν γλῶσσα καὶ ἁπλῆ φωνή, ἀλλὰ μὲ ψυχικὴ διάθεσι [μὲ σθένος] νὰ λέγωμε, ὅτι ὁ Κύριός του [τὸν] χρειάζεται, ἀμέσως τὸν ἀποστέλλουν [ὑποχωροῦν τὰ πάθη στὴν δική μας ἀγωνιστικὴ δύναμι], γιὰ νὰ γίνῃ τὸ ὄχημα τοῦ Λόγου, ἀφοῦ εὐπρεπισθῇ μὲ τὰ ἀποστολικὰ ἐνδύματα, ἢ ἀφοῦ ἀπολυθῇ στὴν παλαιὰ βοσκή, νὰ ἀναζητᾷ [τὴν τροφὴ] πίσω ἀπὸ κάθε δροσερὴ [χλόη], τὸ ὁποῖο ἀκριβῶς εἶναι τὸ νὰ ὁδηγῆται στὸν ἀνεπίληπτο βίο, ἀκολουθώντας τοὺς λόγους οἱ ὁποῖοι ἔχουν βλαστήσει ἀπὸ τὴν Ἁγία Γραφὴ καὶ δρέποντας συνάμα πολλὴ τροφὴ καὶ ἀπόλαυσι. Συγχρόνως δὲ πρέπει καὶ νὰ ἐρευνηθῇ, πῶς ἀναζητᾶ πίσω ἀπὸ κάθε δροσερὴ [χλόη τὴν τροφή], ὁ ἄγριος ὄνος, ὁ ὁποῖος ἀφέθηκε ἀπὸ τὸν Θεὸ μέσα στὴν ἔρημο, ἔχοντας τὸν τρόπο διατροφῆς ἐρημικὸ καὶ ἔχοντας κατοικία τὴν ἁλμυρὴ ἄμμο [τῆς ἐρήμου], ἡ ὁποία ἁλμυρὴ ἄμμος καὶ ἡ ἔρημος δὲν εἶναι ὡς ἐπὶ τὸ

πλεῖστον, μὴ πάνυ πρὸς πόας γένεσιν οὔσης ἐπιτηδείου; Εἰ μὴ ἄρα τὶς εἴπῃ τὸν ἔρημον παθῶν, ἱκανὸν εἶναι ζητεῖν τὴν ἐν τοῖς θείοις λόγοις θεωρίαν, μετά τὸ ἐξαναλωθῆναι τὴν τῶν παθῶν ὑγρασίαν. [113.] Καταλίπωμεν τὰ βιωτικὰ πράγματα, καὶ πρὸς τὰ τῆς ψυχῆς ἀνανεύσωμεν ἀγαθά. Ἕως πότε τοῖς συνδικοῖς [recte: συνδίκοις] ἀθύρμασι παραμένομεν, ἀνδρεῖον οὐδέποτε ἀναλαμβάνοντες φρόνημα; [114.] Ἕως πότε τῶν κομιδῇ νηπίων ἀσθενέστερον εἰσπράττομεν, οὐδὲ παρ' ἐκείνων εἰς προκοπὴν τῶν μειζόνων χειραγωγούμενοι; Ἐκεῖνοι τὰς ἡλικίας ἀμείβοντες, καὶ τὰς πρὸς παίγνια καταστάσεις ἀμείβουσι, καὶ τὴν πρὸς τὰς ὕλας εὐχερῶς ἀφιᾶσι προσπάθειαν· κάρυα γὰρ τυχὸν αὐτοῖς, καὶ ἀστράγαλοι, καὶ σφαῖραι, τῆς παιδιᾶς ἐστιν ὕλη· καὶ τούτοις προσπεπόνθασι, μέχρις ἂν τὸ ἀτελὲς τῆς φρονήσεως ἔχωσι, καὶ τίμια νομίζουσι ταῦτα· ἐὰν δὲ προκόψας τὶς γένηται ἀνήρ, ἔρριψεν ἐκεῖνα,

πλεῖστον πολὺ πρόσφορη γιὰ τὴν ἐκβλάστησι χλόης; Παρὰ μόνο, ἐὰν κάποιος ὑποστηρίξῃ ὅτι, μετὰ τὸν παντελῆ ἀφανισμὸ τῆς ἰκμάδας τῶν παθῶν, ὁ ἔρημος [πλέον] ἀπὸ πάθη, εἶναι ἀμέσως ἱκανὸς νὰ ἐπιζητήσῃ τὴν θεωρία [τοῦ Θεοῦ], μέσα στοὺς θείους λόγους.

113. Ἂς ἐγκαταλείψωμε τὰ βιοτικὰ πράγματα καὶ ἂς ὑψώσωμε τὸ κεφάλι μας πρὸς τὰ ἀγαθὰ τῆς ψυχῆς. Ἕως πότε θὰ παραμένωμε στὰ κοινὰ παιδικὰ παιγνίδια, χωρὶς ποτὲ νὰ προσλαμβάνωμε ἀνδρεῖο φρόνημα;

114. Ἕως πότε θὰ ἔχωμε [φρόνημα] ἐντελῶς πιὸ ἀδύνατο ἀπὸ τῶν νηπίων, χωρὶς οὔτε [καὶ] ἀπ' αὐτὰ [τά νήπια] νὰ χειραγωγούμεθα στὴν προκοπὴ τῶν ἀνωτέρων; Ἐκεῖνα ἀλλάζοντας τὶς ἡλικίες, ἀλλάζουν καὶ τὶς σχετικὲς μὲ τὰ παιγνίδια καταστάσεις καὶ εὔκολα ἀφήνουν τὴν προσπάθεια [τὴν προσκόλλησι] στὰ ὑλικὰ [πράγματα]. Διότι γι' αὐτὰ [τὰ παιδιὰ] τὸ ὑλικὸ γιὰ τὰ παιγνίδια εἶναι ἴσως τὰ καρύδια καὶ τὰ κότσια καὶ οἱ βῶλοι· καὶ ἕως ὅτου ἔχουν τὸ ἀτελὲς τῆς φρονήσεως, ἔχουν προσκολληθῆ σ' αὐτὰ καὶ τὰ θεωροῦν πολύτιμα. Ἐὰν ὅμως κάποιος ἀνδρώθηκε, ἀφοῦ προχώρησε [στὴν ἡλικία], ἐκεῖνα συνήθως [τὰ] ἀπορρίπτει καὶ

καὶ τῶν πραγμάτων μετὰ πολλῆς ἀντέχεται σπουδῆς. Ἡμεῖς δὲ ἐναπεμείναμεν τῇ νηπιότητι, τὰ παιδιᾶς καὶ χλεύης ἄξια τεθαυμακότες· καὶ τῆς τῶν κρειττόνων ἅψασθαι φροντίδος, καὶ ἀναλαβεῖν λογισμὸν ἀνδράσι πρέποντα καταλιπόντες, ἐν ταῖς γηΐναις καρβατίζομεν [recte: καρβανίζομεν] τέρψεσι, γέλωτα παρέχοντες τοῖς ἀκολουθίᾳ φύσεως τὰ πράγματα κρίνουσιν. Ὡς γὰρ αἰσχρὸν ἄνδρα τέλειον ἰδεῖν ἐν τέφρᾳ καθεζόμενον, καὶ ἐν τῇ κόνει τέρψεις παίδων διαγράφοντα, οὕτως αἰσχρόν, καὶ πολλῷ αἰσχρότερον, τοὺς τὴν ἀπόλαυσιν τῶν αἰωνίων ἀγαθῶν πραγματευομένους, ἐν τῇ τῶν γηΐνων τέφρᾳ κυλινδουμένους ὁρᾶν, τῇ τῶν ἐπιτηδευομένων ἀνοικειότητι, αἰσχύνοντας τοῦ ἐπαγγέλματος τὴν τελειότητα. [115.] Τούτου δὲ ἡμῖν αἴτιον, ὡς ἔοικε, τὸ μηδὲν τῶν ὁρωμένων ἐννοῆσαι μεῖζον· μηδὲ ἐκ παραθέσεως τῆς τῶν παρόντων εὐτελείας, τὴν ὑπεροχὴν γνωρίσαι τῶν ἐκεῖ ἀγαθῶν, πρὶν αὐγα-

προσκολλᾶται μετὰ μεγάλης ἐπιμελείας στὶς ὑποθέσεις [του]. Ἐμεῖς ὅμως παραμείναμε στὴν νηπιότητα, νὰ θαυμάζωμε τὰ ἄξια ἀστειότητος καὶ χλευασμοῦ. Καὶ ἀφοῦ ἐγκαταλείψαμε τὴν φροντίδα, γιὰ νὰ ἐγγίσωμε τὰ [πνευματικὰ] ἀνώτερα καὶ γιὰ νὰ ἀναλάβωμε τὸν λογισμὸ ποὺ ἁρμόζει στοὺς ἐνήλικες, [ἐμεῖς] βαρβαρίζομε [μιμούμεθα τὶς φωνὲς καὶ τὰ ἤθη τῶν βαρβάρων - ἐχθρῶν] μὲ τὶς γήινες ἀπολαύσεις, προκαλώντας τὸ γέλιο σ᾽ ἐκείνους, οἱ ὁποῖοι ἀντιλαμβάνονται τὰ πράγματα ἀντίστοιχα πρὸς τὴν ἀκολουθία τῆς φύσεως. Διότι ὅπως εἶναι ἀτιμωτικὸ νὰ δῇς ἕναν τέλειο [ὡς πρὸς τὴν σωματικὴ ἀνάπτυξι] ἄνθρωπο, νὰ κάθεται στὴν στάχτη καὶ νὰ σχεδιάζῃ στὴν σκόνη παιγνίδια εὐχάριστα στὰ παιδιά, κατὰ τὸν ἴδιο τρόπο [εἶναι] ἀτιμωτικὸ καὶ πολὺ ἀτιμωτικώτερο, νὰ βλέπῃς ἐκείνους οἱ ὁποῖοι ἀσχολοῦνται μὲ τὴν ἀπόλαυσι τῶν αἰωνίων ἀγαθῶν, νὰ κυλιοῦνται στὴν στάχτη τῶν γήινων [πραγμάτων], ντροπιάζοντας τὴν τελειότητα τοῦ [μοναχικοῦ] ἐπαγγέλματος, μὲ τὴν ἀπρέπεια ἐκείνων τὰ ὁποῖα μετέρχονται.

115. Αἰτία δὲ αὐτοῦ, ὅπως φαίνεται, εἶναι τὸ ὅτι δὲν ἐννοήσαμε τίποτα μεγαλύτερο, [ἐκτὸς] ἀπὸ ἐκεῖνα τὰ ὁποῖα εἶναι ὁρατὰ ἀπὸ ἐμᾶς· καὶ ὅτι δὲν γνωρίσαμε τὴν ὑπεροχὴ τῶν ἐκεῖ ἀγαθῶν, ἀπὸ τὴν σύγκρισι μὲ τὴν εὐτέλεια τῶν παρόντων, πρὶν νὰ καταλη-

*σθέντας ὑπὸ τῆς τῶν ἐνθάδε δοκούντων τιμίων λαμπρότητος κατασχεθῆναι, καὶ τούτοις προσδῆσαι τὴν ἐπιθυμίαν. Ἀεὶ γὰρ τῇ ἀπουσίᾳ τῶν κρειττόνων, τιμᾶται τὰ χείρονα τὴν ἐκείνων κληροῦντα τάξιν· ὡς εἴγε ἦμεν ἔχοντες ὑψηλοτέραν περὶ τῶν μελλόντων ἔννοιαν, οὐκ ἂν τούτοις προσκεχηνότες διετελοῦμεν. [**116.**] Ἀρξώμεθα τοιγαροῦν ἀναχωρεῖν τῶν παρόντων. Καταφρονήσωμεν κτημάτων, καὶ χρημάτων· καὶ πάντων τῶν βαπτιζόντων τὸν λογισμόν, καὶ ὑποβρύχιον καταφερόντων αὐτόν· ἀποῤῥίψωμεν τὸν φόρτον, καὶ μικρὸν ἀνανεύσει τὸ πλοῖον· ἐκβάλωμεν χειμαζόμενοι καὶ τῶν σκευῶν τὰ πολλά, ἵνα ὁ κυβερνήτης νοῦς μετὰ τῶν ἐμπλεόντων διασωθῆναι δυνηθῇ λογισμῶν. [**117.**] Εἰ γὰρ οἱ ἐν θαλάσσῃ πλέοντες, χειμαζόμενοι καταφρονοῦσι τῆς ἐμπορίας· καὶ τὸν φόρτον αὐτόχειρες εἰς τὴν θάλασσαν ῥίπτουσι[162], δευτέραν τῆς ζωῆς τὴν ὕπαρξιν κρίνοντες· καὶ ἵνα μὴ ὑπέραντλον τὸ πλοῖον κινδυνεύσῃ*

φθοῦμε θαμπωμένοι, ἀπὸ τὴν λαμπρότητα ἐκείνων, τὰ ὁποῖα θεωροῦνται ἐδῶ πολύτιμα καὶ νὰ προσδέσωμε σ' αὐτὰ τὴν ἐπιθυμία [μας]. Διότι πάντοτε κατὰ τὴν ἀπουσία τῶν ἀνωτέρων, τιμῶνται τὰ χειρότερα, καταλαμβάνοντας τὴν θέσι ἐκείνων. Διότι, ἐὰν βέβαια εἴχαμε ὑψηλότερη θεωρία γύρω ἀπὸ τὰ μέλλοντα, δὲν θὰ ἐξακολουθούσαμε νὰ θαυμάζωμε αὐτὰ [τὰ παρόντα] μ' ἀνοιχτὸ τὸ στόμα.

116. Ἂς ἀρχίσωμε ἑπομένως νὰ ἀναχωροῦμε ἀπὸ τὰ παρόντα. Νὰ καταφρονήσωμε τὰ κτήματα καὶ τὰ χρήματα καὶ ὅλα ὅσα βυθίζουν τὸν λογισμὸ καὶ τὸν καταποντίζουν. Νὰ πετάξωμε τὸ φορτίο καὶ λίγο θὰ ἀνακουφισθῇ τὸ πλοῖο. Ἀφοῦ κλυδωνιζόμεθα, νὰ πετάξωμε ἔξω καὶ πολλὲς ἀπὸ τὶς ἀποσκευές, γιὰ νὰ μπορέσῃ ὁ κυβερνήτης νοῦς νὰ διασωθῇ μαζὶ μὲ τοὺς λογισμούς, ποὺ βρίσκονται μέσα στὸ πλοῖο [μαζί του].

117. Διότι, ἐὰν βέβαια ἐκεῖνοι οἱ ὁποῖοι ταξιδεύουν στὴν θάλασσα, ὅταν βρεθοῦν σὲ τρικυμία, καταφρονοῦν τὸ ἐμπόριό [τους] καὶ οἱ ἴδιοι μὲ τὰ χέρια τους πετοῦν στὴν θάλασσα τὸ φορτίο, ἐπειδὴ προκρίνουν δεύτερη τὴν περιουσία ἀπὸ τὴν ζωή· καὶ γιὰ νὰ μὴν κινδυνεύσῃ τὸ πλοῖο νὰ κα-

τῷ βάρει τοῦ φορτίου καταδυόμενον, κουφίζουσι τοῦτο, τὰ τίμια τῶν κειμηλίων ἴσως κατὰ τοῦ βυθοῦ ἀκοντίζοντες, διατὶ μὴ καὶ ἡμεῖς, διὰ τὴν κρείττονα ζωήν, καταφρονοῦμεν τῶν καθελκόντων εἰς βυθὸν τὴν ψυχήν; Διατί μὴ δύναται φόβος Θεοῦ, ὅσον δύναται θαλάσσης φόβος; Ἐκεῖνοι τῆς προσκαίρου ζωῆς ἐπιθυμοῦντες, τὴν τῶν ἀγωγίμων ζημίαν οὐ μέγα κρίνουσιν. Ἡμεῖς δὲ τῆς αἰωνίου ζωῆς ἀντιποιεῖσθαι λέγοντες, οὐδὲ τοῦ τυχόντος καταφρονοῦμεν· ἀλλ᾽ αἱρούμεθα μᾶλλον τῷ φόρτῳ συναπολέσθαι, ἢ σωθῆναι, ἐκείνων ἀποστερούμενοι. [118.] Ἀποδυσώμεθα, παρακαλῶ, πάντα· γυμνὸς γὰρ ἕστηκεν ὁ ἀντίπαλος. Μὴ γὰρ οἱ ἀθλοῦντες ἐνδεδυμένοι ἀθλοῦσι; Γυμνοὺς αὐτοὺς εἰς τὸ στάδιον ὁ ἀθλητικὸς εἰσάγει νόμος· κἂν θάλπος, ἢ κἂν κρυμός, οὕτως εἰσέρχονται τὰς ἐσθῆτας ἔξω καταλιμπάνοντες· εἰδέ τις αὐτῶν παραιτήσεται τὴν γύμνωσιν, καὶ τὸν ἀγῶνα παρῃτήσατο. Ἡμεῖς δὲ ἀθλεῖν ἐπαγ-

ταβυθισθῇ, ὑπερφορτωμένο ἀπὸ τὸ βάρος τοῦ φορτίου, τὸ ἐλαφρύνουν, ἐκσφενδονίζοντας στὸν βυθὸ ἐνδεχομένως τὰ πολύτιμα ἀπὸ τὰ ἀντικείμενα ἀξίας, [τότε] γιατὶ καὶ ἐμεῖς γιὰ τὴν ἀνώτερη ζωή, νὰ μὴν καταφρονοῦμε ἐκεῖνα τὰ ὁποῖα κατασύρουν στὸν βυθὸ τὴν ψυχή; Γιατὶ δὲν ἔχει δύναμι ὁ φόβος τοῦ Θεοῦ, ὅση δύναμι ἔχει ὁ φόβος τῆς θαλάσσης; Ἐκεῖνοι, ἐπειδὴ ἐπιθυμοῦν τὴν πρόσκαιρη ζωή, δὲν θεωροῦν μεγάλο [πρᾶγμα], τὴν ἀπώλεια τῶν ἐμπορευμάτων. Ἐμεῖς ὅμως, οἱ ὁποῖοι λέμε, ὅτι διεκδικοῦμε τὴν αἰώνιο ζωή, δὲν καταφρονοῦμε οὔτε τὸ ἀσήμαντο· ἀλλὰ προτιμᾶμε μᾶλλον νὰ χαθοῦμε μαζὶ μὲ τὸ φορτίο, παρά, ἀφοῦ ἀποστερηθοῦμε ἐκεῖνα, νὰ σωθοῦμε.

118. Ἂς ἀπεκδυθοῦμε, παρακαλῶ, τὰ πάντα· διότι γυμνὸς ἔχει σταθῆ ὁ ἀντίπαλος. Μήπως βέβαια ἐκεῖνοι, ποὺ ἀθλοῦνται, ἀθλοῦνται ντυμένοι; Ὁ ἀθλητικὸς νόμος τοὺς ὁδηγεῖ μέσα στὸ στάδιο γυμνούς. Εἴτε ζέστη, εἴτε κρύο, κατ᾽ αὐτὸν τὸν τρόπο εἰσέρχονται, ἀφοῦ ἀφήσουν ἔξω τὰ ἐνδύματά [τους]. Ἐὰν δὲ κάποιος ἀπ᾽ αὐτοὺς θὰ ἐγκαταλείψῃ τὴν γυμνότητα, ἐγκατέλειψε καὶ τὸν ἀγῶνα. Ἐμεῖς ὅμως, ἐνῶ ὑποσχεθήκαμε

γελλόμενοι, καὶ πρὸς ἀντιπάλους πολὺ τῶν αἰσθητῶν ἐντρεχεστέρους ἀγωνιζόμενοι, οὐ μόνον οὐκ ἀπεδυσάμεθα, ἀλλὰ καὶ μυρία κατὰ τῶν ὤμων φορτία φέροντες ἐπιχειροῦμεν ἀθλεῖν, πολλὰς τοῖς ἀντιπάλοις καθ' ἑαυτῶν παρέχοντες τὰς λαβάς. Πῶς γὰρ πυκτεύσει πρὸς τὰ πνευματικὰ τῆς πονηρίας[163]*, ὁ κτημάτων ἀντιποιούμενος, πάντοθεν εὐχερῶς κονδυλιζόμενος; Πῶς δὲ τῷ τῆς φιλαργυρίας πνεύματι, ὁ περικεχωσμένος τοῖς χρήμασι; Πῶς δὲ δραμεῖται πρὸς τοὺς πάσης μερίμνης γυμνοὺς δαίμονας, ὁ μυρίαις φροντίσιν ἐνδεδυμένος; τῆς θείας λεγούσης Γραφῆς, ὁ γυμνὸς διώξεται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ*[164]*· ὁ γυμνός, οὐχ ὁ κεντόνας πολὐῤῥάφους τῆς τῶν βιωτικῶν πραγμάτων φροντίδος ἐνδεδυμένος· ὁ γυμνός, οὐχ ὁ κτημάτων καὶ χρημάτων πολυΰλοις πρὸς τὸν δρόμον ἐμποδιζόμενος λογισμοῖς· δυσάλωτος γάρ, ἢ καὶ ἀνάλωτος, τοῖς ἐπιβουλεύουσιν ἐστὶν ὁ γυμνός. [119.] Ὡς εἴγε ἦν ὁ μέγας Ἰωσὴφ*

νὰ ἀγωνιζώμαστε, παλεύοντας καὶ ἐναντίον ἀντιπάλων πολὺ πιὸ ἔμπειρων ἀπὸ τοὺς αἰσθητοὺς [ἀντιπάλους], ὄχι μόνον δὲν ἀπεκδυθήκαμε [τίποτα], ἀλλὰ καὶ σηκώνοντας πάνω στοὺς ὤμους μύρια φορτία, ἐπιχειροῦμε νὰ ἀγωνιζώμαστε, παρέχοντας πολλὲς λαβὲς στοὺς ἀντιπάλους, ἐναντίον τῶν ἑαυτῶν μας. Διότι, πῶς θὰ πυγμαχήσῃ ἐναντίον τῶν πνευμάτων τῆς πονηρίας [τῶν δαιμόνων], ἐκεῖνος ὁ ὁποῖος διεκδικεῖ τὰ κτήματα, ἐνῷ [ὁ ἴδιος] γρονθοκοπεῖται μὲ εὐχέρεια ἀπὸ παντοῦ; Πῶς λοιπὸν [θὰ παλέψῃ] μὲ τὸ πνεῦμα τῆς φιλαργυρίας, ἐκεῖνος ὁ ὁποῖος εἶναι χωμένος μέσα στὰ χρήματα; Πῶς θὰ τρέξῃ [στὸ ἄθλημα τοῦ δρόμου], ἐμπρὸς ἀπὸ τοὺς γυμνοὺς ἀπὸ κάθε μέριμνα δαίμονες, ἐκεῖνος ὁ ὁποῖος εἶναι ντυμένος μὲ χίλιες φροντίδες, ἐνῶ ἡ Ἁγία Γραφὴ λέγει: ὁ γυμνὸς θὰ καταδιώκῃ ἐκείνη τὴν ἡμέρα [τῆς Κρίσεως]; Ὁ γυμνὸς [λέγει], ὄχι ἐκεῖνος ὁ ὁποῖος ἔχει ἐνδυθῆ, τοὺς πολύρραφους «κεντόνες»[ιζ'] τῆς φροντίδος, τῶν βιοτικῶν πραγμάτων. Ὁ γυμνὸς [λέγει], ὄχι ἐκεῖνος ὁ ὁποῖος ἐμποδίζεται στὸ τρέξιμο, ἀπὸ τοὺς πληθωρικοὺς καὶ ποικίλους ὑλικοὺς λογισμοὺς τῶν κτημάτων καὶ τῶν χρημάτων. Διότι ὁ γυμνὸς εἶναι δυσπόρθητος ἢ καὶ ἀπόρθητος, ἀπὸ ἐκείνους οἱ ὁποῖοι τὸν ἐπιβουλεύονται.

119. Πράγματι, ἐὰν βέβαια ἦταν ὁ μέγας Ἰωσὴφ γυμνός,

γυμνός, οὐκ ἂν εὗρεν ὧν ἐπελάβετο ἡ Αἰγυπτία, ὥς φησι τὸ θεῖον λόγιον· ὅτι ἐπελάβετο τῶν ἱματίων αὐτοῦ λέγουσα, κοιμήθητι μετ᾽ ἐμοῦ[165]*. Ἱμάτια δέ ἐστι, τὰ πράγματα τὰ σωματικά, ἀφ᾽ ὧν ἕλκει κρατοῦσα ἡ ἡδονή· καὶ τὸν ἀντιποιούμενον τούτων, ἀνάγκη περισύρεσθαι μαχόμενον τοῖς ἀφαιροῦσιν. Οὗτος οὖν ὁ τῆς σωφροσύνης ἀθλητής, ὡς εἶδε καὶ ἐκ τῆς ἀναγκαίας χρείας τοῦ σώματος ἑλκόμενον ἑαυτὸν βίᾳ πρὸς τὴν τῆς ἡδονῆς κοινωνίαν τε καὶ ἕνωσιν· μαθὼν ὅτι γυμνὸν ἔδει συνδιαιτᾶσθαι τῇ κατέχειν καὶ βιάζεσθαι δυναμένῃ δεσποίνῃ, καταλιπὼν τὰ ἱμάτια ἔφυγε· καὶ ἐξῆλθεν ἔξω, καθάπερ ἐν παραδείσῳ, τῇ ἀρετῇ, γυμνὸς ἐμπεριπατῶν, κατὰ μίμησιν τοῦ πρωτοπλάστου· ὅς τις ἐξαίρετον γέρας παρὰ Θεοῦ τὴν γύμνωσιν λαβὼν ἔσχεν, ἕως διὰ τῆς παρακοῆς εἰς χρείαν ἐνδυμάτων κατέστη*[166]*· μέχρις ἂν ἠγωνίζετο πρὸς τοὺς λύειν τὴν ἐντολὴν τοῦ Θεοῦ συμβουλεύοντας*

δὲν θὰ εὕρισκε ἡ Αἰγυπτία ἐκεῖνα ἀπὸ τὰ ὁποῖα κρατήθηκε, ὅπως λέγει ὁ λόγος τοῦ Θεοῦ, ὅτι [δηλαδὴ] κρατήθηκε ἀπὸ τὰ ἐνδύματα ἐκείνου λέγοντας: «κοιμήσου μαζί μου». Ἐνδύματα δέ, εἶναι τὰ σωματικὰ πράγματα ἀπὸ τὰ ὁποῖα ἑλκύει ἡ ἡδονή, ἀφοῦ κρατιέται. Καὶ ἐκεῖνος ὁ ὁποῖος διεκδικεῖ αὐτὰ [τὰ ἐνδύματα], ἐξαναγκάζεται, ἐνῶ μάχεται, νὰ σύρεται ὁλόγυρα σ᾽ ἐκείνους οἱ ὁποῖοι [τοῦ τὰ] ἀποσποῦν. Αὐτὸς λοιπόν, [ὁ μέγας Ἰωσήφ], ὁ ἀθλητὴς τῆς σωφροσύνης, ὅταν εἶδε τὸν ἑαυτό του, καὶ ἀπὸ τὴν δυναστικὴ ἀνάγκη τοῦ σώματος, νὰ σύρεται διὰ τῆς βίας πρὸς τὴν κοινωνία καὶ τὴν ἕνωσι μὲ τὴν ἡδονή, ὅταν ἔμαθε ὅτι πρέπει νὰ συνυπάρξῃ γυμνὸς μὲ τὴν κυρία, ἡ ὁποία εἶχε τὴν δύναμι νὰ ἐξουσιάζῃ καὶ νὰ ἐξαναγκάζῃ, ἀφήνοντας τὰ ἐνδύματά [του], ἔφυγε. Καὶ χάριν τῆς ἀρετῆς, βγῆκε ἔξω περπατώντας γυμνός, ὅπως ἀκριβῶς στὸν παράδεισο, κατὰ μίμησι τοῦ πρωτοπλάστου [Ἀδάμ], ὁ ὁποῖος εἶχε τὴν γύμνωσι, τὴν ὁποία ἔλαβε ὡς ἐξαιρετικὴ τιμὴ ἀπὸ τὸν Θεό, μέχρις ὅτου, ἕνεκα τῆς παρακοῆς, περιῆλθε στὴν ἀνάγκη τῶν ἐνδυμάτων. Μέχρις ὅτου ἀγωνιζόταν ἐναντίον τῶν ἀντιπάλων ἐκείνων, οἱ ὁποῖοι [τὸν] συμβούλευαν νὰ ἀθετήσῃ τὴν ἐντολὴ τοῦ Θεοῦ,

ἀντιπάλους, γυμνός, ὡς ἀθλητὴς ἐπὶ τοῦ σκάμματος, ἕστηκεν· ἡττηθεὶς δὲ καὶ ἐναγώνιος γενόμενος, εἰκότως ἐνεδύσατο, τὴν γύμνωσιν μετὰ τῆς ἀθλητικῆς ἕξεως ἀποθέμενος. ***[120.]*** *Διὰ τοῦτο ὁ παροιμιαστὴς πρὸς τὸν ἀλείπτην λόγον φησίν· ἀφελοῦ τὸ ἱμάτιον αὐτοῦ, παρῆλθε γάρ*[167]*. Ἕως μὲν γὰρ ἦν ἔξω τοῦ σταδίου, καλῶς τοῖς τῶν οὐκ ἀθλούντων ἐνδύμασιν ἐκέχρητο, τὴν ἀγωνιστικὴν ἀνδρείαν τοῖς τῶν αἰσθητῶν ἐνδύμασιν ἐπικρύπτων· ἐπειδὴ δὲ εἰς τὸν ἀγῶνα παρῆλθεν, ἀφελοῦ τὸ ἱμάτιον αὐτοῦ· γυμνὸν γὰρ ἀγωνίζεσθαι δεῖ· μᾶλλον δὲ οὐ γυμνὸν μόνον, ἀλλὰ καὶ ἠλειμμένον. Τὸ μὲν γὰρ γεγυμνῶσθαι, ἀνέπαφον ποιεῖ τῷ ἀντιπάλῳ τὸν ἀγωνιστήν· τὸ δὲ ἔλαιον, εἰ καὶ ληφθείη ποτέ, διολισθαίνειν ἐκ τῆς λαβῆς παρασκευάζει· καὶ διὰ τοῦτο οἱ ἀντίπαλοι, γῆν προσπάσσειν φιλονεικοῦσι τοῖς ἀντιπάλοις· ἵνα τῇ κόνει τὴν τοῦ ἐλαίου τραχύναντες λειότητα, εὐλήπτους αὐτοὺς*

εἶχε σταθῆ γυμνός, ὅπως ὁ ἀθλητὴς στὸ σκάμμα. Ἀφ᾽ ὅτου ὅμως νικήθηκε καὶ μπῆκε στὴ ζωὴ τοῦ μόχθου [ἀπὸ ἀθλητὴς ἔγινε ἐργάτης], εὔλογα ἐνδύθηκε, ρίπτοντας ἀπὸ πάνω του τὴν γύμνωσι μαζὶ μὲ τὴν ἀθλητικὴ ἰδιότητα.

120. Γι᾽ αὐτὸ ὁ συγγραφέας τῶν Παροιμιῶν [ὁ Σολομών], λέγει λόγο πρὸς τὸν ἀλείπτη [τὸν προγυμναστή]: «ἀφαίρεσε τὸ ἔνδυμά του, διότι εἰσῆλθε [στὸν ἀγῶνα]». Διότι ἐν ὅσῳ μὲν ἦταν ἔξω τοῦ σταδίου, καλῶς εἶχε χρησιμοποιήσει τὰ ἐνδύματα ἐκείνων, οἱ ὁποῖοι δὲν ἀθλοῦνται, συγκαλύπτοντας τὴν ἀγωνιστικὴ ἀνδρεία μὲ τὰ ἐνδύματα τῶν αἰσθητῶν [πραγμάτων]. Ἐπειδὴ ὅμως εἰσῆλθε στὸν ἀγῶνα, ἀφαίρεσε τὸ ἔνδυμά του, διότι πρέπει νὰ ἀγωνισθῇ γυμνός· μᾶλλον δὲ ὄχι μόνον γυμνός, ἀλλὰ καὶ ἀλειμμένος [μὲ λάδι - προετοιμασμένος κατάλληλα γιὰ τὸν ἀγῶνα]. Διότι ἡ γύμνωσι μέν, καθιστᾶ τὸν ἀγωνιστὴ ἀνέπαφο ἀπὸ τὸν ἀντίπαλο. Τὸ δὲ λάδι, τοῦ δίνει τὴν δυνατότητα, καὶ ἂν ποτὲ πιανόταν, νὰ ξεγλιστρᾷ ἀπὸ τὴν λαβή. Καὶ γι᾽ αὐτὸ οἱ ἀντίπαλοι ἀνταγωνίζονται νὰ ρίξουν περισσότερη σκόνη ἐπάνω στοὺς ἀντιπάλους, ὥστε, ἀφοῦ τραχύνουν μὲ τὴν σκόνη τὴν λειότητα ἀπὸ τὸ λάδι, νὰ καταστήσουν αὐτοὺς εὔκολους στὸ

πρὸς τὰς λαβὰς ἀπεργάσωνται. [121.] Ὅπερ δέ ἐστιν ἐκεῖ ἡ κόνις, τοῦτο ἐν τῷ ἡμετέρῳ ἀγῶνι, τὰ γήϊνα πράγματα· καὶ ὅπερ ἐστὶν ἐκεῖ τὸ ἔλαιον, τοῦτο ἐνταῦθα τὸ ἀμέριμνον. Καὶ ὥς περ ἐκεῖ ὁ ἠλειμμένος, εὐχερῶς λύει τὰ λεγόμενα παρ᾽ αὐτοῖς ἅμματα· εἰ δὲ δέξεται κόνιν, δυσκόλως ἐκφύγοι τὴν χεῖρα τοῦ προσπαλαίοντος· οὕτως ἐνταῦθα, ὁ μηδὲν μεριμνῶν, δύσληπτός ἐστι τῷ διαβόλῳ· φροντίζων δέ, καὶ ταῖς μερίμναις, καθάπερ κόνει τινί, τραχύνων τὸ λεῖον τῆς ἀμεριμνίας τοῦ νοῦ, δυσχερῶς ἐξειλεῖ ἐκ τῆς ἐκείνου χειρός· τελείας ψυχῆς ἐστι, τὸ ἀμέριμνον· ἀτελοῦς δέ, τὸ ταῖς φροντίσι κατατρίβεσθαι. [122.] Περὶ μὲν τῆς τελείας ψυχῆς εἴρηται, ὅτι κρίνον ἐστὶν ἀνὰ μέσον τῶν ἀκανθῶν[168]*. Τοῦτο δέ, τὴν μετὰ τῶν πολυφροντίδων ἀμερίμνως διάγουσαν δηλοῖ. Τὸ γὰρ κρίνον, καὶ ἐν τῷ Εὐαγγελίῳ, τὴν ἀμέριμνον σημαίνει ψυχήν· οὐ κοπιᾷ γάρ, φησίν, οὐδὲ νήθει, καὶ μείζονα τοῦ*

νὰ συλλαμβάνωνται ἀπὸ τὶς λαβές.

121. Ὅ,τι ἀκριβῶς εἶναι ἐκεῖ ἡ σκόνη, αὐτὸ [εἶναι] στὸν δικό μας ἀγῶνα τὰ γήινα πράγματα. Καὶ ὅ,τι ἀκριβῶς εἶναι ἐκεῖ τὸ λάδι, αὐτὸ [εἶναι] ἐδῶ ἡ ἀμεριμνία. Καὶ ὅπως ἀκριβῶς ἐκεῖ, ὁ ἀλειμμένος, εὔκολα λύνει, τὰ λεγόμενα ἀπ᾽ αὐτοὺς δεσίματα· ἐὰν ὅμως δεχθῇ σκόνη, δύσκολα μπορεῖ νὰ ξεφύγῃ ἀπὸ τὸ χέρι τοῦ ἀντιπάλου· κατὰ τὸν ἴδιο τρόπο ἐδῶ, ἐκεῖνος, ὁ ὁποῖος δὲν μεριμνᾶ γιὰ τίποτα, δύσκολα συλλαμβάνεται ἀπὸ τὸν διάβολο. Ἀσχολούμενος δὲ μὲ φροντίδες καὶ τραχύνοντας μὲ τὶς μέριμνες, ὅπως ἀκριβῶς μὲ κάποια σκόνη, τὸ λεῖο τῆς ἀμεριμνίας τοῦ νοός, δύσκολα διαφεύγει ἀπὸ τὸ χέρι ἐκείνου [τοῦ διαβόλου]. [Ἴδιον] τῆς τελείας ψυχῆς [εἶναι] ἡ ἀμεριμνία, ἐνῶ τῆς ἀτελοῦς, τὸ νὰ φθείρεται μὲ τὶς φροντίδες.

122. Σχετικὰ μὲ τὴν τέλεια ψυχὴ ἔχει λεχθῆ, ὅτι εἶναι κρίνον ἀνάμεσα σὲ ἀγκάθια. Αὐτὸ δὲ δηλώνει ἐκείνη [τὴν ψυχή], ἡ ὁποία ζῇ μὲ ἀμεριμνία ἀνάμεσα στὸ πλῆθος τῶν πολυμερίμνων [ἀνθρώπων]. Τὸ κρίνο βέβαια καὶ στὸ Εὐαγγέλιο, ὑποδεικνύει τὴν ἀμέριμνη ψυχή. Διότι λέγει: «δὲν κοπιάζει οὔτε γνέθει καὶ ἔχει περιβληθῆ δόξα

Σολομῶντος περιβέβληται δόξαν[169]*. Περὶ δὲ τῶν φροντίδων [*recte*: φροντίδα] πολλὴν ἐχόντων εἰς τὰ σωματικά, πᾶς ὁ βίος ἀσεβοῦς, ἐν φροντίδι*[170]*. Καὶ γὰρ ὄντως ἐστὶν ἀσεβές, τῷ παντὶ τῷ βίῳ συμπαρεκτείνειν τὴν τῶν σωματικῶν φροντίδα, καὶ μηδεμίαν περὶ τῶν μελλόντων ἐπιδείκνυσθαι σπουδήν· καὶ τῷ μὲν σώματι, καίτοι μὴ πολλῆς δεομένῳ σχολῆς, πάντα προσαναλίσκειν τὸν χρόνον· τῇ δὲ ψυχῇ τοσοῦτον ἐχούσῃ προκοπῆς μῆκος, ὡς μὴ φθάνειν πάντα τὸν βίον πρὸς τὴν αὐτῆς τελείωσιν, μηδὲ τὸν τυχόντα καιρὸν ἀπονέμειν· εἰ δὲ καί τινα δόξομεν ἀπονέμειν, ἐκλελυμένως καὶ ῥαθύμως αὐτῇ τοῦτο παρέχομεν, ὑπὸ τῆς τῶν ὁρωμένων περιφανείας δελεαζόμενοι· καὶ ταυτὸν πάσχοντες, τοῖς ὑπὸ τῶν εἰδεχθεστάτων ἑταιρίδων ἀγκιστρευομένοις, αἳ γνησίου κάλλους ἀπορίᾳ, νόθον ἐπ᾽ ἐνέδρᾳ τῶν θεωμένων δημιουργοῦσι, ταῖς ἐπινοίαις τῶν ἐπιτριμμάτων τὴν δυσμορφίαν ἐπιδιορθούμεναι.*

μεγαλύτερη ἀπὸ [ἐκείνη] τοῦ Σολομῶντος». Σχετικὰ δὲ μ᾽ ἐκείνους, οἱ ὁποῖοι ἔχουν πολλὴ μέριμνα γιὰ τὰ σωματικά, [λέγει ἡ Ἁγία Γραφή]: «ὁλόκληρη ἡ ζωὴ τοῦ ἀσεβοῦς μέσα στὴν φροντίδα». Διότι καὶ πράγματι εἶναι ἀσεβὲς τὸ νὰ ἐπεκτείνῃ [κανείς], μαζὶ μὲ ὅλη τὴν ζωή [του], τὴν φροντίδα γιὰ τὰ σωματικὰ καὶ νὰ μὴν ἐπιδεικνύῃ καμία ἐπιμέλεια γιὰ τὰ μέλλοντα. Καὶ γιὰ μὲν τὸ σῶμα, μολονότι δὲν χρειάζεται πολλὴ ἐνασχόλησι, νὰ ἐκδαπανᾷ ὁλόκληρο τὸν χρόνο [του]· ὅσον ἀφορᾶ δὲ τὴν ψυχή, ἡ ὁποία ἔχει μέτρο προκοπῆς τόσο, ὥστε νὰ μὴν φθάνῃ ὁλόκληρη ἡ ζωὴ γιὰ τὴν τελείωσί της, νὰ μὴν παρέχῃ οὔτε τὸν τυχαῖο [ἐλάχιστο] χρόνο γιὰ νὰ ἐπιτύχῃ τὸν σκοπό [της]. Καὶ ἐὰν θὰ σκεφθοῦμε νὰ προσφέρωμε κάποιο [χρόνο] σ᾽ αὐτήν, αὐτὸν [τὸν] παρέχομε νωθρὰ καὶ ράθυμα, δελεαζόμενοι ἀπὸ τὴν ὡραιότητα ἐκείνων τὰ ὁποῖα φαίνονται. Καὶ παθαίνομε τὸ ἴδιο μὲ αὐτούς, οἱ ὁποῖοι πιάνονται στὰ ἀγκίστρια τῶν ἀποκρουστικῶν στὴν ὄψι ἑταιρίδων, οἱ ὁποῖες λόγῳ τῆς ἐλλείψεως ἀληθινῆς ὀμορφιᾶς, κατασκευάζουν, ὡς παγίδα γιὰ ἐκείνους ποὺ [τὶς] κοιτάζουν, ψεύτικη [ὀμορφιά], διορθώνοντας τὴν δυσμορφία [τους] μὲ τὴν τέχνη τῶν ψιμυθίων.

Ἅπαξ γὰρ τῇ ματαιότητι τῶν παρόντων ἡττηθέντες, τὸ αἶσχος τῆς ὕλης ἰδεῖν ἀδυνατοῦμεν, ὑπὸ τῆς προσπαθείας φενακιζόμενοι. Καὶ τούτου χάριν, ἐπὶ μὲν τῆς ἀναγκαίας οὐχ ἱστάμεθα χρείας· κόρον δέ, ὑβριστὴν τοῦ βίου προστησάμενοι, παντοίαις κτήσεσιν ἐπαναπαυόμεθα· οὐχ ὁρῶντες ὅτι μέτρον κτήσεως ἐστίν, ἡ χρεία τοῦ σώματος· τὸ δὲ ταύτην ὑπερβαῖνον, ἀκοσμία λοιπόν, καὶ οὐκέτι χρεία ἐστίν. [123.] Ὡς γὰρ ὁ συμμεμετρημένος τῷ σώματι χιτών, καὶ χρεία, καὶ κόσμος ἐστίν· ὁ δὲ πάντοθεν περιῤῥέων, καὶ τοῖς ποσὶ συμπλεκόμενος, καὶ ἐπισυρόμενος τῇ γῇ, μετὰ τοῦ ἀπρεποῦς, καὶ ἐμπόδιον εἰς πᾶσαν ἐργασίαν γίνεται· οὕτως ἡ ὑπερβαίνουσα τὴν τοῦ σώματος χρείαν κτῆσις, καὶ πρὸς ἀρετήν ἐστιν ἐμπόδιον, καὶ πολλὴν ἔχει κατάγνωσιν, παρὰ τοῖς τὴν φύσιν τῶν πραγμάτων ἐρευνᾷν δυναμένοις. [124.] Οὔτε οὖν τοῖς ὑπὸ τῶν αἰσθητῶν ἠπατημένοις προσεκτέον, οὔτε τοῖς διὰ τὸ

Διότι, ἀφοῦ μιὰ φορὰ νικηθήκαμε ἀπὸ τὴν ματαιότητα τῶν παρόντων, ἀδυνατοῦμε νὰ δοῦμε τὴν ἀσχημία τῆς ὕλης, ἐξαπατούμενοι ἀπὸ τὴν προσπάθεια [τὴν προσκόλλησι]. Καὶ χάριν αὐτοῦ βέβαια, δὲν σταματοῦμε στὴν ὑποχρεωτικὴ ἀνάγκη, ἀλλὰ ἀφοῦ τοποθετήσαμε ἀρχηγὸ τῆς ζωῆς, τὸν διεφθαρμένο χορτασμό, ἐπαναπαυόμεθα στὰ ποικίλα ἀποκτήματα, χωρὶς νὰ βλέπωμε, ὅτι τὸ μέτρον τῆς ἀποκτήσεως εἶναι ἡ ἀνάγκη τοῦ σώματος. Αὐτὸ δέ, τὸ ὁποῖο τὴν ὑπερβαίνει, εἶναι ἤδη ἀσωτία καὶ ὄχι πλέον ἀνάγκη.

123. Διότι ὅπως τὸ μετρημένο ἀναλογικὰ πρὸς τὸ σῶμα ἔνδυμα, εἶναι καὶ ἀνάγκη καὶ στολισμός· ἐνῶ ἐκεῖνο [τὸ ἔνδυμα], τὸ ὁποῖο περισσεύει ἀπὸ παντοῦ καὶ συμπλέκεται στὰ πόδια καὶ σέρνεται πίσω στὴ γῆ, μαζὶ μὲ τὸ ἀνάρμοστο, γίνεται καὶ ἐμπόδιο σὲ κάθε ἐργασία· κατὰ τὸν ἴδιο τρόπο ἡ ἀπόκτησι, ἡ ὁποία ὑπερβαίνει τὴν ἀνάγκη τοῦ σώματος, εἶναι καὶ ἐμπόδιο γιὰ τὴν ἀρετὴ καὶ συνεπάγεται μεγάλη καταδίκη γιὰ ἐκείνους ποὺ δύνανται νὰ ἐρευνοῦν τὴν φύσι τῶν πραγμάτων.

124. Ἐπομένως, οὔτε πρέπει νὰ προσκολλώμεθα σ᾽ ἐκείνους οἱ ὁποῖοι ἀπατήθηκαν ἀπὸ τὰ αἰσθητὰ [πράγματα], οὔτε πρέπει

μὴ προσεσχηκέναι τοῖς νοητοῖς, προσπεπονθόσι τοῖς γηΐνοις ἀκολουθητέον ἀκρίτως· ταυτὸν γάρ ἐστι, χρωμάτων κριταῖς χρῆσθαι τυφλοῖς, ἢ κωφοῖς τῶν κατὰ μουσικὴν φθόγγων, ἐστερημένοις τῶν πρὸς τὰ δικαζόμενα κριτηρίων· καὶ τούτοις πιστεύειν, ὡς κατὰ λόγον ἑλομένοις, τὴν τῶν παρόντων ἀπόλαυσιν. Τυφλοὶ γάρ εἰσι, τὸ ἀναγκαιότατον κριτήριον τὸν λογισμὸν πεπηρωμένοι, ᾧ κρίνεσθαι τὰ σπουδαῖα καὶ τὰ ἀδιάφορα πέφυκεν. Εἷς τούτων ἦν Ἄχαρ υἱὸς Χαρμῆ· ὁμολογῶν τῷ Ἰησοῦ ἐν τῇ σκηνῇ τοῦ βίου, κεκρυφέναι ὑπὸ τὴν γῆν τὰ κεκλεμμένα· καὶ ὑπὸ κάτω τούτων, τὸ ἀργύριον κατορωρυχέναι[171]*. Ὁ γὰρ τὰ ποικίλα τῆς ὕλης, καὶ λαμπρὰ ἀνώτερα κρίνας, τὸν δὲ λόγον ὑπὸ κάτω τούτων κατορύξας, εἰκότως ἀπατᾶται ἀλόγου δίκην, εἴκων καὶ ἐνδιδοὺς τῇ φαντασίᾳ τοῦ ἀρέσαντος· διὰ τὸ καταβιβᾶσθαι τῶν ἀρχοντικῶν θρόνων τὸν λογισμόν, καὶ ἐν τῇ τῶν ὑπηκόων μᾶλλον κα-*

νὰ ἀκολουθοῦμε ἐκείνους, οἱ ὁποῖοι ἔχουν ποθήσει ἐξαιρετικὰ τὰ γήινα, ἐξ αἰτίας τοῦ ὅτι δὲν φροντίζουν γιὰ τὰ νοητά. Διότι εἶναι τὸ ἴδιο μὲ τὸ νὰ χρησιμοποιῇ [κανεὶς] τοὺς τυφλοὺς ὡς ἐμπειρογνώμονες στὰ χρώματα, ἢ τοὺς κωφοὺς στοὺς φθόγγους, ὅσον ἀφορᾶ τὴν μουσική, οἱ ὁποῖοι, ὡς πρὸς ἐκεῖνα τὰ ὁποῖα ἐξετάζονται, εἶναι στερημένοι [τῶν ἀναγκαίων] κριτηρίων [αἰσθητηρίων]. Καὶ [δὲν πρέπει κανεὶς] νὰ ἐμπιστεύεται αὐτούς, ὅτι ἐξέλεξαν σύμφωνα μὲ τὴν λογική [τους], τὴν ἀπόλαυσι τῶν παρόντων· διότι εἶναι τυφλοὶ [καὶ] ἔχουν τυφλωθῆ ὡς πρὸς τὸν λογισμό, τὸ ἀναγκαιότατο κριτήριο, διὰ τοῦ ὁποίου ἐκ φύσεως κρίνονται τὰ σπουδαῖα καὶ τὰ αναλλοίωτα. Ἕνας ἀπὸ αὐτοὺς [τοὺς τυφλοὺς] ἦταν ὁ Ἄχαρ, ὁ γιὸς τοῦ Χαρμῆ, ὁ ὁποῖος ὁμολόγησε στὸν Ἰησοῦ [τοῦ Ναυῆ], ὅτι ὅσα ἔχουν κλαπῆ βρίσκονται κρυμμένα κάτω ἀπὸ τὴν γῆ, μέσα στὴν σκηνὴ ποὺ ζοῦσε· καὶ ὅτι κάτω ἀπὸ αὐτά, εἶναι βαθειὰ χωμένα τὰ ἀργυρὰ νομίσματα. Διότι ἐκεῖνος ὁ ὁποῖος ἔκρινε ἀνώτερα τὰ ποικίλα καὶ λαμπρὰ τῆς ὕλης, τὴν δὲ λογικὴ ἔχωσε βαθειὰ κάτω ἀπὸ αὐτά, εὐλόγως ἐξαπατᾶται κατὰ τὸν τρόπο τοῦ ἀλόγου [ζώου], ὑποχωρώντας καὶ ἐνδίδοντας στὴν φαντασία ἐκείνου [τοῦ πράγματος], τὸ ὁποῖο [τοῦ] ἄρεσε, ἕνεκα τοῦ ὅτι ἔχει κατεβάσει τὸν λογισμὸ ἀπὸ τοὺς ἀρχοντικοὺς θρόνους καὶ τὸν ἔχει κατατάξει στὴν θέσι τῶν ὑπηκόων,

ταδίκων τετάχθαι τάξει. Εἰ γὰρ ἦν οὗτος ἐπὶ τῆς ἰδίας ἱδρυμένος τάξεως, καὶ τὴν κρίσιν πεπιστευμένος τῶν φαινομένων, δικαίαν καὶ ὀρθὴν ἂν ἐξήνεγκε τὴν ψῆφον, κολάσας τὴν τοῖς ἀπατηλοῖς ἐπιδραμοῦσαν ὁρμήν. [125.] Καλὸν οὖν τοῖς ὅροις τῆς χρείας ἐμμένειν, καὶ φιλονεικεῖν πάσῃ δυνάμει τούτους μὴ ὑπερβαίνειν· ἐὰν γὰρ ὀλίγον παρενεχθῇ τις ὑπὸ τῆς ἐπιθυμίας ἐπὶ τὰ ἡδέα τοῦ βίου, οὐδεὶς λοιπὸν λόγος ἵστησι τὴν ἐπὶ τὰ πρόσω φοράν· τοῦ γὰρ ὑπὲρ τὴν χρείαν, ὅρος οὐδείς· ἀλλ᾽ ἡ ἀνόητος σπουδὴ καὶ ἀτέλεστος ματαιοπονία, τὸν περὶ τὰ τοιαῦτα πόθον αὔξει διαπαντός, καθάπερ φλόγα τῇ τῆς ὕλης προσθήκῃ τρέφουσα τὴν ἐπιθυμίαν. Ὅταν γὰρ οἱ ἅπαξ τοὺς ὅρους παρελθόντες τῆς φυσικῆς ἀνάγκης, ἐπὶ τὴν ἔνυλον ἄρξωνται προκόπτειν ζωήν, τῷ μὲν ἄρτῳ προστιθέναι, τὸ ἡδὺ προσόψημα θέλουσι· τῷ δὲ ὕδατι, τὸν τέως χρειώδη οἶνον, καὶ ἀπὸ τούτου τὸν πολυτελέστερον. Ἐνδύμασι δὲ τοῖς χρει-

μᾶλλον [δὲ] τῶν καταδίκων. Διότι, ἐὰν αὐτὸς [ὁ λογισμὸς] εἶχε σταθῆ στὴν δική του θέσι καὶ ἂν εἶχε τὴν ἐξουσία τῆς διακρίσεως, ὡς πρὸς τὰ φαινόμενα, θὰ ἐξέδιδε δίκαιη καὶ ὀρθὴ τὴν ἀπόφασι, ἐμποδίζοντας τὴν ὁρμή, ἡ ὁποία ἐπέρχεται [σ᾽ αὐτὸν] γιὰ ἀπατηλὰ [ὑλικὰ πράγματα].

125. Ἑπομένως, καλὸν [εἶναι] νὰ παραμένωμε στὰ ὅρια τῆς ἀνάγκης καὶ νὰ ἀγωνιζώμεθα μὲ ὅλη μας τὴν δύναμι νὰ μὴν ὑπερβαίνωμε αὐτά. Διότι ἐὰν κάποιος λίγο παρασυρθῆ ἀπὸ τὴν ἐπιθυμία γιὰ τὰ εὐχάριστα τοῦ βίου, καμία ἔπειτα λογικὴ δὲν ἀνακόπτει τὴν πρὸς τὰ ἔμπροσθεν ὁρμή. Διότι ὅσον ἀφορᾶ τὴν ὑπέρβασι τῆς ἀνάγκης, δὲν [ὑπάρχει] κανένα ὅριο, ἀλλὰ ἡ ἀνόητη ἐπιμέλεια καὶ ἡ δίχως τέλος ματαιοπονία, αὐξάνει πάντοτε τὸν σχετικὸ μὲ αὐτοῦ τοῦ εἴδους [τὰ πράγματα] πόθο, τροφοδοτώντας τὴν ἐπιθυμία, ὅπως ἀκριβῶς ἡ φλόγα μὲ τὴν προσθήκη τῶν ξύλων. Διότι ὅταν, ἐκεῖνοι οἱ ὁποῖοι μία φορὰ ξεπέρασαν τὰ ὅρια τῆς φυσικῆς ἀνάγκης, ἀρχίσουν νὰ προκόβουν στὴν ὑλικὴ ζωή, θέλουν στὸ μὲν ψωμὶ νὰ προσθέτουν τὸ νόστιμο προσφάγι· στὸ δὲ νερό, στὴν ἀρχὴ τὸ ἀναγκαῖο κρασὶ καὶ μετὰ ἀπὸ αὐτὸ τὸ πολυτελέστερο. Ὡς πρὸς δὲ τὰ ἐνδύματα, δὲν ἀνέ-

ὥδεσι στοιχεῖν οὐκ ἀνέχονται, ἀλλὰ τὸ πρῶτον μὲν τῶν ἐρίων τὰ λαμπρὰ συνωνοῦνται, αὐτὸ τὸ ἄνθος τῆς ἐρέας ἐκλεγόμενοι· εἶτα, μεταβαίνουσιν ἀπὸ τούτων ἐπὶ τὰ μεικτὰ ἐκ λίνου, καὶ ἐρέας ἔχοντα τὴν κατασκευήν· εἶτα, σηρικὰ περιεργάζονται· καὶ ταῦτα, λιτὰ μὲν πρῶτον, αὖθις δὲ πεποικιλμένα, πολέμοις, καὶ θηρσί, καὶ ἱστορίαις παντοδαπαῖς· σκεύη τε ἀργυρᾶ καὶ χρυσόπαστα κατασκευάζουσιν, οὐ μόνον ταῖς ἑστιάσεσι λειτουργοῦντα, ἀλλὰ καὶ ζῴοις καὶ κλινιδίοις περιττῶς περικείμενα. Καὶ τί δεῖ τὴν ἄκαιρον αὐτῶν ἐπὶ πλεῖον προθεῖναι φιλοτιμίαν, ὁπότε καὶ μέχρι τῶν ἀτιμοτάτων χρειῶν ταύτην ἐπεκτείνουσιν· οὐδὲ τὰ τῶν ἀποπατημάτων σκεύη καταξιοῦντες ἐξ ἑτέρας ὕλης δημιουργεῖν, εἰ μὴ καὶ ταύτῃ τῇ αἰσχρᾷ ὑπηρεσίᾳ διακονήσῃ ὁ ἄργυρος. Τοιοῦτον γὰρ ἡ ἡδονή· ἕως τῶν ἐσχάτων ἑαυτὴν παρεκτείνουσα, καὶ τὰ ἄτιμα τῶν ἔργων τῇ τῆς ὕλης τι-

χονται νὰ ἀρκεσθοῦν στὰ ἀναγκαῖα, ἀλλὰ πρῶτα συλλέγουν, ἀγοράζοντας ἀπὸ τὰ μάλλινα τὰ λαμπρά, διαλέγοντας αὐτὸ τὸ πλέον ἐκλεκτὸ τμῆμα τοῦ μαλλιοῦ. Ἔπειτα μεταβαίνουν ἀπὸ αὐτὰ [τὰ μάλλινα ἐνδύματα] στὰ μεικτά, τὰ ὁποῖα εἶναι κατασκευασμένα ἀπὸ λινὸ καὶ μαλλί. Κατόπιν ἐπιζητοῦν τὰ μεταξωτὰ καὶ αὐτὰ πρῶτα μὲν ἁπλᾶ, ἔπειτα δὲ στολισμένα μὲ πολέμους καὶ θηρία καὶ κάθε εἴδους ἱστορίες. Κατασκευάζουν σκεύη ἀσημένια καὶ ἐπίχρυσα, τὰ ὁποῖα ὑπηρετοῦν, ὄχι μόνο τὰ συμπόσια, ἀλλὰ τοποθετοῦνται ὁλόγυρα περιττῶς καὶ στὰ ζῶα καὶ στὰ κρεββάτια. Καὶ τί, εἶναι ἀνάγκη νὰ ἐκθέσῃ [κανεὶς] τὴν ἀνάρμοστη ὑπερβολικὴ κενοδοξία [τους], ὅταν συμβῇ νὰ ἐπεκτείνουν αὐτὴν καὶ μέχρι τὶς πιὸ ἀτιμωτικὲς ἀνάγκες· καθὼς οὔτε τὰ δοχεῖα γιὰ τὰ ἀφοδεύματα δὲν καταδέχονται νὰ κατασκευάζουν ἀπὸ διαφορετικὸ ὑλικό, ἐὰν δὲν διακονήσῃ καὶ αὐτὴ τὴν ρυπαρὴ ὑπηρεσία τὸ ἀσήμι. Διότι αὐτοῦ τοῦ εἴδους [εἶναι] ἡ ἡδονή· ἐπεκτείνει τὸν ἑαυτό της μέχρι τῶν κατωτάτων καὶ τιμᾶ μὲ τὴν πολυτέλεια τῆς ὕλης, τὰ

μῶσα πολυτελείᾳ· τοῦτο δὲ παρὰ φύσιν ἐστὶν ἔχειν λοιπόν. [126.] Ἡ γὰρ κατὰ φύσιν διαγωγὴ ἡμῖν τε, καὶ τοῖς ζῴοις, ἡ αὐτὴ ὥρισται παρὰ τοῦ Δημιουργοῦ· ἰδοὺ γὰρ δέδωκα ὑμῖν, φησὶν ὁ Θεὸς τῷ ἀνθρώπῳ, πάντα τὸν χόρτον τοῦ ἀγροῦ, ὑμῖν τε καὶ τοῖς θηρίοις ἔσται εἰς βρῶσιν[172]*. Κοινὴν οὖν λαβόντες μετὰ τῶν ἀλόγων τὴν δίαιταν, καὶ ταύτην ταῖς ἐπινοίαις ἐπὶ τὸ ἀσώτερον ἐπιτρέψαντες, πῶς οὐκ ἀλογώτεροι κριθείημεν εὐλόγως ἐκείνων; Εἴγε τὰ μὲν θηρία μένει ἐπὶ τῶν ὅρων τῆς φύσεως, οὐδὲν παρακινήσαντα τῶν παρὰ τοῦ Θεοῦ τεταγμένων· ἡμεῖς δὲ οἱ λογισμῷ τιμηθέντες, πάντη τῆς ἀρχαίας ἐκδεδιητήμεθα νομοθεσίας. Ποῖαι γὰρ παρὰ τοῖς ἀλόγοις ὀψοφαγίαι; Ποῖαι σιτοποιῶν, καὶ μαγείρων τέχναι, τῇ ἀθλίᾳ γαστρὶ δημιουργοῦσιν ἡδονάς; Οὐχὶ δὲ τὴν ἀρχαίαν εὐτέλειαν ἀγαπῶσι, ποηφαγοῦντά τε καὶ τοῖς παρατυχοῦσιν ἀρκούμενα καὶ ναματίῳ κεχρημένα ποτῷ, καὶ τούτῳ τυχὸν σπανί-*

ἀτιμωτικὰ ἔργα. Αὐτὸ βέβαια πλέον εἶναι ἡ διαστροφὴ τῆς φύσεως.

126. Διότι ὁ κατὰ φύσιν τρόπος ζωῆς ἔχει ὁρισθῆ ἀπὸ τὸν Δημιουργὸ ὁ ἴδιος καὶ στοὺς ἀνθρώπους καὶ στὰ ζῶα. Ἰδοὺ λοιπόν, λέγει ὁ Θεὸς στὸν ἄνθρωπο, ἔχω δώσει ὅλα τὰ φυτὰ τοῦ ἀγροῦ καὶ σὲ σᾶς καὶ στὰ ζῶα· [αὐτὰ] θὰ εἶναι γιὰ τροφή σας. Ἑπομένως, ἀφοῦ παραλάβαμε μαζὶ μὲ τὰ ἄλογα [ζῶα] κοινὸ τὸν τρόπο διατροφῆς καὶ τὸν μεταστρέψαμε μὲ τὶς ἐπινοήσεις [μας] πρὸς τὴν ἀσωτία, πῶς δὲν ἤθελε κριθοῦμε εὐλόγως, περισσότερο ἄλογοι ἀπὸ ἐκεῖνα; Ἐὰν μάλιστα τὰ μὲν θηρία παραμένουν στὰ ὅρια τῆς φύσεως, χωρὶς τίποτα νὰ διασαλεύσουν ἀπὸ ἐκεῖνα, τὰ ὁποῖα ἔχουν ὁρισθῆ ἀπὸ τὸν Θεό· ἐμεῖς ὅμως οἱ ὁποῖοι τιμηθήκαμε μὲ νοῦ, ἔχομε ἀποκλίνει ἐντελῶς ἀπὸ τὴν παλαιὰ νομοθεσία. Διότι ποιὰ μαγειρευμένα φαγητὰ [ὑπάρχουν] στὰ ἄλογα [ζῶα]; Ποιὲς τέχνες τῶν ἀρτοποιῶν καὶ τῶν μαγείρων παρασκευάζουν ἡδονὲς γιὰ τὴν ἄθλια γαστέρα; Δὲν ἀγαποῦν δὲ τὴν παλαιὰ λιτότητα [ποὺ ὅρισε ὁ Θεός], ὅταν τρέφωνται μὲ χόρτα καὶ συνάμα ἀρκοῦνται σὲ ὅ,τι τυχαίνει νὰ βρίσκεται καὶ χρησιμοποιοῦν τὸ νερὸ τῆς πηγῆς καὶ αὐτὸ ἴσως

ως; Διό καὶ τὰς ὑπογαστρίους ἡδονὰς μεμείωνται, οὐδεμιᾷ πιμελώδει τροφῇ τὰς ὀρέξεις προσυπαναφλέγοντα· οὐδὲ τὴν ἄῤῥενος καὶ θήλεος εἰδότα διαφοράν· εἷς γὰρ αὐτοῖς καιρὸς τοῦ ἔτους, ταύτην παρέχει τὴν αἴσθησιν, ἡνίκα ὁ τῆς φύσεως νόμος πρὸς τὴν τοῦ ὁμοίου σπορὰν τὴν σύνοδον αὐτοῖς, ἐπὶ τῇ διαμονῇ τοῦ γένους ἐξεῦρε· τὸν δὲ ἄλλον χρόνον οὕτως ἀλλοτριοῦνται, ὡς λήθην λαμβάνειν παντελῶς τῆς τοιαύτης ὀρέξεως· ἀνθρώποις δέ, ἐκ τῆς περὶ τὰ βρώματα πολυτελείας, ἡ τῶν ἀφροδισίων ἀκόρεστος ἐπιθυμία παραβλαστάνουσα, μανιώδεις ἐγκατέσπειρεν ὀρέξεις, οὐδένα καιρὸν ἠρεμεῖν συγχωροῦσα τὸ πάθος. [127.] Ἐπεὶ οὖν πολλὴ ἐν τοῖς κτήμασι βλάβη παρακολουθεῖ, καὶ πᾶσι τοῖς πάθεσιν ὡς νοσοποιὸς αἰτία παρέχει τὰς ἀφορμάς, ταύτην ἀνέλωμεν τὴν αἰτίαν, εἴπερ τῆς κατὰ ψυχὴν προνοοῦμεν εὐεξίας· ἀκτημοσύνῃ, τὸ τῆς φιλοχρηματίας ἰασώμεθα πάθος· φύγωμεν τοὺς τῶν ἀνωφε-

σπάνια; Γι᾽ αὐτὸ καὶ εἶναι ἀσθενέστερα ὡς πρὸς τὶς ὑπογάστριες ἡδονές, ἀφοῦ μὲ καμία λιπαρὴ τροφή, δὲν ἐξάπτουν ἔντονα τὶς ὀρέξεις· οὔτε γνωρίζουν τὴν διαφορὰ μεταξὺ ἀρσενικοῦ καὶ θηλυκοῦ. Διότι παρέχει σ᾽ αὐτὰ τὴν αἴσθησι αὐτή, μία ἐποχὴ τοῦ χρόνου, ὁσάκις ὁ νόμος τῆς φύσεως μὲ σκοπὸ τὴν σπορὰ τοῦ ὅμοιου, συνήθως ἐπιφέρει τὴν ἕνωσί τους γιὰ τὴν διατήρησι τοῦ γένους. Τὸν δὲ ἄλλο χρόνο, σὲ τέτοιο βαθμὸ ἀποξενώνονται, ὥστε νὰ λησμονοῦν ἐντελῶς αὐτοῦ τοῦ εἴδους τὴν διάθεσι. Στοὺς ἀνθρώπους ὅμως, ἕνεκα τῆς πολυτελείας τῆς σχετικῆς μὲ τὰ φαγητά, ἐπειδὴ βλαστάνει παράλληλα ἡ ἀκόρεστη ἐπιθυμία τῶν σαρκικῶν ἡδονῶν, ἐγκατέσπειρε μανιώδεις ἐπιθυμίες, μὴ ἐπιτρέποντας νὰ ἠρεμῇ τὸ πάθος καμία χρονικὴ περίοδο.

127. Ἐπειδὴ ἑπομένως πολλὴ βλάβη συνοδεύει τὰ ἀποκτήματα, καὶ γιὰ ὅλα τὰ πάθη ὡς νοσογόνος αἰτία παρέχει τὶς ἀφορμές, νὰ ἀναιρέσωμε αὐτὴν τὴν αἰτία, ἐὰν βέβαια φροντίζωμε τὴν εὐεξία τὴν σχετικὴ μὲ τὴν ψυχή. Μὲ τὴν ἀκτημοσύνη νὰ θεραπεύσωμε τὸ πάθος τῆς φιλοχρηματίας. Νὰ ἀποφύγωμε

λῶν ἀνθρώπων θιάσους, μόνωσιν ἀσπαζόμενοι. [128.] Ἐπιβλαβὲς γὰρ καὶ τῆς εἰρηνικῆς καταστάσεως φθοροποιόν, ἡ μετὰ τῶν εἰκαιοτέρων συνδιαίτησις. Ὡς γὰρ οἱ ἐν ἀέρι λοιμικῷ γινόμενοι, πάντως νοσοῦσιν· οὕτως οἱ ἐν ἀνθρώποις ἀδιαφόροις ἐνδιαιτώμενοι, μεταλαμβάνουσι τῆς ἐκείνων κακίας· τί γὰρ ἔτι κοινὸν ἔχουσι πρὸς τὸν κόσμον, οἱ ἀποταξάμενοι τῷ κόσμῳ; Οὐδεὶς γὰρ στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ[173]. Ἡ γὰρ περὶ τὴν πραγματείαν ἀσχολία, τὰς πολεμικὰς κωλύει γυμνασίας· ἀγύμναστοι δὲ πρὸς ἐμπειροπολέμους μαχόμενοι, πῶς ὑποστησόμεθα; [129.] Μᾶλλον δέ, εἰ δεῖ τἀληθὲς εἰπεῖν, οὕτω νωθρῶς καὶ ἐκλύτως μαχόμεθα, ὡς μηδὲ κειμένῳ τῷ πολεμίῳ δύνασθαι ἀντισχεῖν, καὶ τοὺς ἑστῶτας ὑπὸ τοῦ πεπτωκότος ἐπιβουλεύεσθαι. Ὅπερ γὰρ πάσχουσιν οἱ ἐν τοῖς πολέμοις διὰ φιλοχρηματίαν, οἱ τοὺς νεκροὺς σκυλεύοντες, με-

τὶς παρέες τῶν ἀνωφελῶν ἀνθρώπων, ἐπιδιώκοντας μὲ ζῆλο τὴν μόνωσι.

128. Διότι ἡ συναναστροφὴ μὲ τοὺς πιὸ ματαιόφρονες, εἶναι ἐπιβλαβὴς καὶ καταστρεπτικὴ τῆς εἰρηνικῆς καταστάσεως. Ὅπως βέβαια ἐκεῖνοι, οἱ ὁποῖοι βρίσκονται μέσα σὲ μολυσμένη ἀτμόσφαιρα, ὁπωσδήποτε ἀρρωσταίνουν, κατὰ τὸν ἴδιο τρόπο ἐκεῖνοι, οἱ ὁποῖοι συμβιώνουν μαζὶ μὲ ἀνθρώπους χωρὶς περιορισμούς, παίρνουν ἀπὸ τὴν κακία ἐκείνων. Ποιὸ ἐπιτέλους κοινὸ ἔχουν ἀκόμα μὲ τὸν κόσμο, ἐκεῖνοι οἱ ὁποῖοι ἀρνήθηκαν τὸν κόσμο; Διότι κανεὶς στρατευμένος δὲν μπλέκεται μὲ τὶς ἐνασχολήσεις τοῦ βίου, γιὰ νὰ ἀρέσῃ σ᾽ Ἐκεῖνον, ὁ ὁποῖος τὸν στρατολόγησε. Διότι ἡ ἐνασχόλησι μὲ τὰ τοῦ βίου, ἐμποδίζει τὰ πολεμικὰ γυμνάσματα. Πῶς ὅμως θὰ ἀντιταχθοῦμε ἀγύμναστοι, πολεμώντας ἐναντίον ἐμπειροπολέμων;

129. Ἀλλὰ μᾶλλον, ἐὰν πρέπει νὰ ποῦμε τὴν ἀλήθεια, τόσο νωθρὰ καὶ χαλαρὰ πολεμοῦμε, ὥστε νὰ μὴν δυνάμεθα νὰ ἀντισταθοῦμε οὔτε στὸν πεσμένο ἐχθρὸ καὶ νὰ γίνωνται αὐτοὶ ποὺ εἶναι ὄρθιοι, θύματα [πολεμικῆς] ἐπιβουλῆς ἀπὸ ἐκεῖνον ποὺ ἔχει πέσει κάτω. Διότι [παθαίνομε] ἐκεῖνο, τὸ ὁποῖο ἀκριβῶς παθαίνουν στοὺς πολέμους μετὰ τὴν νίκη πολλὲς φορές, ἐκεῖνοι οἱ ὁποῖοι λαφυραγωγοῦν τοὺς νεκρούς, ἕνεκα φιλοχρημα-

τὰ τὴν νίκην πολλάκις ἀναιρούμενοι ὑπὸ τῶν κειμένων· καὶ κέρδους αἰσχροῦ χάριν μετὰ τὰ τρόπαια ἀπολλύμενοι· ἐλεεινῶς πάσχομεν, κειμένῳ τῷ ἐχθρῷ καὶ ἀποπνέοντι πλησιάζοντες· ὡς γὰρ ἐκεῖνοι τῷ πόθῳ τῶν χρημάτων ἐρευνῶντες τοὺς νεκρούς, πολλάκις ἡμιθανεῖ τινὶ προσελθόντες, καὶ παραλύοντες, λάθρᾳ δεξάμενοι καιρίαν πληγὴν κατέπεσον, τὴν ἐπὶ νίκῃ εὔκλειαν ἀλογίστως αἰσχύναντες· οὕτως ἡμεῖς, ὅταν διὰ σωφροσύνης καὶ ἐγκρατείας καταβάλωμεν τὸν βάρβαρον, ἢ δόξωμεν καταβεβληκέναι, τότε τῶν περὶ αὐτὸν ἐρασθέντες ἐνδυμάτων· ὅπερ ἐστὶ τὰ παρὰ τοῖς ἀνθρώποις τίμια, πλοῦτοι, δυναστεῖαι, εὐεξίαι, δόξαι· προσεγγίζομεν αὐτῷ λαβεῖν τι τῶν αὐτοῦ γλιχόμενοι, καὶ οὕτως ἀποθνήσκομεν, ἑαυτοὺς τῇ σφαγῇ προσάγοντες· οὕτως ἀπώλοντο αἱ πέντε παρθένοι· διὰ μὲν τῆς ἁγνείας ἀνελοῦσαι τὸν πολέμιον· διὰ δὲ ἀσπλαχνίαν, ἣν φιλοχρηματία γεννᾷ, ἑαυτὰς ἐπὶ τὸ ξίφος ὠ-

τίας, οἱ ὁποῖοι φονεύονται ἀπὸ ἐκείνους ποὺ κείτονται κάτω [ἀκόμα ζωντανοὶ] καὶ πεθαίνουν χάριν αἰσχροῦ κέρδους, ὕστερα ἀπὸ τὰ τρόπαια [τῆς νίκης]. [Αὐτὸ ἀκριβῶς καὶ ἐμεῖς] ἐλεεινὰ παθαίνομε, ὅταν πλησιάζωμε, ἐνῶ ὁ ἐχθρὸς κείτεται κάτω καὶ [ἀκόμη] ἀναπνέει. Διότι ὅπως ἐκεῖνοι, ὅταν ἐρευνοῦν τοὺς νεκρούς, ἕνεκα τοῦ πόθου τῶν χρημάτων, πολλὲς φορὲς πλησιάζοντας κάποιον ἡμιθανῆ καὶ ἐπειδὴ χαλάρωσαν, ἀφοῦ δέχθηκαν θανατηφόρο πληγή, ἔπεσαν κάτω, ντροπιάζοντας ἀστόχαστα τὴν δόξα γιὰ τὴν νίκη. Κατὰ τὸν ἴδιο τρόπο ἐμεῖς, ὅταν μὲ τὴν σωφροσύνη καὶ τὴν ἐγκράτεια φονεύωμε τὸν βάρβαρο [ἐχθρὸ διάβολο], ἢ νομίσωμε ὅτι [τὸν] ἔχομε καταβάλλει, τότε ἐπειδὴ ἐπιθυμήσαμε τὰ σχετικὰ μ᾽ αὐτὸν ἐνδύματα - τὸ ὁποῖο ἀκριβῶς εἶναι τὰ πολύτιμα γιὰ τοὺς ἀνθρώπους, πλοῦτοι, ἐξουσίες, σωματικὲς δυνάμεις, δόξες- πλησιάζομε σ᾽ αὐτὸν ὀρεγόμενοι νὰ πάρωμε κάτι ἀπὸ τὰ δικά του καὶ κατ᾽ αὐτὸ τὸν τρόπο πεθαίνομε, ὁδηγώντας τοὺς ἑαυτούς μας στὴν σφαγή. Κατ᾽ αὐτὸν τὸν τρόπο χάθηκαν οἱ πέντε παρθένοι, διότι, ἐνῶ μὲν μὲ τὴν ἁγνεία σκότωσαν τὸν ἐχθρό, μὲ τὴν ἀσπλαχνία ὅμως, τὴν ὁποία γεννᾶ ἡ φιλοχρηματία, ἔσπρωξαν τοὺς ἑαυτούς τους στὸ ξίφος

θήσασαι τοῦ, διὰ τὸ κεῖσθαι, ἀνελεῖν τὰς ἐφεστώσας ἀδυνατοῦντος. [130.] Μηδὲν οὖν τῶν ἐκείνου θελήσωμεν, ἵνα μὴ ἅμα τοῖς ἐκείνου καὶ τὴν ψυχὴν προσαπωλέσωμεν. Καλεῖ γὰρ καὶ νῦν ἐπ᾽ αὐτά, καὶ προτρέπεται πάντας, ἐὰν εὕρῃ μάλιστα πειθομένους· εἰ γὰρ αὐτὸν τὸν Κύριον ἐκάλει λέγων· ταῦτά σοι πάντα δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι[174]*· καὶ ἀπατᾷν ἐπεχείρει, διὰ τῶν ἐν βίῳ δοκούντων λαμπρῶν, τὸν τούτων οὐκ ἐπιδεόμενον· πῶς τοὺς εὐαλώτους ἀνθρώπους, οὐκ οἰήσεται ἀπατήσειν, ἐπιῤῥεπῶς ἔχοντας πρὸς τὴν τῶν αἰσθητῶν πραγμάτων ἀπόλαυσιν; [131.] Γυμνάσωμεν τὸν νοῦν πρὸς εὐσέβειαν, εἴγε ἡ σωματικὴ κατώρθωται γυμνασία. Ἡ γὰρ σωματικὴ γυμνασία, πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος, παιδικοῖς ἐοικυῖα μαθήμασιν· ἡ δὲ εὐσέβεια, πρὸς πάντα ὠφέλιμός ἐστι*[175]*, τὴν ἐν τῇ ψυχῇ κατασκευάζουσα εὐεξίαν, τοῖς ἐφιεμένοις τῆς κατὰ τῶν ἀντιπάλων παθῶν νίκης. Ὡς γὰρ τοῖς ἐπὶ τὰ*

ἐκείνου ὁ ὁποῖος, ἕνεκα τοῦ ὅτι ἦταν πεσμένος κάτω, ἀδυνατοῦσε νὰ σκοτώσῃ αὐτές, ποὺ εἶχαν σταθῆ ὄρθιες.

130. Νὰ μὴν θελήσωμε λοιπὸν κανένα ἀπὸ τὰ δικά του, γιὰ νὰ μὴν χάσωμε μαζὶ μὲ τὰ [πράγματα] ἐκείνου καὶ τὴν ψυχή [μας]. Διότι καὶ τώρα [ὁ διάβολος], ὅλους [τοὺς] προσκαλεῖ καὶ [τοὺς] προτρέπει, πρὸ πάντων ἐὰν [τοὺς] βρῇ νὰ ὑπακούουν [σ᾽ αὐτόν]. Διότι ἐὰν προσκαλοῦσε αὐτὸν τὸν ἴδιο τὸν Κύριο, λέγοντας: «ὅλα αὐτὰ θὰ σοῦ [τὰ] δώσω ἐάν, ἀφοῦ πέσῃς μὲ προσκυνήσῃς». Καὶ ἐπιχειροῦσε νὰ ἐξαπατήσῃ μ᾽ ἐκεῖνα τὰ ὁποῖα θεωροῦνται λαμπρὰ στὴν ζωή, Ἐκεῖνον ὁ ὁποῖος δὲν τὰ εἶχε ἀνάγκη· πῶς δὲν θὰ ἔχῃ τὴν γνώμη, ὅτι θὰ ἐξαπατήσῃ τοὺς εὐάλωτους ἀνθρώπους, οἱ ὁποῖοι εἶναι ἐπιρρεπεῖς στὴν ἀπόλαυσι τῶν αἰσθητῶν πραγμάτων;

131. Νὰ γυμνάσωμε τὸν νοῦ στὴν εὐσέβεια, ἐὰν βεβαίως ἔχῃ κατορθωθῆ ἡ σωματικὴ ἄσκησι. Διότι ἡ σωματικὴ ἄσκησι, ἐπειδὴ εἶναι ὅμοια μὲ παιδικὰ μαθήματα, εἶναι γιὰ λίγο ὠφέλιμη. Ἡ δὲ εὐσέβεια εἶναι γιὰ πάντα ὠφέλιμη, ἐπειδὴ παρέχει τὴν δύναμι στὴν ψυχὴ σ᾽ ἐκείνους οἱ ὁποῖοι ἐπιθυμοῦν τὴν νίκη κατὰ τῶν ἀντιπάλων παθῶν. Διότι ὅπως οἱ ἀθλη-

*παιδικὰ γυμναζομένοις ἀθληταῖς, σῶμα ἀσκεῖν εὐπρεπὲς καὶ τὰ μέλη κινεῖν συνεχῶς ἀνδρείας τε καὶ ἀθλητικῆς ἰσχύος ἀγωνιστικῶς ἐπιμελεῖσθαι, καὶ ἐπὶ τοὺς ἱεροὺς ἀλείφεσθαι ἀγῶνας· οὕτω τοῖς ἀρχομένοις τῆς θεοσεβείας, ἐπιμελὲς τὰς ἐνεργείας κωλύειν· ἀγαπητὸν γάρ, εἰ κρατήσειεν τῶν παθῶν, ἐξοιστρούμενοι ὑπὸ τῶν συντρόφων ἡδονῶν· καὶ ἐπὶ τῆς συνηθείας, ἀπροαιρέτως σχεδὸν ἐλαυνόμενοι κακά. [**132.**] Τοῖς δὲ ἐν ἕξει γεγενημένοις τῆς πρακτικῆς ἀρετῆς, καὶ τῶν κατὰ διάνοιαν λοιπὸν φροντίζουσι, πᾶσα σπουδή, φυλάττειν τὸν λογισμόν, ὡς μὴ κινηθέντα ἀτάκτως, ἐπί τι κατενεχθῆναι τῶν ἀτελῶν. Καὶ ἁπλῶς, τοῖς μέν ἐστι σπουδή, σωματικὰς παιδαγωγῆσαι κινήσεις· τοῖς δέ, τὰς ὁρμὰς πεδῆσαι τοῦ λογισμοῦ, πρὸς μόνην τὴν ἐμφιλόσοφον εὐρύθμως κινεῖσθαι διαγωγήν, μηδεμιᾶς κοσμικῆς φαντασίας περισπώσης ἀπὸ τῶν θειοτέρων νοημάτων τὸν λογισμόν. [**133.**] Δεῖ γὰρ τετᾶ-*

τές, οἱ ὁποῖοι γυμνάζονται στὰ παιδικὰ [ἀγωνίσματα, πρέπει] νὰ διαπλάθουν τὸ σῶμα εὐπαρουσίαστο καὶ νὰ κινοῦν συνεχῶς τὰ μέλη καὶ νὰ ἐπιμελοῦνται ἀγωνιστικὰ τὴν ἀνδρεία καὶ τὴν ἀθλητικὴ δύναμι καὶ νὰ ἀλείφωνται [μὲ λάδι- ὥστε νὰ ἑτοιμάζωνται] γιὰ τὰ ἱερὰ ἀγωνίσματα· κατὰ τὸν ἴδιο τρόπο φροντίζουν ἐκεῖνοι, οἱ ὁποῖοι ἀρχίζουν [τὴν ζωὴ] τῆς θεοσεβείας, νὰ ἐμποδίζουν τὶς ἐνέργειες [τῶν παθῶν]. Διότι [πρέπει νὰ εἶναι] εὐχαριστημένοι, ἐὰν μποροῦν νὰ κυριαρχήσουν στὰ πάθη, ὅταν γίνωνται ὡς παράφρονες ἀπὸ τὶς οἰκεῖες ἡδονές· καὶ ὅταν πιέζωνται σχεδὸν χωρὶς νὰ τὸ θέλουν στὰ κακά, ἀπὸ τὴν συνήθεια.

132. Ὅσον ἀφορᾶ δὲ αὐτούς, οἱ ὁποῖοι ἔχουν πλέον ἕλθη στὴν ἕξι [κατάστασι] τῆς πρακτικῆς ἀρετῆς καὶ προσέχουν τὰ σχετικὰ μὲ τὴν διάνοια, [πρέπει νὰ ἔχουν] κάθε ἐπιμέλεια, νὰ φυλάττουν τὸν νοῦ [τήρησι νοός], ὥστε νὰ μὴν ἐπιστρέψῃ σὲ κάποιο ἀπὸ τὰ μάταια, ἐπειδὴ κινήθηκε ἀπείθαρχα. Καὶ ἁπλᾶ, στοὺς μέν, ὑπάρχει φροντίδα νὰ παιδαγωγήσουν τὶς σωματικὲς κινήσεις, σ᾽ ἐκείνους δὲ [οἱ ὁποῖοι ἔχουν πλέον ἔλθη στὴν κατάστασι τῆς πρακτικῆς ἀρετῆς, ὑπάρχει φροντίδα] νὰ δέσουν μὲ δεσμὰ τὶς ὁρμὲς τοῦ λογισμοῦ, ὥστε νὰ κινῆται εὔρυθμα μόνο πρὸς τὸν τρόπο ζωῆς τῆς ἐν Χριστῷ φιλοσοφίας, χωρὶς καμία κοσμικὴ φαντασία νὰ περισπᾷ τὸν λογισμὸ ἀπὸ τὰ κατὰ Θεὸν νοήματα.

133. Διότι πρέπει νὰ εἶναι τετα-

σθαι τὴν τοῦ θεοσεβοῦντος ἐπιθυμίαν ὅλην πρὸς τὸν ποθούμενον, ὥστε μηδ᾽ ὅλως εὑρίσκειν καιρὸν τοὺς ἀνθρωπίνους λογισμούς, ἐνεργεῖν τὰ οἰκεῖα πάθη. Εἰ γὰρ ἕκαστον πάθος, ὅταν ἐν τῷ κεκρατημένῳ κινηθῇ, κατέχει τὸν λογισμὸν πεπεδημένον· διατί μὴ καὶ ὁ τῆς ἀρετῆς ζῆλος, σχολάζουσαν ἀπὸ τῶν λοιπῶν καθέξει τὴν ἔννοιαν; Ποίαν γὰρ αἴσθησιν τῶν ἔξωθεν ὁ θυμούμενος λαμβάνει, πρὸς τὸ τοῦ λελυπηκότος εἴδωλον κατὰ διάνοιαν μαχόμενος; Ποίαν δὲ ὁ χρημάτων ἐφιέμενος, ὅταν, συναρπασθεὶς ὑπὸ τῆς φαντασίας, ταῖς ποριστικαῖς ὕλαις ἐνατενίζῃ; Ὁ δὲ ἀκόλαστος, πολλάκις καὶ συνεδρεύων τισί, κατέδυσε τὰ αἰσθητήρια· καὶ τὴν ποθουμένην ὄψιν λαβών, ἐκείνῃ προσομιλεῖ, τῶν παρόντων ἐπιλαθόμενος· καὶ στήλῃ καθέζεται ἄφωνος· εἰδὼς μὲν τῶν ἐν ὀφθαλμοῖς γινομένων, ἢ λαμβανομένων, οὐδέν· νενευκὼς δὲ ἐπὶ τὰ ἔνδον, ὅλος ἐστὶ τῆς φαντασίας. Τὴν τοιαύτην ψυχήν, τάχα ἀποκαθημέ-

μένη ὁλόκληρη ἡ ἐπιθυμία ἐκείνου ὁ ὁποῖος θεοσεβεῖ, πρὸς τὸν ποθούμενο [Θεό], ὥστε καθόλου νὰ μὴν βρίσκουν καιρὸ οἱ ἀνθρώπινοι λογισμοί, νὰ ἐνεργοῦν τὰ δικά τους πάθη. Διότι ἐὰν κάθε πάθος, ὅταν κινηθῇ μέσα σ᾽ ἐκεῖνον στὸν ὁποῖο ἔχει κυριαρχήσει, κρατᾷ τὸν λογισμό [του] δεσμευμένο, γιατὶ νὰ μὴν κρατήσῃ τὸν λογισμὸ ἀργὸ ἀπὸ [ὅλα] τὰ ὑπόλοιπα [πάθη] καὶ ὁ ζῆλος τῆς ἀρετῆς; Διότι αὐτὸς ὁ ὁποῖος θυμώνει ἐναντίον τῆς φανταστικῆς εἰκόνας ἐκείνου ποὺ [τὸν] ἔχει λυπήσει, ὅταν διαπληκτίζεται κατὰ διάνοια, ποιὰ ἀντίληψι τῶν ἐξωτερικῶν [πραγμάτων] λαμβάνει; Ποιὰ δὲ [ἀντίληψι τῶν ἐξωτερικῶν πραγμάτων λαμβάνει], ἐκεῖνος ὁ ὁποῖος ἐπιθυμεῖ χρήματα, ὅταν, ἀφοῦ συναρπασθῇ ἀπὸ τὴν φαντασία, προσηλώνῃ τὸ βλέμμα [του], στὰ μέσα ἀποκτήσεώς [τους]; Ὁ δὲ ἀκόλαστος, πολλὲς φορὲς καὶ ὅταν κάθεται μαζὶ μὲ ἄλλους, συνήθως βυθίζει τὰ αἰσθητήριά [του]· καὶ λαμβάνοντας [στὸν νοῦ] τὴν μορφὴ τὴν ὁποία ποθεῖ, μ᾽ ἐκείνη συναναστρέφεται, λησμονώντας τοὺς παρόντες. Καὶ κάθεται ὡς ἄφωνη στήλη. Ἐνῶ μὲν δὲν γνωρίζει τίποτα ἀπο ὅσα γίνονται ἢ συμβαίνουν μπροστὰ στὰ μάτια [του]· ὅταν δὲ σκύβῃ μέσα του, διακατέχεται ὁλόκληρος ἀπὸ τὴν φαντασία. Αὐτοῦ τοῦ εἴδους ἴσως τὴν ψυχὴ

νην ὀνομάζει ὁ νόμος[176]*, ὅταν μακρὰν τῶν αἰσθήσεων καθημένη συστείλλη τὴν οἰκείαν ἐνέργειαν· μηδενὸς ὅλως τῶν ἔξωθεν ἀντιλαμβανομένη, διὰ τὴν κατέχουσαν αὐτὴν αἰσχρὰν φαντασίαν. Εἰ δὲ ταῦτα οὕτω κρατεῖ τοῦ λογισμοῦ διὰ τὴν προσπάθειαν, καὶ ἀργεῖν τὰς αἰσθήσεις παρασκευάζει, πόσῳ μᾶλλον ὁ τῆς φιλοσοφίας ἔρως, ἀποτάξασθαι, καὶ τοῖς αἰσθητοῖς, καὶ ταῖς αἰσθήσεσι ποιήσει τὸν νοῦν, μετάρσιον ἁρπάζων αὐτόν, τῇ τῶν νοητῶν θεωρίᾳ προσασχολῶν; Ὡς γὰρ τεμνόμενον, ἢ καιόμενον, οὐκ ἂν εἰσέλθοι λογισμὸς ἔξω τοῦ κατέχοντος πάθους, διὰ τὴν κρατοῦσαν ὀδύνην· οὕτως οὐδὲ τὸν ὁτιοῦν ἐμπαθῶς λογιζόμενον, παρενθυμεῖσθαι δυνατὸν ἄλλο τι, τοῦ κατέχοντος πάθους τὴν διάνοιαν, ὅλον τῇ οἰκείᾳ ποιότητι τὸν λογισμὸν ποιήσαντος. Ὀδύνη γὰρ οὐ παραδέχεται πόνον, οὐδὲ λύπη χαράν, οὐδὲ κατήφεια εὐφροσύνην· οὐδ᾽ αὖ πάλιν πόνος δυναστεύων, προσίεται ἡδονήν· οὐδὲ κρατοῦ-*

ὀνομάζει ὁ Νόμος «ἀποκαθημένη» [καθισμένη χωριστά], ὅταν, καθισμένη μακριὰ ἀπὸ τὶς αἰσθήσεις, μειώνῃ τὴν δική της πραγματικότητα· ἐπειδὴ δὲν ἀντιλαμβάνεται ἐντελῶς τίποτα ἀπὸ τὰ ἔξω, ἕνεκα τῆς αἰσχρῆς φαντασίας ἡ ὁποία τὴν διακατέχει. Ἐὰν λοιπὸν αὐτὰ κατ᾽ αὐτὸν τὸν τρόπο ἐξουσιάζουν τὸν λογισμὸ ἐξ αἰτίας τῆς προσπαθείας [τῆς προσκολλήσεως] καὶ καθιστοῦν ἀργὲς τὶς αἰσθήσεις, πόσο περισσότερο ὁ ἔρωτας τῆς [κατὰ Θεὸν] φιλοσοφίας, θὰ κάνῃ νὰ ἀποχωρισθῇ ὁ λογισμὸς καὶ ἀπὸ τὰ αἰσθητὰ καὶ ἀπὸ τὶς αἰσθήσεις, ἁρπάζοντας αὐτὸν μετάρσιο, προσηλωμένο στὴν θεωρία τῶν νοητῶν; Διότι ὅπως σ᾽ ἐκεῖνον, ὁ ὁποῖος κόβεται ἢ καίγεται δὲν εἶναι δυνατὸν νὰ εἰσέλθῃ λογισμός, ἐκτὸς τοῦ παθήματος τὸ ὁποῖο [τὸν] καταθλίβει, ἕνεκα τῆς ὀδύνης ποὺ κυριαρχεῖ· κατὰ τὸν ἴδιο τρόπο, οὔτε ἐκεῖνος ὁ ὁποῖος σκέπτεται ὁτιδήποτε ἐμπαθῶς, [εἶναι] δυνατὸν νὰ βάλῃ στὸν νοῦ του κάτι ἄλλο ἐκτὸς ἀπὸ τὸ πάθος, τὸ ὁποῖο ἐξουσιάζει τὴν διάνοια, φέρνοντας συνήθως [τὸ πάθος] ὁλόκληρο τὸν λογισμό, στὴν δική του ποιότητα. Διότι ἡ ὀδύνη δὲν ἀναδέχεται τὸν κόπο, οὔτε ἡ λύπη τὴν χαρά, οὔτε ἡ κατήφεια τὴν εὐφροσύνη, οὔτε ἄλλωστε πάλι ὅταν ὁ κόπος καταπιέζῃ, ἐπιτρέπει νὰ πλησιάσῃ ἡ ἡδονή. Οὔτε ὅταν ἐπι-

σα λύπη, χαρὰν ἔχει παρεζευγμένην· οὐδὲ κατήφεια ἐγκέκραται εὐφροσύνῃ· ἀλλὰ ἐπιπλόκως ἔχει πρὸς ἄλληλα τὰ ἐναντία πάθη, καὶ οὐκ ἂν εἰς τὸ αὐτὸ συνέλθοι ποτέ, οὐδὲ μὴ ῥέψοι πρὸς φιλικὴν κοινωνίαν, διὰ τὴν ἐκ φύσεως ἄσπονδον ἔχθραν, καὶ ἀλλοτρίωσιν. Μὴ τοίνυν τὸ τῆς ἀρετῆς καθαρόν, ταῖς τῶν κοσμικῶν πραγμάτων ἐννοίαις ἐπιθολούσθω. Μηδὲ τὸ τῆς θεωρίας εἰλικρινές, σωματικαῖς ἐπιταρασσέσθω φροντίσιν· ἵνα ἡ τῆς ἀληθοῦς φιλοσοφίας εἰκών, τὸ οἰκεῖον ἀπολάμπουσα κάλλος, μηκέτι ψέγηται παρὰ τῶν θρασυστόμων, μηδὲ χλεύης ὑπόθεσις, διὰ τῆς τῶν γραφόντων ἀπειρίας γένηται, ἀλλ᾽ ἐπαινῆται· κἂν μὴ παρὰ ἀνθρώπων, ἀλλ᾽ οὔνγε παρὰ τῶν ἄνω δυνάμεων· ἢ παρ᾽ αὐτοῦ τοῦ Δεσπότου Χριστοῦ, παρ᾽ οὗ καὶ οἱ ἅγιοι ἐζήτουν τὸν ἔπαινον· ὡς ὁ μέγας Δαβίδ, ὁ πατήσας τὴν ἀνθρωπίνην δόξαν, καὶ παρὰ Θεοῦ τὴν εὐφημίαν αἰτῶν· παρὰ σοῦ ὁ ἔπαινός μου[177]*, λέγων· καὶ ἐν τῷ*

κρατῇ ἡ λύπη ἔχει συνδεδεμένη μαζί της τὴν χαρά, οὔτε ἡ κατήφεια ἔχει ἀναμειχθῇ μὲ τὴν εὐφροσύνη. Ἀλλὰ τὰ ἀντίθετα πάθη ἔχουν ἐπιπλοκὲς μεταξύ τους καὶ δὲν εἶναι δυνατὸν ποτὲ νὰ συμβαδίσουν, οὔτε θὰ στραφοῦν σὲ φιλικὴ ἐπικοινωνία λόγῳ τῆς ἐκ φύσεως ἄσπονδης ἔχθρας καὶ ἀποξενώσεως. Ἂς μὴν θολώνεται λοιπὸν ἡ καθαρότητα τῆς ἀρετῆς, ἐπιπλέον ἀπὸ τοὺς λογισμοὺς τῶν κοσμικῶν πραγμάτων. Οὔτε ἡ ἀκεραιότητα τῆς θεωρίας νὰ ταράσσεται ἀπὸ τὶς σωματικὲς φροντίδες, ὥστε ἡ εἰκόνα τῆς ἀληθινῆς [ἐν Χριστῷ] φιλοσοφίας, καθὼς ἀκτινοβολεῖ τὸ δικό της κάλλος, νὰ ἐπικρίνεται ἀπὸ τοὺς αὐθάδεις, οὔτε νὰ γίνῃ ἀντικείμενο χλευασμοῦ ἐξ αἰτίας τῆς ἀπειρίας ἐκείνων, οἱ ὁποῖοι [τὴν] ἀντιγράφουν [προσπαθοῦν νὰ τὴν βιώσουν], ἀλλὰ νὰ ἐπαινῆται, κι ἂν ὄχι ἀπὸ τοὺς ἀνθρώπους, ἀλλὰ πράγματι βέβαια ἀπὸ τὶς ἄνω [ἀγγελικές] δυνάμεις· ἢ ἀπὸ αὐτὸν τὸν ἴδιο τὸν Δεσπότη Χριστό, ἀπὸ τὸν ὁποῖο καὶ οἱ ἅγιοι ἐπιζητοῦσαν τὸν ἔπαινο· ὅπως ὁ μέγας Δαυΐδ, ὁ ὁποῖος, κατεπάτησε τὴν ἀνθρώπινη δόξα καὶ ζητᾶ τὴν ἐπιδοκιμασία ἀπὸ τὸν Θεό, λέγοντας «ἀπὸ Σένα ὁ ἔπαινός μου», καὶ

Κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου[178]*. Ἄνθρωποι μὲν γὰρ πολλάκις, καὶ βασκανίᾳ διαβάλλουσι τὰ καλά· τὸ δὲ ἄνω θέατρον, ἀδεκάστως κρίνει τὰ πράγματα, καὶ τῇ ἀληθείᾳ τῶν γινομένων τὴν ψῆφον βραβεύει. [134.] Τοῦτο οὖν, ὃ καὶ ἀνάγκη τέρψαι τῇ τῶν ἔργων τερπνότητι, τερπέσθω τὸ θέατρον· παρὰ δὲ τῶν οὐδὲ ἀμοιβὰς ἀποδοῦναι τῶν εὖ βεβιωμένων, οὔτε ὑπὲρ τῶν ἄλλως ἐχόντων τιμωρήσασθαι δυναμένων ἀνθρώπων, οὐ πολὺς ὁ λόγος· ἐὰν ἢ φθόνῳ, ἢ προσπαθείᾳ, τὰ τῆς ἀρετῆς ἔργα κακίας ὀνόμασι συσκιάζοντες, τὸν τῷ Θεῷ, καὶ Ἀγγέλοις ἐγνωσμένον βίον, πεπλανημέναις διαβάλλωσι βλασφημίαις· ἕψεται γὰρ πάντως κατὰ τὸν καιρὸν τῆς ἀνταποδόσεως τοῖς εὖ βεβιωκόσιν, οὐκ ἀπὸ τῆς τῶν ἀνθρώπων ὑπολήψεως, ἀλλ᾽ ἀπ᾽ αὐτῆς τῶν βεβιωμένων τῆς ἀληθείας, ἡ ἀμοιβὴ τῶν αἰωνίων ἀγαθῶν. Ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν· χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽*

«στὸν Κύριο θὰ ἐπαινεθῇ ἡ ψυχή μου». Διότι πολλὲς φορὲς μὲν οἱ ἄνθρωποι καὶ ἕνεκα φθόνου, διαβάλλουν τὰ καλά, ἀλλὰ τὸ οὐράνιο θεωρεῖο [τοῦ Θεοῦ], κρίνει ἀδέκαστα τὰ πράγματα καὶ δίνει ἐπιδοκιμαστικὰ τὴν ἀποφασιστικὴ ψῆφο, σὲ ὅσα γίνονται σύμφωνα μὲ τὴν ἀλήθεια.

134. Αὐτὸ λοιπὸν τὸ [οὐράνιο] θεωρεῖο ἂς εὐχαριστηθῇ, τὸ ὁποῖο [εἶναι] καὶ ἀνάγκη νὰ εὐχαριστήσωμε, μὲ τὸ εὐάρεστο τῶν ἔργων [μας]. Γιὰ δὲ τοὺς ἀνθρώπους, οἱ ὁποῖοι δὲν δύνανται οὔτε ἀμοιβὲς νὰ ἀποδώσουν γιὰ ἐκεῖνα τὰ ὁποῖα ἔχουν βιωθῆ ἐνάρετα, οὔτε νὰ τιμωρήσουν ἕνεκα ἐκείνων ποὺ ἔχουν ἀλλιῶς [εἶναι δηλαδὴ κακῶς ἐργασμένα], δὲν εἶναι σπουδαῖος λόγος, ἐὰν ἢ ἀπὸ φθόνο ἢ προσπάθεια, συγκαλύπτοντας μὲ τὰ ὀνόματα τῆς κακίας τὰ ἔργα τῆς ἀρετῆς, διαβάλλουν μὲ πεπλανημένες βλασφημίες τὸν τρόπο ζωῆς, ὁ ὁποῖος εἶναι γνωστὸς στὸν Θεὸ καὶ στοὺς Ἀγγέλους. Θὰ ἐπακολουθήσῃ βέβαια ὁπωσδήποτε, κατὰ τὸν καιρὸ τῆς ἀνταποδόσεως, ἡ ἀμοιβὴ τῶν αἰωνίων ἀγαθῶν, σ᾽ ἐκείνους οἱ ὁποῖοι ἔχουν ζήσει ἐνάρετα, ὄχι λόγῳ τῆς ὑπολήψεως τῶν ἀνθρώπων [γι᾽ αὐτούς], ἀλλὰ λόγῳ αὐτῆς τῆς ἰδίας τῆς ἀληθείας, ὅσων ἔπραξαν κατὰ τὴν διάρκεια τῆς ζωῆς τους. Αὐτὰ [τὰ αἰώνια ἀγαθά], μακάρι νὰ γίνῃ νὰ ἐπιτύχωμε ὅλοι μας, μὲ τὴν Χάρι καὶ τὴν φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν

οὗ τῷ Πατρὶ δόξα, ἅμα τῷ Ἁγίῳ Πνεύματι· νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ὁποῖο ἡ δόξα μαζὶ μὲ τὸν Πατέρα καὶ τὸ Ἅγιον Πνεῦμα, νῦν καὶ ἀεὶ καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΣΗΜΕΙΩΣΕΙΣ - ΣΧΟΛΙΑ

ΣΗΜΕΙΩΣΕΙΣ - ΣΧΟΛΙΑ

ΑΓΙΟΥ ΝΙΚΟΔΗΜΟΥ

α´ ***Εἰ δέ.***

β´ ***Ὄντος.***

γ´ ***Εἰκαῖος.***

δ´ ***Φορολογίαν.***

ε´ ***Τρυφόντων.***

ς´ ***Χαύνωσις.***

ζ´ ***Φθίσις· ὄνομα νόσου ἐξ αἵματος γινομένης.***

η´ ***Ἐν ἄλλοις ὁ νόμος.***

θ´ ***Ἐν ἄλλοις πυῤῥούς.***

ι´ ***Ἴσως ἐξελεῖται.***

ΠΑΡΑΠΟΜΠΕΣ

ΣΕ ΧΩΡΙΑ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ

[1] Ἱερεμ. 42, 6.
[2] Πρβ. Πράξ. 20, 24.
[3] Α´ Κορ. 4, 11 κ.ἑ., Β´ Κορ. 11, 23 κ.ἑ.
[4] Πρβ. Γαλ. 6, 14
[5] Λουκ. 9, 62.
[6] Ματθ. 6, 33.
[7] Ματθ. 6, 26 κ.ἑ.
[8] Ματθ. 10, 10.
[9] Α´ Τιμόθ. 6, 5.
[10] Πρβ. Α´ Τιμόθ. 3, 5.
[11] Δευτερ. 23, 14.
[12] Πρβ. Ἡσ. 52, 5, Ῥωμ. 2, 24.
[13] Πρβ. Τίτ. 2, 12.

[14] Πρβ. Γαλ. 2, 18.
[15] Πρβ. Α΄ Κορ. 8, 9, κ.ἑ., Α΄ Θεσσ. 5, 5.
[16] Πρβ. Α΄ Κορ. 10, 24, Α΄ Κορ. 10, 33.
[17] Β΄ Τιμόθ. 2, 24.
[18] Ματθ. 5, 40.
[19] Ἀββ. 2, 6.
[20] Θρ. Ἱερεμ. 4, 19 .
[21] Πρβ. Ἐφεσ. 5, 3, Κολασσ. 3, 5.
[22] Πρβ. Φιλιππ. 3, 4.
[23] Γ΄ Βασ. 20, 1 κ.ἑ.
[24] Ἀριθ. 34, 15.
[25] Γένεσ. 13, 5 κ.ἑ.
[26] Ἀγγ. 1, 9.
[27] Ἔξοδ. 16.
[28] Ἔξοδ. 17, 6.
[29] Δευτερ. 8, 4.
[30] Γ΄ Βασ. 17, 6.
[31] Γ΄ Βασ. 17, 10 κ.ἑ.
[32] Γ΄ Βασ. 19, 8.
[33] Ἔξ. 25 κ.ἑ.
[34] Ματθ. 4, 4.
[35] Θρ. Ἱερεμ. 4, 5.
[36] Ἰὼβ 31, 27.
[37] Λευΐτ. 11, 27, Λευΐτ. 11, 42.
[38] Παροιμ. 25, 17.
[39] Ἰω. 15, 14.
[40] Ἰεζεκ. 1, 7.
[41] Α΄ Βασ. 14, 13.
[42] Β΄ Βασ. 4, 7.
[43] Πρβ. Γένεσ. 18, 1.
[44] Ἐκκλ. 6, 7.
[45] Α΄ Τιμόθ. 6, 8.
[46] Ἐκκλ. 5, 15.
[47] Γένεσ. 3, 21.
[48] Ματθ. 6, 26 κ.ἑ.
[49] Ἱερεμ. 47, 5.
[50] Δ΄ Βασ. 4, 10.
[51] Γ΄ Βασ. 17, 10 κ.ἑ.
[52] Γ΄ Βασ. 18, 18.
[53] Ἔξοδ. 5 κ.ἑ.
[54] Δ΄ Βασ. 3, 14.
[55] Δ΄ Βασ. 2, 8.
[56] Πράξ. 19, 12.
[57] Γ΄ Βασ. 13, 4.
[58] Δ΄ Βασ. 5, 10 κ.ἑ.
[59] Ἱερεμ. 31, 28.
[60] Ματθ. 3, 1 κ.ἑ.
[61] Γένεσ. 3, 18.
[62] Φιλιππ. 3, 12.
[63] Α΄ Βασ. 2, 12, Α΄ Βασ. 2, 29, Α΄ Βασ. 4, 18.
[64] Ματθ. 23, 15.
[65] Ἰὼβ 1, 5.
[66] Ἰησ. Ναυῆ 4, 3 κ.ἑ.
[67] Κριτ. 9, 48.
[68] Κριτ. 7, 17.
[69] Πράξ. 20, 34.
[70] Πράξ. 1, 1.
[71] Ζαχ. 11, 17.
[72] Α΄ Βασ. 11, 2.
[73] Κριτ. 9, 7 κ.ἑ.
[74] Γ΄ Βασ. 7, 13.
[75] Ἔξοδ. 25, 30.
[76] Β΄ Κορ. 2, 11.
[77] Ἰὼβ 41, 5-6.
[78] Ἐκκλ. 10, 9-10.
[79] Δ΄ Βασ. 6, 5.
[80] Δ΄ Βασ. 6, 6.
[81] Μάρκ. 1, 4.
[82] Ἡσ. 2, 4.
[83] Ἰωὴλ 4, 10.
[84] Δευτερ. 16, 21.
[85] Γένεσ. 29, 28.
[86] Ἰεζεκ. 13, 19.
[87] Α΄ Κορ. 11, 4.
[88] Ματθ. 23, 8.
[89] Φιλήμ. 10-19.
[90] Γ΄ Βασ. 19, 19.
[91] Δευτ. 31, 7.
[92] Α΄ Βασ. 3 κ.ἑ.
[93] Ἱερεμ. 15, 19.
[94] Ἰεζεκ. 4, 1.
[95] Ἰεζεκ. 4, 3.
[96] Ἰεζεκ. 3, 17 κ.ἑ.
[97] Δευτερ. 12, 30.
[98] Δευτερ. 12, 30.
[99] Γένεσ. 35, 4.
[100] Γένεσ. 48, 21-22.
[101] Δευτερ. 27, 15.
[102] Β΄ Ἔσδρ. 9, 11.
[103] Ἱερ. 49, 19, Ἱερ. 50, 2-3.
[104] Γένεσ. 3, 15.
[105] Κριτ. 15, 4.
[106] Πρβ. Παροιμ. 7, 27.
[107] Φιλιππ. 3, 14.
[108] Α΄ Παραλ. 22, 8.
[109] Ἔξοδ. 33, 7.
[110] Πράξ. 5, 1-10.
[111] Γ΄ Βασ. 19, 21.

112 Ματθ. 19, 21.
113 Ἀριθ. 8, 7.
114 Α΄ Βασ. 6, 12.
115 Γένεσ. 37, 17.
116 Πρβ. Γένεσ. 37, 14.
117 Λουκ. 2, 49.
118 Ματθ. 9, 37.
119 Ἔξοδ. 12, 23.
120 Ἱερεμ. 6, 25.
121 Ἔξοδ. 33, 11.
122 Γένεσ. 4, 8.
123 Γένεσ. 34, 1 κ.ἑ.
124 Λευϊτ. 15, 31.
125 Γένεσ. 19, 1.
126 Ἔξοδ. 9, 29.
127 Ἱερεμ. 27, 16.
128 Ψαλμ. 136, 9.
129 Ἰώβ 8, 11.
130 Ἰώβ 4, 11.
131 Β΄ Παραλ. 4, 12.
132 Δ΄Βασ. 1, 2.
133 Παροιμ. 23, 33.
134 Παροιμ. 23, 34.
135 Παροιμ. 23, 35.
136 Ψαλμ. 100, 4.
137 Γένεσ. 14, 1 κ.ἑ.
138 Ἔξοδ. 21, 6.
139 Δευτερ. 25, 11.
140 Γένεσ. 19, 26.
141 Γένεσ. 31, 35.
142 Ἠσ. 9, 2.
143 Ψαλμ. 106, 10.
144 Ἔξοδ. 16, 3.
145 Πρβ. Γένεσ. 3, 14.
146 Ἔξοδ. 28, 15.
147 Λευϊτ. 8, 29.
148 Λευϊτ. 8, 21,
Λευϊτ. 9, 14.
149 Ἀριθ. 5, 22.
150 Πρβ. Τίτ. 3, 14.
151 Ἱερ. 52, 14,
Δ΄ Βασ. 25, 9.
152 Κριτ. 7, 13.
153 Ἀριθ. 25, 1.
154 Πρβ. Γ΄ Βασ. 18, 19.
155 Δ΄ Βασ. 2, 25,
Δ΄ Βασ. 4, 24.
156 Μάρκ. 1, 6.
157 Ἔξοδ. 16, 16 κ.ἑ.
158 Ἑβρ. 11, 37 κ.ἑ.
159 Δαν. 6, 16 κ.ἑ.
160 Ἰώβ 39, 5 κ.ἑ.
161 Πρβ. Μάρκ. 11, 3.
162 Πρβ. Πράξ. 27, 19.
163 Ἐφεσ. 6, 12.
164 Ἀμὼς 2, 16.
165 Γένεσ. 39, 7 κ.ἑ.
166 Γένεσ. 2, 25,
Γένεσ. 3, 21.
167 Παροιμ. 27, 13.
168 Ἆσμ. 2, 2.
169 Ματθ. 6, 28.
170 Ἰώβ 15, 20.
171 Ἰησ. Ναυῆ 7, 21.
172 Γένεσ. 1, 29-30.
173 Β΄ Τιμόθ. 2, 4.
174 Ματθ. 4, 9.
175 Α΄ Τιμόθ. 4, 8.
176 Πρβ. Λευϊτ. 15, 33,
Λευϊτ. 20, 18.
177 Ψαλμ. 21, 26.
178 Ψαλμ. 33, 3.

ΣΗΜΕΙΩΣΕΙΣ

α΄ Ὁ Ἅγιος Νεῖλος μᾶς ἑρμηνεύει στὸ σημεῖο αὐτὸ τὴν βαθύτερη πνευματικὴ ἑρμηνεία τοῦ χωρίου Α΄ Βασ. 11, 2. Τὸ ἐν λόγῳ χωρίο παραδίδει τὸ ἑξῆς περιστατικό: Ὁ Ναάς, ὁ βασιλεὺς τῶν Ἀμμωνιτῶν πολιόρκησε τὴν ἰσραηλιτικὴ πόλι Ἰαβίς, πρωτεύουσα τῆς χώρας Γαλαάδ, ἀνατολικὰ τοῦ Ἰορδάνου. Οἱ κάτοικοι τῆς Ἰαβίς, Ἰσραηλίτες, εἶπαν πρὸς τὸν Ναάς, τὸν Ἀμμωνίτη: «κάνε μία συνθήκη εἰρήνης μαζί μας καὶ ἐμεῖς θὰ ὑποταγοῦμε σὲ σένα». Ὁ Ναὰς τοὺς ἀπήντησε, ὅτι θὰ ἔκλεινε συμ-

φωνία μαζί τους, ὑπὸ τὸν ὅρο νὰ βγάλῃ τὸν δεξιὸ ὀφθαλμὸ ὅλων τῶν κατοίκων τῆς πόλεως, ὥστε νὰ ἐξευτελίσῃ τὸν Ἰσραήλ. Ἡ ἐξόρυξι προφανῶς τοῦ δεξιοῦ ὀφθαλμοῦ θὰ διέσυρε τὸν Ἰσραήλ, δεδομένου ὅτι οἱ ἴδιοι Ἰσραηλίτες, ἀπὸ μόνοι τους, θὰ κατέφευγαν στὸν Ναάς, γιὰ νὰ τοὺς βγάλῃ τὸν δεξί τους ὀφθαλμό, καταδικάζοντας, δι᾽ αὐτῆς τῆς φρικαλέας ὁδοῦ, οἱ ἴδιοι τοὺς ἑαυτούς τους, κατ᾽ ἀπόλυτο καὶ πασιφανῆ τρόπο, σὲ ἰσόβια δουλεία. Ἡ ἀντιστοιχία τοῦ Ναὰς μὲ τὸν διάβολο εἶναι ἑπομένως πρόδηλη. Οἱ κάτοικοι τῆς Ἰαβὶς ζήτησαν ἀπὸ τὸν Ναὰς προθεσμία ἑπτὰ ἡμερῶν, γιὰ νὰ στείλουν ἀγγελιοφόρους σὲ ὅλη τὴν χώρα τῶν Ἰσραηλιτῶν, νὰ ἀναζητήσουν «ἐὰν μὴ ᾖ ὁ σώζων» - ἐὰν τυχὸν τοὺς σώσῃ κανείς. Ὁ Σαούλ, μαθαίνοντας ἀπὸ τοὺς ἀγγελιοφόρους τὶς προθέσεις καὶ τὶς προτάσεις τοῦ Ναάς, συγκεντρώνει ὑπὸ τὴν ἡγεσία του ὅλους τοὺς Ἰσραηλίτες καὶ ἐκστρατεύουν ἐναντίον τοῦ Ναὰς καὶ τῶν Ἀμμωνιτῶν, τοὺς ὁποίους καὶ κατατροπώνουν. Τὸ ἱερὸ κείμενο ἐκπληκτικὰ ἑρμηνευόμενο ἀπὸ τὸν Ἅγιο Νεῖλο, μᾶς δίνει τὴν δυνατότητα, ἐντρυφώντας σ᾽ αὐτό, νὰ ἐννοήσωμε ποιὲς εἶναι οἱ ἑπτά ἡμέρες τοῦ χρόνου καὶ ποιὸς ὁ σώζων ἀπὸ τὴν ἐπιβουλὴ τοῦ μισανθρώπου διαβόλου - Ἐκεῖνος, ὁ ὁποῖος μέσα στὸν ὅλο ἱστορικὸ χρόνο θὰ βρεθῇ νὰ μπορῇ νὰ σώσῃ. (Πρβ. ΙΕΡΕΜΙΟΥ ΦΟΥΝΤΑ ΜΗΤΡ., «Βασιλειῶν Α'», *Ἑρμηνεία Παλαιᾶς Διαθήκης*, Ἀποστολικὴ Διακονία 2011, σ.σ. 97-101)

[β'] Ὁ Ἀβιμέλεχ, ἦταν ἕνας ἀπὸ τοὺς ἑβδομήντα υἱοὺς τοῦ Γεδεών. Πῆγε στὴν πόλι Συχέμ, στοὺς ἐκεῖ θείους του ἐκ μητρός, καὶ μὲ τὴν βοήθειά τους, μπῆκε στὸ πατρικό του σπίτι καὶ φόνευσε τοὺς ἀδελφούς του, ἀπὸ τοὺς ὁποίους διεσώθη μόνο ὁ Ἰωάθαν. Μετὰ τὸ γεγονὸς αὐτὸ συγκεντρώθηκαν ὅλοι οἱ ἄνδρες τῆς Συχὲμ καὶ ἀνεκήρυξαν βασιλέα τὸν Ἀβιμέλεχ. Ὁ Ἰωάθαν μαθαίνοντάς το, ἀνέβηκε στὸ ὄρος Γαριζίν, τὸ ὁποῖο ἔβλεπε πρὸς τὴν Συχὲμ καὶ ἀπευθυνόμενος πρὸς τοὺς Συχεμίτες τοὺς εἶπε τὴν ἱστορία αὐτὴ ἀκριβῶς (Κριτ. 9, 7 κ.ἑ.), τὴν ὁποία παραθέτει ἐδῶ ὁ Ἅγιος Νεῖλος.

[γ'] Βλ. Σημείωσι [α'], σ. 165 τοῦ παρόντος τόμου.

[δ'] Ἡ ἐκ τῆς Παλαιᾶς Διαθήκης περίπτωσι, στὴν ὁποία ἀναφέρεται ἐδῶ ὁ Ἅγιος Νεῖλος, εἶναι σχετικὴ μὲ κάποιες γυναῖκες ψευδοπροφήτιδες, μάγισσες, γιὰ τὶς ὁποῖες ὁμιλεῖ ὁ Ἰεζεκιὴλ (13, 17-19). Οἱ γυναῖκες αὐτές, ἀκολουθώντας μιὰ Βαβυλωνιακή, εἰδωλολατρικὴ πρακτική, ἔραβαν μικρὰ μαγικὰ προσκεφάλαια, τὰ ὁποῖα οἱ Ἰουδαῖοι τοποθετοῦσαν στοὺς ἀγκῶνες τους, καὶ καλύμματα γιὰ τὸ κεφάλι τους, ὡς μέσα ἀ-

πομπῆς κάθε κακῆς ἐπιδράσεως. Μὲ εὐτελὲς ἀντίτιμο, κατέστρεφαν τὶς ψυχὲς τῶν ἀνθρώπων καὶ κέρδιζαν τὸ οὐαὶ τοῦ Θεοῦ. Ὡς πρὸς τὸ ἐν λόγῳ χωρίο, παράλληλα μὲ τὸν Ἅγιο Νεῖλο, ὁ Θεοδώρητος ἑρμηνεύει, ἀποδίδοντας στὰ μαλακὰ προσκεφάλαια μία ἀντιστοιχία πρὸς τὶς ψευδοπροφητεῖες ἐκείνων τῶν μαγισσῶν: ὅπως τὰ προσκεφάλαια προσφέρουν ἀνάπαυσι στὸ σῶμα, κατὰ τὸν ἴδιο τρόπο κι οἱ γυναῖκες αὐτὲς προσέφεραν φαινομενικὴ ἀνάπαυσι μὲ τὰ ὑποσχόμενα, πλὴν ἀπατηλά τους λόγια πρὸς ἐκείνους, τῶν ὁποίων τὶς ἀτίμητες ψυχὲς κατέστρεφαν, μὲ ἀντάλαγμα ἀσήμαντα κέρδη, ὅπως μιὰ χούφτα κριθάρι καὶ ἕνα κομμάτι ψωμί. (Πρβ. ΘΕΟΔΩΡΗΤΟΥ ΚΥΡΡΟΥ, «Ἑρμηνεία εἰς τὸν Ἰεζεκιήλ», *PG* 81, 761D κ.έ.)

ε΄ Ὁ λόγος ἐδῶ ἀναφέρεται στὰ εἴδωλα, τὰ ὁποῖα ὁ Ἰακὼβ κατέκρυψε καὶ ἐξαφάνισε ὁριστικὰ στὰ Σίκιμα (Γένεσ. 35, 4). Πρόκειται γιὰ περιστατικό, τὸ ὁποῖο ἔλαβε χώρα κατὰ τὴν φυγὴ τοῦ Πατριάρχου ἀπὸ τὴν Συχὲμ καὶ τὴν καθ᾽ ὑπόδειξι τοῦ Θεοῦ μετάβασί του στὴν Βαιθήλ, γιὰ νὰ οἰκοδομήση θυσιαστήριο τοῦ Θεοῦ καὶ νὰ ἐγκατασταθῆ ἐκεῖ. Συγκεκριμένα, πρὶν τὴν ἀναχώρησί του, ὁ Ἰακὼβ ζήτησε ἀπὸ τὴν οἰκογένειά του καὶ τοὺς ἀνθρώπους τοῦ σπιτιοῦ του νὰ ἀπομακρύνουν τοὺς ξένους θεούς, ποὺ εἶχαν μαζί τους. Τοῦ παρέδωσαν, λοιπόν, τὰ ἀγαλματίδια τῶν εἰδωλολατρικῶν θεῶν, καθὼς καὶ τὰ σκουλαρίκια τους, καθ᾽ ὅσον κι αὐτὰ ἦσαν σύμβολα τῶν εἰδώλων. Ὁ Ἰακὼβ τὰ κατέκρυψε στὰ Σίκιμα, βαθειὰ στὴ γῆ, κάτω ἀπὸ ἕνα δένδρο, καὶ τὰ ἐξαφάνισε ὁριστικά. (Βλ. ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ ΑΓ., «Ὁμιλία ΝΘ΄ εἰς τὴν Γένεσιν», *PG* 54, 575).

ϛ΄ Ὁ Ἅγιος Νεῖλος ἀναφέρεται ἐδῶ σὲ περιστατικό, τὸ ὁποῖο ἔλαβε χώρα πρὶν ἀπὸ τὸν θάνατο τοῦ Ἰακὼβ καὶ κατὰ τὸ ὁποῖο, ὁ Ἰακὼβ εὐλογεῖ τοὺς ἐγγονούς του - υἱοὺς τοῦ Ἰωσὴφ - Ἐφραὶμ καὶ Μανασσῆ (Γένεσ. 48, 20-22). Ἀφοῦ εὐλόγησε ὁ Πατριάρχης τοὺς ἐγγονούς του, ἄφησε στὸν υἱό του Ἰωσὴφ κληρονομιὰ τὴν πόλι Σίκιμα, τὴν ὁποία, ὅπως τοῦ εἶπε, κατέλαβε ἀπὸ τοὺς Ἀμορραίους μὲ τὸ μαχαίρι καὶ τὸ τόξο του. Μ᾽ αὐτὸν τὸν τρόπο ὁ Ἰωσὴφ κληρονόμησε ἀπὸ τὸν πατέρα του τὸ πλέον ἐκλεκτὸ μερίδιο ἔναντι τῶν ἀδελφῶν του, «τὸν ἐξαιρετικὸ κόπο τοῦ ἀγῶνος τοῦ Ἰακώβ».

ζ΄ Σ᾽ αὐτὸ τὸ σημεῖο ὁ Ἅγιος Νεῖλος ἀναφέρεται στὸν ἐμπρησμὸ τῶν γεννημάτων τῶν Φιλισταίων ἀπὸ τὸν Σαμψὼν (Κριτ. 15, 1-5). Σύμφωνα μὲ τὸ ἱερὸ κείμενο, ὁ Σαμψών, μετὰ τὸν ἄτυχο γάμο του μὲ Φιλισταία γυναῖκα, ἀποφάσισε κατὰ τὴν ἐποχὴ τοῦ θερισμοῦ νὰ ἐπιστρέ-

ψη στὴν πόλι τῆς νύμφης καὶ νὰ συμφιλιωθῆ μὲ τὴ γυναῖκα του. Ἐκεῖ ὅμως ἔμαθε ἀπὸ τὸν πατέρα της, ὅτι τὴν εἶχε ἤδη δώσει, ὡς σύζυγο, σὲ ἄλλον ἄνδρα. Θέλοντας νὰ ἐκδικηθῆ ὁ Σαμψών, συνέλαβε τὸ ἑξῆς σχέδιο: ἔπιασε τριακόσιες ἀλεποῦδες καὶ ἔδεσε ἀνὰ δύο τὶς οὐρές τους μὲ ἕναν δαυλὸ ἀπὸ ρητινῶδες ξύλο. Κατόπιν ἔβαλε φωτιὰ στοὺς δαυλοὺς καὶ ἄφησε τὰ ζῶα ἐλεύθερα νὰ τρέχουν μέσα στὰ σιτηρὰ τῶν Φιλισταίων. Καθὼς οἱ ἀλεποῦδες ἦταν δεμένες ἀνὰ δύο μαζί, τὸ τρέξιμό τους ἐπιβραδυνόταν, ὁπότε ὁ δαυλὸς δὲν ἔσβηνε καὶ ἡ φωτιὰ μεταδιδόταν εὐκολώτερα. Ἡ καταστροφὴ ἦταν ὁλοκληρωτική: οἱ θημωνιὲς στὰ ἀλώνια, τὰ ἀθέριστα στάχυα, ἀκόμη καὶ καὶ τὰ ἀμπέλια καὶ οἱ ἐλιές, ἔγιναν ὅλα παρανάλωμα τοῦ πυρός.

η΄ Ὁ Ἅγιος Νεῖλος ἑρμηνεύει, στὸ σημεῖο αὐτὸ τοῦ λόγου του, ἀπόσπασμα ἀπὸ τὸ γνωστὸ περιστατικὸ τῆς πωλήσεως τοῦ Ἰωσὴφ ἀπὸ τοὺς ἀδελφούς του (Γένεσ. 37, 12-28). Ἀπὸ τὸ περιστατικὸ αὐτό, χρησιμοποιεῖ μόνο τὸ πρῶτο μέρος του, σύμφωνα μὲ τὸ ὁποῖο ὁ Ἰακὼβ ἔστειλε κάποτε τὸν Ἰωσὴφ νὰ βρῆ τοὺς ἀδελφούς του, οἱ ὁποῖοι ἔβοσκαν τὰ ποίμνια τῆς οἰκογενείας στὴ Συχέμ, μὲ ἀπώτερο σκοπὸ νὰ πληροφορηθῆ τὰ σχετικὰ μ᾽ αὐτούς. Ὁ Ἰωσὴφ ἔφυγε ἀπὸ τὴν Χεβρών, ὅπου ἦταν ἡ κατοικία τους, καὶ μετέβη στὴ Συχέμ. Δὲν τοὺς βρῆκε ὅμως ἐκεῖ, καὶ πληροφορήθηκε ἀπὸ κάποιον ἄνθρωπο, ποὺ τὸν εἶδε νὰ περιπλανᾶται στὴν πεδιάδα, ὅτι εἶχαν ἀναχωρήσει γιὰ τὴν Δωθαείμ.

θ΄ Ὁ Ἅγιος Νεῖλος μᾶς θυμίζει ὅτι προϋπόθεσι, γιὰ τὸν φόνο τοῦ Ἄβελ ἀπὸ τὸν ἀδελφό του Κάϊν ἦταν ἡ ἔξοδος στὸ πεδίο [στὴν πεδιάδα]: «Καὶ εἶπε Κάϊν πρὸς Ἄβελ τὸν ἀδελφὸν αὐτοῦ· διέλθωμεν εἰς τὸ πεδίον». Καὶ ἐνόσω ἦταν στὴν πεδιάδα ἐπιτέθηκε ὁ Κάϊν κατὰ τοῦ ἀδελφοῦ του τοῦ Ἄβελ καὶ τὸν ἐφόνευσε.

ι΄ Ἡ Δείνα, κόρη τοῦ Ἰακὼβ ἀπὸ τὴν Λεία, μετὰ τὴν ἐγκατάστασι τῆς οἰκογένειάς της στὴν Συχέμ, βγῆκε κάποια μέρα ἀπὸ τὸν πατρικό της οἶκο, γιὰ νὰ γνωρίση τὶς κοπέλλες τῆς περιοχῆς (Γένεσ. 34, 1-5). Αὐτὸ εἶχε ὡς ἀποτέλεσμα νὰ τὴν δῆ ὁ Συχέμ, γιὸς τοῦ ἡγεμόνα τῆς περιοχῆς Ἐμμώρ, νὰ δελεασθῆ ἀπὸ τὸ κάλλος της καὶ τελικὰ νὰ κοιμηθῆ μαζί της καὶ νὰ τὴν ἀτιμάση. Ἀγάπησε τὴν κόρη καὶ τῆς μίλησε, ὅπως θὰ ἐπιθυμοῦσε ἡ κόρη. Κατόπιν αὐτοῦ ὁ Ἐμμὼρ ζήτησε τὴν Δείνα γιὰ σύζυγο τοῦ υἱοῦ του. Ἡ προσβολὴ ὅμως, τὴν ὁποία ὑπέστη ἡ Δείνα προκάλεσε τὴν ἄγρια ἐκδίκησι τῶν ἀδελφῶν της καὶ τὴν καταστροφὴ ὁλόκληρης τῆς πόλεως. Τὰ γεγονότα αὐτὰ κατέληξαν στὴ φυγὴ τοῦ Ἰ-

ακὼβ καὶ τῆς οἰκογένειάς του ἀπὸ τὴν Συχὲμ (Γένεσ. 34, 6 κ.έ. – Πρβ. ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ ΑΓ., *Ὁμιλία ΝΘ' εἰς τὴν Γένεσιν*, *PG* 54, 572).

ια' Ὁ Ἅγιος συγγραφέας στὸ σημεῖο αὐτὸ μᾶς παραδίδει τὸ πνευματικὸ βάθος τῆς σκηνῆς, κατὰ τὴν ὁποία ὁ Λώτ, πρὶν συναντήσει τοὺς δύο ἀγγέλους, ποὺ ἔμελλε νὰ φιλοξενήσῃ, εἶχε ἐξέλθη ἀπὸ τὴν πόλι τῶν Σοδόμων, καὶ καθόταν στὴν πύλη της (Γένεσ. 19, 1-3). Ἡ πύλη τῶν πόλεων ἦταν τόπος διαφόρων ὑποθέσεων, δικαστηρίων, συναντήσεων γιὰ νέα, γιὰ ἐμπόριο, τόπος ἀνέργων. (ΙΕΡΕΜΙΟΥ ΦΟΥΝΤΑ ΜΗΤΡ., «Γένεσις», *Ἑρμηνεία Παλαιᾶς Διαθήκης*, Ἀποστολικὴ Διακονία 2004, σ.σ. 102, 448) Ἑπομένως ἡ ἔξοδος τοῦ Λὼτ ἀπὸ τὴν ἁμαρτωλὴ πόλι δὲν ἦταν ὁλοκληρωτική, γιατὶ ἀκόμη εἰσέπραττε τὰ σχετικὰ ἀκούσματα, τὸν γεμάτο σύγχυσι θυελλώδη ἀπόηχο τῆς ἁμαρτωλῆς πόλεως.

ιβ' Ὁ Ἅγιος Νεῖλος κάνει ἕναν συσχετισμό, ἐν εἴδει παρομοιώσεως, μεταξὺ τῆς βροντῆς, ἡ ὁποία ἀκολουθεῖ τὴν ἀστραπὴ καὶ τοῦ ἀπόηχου τοῦ κόσμου, ὁ ὁποῖος ἀκολουθεῖ τὰ πράγματα τοῦ κόσμου. Πρὸς τοῦτο χρησιμοποιεῖ, χάριν ἐμφάσεως, τὴν ἱστορία ἐκ τῆς Παλαιᾶς Διαθήκης, σύμφωνα μὲ τὴν ὁποία ὁ Φαραὼ ζητᾶ ἀπὸ τὸν Μωϋσέα, μετὰ τὴν ἕβδομη πληγὴ τῆς χαλάζης, νὰ προσευχηθῇ στὸ Θεό του, γιὰ νὰ σταματήσουν οἱ βροντές, τὸ χαλάζι καὶ ἡ φωτιά. Ὁ Μωϋσῆς πράγματι, ἀφοῦ ἐξέλθῃ ἀπὸ τὴν πόλι τῆς ἁμαρτίας, θὰ ὑψώσῃ τὰ χέρια του πρὸς τὸν Κύριο, δηλαδὴ θὰ σταθῇ στὴν προσευχή, καὶ τότε οἱ βροντὲς καὶ τὸ χαλάζι θὰ παύσουν (Ἔξοδ. 9, 27-33).

ιγ' Ὁ λόγος τοῦ Ἁγίου Νείλου κάνει μνεία στὸ σημεῖο αὐτὸ τῶν διατάξεων τοῦ «Κώδικος τῆς Διαθήκης», τὸν ὁποῖο παρέδωσε ὁ Θεὸς διὰ τοῦ Μωϋσέως στοὺς Ἰσραηλίτες. Συγκεκριμένα ἐδῶ τὸ θέμα ἀφορᾶ τὶς διατάξεις τοῦ Νόμου, οἱ ὁποῖες ἀναφέρονταν στοὺς δούλους (Ἔξοδ. 21, 6). Συμφωνα, λοιπόν, μ' αὐτὲς ἕνας Ἰσραηλίτης ἦταν δυνατὸν νὰ περιέλθῃ σὲ κατάστασι δουλείας, ἐὰν διέπραττε κάποιο ἔγκλημα, ἐὰν χρωστοῦσε ἕνα ποσὸ καὶ δὲν μποροῦσε νὰ τὸ ἐξοφλήσῃ ἢ ἂν τὸν πωλοῦσε ὁ πατέρας του. Ἡ κατάστασι τῆς δουλείας ὅμως δὲν μποροῦσε νὰ διαρκέσῃ, παρὰ μόνο γιὰ διάστημα ἕξι ἐτῶν. Μετὰ τὴν παρέλευσι τῶν ἕξι ἐτῶν, ὁ δοῦλος ἀφήνεται ἐλεύθερος. Ἐὰν ἦρθε μόνος θὰ φύγῃ μόνος. Ἂν ἦταν νυμφευμένος, μαζί του θὰ φύγῃ καὶ ἡ γυναῖκα του. Ἂν τοῦ ἔδωσε γυναῖκα ὁ κύριός του καὶ αὐτὴ τοῦ γέννησε υἱοὺς καὶ θυγατέρες, ἡ γυναῖκα καὶ τὰ παιδιά της θὰ ἀνήκουν στὸν κύριο, ἐνῶ αὐτὸς θὰ φύγῃ μόνος. Ἐὰν ὅμως ὁ δοῦλος διακηρύξῃ: «ἀγα-

φονικὸ ἢ ἄξιο μεγάλης τιμωρίας, μετρίως τὸ αἰσθάνεται. Ἐνῶ ἀπὸ τὰ ἄλλα σφάλματα, δὲν μπορεῖ νὰ διακρίνῃ κανένα, ἀλλὰ πολλὲς φορὲς τὰ θεωρεῖ καὶ σὰν κατορθώματα· γι᾽ αὐτὸ καὶ δὲν ντρέπεται ἡ ἀθλία νὰ συντάσσῃ ὁμιλίες, ὑπερασπίζοντάς τα θερμῶς.

28. Νὰ καθαρίσῃ ὁ νοῦς εἶναι [ἔργο] μόνο τοῦ Ἁγίου Πνεύματος. Διότι, ἐὰν δὲν εἰσέλθῃ ὁ Δυνατὸς καὶ ἀπογυμνώσῃ καὶ δέσῃ τὸν ἅρπαγα, μὲ κανέναν τρόπο δὲν θὰ ἀπελευθερωθῇ τὸ λάφυρο. Ἑπομένως πρέπει νὰ ἀναπαύωμε τὸ Ἅγιον Πνεῦμα ἐντελῶς καὶ περισσότερο μὲ τὴν εἰρήνη τῆς ψυχῆς, γιὰ νὰ ἔχωμε πάντοτε τὸ λυχνάρι τῆς [θείας] γνώσεως νὰ φέγγῃ μέσα μας. Διότι ἐὰν αὐτὸ ἐξαστράπτῃ ἀκατάπαυστα μέσα στὰ ταμεῖα τῆς ψυχῆς [στὰ ἔνδον τῆς ψυχῆς], ὄχι μόνον γίνονται ὁλοφάνερες μέσα στὸν νοῦ οἱ μικρὲς ἐκεῖνες καὶ σκοτεινὲς προσβολὲς τῶν δαιμόνων, ἀλλὰ καὶ πολὺ ἀποδυναμώνονται, ἐπειδὴ ἐλέγχονται [ἀποκαλύπτονται] ἀπὸ ἐκεῖνο τὸ Ἅγιο φῶς καὶ πλῆρες θείας δόξης. Καὶ γι᾽ αὐτὸ ὁ Ἀπόστολος λέγει: «τὸ Πνεῦμα μὴν σβήνετε»· ἀντὶ τοῦ [νὰ πῇ], μὴν

κακοεργοῦντες, ἢ κακὰ λογιζόμενοι, λυπεῖτε τὴν τοῦ Ἁγίου Πνεύματος ἀγαθότητα, ἵνα μὴ τῆς ὑπερμάχου ἐκείνης στερηθῆτε λαμπάδος· οὐ γὰρ τὸ ἀΐδιον, καὶ ζωοποιὸν σβέννυται, ἀλλ᾽ ἡ ἐκείνου λύπη, τουτέστιν ἡ ἀποστροφή, στυγνόν, καὶ ἀφεγγῆ τὸν νοῦν καταλιμπάνει τῆς γνώσεως.

κθ΄. Μίαν μέν, ὡς ἔφην, αἴσθησιν εἶναι φυσικὴν τῆς ψυχῆς ἐπιστάμεθα. Αἱ γὰρ πέντε, ἅπαξ ταῖς τοῦ σώματος ἡμῶν διαφέρουσι χρείαις, τὸ Πανάγιον ἡμᾶς καὶ φιλάνθρωπον Πνεῦμα ἐκδιδάσκει τοῦ Θεοῦ. Συνδιαιρεῖται δὲ αὕτη, διὰ τὸν ἐκ τῆς παρακοῆς προσγινόμενον ὄλισθον τῷ νῷ ταῖς αὐταῖς τῆς ψυχῆς κινήσεσι· διόπερ τὸ μὲν αὐτῆς, τῷ ἐμπαθεῖ συναπάγεται μέρει· ὅθεν τῶν τοῦ βίου καλῶν ἡδέως αἰσθανόμεθα. Τῷ δὲ λογικῷ αὐτῆς καὶ νοερῷ πολλάκις συνήδεται κινήματι, καθὸ πρὸς τὰ οὐράνια τρέχειν ὁ νοῦς ἡμῶν κάλλη, ὅτε σωφρονοῦμεν, ὀρέγεται. Ἐὰν οὖν εἰς ἕξιν

λυπῆτε τὴν ἀγαθότητα τοῦ Ἁγίου Πνεύματος πράττοντας κακὰ ἔργα ἢ συλλογιζόμενοι κακά, γιὰ νὰ μὴν στερηθῆτε τὴν ὑπέρμαχο [ὑπερασπιστικὴ] ἐκείνη λαμπάδα. Δὲν σβήνεται βέβαια τὸ αἰώνιο καὶ ζωοποιὸ [Πανάγιο Πνεῦμα], ἀλλὰ ἡ λύπη Ἐκείνου, δηλαδὴ ἡ ἀποστροφή [Του - ἡ ἀπομάκρυνσί Του ἀπὸ τὴν ψυχή], ἐγκαταλείπει τὸν νοῦ σκυθρωπὸ καὶ ἀφώτιστο ἀπὸ τὴν [θεία] γνῶσι.

29. Μία μέν, ὅπως εἶπα, γνωρίζομε ὅτι εἶναι ἡ φυσικὴ αἴσθησι τῆς ψυχῆς. Διότι οἱ πέντε [αἰσθήσεις] τοῦ σώματος - μᾶς διδάσκει ἀκριβῶς τὸ Πανάγιο καὶ φιλάνθρωπο Πνεῦμα τοῦ Θεοῦ - ἐξ ἀρχῆς διακρίνονται [μεταξύ τους] ὡς πρὸς τὶς ἀνάγκες τοῦ σώματός μας. Ἐξ αἰτίας ὅμως τοῦ ὀλισθήματος τὸ ὁποῖο συνέβη ἀπὸ τὴν παρακοή, συνδιαιρεῖται αὐτὴ [ἡ μία φυσικὴ αἴσθησι τῆς ψυχῆς] μέσα στὸν νοῦ, ἀνάλογα μὲ τὶς κινήσεις τῆς ψυχῆς [σὲ δύο μέρη, σὲ καλὸ καὶ κακό]· γι᾽ αὐτὸ ἀκριβῶς, τὸ μὲν [ἕνα μέρος τῆς ψυχῆς] αὐτῆς παρασύρεται ἀπὸ τὸ ἐμπαθὲς μέρος· ὁπότε αἰσθανόμεθα ἡδονικὰ διὰ τὰ τερπνὰ τοῦ κόσμου. [Τὸ δὲ ἄλλο μέρος τῆς ψυχῆς], ὅταν ζοῦμε μὲ σωφροσύνη, συνευφραίνεται πολλὲς φορὲς μὲ τὴν λογικὴ καὶ νοερὰ [κίνησι] αὐτῆς [τῆς ψυχῆς], καθὼς ὁ νοῦς μας ἐπιθυμεῖ νὰ τρέχῃ πρὸς τὰ οὐράνια κάλλη. Ἐὰν ἐπομένως φθάσωμε στὴν συνήθεια

ἔλθωμεν τοῦ καταφρονεῖν τῶν ἐν τῷ κόσμῳ καλῶν, δυνησόμεθα καὶ τὴν γεώδη τῆς ψυχῆς ὄρεξιν τῇ λογικῇ αὐτῆς συνάψαι διαθέσει, τῆς κοινωνίας τοῦ Ἁγίου Πνεύματος τοῦτο οἰκονομούσης εἰς ἡμᾶς· ἐὰν γὰρ μὴ ἡ ἑαυτοῦ Θεότης ἐνεργητικῶς τὰ τῆς καρδίας ἡμῶν ταμεῖα καταυγάσῃ, οὐκ ἂν δυνηθῶμεν ἐν ἀδιαιρέτῳ τῇ αἰσθήσει, τουτέστιν ἐν ὁλοκλήρῳ διαθέσει, γεύσασθαι τοῦ ἀγαθοῦ.

λ΄. Αἴσθησίς ἐστι νοός, γεῦσις ἀκριβὴς τῶν διακρινομένων· ὃν γὰρ τρόπον, τῇ γευστικῇ ἡμῶν αἰσθήσει τοῦ σώματος, τὰ καλὰ ἐκ τῶν φαύλων ἀπλανῶς ἐν τῷ καιρῷ τῆς ὑγείας διακρίνοντες, τῶν χρηστῶν ὀρεγόμεθα· οὕτω καὶ ὁ νοῦς ἡμῶν, ὅταν εὐρώστως καὶ ἐν πολλῇ ἀμεριμνίᾳ κινεῖσθαι ἄρξηται, δύναται τῆς θείας παρακλήσεως πλουσίως αἰσθάνεσθαι, καὶ ὑπὸ τῆς ἐναντίας μηδέποτε συναρπάζεσθαι. Ὡς γὰρ τὸ σῶμα, τῶν γεωδῶν γενόμενον ἡδυσμάτων, ἔχει τὴν πεῖραν τῆς αἰσθήσεως ἄπταιστον·

τοῦ νὰ καταφρονοῦμε τὰ καλὰ [ποὺ εἶναι] στὸν κόσμο, θὰ μπορέσωμε καὶ τὴν χοϊκὴ ἐπιθυμία τῆς ψυχῆς νὰ ἑνώσωμε μὲ τὴν λογική της διάθεσι, πρᾶγμα τὸ ὁποῖο ἐξασφαλίζει σὲ μᾶς ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος. Διότι ἐὰν δὲν καταυγάσῃ διὰ τῆς [θείας] ἐνεργείας ἡ Θεότης Του τὰ ταμεῖα [τὰ ἔσω] τῆς καρδίας μας, δὲν θὰ μπορέσωμε μὲ ἀδιαίρετη τὴν αἴσθησι, δηλαδὴ μὲ ὁλόκληρη [ἑνοποιημένη] τὴν ἐσωτερική [μας] ὑπόστασι νὰ γευθοῦμε τὸ ἀγαθό.

30. Ἡ αἴσθησι τοῦ νοὸς εἶναι ἡ ἀκριβὴς γεῦσι ἐκείνων τὰ ὁποῖα ὑπόκεινται στὴν διάκρισι. Διότι μὲ ὅποιο τρόπο μὲ τὴν γευστική μας αἴσθησι τοῦ σώματος, ἀφοῦ διακρίνωμε στὸν καιρὸ τῆς ὑγείας ἀλάνθαστα τὰ καλὰ ἀπὸ τὰ ἄσχημα, ἐπιθυμοῦμε τὰ ἀγαθά· κατὰ τὸν ἴδιο τρόπο καὶ ὁ νοῦς μας, ὅταν ἀρχίζῃ συνήθως νὰ κινῆται μὲ ὑγεία καὶ πολλὴ ἀμεριμνία, δύναται νὰ αἰσθάνεται πλούσια τὴν θεία παρηγορία καὶ ποτὲ νὰ μὴν συναρπάζεται ἀπὸ τὴν ἐχθρική. Διότι ὅπως τὸ σῶμα, ὅταν γεύεται τὶς ὑλικὲς νοστιμιές, ἔχει ἀλάνθαστη τὴν ἐμπειρία τῆς αἰσθήσεως [τῆς γεύσεως]·

οὕτω καὶ ὁ νοῦς, ὅτε ἐπάνω τοῦ τῆς σαρκὸς καυχᾶται φρονήματος, δύναται γεύεσθαι τῆς παρακλήσεως ἀπλανῶς τοῦ Ἁγίου Πνεύματος[30]*· γεύσασθε γάρ, φησί, καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος*[31]*· καὶ ἔχειν τὴν μνήμην τῆς γεύσεως διὰ τῆς ἐνεργείας τῆς ἀγάπης ἄληστον, ἐν τῷ δοκιμάζειν ἀπταίστως τὰ διαφέροντα, κατὰ τὸν λέγοντα ἅγιον· καὶ τοῦτο προσεύχομαι, ἵνα ἡ ἀγάπη ἡμῶν ἔτι μᾶλλον, καὶ μᾶλλον περισσεύῃ, ἐν ἐπιγνώσει καὶ πάσῃ αἰσθήσει, εἰς τὸ δοκιμάζειν ὑμᾶς τὰ διαφέροντα*[32].

λα΄. Ὅταν ὁ νοῦς ἡμῶν ἄρξηται τῆς τοῦ Παναγίου Πνεύματος αἰσθάνεσθαι χάριτος, τότε καὶ ὁ σατανᾶς ἐν ἡδυφανεῖ τινι αἰσθήσει ἐν ταῖς νυκτεριναῖς ἡσυχίαις, ὅτε τις, ὥς περ ὕπνου τινὸς λεπτοτάτου, ἔρχεται ῥοπή, τὴν ψυχὴν παρακαλεῖ. Ἐὰν οὖν ἐν θερμῇ λίαν μνήμῃ εὑρεθῇ κρατῶν ὁ νοῦς τὸ ἅγιον ὄνομα τοῦ Κυρίου Ἰησοῦ, καὶ ὥς περ ὅπλῳ κέχρηται κατὰ τῆς ἀπάτης τῷ παναγίῳ

κατὰ τὸν ἴδιο τρόπο καὶ ὁ νοῦς, ὅταν σεμνύνεται [ὅτι εἶναι] ὑπεράνω τοῦ φρονήματος τῆς σαρκός, δύναται νὰ γευθῇ χωρὶς πλάνη τὴν παρηγορία τοῦ Ἁγίου Πνεύματος· διότι λέγει [ἡ Ἁγία Γραφή]: «γευθεῖτε καὶ δεῖτε ὅτι [εἶναι] ἀγαθός ὁ Κύριος»· καὶ [τότε δύναται] νὰ ἔχῃ ἀλησμόνητη τὴν μνήμη τῆς γεύσεως [τοῦ Θεοῦ], διὰ τῆς ἐνεργείας τῆς [θείας] ἀγάπης, μὲ τὸ νὰ δοκιμάζῃ ἀλάνθαστα ἐκεῖνα τὰ ὁποῖα συμφέρουν [εἶναι ξεχωριστά], σύμφωνα μὲ τὸν Ἅγιο [Ἀπόστολο Παῦλο], ὁ ὁποῖος λέγει: «καὶ αὐτὸ προσεύχομαι, γιὰ νὰ περισσεύῃ ἡ ἀγάπη σας ἀκόμη περισσότερο καὶ περισσότερο μὲ πλήρη γνῶσι καὶ κάθε αἴσθησι, γιὰ νὰ δοκιμάζετε[6] τὰ συμφέροντα».

31. Ὅταν ὁ νοῦς μας ἀρχίσῃ νὰ αἰσθάνεται τὴν Χάρι τοῦ Παναγίου Πνεύματος, τότε καὶ ὁ σατανᾶς παρηγορεῖ τὴν ψυχὴ μὲ κάποια φαινομενικὰ γλυκειὰ αἴσθησι κατὰ τὶς νυκτερινὲς [ὧρες] τῆς ἡσυχίας, ὅταν κανεὶς ῥέπῃ στὴν κατάστασι τρόπον τινὰ κάποιου λεπτοτάτου ὕπνου. Ἐὰν λοιπὸν ὁ νοῦς βρεθῇ νὰ κρατᾷ τὸ ἅγιο ὄνομα τοῦ Κυρίου Ἰησοῦ μὲ πολὺ θερμὴ μνήμη, καὶ ἔχῃ χρησιμοποιήσει τὸ πανάγιο καὶ πλῆρες θείας δόξης ἐκεῖνο ὄνομα, ὅπως ἀκριβῶς τὸ ὅπλο ἐναντίον τῆς ἀπάτης [τοῦ σατανᾶ],

καὶ ἐνδόξῳ ὀνόματι ἐκείνῳ, ἀναχωρεῖ μὲν ὁ πλάνος τοῦ δόλου, εἰς πόλεμον δὲ λοιπὸν ἐνυπόστατον ἐξάπτεται τῆς ψυχῆς. Ὅθεν ὁ νοῦς ἐπιγινώσκων τὴν ἀπάτην ἀκριβῶς τοῦ πονηροῦ, πλέον εἰς τὴν πεῖραν προκόπτει τῆς διακρίσεως.

λβ΄. Ἡ ἀγαθὴ παράκλησις ἢ ἐγρηγορότης [recte: ἐγρηγορότος] τοῦ σώματος, ἢ καὶ εἰς ὕπνου τινὸς μέλλοντος ἔρχεσθαι ἔμφασιν, ὅτε τις ἐν θερμῇ μνήμῃ τοῦ Θεοῦ, τῇ αὐτοῦ ὥς περ κεκόλληται ἀγάπῃ· ἡ δὲ τῆς πλάνης, εἰς λεπτόν τινα ἀεί, ὡς εἶπον, ἐλθόντος τοῦ ἀγωνιστοῦ, μετὰ μέσης μνήμης τοῦ Θεοῦ. Ἡ μὲν γάρ, ὡς ἐκ Θεοῦ οὖσα, φανερῶς τὰς ψυχὰς τῶν τῆς εὐσεβείας ἀγωνιστῶν ἐν ἐκχύσει πολλῇ τῆς ψυχῆς, παρακαλεῖν πρὸς ἀγάπην θέλει· ἡ δέ, ἐπειδὴ ἐν ἀνέμῳ τινὶ πλάνης ῥιπίζειν τὴν ψυχὴν εἴωθε, κλέπτειν διὰ τοῦ ὕπνου τοῦ σώματος τὴν πεῖραν τῆς αἰσθήσεως τοῦ ὑγιαίνοντος νοῦ περὶ τὴν μνήμην τοῦ Θεοῦ ἐπιχειρεῖ. Ἐὰν οὖν εὑρεθῇ ὁ νοῦς, ὡς

ἀναχωρεῖ μὲν ὁ πλάνος ἀπὸ τὴν παγίδα, ἀλλὰ ἔπειτα διεγείρει τὴν ψυχὴ σὲ πόλεμο ἐνυπόστατο [ὑπαρκτό, ὄχι φανταστικό]. Κατὰ συνέπεια ὁ νοῦς διακρίνοντας μὲ ἀκρίβεια τὴν ἀπάτη τοῦ πονηροῦ, προκόπτει περισσότερο στὴν πεῖρα τῆς διακρίσεως.

32. Ἡ ἀγαθὴ [ἀπὸ Θεοῦ] παρηγορία [συμβαίνει], ἢ ὅταν τὸ σῶμα βρίσκεται σὲ ἐγρήγορσι ἢ καὶ μὲ τὴν ἐμφάνισι κάποιου ὕπνου, ποὺ μέλλει νὰ ἔρθῃ, ὅταν κανεὶς ἔχῃ τρόπον τινὰ κολλήσει, μὲ τὴν θερμὴ μνήμη τοῦ Θεοῦ στὴν ἀγάπη Του· ἡ δὲ [παρηγορία] τῆς πλάνης [συμβαίνει] πάντοτε, ὅταν ἔρθῃ ὁ ἀγωνιστής, ὅπως εἶπα, σὲ κάποιο λεπτὸ [ὕπνο], μαζὶ μὲ μέτρια μνήμη τοῦ Θεοῦ. Ἐκείνη μὲν [ἡ παρηγορία], ἡ ὁποία βέβαια εἶναι τῷ ὄντι ἀπὸ Θεοῦ, θέλει φανερὰ νὰ παρακινήσῃ τὶς ψυχὲς τῶν ἀγωνιστῶν τῆς εὐσεβείας στὴν [θεία] ἀγάπη μὲ μεγάλο ξεχείλισμα τῆς ψυχῆς· ἡ δὲ [δαιμονική], ἐπειδὴ συνηθίζει νὰ ριπίζῃ τὴν ψυχὴ μὲ ἕναν ἄνεμο πλάνης, ἐπιχειρεῖ νὰ κλέπτῃ μὲ τὸν ὕπνο τοῦ σώματος τὴν πεῖρα τῆς [πνευματικῆς] αἰσθήσεως τοῦ ὑγιοῦς νοός, τὴν σχετικὴ μὲ τὴν μνήμη τοῦ Θεοῦ. Ἐὰν ὁ νοῦς ἑπομένως βρεθῇ, ὅπως

εἶπον, μεμνημένος προσεχῶς τοῦ Κυρίου Ἰησοῦ, σκορπίζει μὲν τὴν αὔραν ἐκείνην τὴν ἡδυφανῆ τοῦ ἐχθροῦ, χαίρων δὲ εἰς τὸν κατ᾽ αὐτοῦ κινεῖται πόλεμον, ὡς ὅπλον ἔχων λοιπὸν δεξιόν, μετὰ τὴν χάριν, τὸ ἐκ τῆς πείρας καύχημα.

λγ΄. Ἐὰν ἀναμφιβόλῳ, καὶ ἀφαντάστῳ κινήσει ἡ ψυχὴ πρὸς τὴν ἀγάπην ἐξάπτηται τοῦ Θεοῦ, ἕλκουσα ὥσπερ καὶ τὸ σῶμα εἰς τὸ βάθος τῆς ἀγάπης ἐκείνης τῆς ἀῤῥήτου, ἢ ἐγρηγορότως, ἢ ᾧ εἴρηκα τρόπῳ, ἢ εἰς ὕπνον ἐρχομένου τοῦ ὑπὸ τῆς ἁγίας χάριτος ἐνεργουμένου, μηδὲν ἄλλο τότε ἐννοοῦσα ὅλως, ἢ τοῦτο μόνον, εἰς ὅπερ κινεῖται· εἰδέναι δεῖ τοῦ Ἁγίου Πνεύματος εἶναι τὴν ἐνέργειαν. Ἡδυνομένη γὰρ ὅλη ὑπ᾽ ἐκείνης τῆς ἀφράστου γλυκύτητος, οὐδὲν ἕτερον δύναται τότε ἐννοεῖν, ἐπειδὴ ἀνενδότῳ τινὶ ἐνευφραίνεται χαρᾷ. Ἐὰν δὲ ἀμφιβολίαν ὅλως, ἢ ῥυπαράν τινα ἔννοιαν ὁ νοῦς ἐν τῷ ἐνεργεῖσθαι συλλάβῃ, εἰ καὶ τῷ ἁγίῳ κέχρηται ὀνόματι πρὸς ἄμυναν

εἶπα, νὰ ἔχῃ στὴν μνήμη του μὲ προσοχὴ τὸν Κύριο Ἰησοῦ, σκορπίζει ἀφ᾽ ἑνὸς τὴν φαινομενικὰ γλυκειὰ ἐκείνη αὔρα τοῦ ἐχθροῦ, ἀφ᾽ ἑτέρου γεμάτος χαρὰ κινεῖται στὸν πόλεμο ἐναντίον αὐτοῦ [τοῦ διαβόλου], ἔχοντας εἰς τὸ ἑξῆς ὡς δεξιὸ ὅπλο μετὰ τὴν Χάρι, τὸ καύχημα ἀπὸ τὴν πεῖρα.

33. Ἐὰν ἡ ψυχὴ φλογίζεται στὴν ἀγάπη τοῦ Θεοῦ μὲ κίνησι χωρὶς ἀμφιβολία καὶ φαντασία, ἕλκοντας τρόπον τινὰ καὶ τὸ σῶμα στὸ βάθος τῆς ἀνεκφράστου ἐκείνης ἀγάπης, ἐνῷ δέχεται [δραστικῶς] τὴν [θεία] ἐνέργεια ἀπὸ τὴν ἁγία Χάρι, ἢ ἐν ἐγρηγόρσει ἢ μὲ τὸν τρόπο τὸν ὁποῖο ἔχω πεῖ, ἢ ὅταν ἔρχεται [τὸ σῶμα] στὴν κατάστασι τοῦ ὕπνου, ὥστε [ἡ ψυχὴ] τότε νὰ μὴν σκέπτεται ἐντελῶς τίποτα ἄλλο, παρὰ αὐτὸ μόνο στὸ ὁποῖο κινεῖται [δηλαδὴ στὴν ἄκρατη ἀγάπη τοῦ Θεοῦ], [τότε ἡ ψυχὴ] πρέπει νὰ γνωρίζῃ, ὅτι [αὐτὴ ἡ κατάστασι] εἶναι ἡ ἐνέργεια τοῦ Ἁγίου Πνεύματος[6]. Διότι, εὐφραινομένη ὁλόκληρη ἀπὸ ἐκείνη τὴν ἀνεκλάλητη γλυκύτητα, τίποτα ἄλλο δὲν μπορεῖ τότε νὰ σκέπτεται, ἐπειδὴ εὐφραίνεται ἐντός της μὲ μία ἀκατάπαυστη χαρά. Ἐὰν ὅμως ὁ νοῦς, ἐνῷ δέχεται τὴν ἐνέργεια τῆς Χάριτος, δεχθῇ κάποια ἀμφιβολία ἢ ῥυπαρὴ σκέψι, καὶ ἐὰν χρησιμοποιῇ τὸ Ἅγιο Ὄνομα [τοῦ Κυρίου Ἰησοῦ] γιὰ τὴν ἄμυνα

τοῦ κακοῦ, καὶ οὐχὶ μᾶλλον πρὸς ἀγάπην μόνον τοῦ Θεοῦ· δεῖ νοεῖν, ὅτι ὡς ἐκ τοῦ ἀπατεῶνός ἐστιν ἐκείνη ἡ παράκλησις, χαρᾶς ἐμφάσει· ἡ δὲ χαρὰ ἐκείνη ἄποιός ἐστι καὶ ἀδιάθετος ὅλη, μοιχεύεσθαι θέλοντος τοῦ ἐχθροῦ τὴν ψυχήν, ὅταν ἴδῃ τὸν νοῦν τῇ πείρᾳ τῆς ἑαυτοῦ αἰσθήσεως ἀκριβῶς καυχώμενον. Τότε γὰρ παρακλήσεσί τισιν, ὡς ἔφην, χρηστοφανέσι προσκαλεῖται τὴν ψυχήν, ἵνα διαφορουμένης αὐτῆς ὑπὸ τῆς χαύνης ἐκείνης, καὶ καθύγρου ἡδύτητος, ἀγνώριστος αὐτῇ γένοιτο ἡ μεῖξις τοῦ δολίου. Ἐκ τούτου οὖν γνωσόμεθα τὸ πνεῦμα τῆς ἀληθείας, καὶ τὸ πνεῦμα τῆς πλάνης[33]*· ἀδύνατον μέντοι ἢ τῆς θείας χρηστότητος ἐν αἰσθήσει γεύσασθαί τινα, ἢ τῆς τῶν δαιμόνων πικρίας αἰσθητῶς πειρασθῆναι, εἰ μή τις ἑαυτὸν πληροφορήσῃ, τὴν μὲν χάριν εἰς τὸ βάθος τοῦ νοῦ κατεσκηνωκέναι, τὰ δὲ πονηρὰ πνεύματα περὶ τὰ μέλη τῆς καρδίας ἐνδιατρίβειν· ὅπερ οὐδέποτε θέλουσι παρὰ ἀν-*

τοῦ κακοῦ μᾶλλον καὶ ὄχι μόνον γιὰ τὴν ἀγάπη τοῦ Θεοῦ, πρέπει νὰ ἀντιλαμβάνεται, ὅτι πράγματι ἀπὸ τὸν ἀπατεῶνα εἶναι ἡ παρηγορία ἐκείνη μὲ τὴν φαινομενικὴ ἐμφάνισι τῆς χαρᾶς. Ἡ δὲ χαρὰ ἐκείνη, εἶναι ὅλη ἀνούσια καὶ ἀκατάστατη, ἐπειδὴ ὁ ἐχθρὸς θέλει νὰ μοιχευθῇ ἡ ψυχή, ὅταν δῇ τὸν νοῦ νὰ ὑπερηφανεύεται γιὰ τὴν μὲ ἀκρίβεια ἐμπειρία τῆς αἰσθήσεώς του. Τότε βέβαια, μὲ κάποιες φαινομενικὰ ἀγαθὲς παρηγορίες, ὅπως εἶπα, καλεῖ πρὸς τὸν ἑαυτό του τὴν ψυχή, ὥστε ἀφοῦ αὐτὴ ἀλλοιωθῇ ἀπὸ τὴν χαύνη ἐκείνη καὶ κάθυγρη γλυκύτητα, ἤθελε γίνῃ ἀπαρατήρητη ἡ ἀνάμειξι τοῦ δολίου [διαβόλου] μ᾽ αὐτήν. Ἀπὸ αὐτὸ ἑπομένως θὰ γνωρίσωμε τὸ πνεῦμα τῆς ἀληθείας καὶ τὸ πνεῦμα τῆς πλάνης. [Εἶναι] ἀδύνατον λοιπὸν κάποιος, ἢ νὰ γευθῇ μὲ αἴσθησι [ψυχῆς] τὴν θεία ἀγαθότητα, ἢ νὰ λάβῃ αἰσθητῶς πεῖρα τῆς πικρίας τῶν δαιμόνων, ἐὰν δὲν λάβῃ ἐσωτερικὴ πληροφορία, ὅτι ἡ μὲν Χάρις ἔχει ἐγκατασταθῇ στὸ βάθος τοῦ νοός, τὰ δὲ πονηρὰ πνεύματα παραμένουν γύρω ἀπὸ τὰ μέλη τῆς καρδίας· τὸ ὁποῖο βέβαια, οὐδέποτε θέλουν οἱ δαίμονες νὰ γίνῃ πιστευτὸ ἀπὸ τοὺς ἀν-

θρώποις πιστευθῆναι οἱ δαίμονες, ἵνα μὴ ὁ νοῦς τοῦτο αὐτὸ εἰδὼς ἀκριβῶς, τῇ μνήμῃ τοῦ Θεοῦ κατ᾽ αὐτῶν ὁπλίζηται.

λδʹ. Ἄλλη ἐστὶν ἡ ἀγάπη τῆς ψυχῆς ἡ φυσική, καὶ ἄλλη ἡ ἐκ τοῦ Ἁγίου Πνεύματος αὐτῇ προσγινομένη. Ἡ μὲν γὰρ καὶ ἐκ τῆς ἡμετέρας, ὅτε θέλομεν, συμμέτρως κινεῖται θελήσεως· διόπερ καὶ εὐχερῶς ὑπὸ τῶν πονηρῶν πνευμάτων, ἡνίκα μὴ βίᾳ κρατῶμεν τῆς ἑαυτῶν προαιρέσεως, διαρπάζεται. Ἡ δέ, τοσοῦτον ἐκκαίει τὴν ψυχὴν πρὸς τὴν ἀγάπην τοῦ Θεοῦ, ὥστε πάντα τὰ τῆς ψυχῆς μέρη τῇ τοῦ θείου πόθου ἀλαλήτῳ ἐγκολλᾶσθαι χρηστότητι, ἐν ἀπείρῳ τινὶ ἁπλότητι διαθέσεως. Ἐγκύμων γὰρ ὥς περ ὁ νοῦς τότε ὑπὸ τῆς πνευματικῆς ἐνεργείας γινόμενος, πηγήν τινα ἀγάπης καὶ χαρᾶς ἀναβλύζει.

λεʹ. Ὥς περ ἡ θάλασσα τῷ ἐπιχεομένῳ αὐτῇ ἐλαίῳ, ὅταν ταράττηται, φύσιν ἔχει τοῦ εἴκειν ὑπὸ τῆς αὐτοῦ πιότητος νικωμένης τῆς ζάλης, οὕτω καὶ ἡ ψυχὴ ἡμῶν,

θρώπους, γιὰ νὰ μὴν ὁπλίζεται ὁ νοῦς ἐναντίον τους μὲ τὴν μνήμη τοῦ Θεοῦ, ἐπειδὴ γνωρίζει αὐτὸ μὲ βεβαιότητα.

34. Ἄλλη εἶναι ἡ φυσικὴ ἀγάπη τῆς ψυχῆς καὶ ἄλλη ἐκείνη ἡ ὁποία συμβαίνει σ᾽ αὐτὴ ἀπὸ [τὴν ἐνέργεια] τοῦ Ἁγίου Πνεύματος. Διότι, ἡ μὲν [φυσικὴ ἀγάπη], ὅταν θέλωμε, ὑποκινεῖται ἀναλόγως καὶ ἀπὸ τὴν δική μας θέλησι. Γι᾽ αὐτὸ ἀκριβῶς καὶ εὔκολα διαρπάζεται ἀπὸ τὰ πονηρὰ πνεύματα, ὁσάκις δὲν συγκρατοῦμε μὲ τὴν βία τὴν δική μας προαίρεσι. Ἡ δὲ [ἀγάπη ἐκ τοῦ Παναγίου Πνεύματος], τόσο πολὺ φλέγει τὴν ψυχὴ γιὰ τὴν ἀγάπη τοῦ Θεοῦ, ὥστε ὅλα τὰ μέρη τῆς ψυχῆς νὰ προσκολλῶνται στὴν ἄφατη ἀγαθότητα τοῦ θείου πόθου, μὲ μία ἄπειρη ἁπλότητα [τῆς] ἐσωτερικῆς [μας] καταστάσεως. Διότι γενόμενος τότε ὁ νοῦς, ὡσὰν ἀκριβῶς νὰ κυοφορῇ ἀπὸ τὴν πνευματικὴ [θεία] ἐνέργεια, ἀναβλύζει κάποια πηγὴ ἀγάπης καὶ χαρᾶς.

35. Ὅπως ἀκριβῶς ἡ θάλασσα, ἐν σχέσει πρὸς τὸ λάδι τὸ ὁποῖο χύνεται ἐπάνω [της], ὅταν τρικυμιᾷ ἔχει τὴν φυσικὴ ἰδιότητα τοῦ νὰ ὑποχωρῇ, ἐπειδὴ νικᾶται ἡ τρικυμία ἀπὸ τὴν λιπαρότητα αὐτοῦ [τοῦ λαδιοῦ], κατὰ τὸν ἴδιο τρόπο καὶ ἡ ψυχή μας,

ὅταν ὑπὸ τῆς χρηστότητος πιαίνηται τοῦ Ἁγίου Πνεύματος, ἡδέως γαληνιᾷ. Χαίρουσα γὰρ ἡττᾶται, κατὰ τὸν λέγοντα ἅγιον· πλὴν τῷ Θεῷ ὑποτάγηθι ἡ ψυχή μου[34]*· τῇ ἐπισκιαζούσῃ αὐτῇ ἐκείνῃ ἀπαθείᾳ, καὶ ἀῤῥήτῳ χρηστότητι. Διὰ τοῦτο οὖν κἂν ὁπόσοι τότε παροξυσμοὶ ὑπὸ τῶν δαιμόνων ἐπιτηδεύωνται κατὰ τῆς ψυχῆς, ἀόργητός τε διαμένει, καὶ πάσης ἔμπλεως χαρᾶς. Εἰς ὅπερ τις οὐκ ἔρχεται οὐδὲ μένει, εἰμὴ τῷ φόβῳ τοῦ Θεοῦ τὴν ἑαυτοῦ ψυχὴν ἀπαύστως καθηδύνῃ. Τοῖς γὰρ ἀγωνιζομένοις εἶδός τι φέρει ἁγνισμοῦ ὁ φόβος τοῦ Κυρίου Ἰησοῦ. Ὁ γὰρ φόβος, φησί, τοῦ Κυρίου ἁγνός, διαμένων εἰς αἰῶνα αἰῶνος*[35].

λς'. Μηδεὶς ἀκούων αἴσθησιν νοός, ὁρατῶς αὐτῷ τὴν δόξαν τοῦ Θεοῦ ὀφθῆναι ἐλπιζέτω. Αἰσθάνεσθαι μὲν γὰρ φαμέν, ἤτοι καθαρεύειν τὴν ψυχήν, ἐν ἀῤῥήτῳ τινὶ γεύσει τῆς θείας παρακλήσεως. Οὐ φαίνεσθαι δὲ αὐτῇ τι τῶν ἀοράτων, ἐπειδὴ νῦν διὰ πίστεως καὶ

ὅταν λιπαίνεται ἀπὸ τὴν ἀγαθότητα τοῦ Ἁγίου Πνεύματος, γαληνεύει μὲ εὐχαρίστησι. Διότι ἡττᾶται ἔχοντας χαρά, σύμφωνα μὲ τὸν Ἅγιο [Ψαλμωδὸ Δαυῒδ] ὁ ὁποῖος λέγει: «πλὴν ψυχή μου, ὑποτάξου στὸν Θεό»· στὴν μόνη ἐκείνη Ἀπάθεια καὶ στὴν ἄφατη Ἀγαθότητα, ἡ ὁποία [σὲ] ἐπισκιάζει. Γι᾽ αὐτὸ λοιπόν, ὅσοι κι ἂν τότε ἀσκοῦνται παροργισμοὶ ἀπὸ τοὺς δαίμονες ἐναντίον τῆς ψυχῆς, [ἐκείνη] παραμένει καὶ δίχως ὀργὴ καὶ γεμάτη ἀπὸ κάθε χαρά. Στὸ ὁποῖο βέβαια [σημεῖο], οὔτε φθάνει κανείς, οὔτε παραμένει, ἐὰν δὲν καταγλυκάνῃ ἀκατάπαυστα τὴν ψυχή του μὲ τὸν φόβο τοῦ Θεοῦ. Διότι σ᾽ ἐκείνους οἱ ὁποῖοι ἀγωνίζονται, ὁ φόβος τοῦ Κυρίου Ἰησοῦ προσφέρει κάποιο εἶδος ἁγνισμοῦ. Διότι, λέγει [ὁ Δαυῒδ]: «ὁ φόβος τοῦ Κυρίου [εἶναι] ἁγνός, παραμένοντας εἰς αἰῶνα αἰῶνος».

36. Ὅταν κανεὶς ἀκούῃ αἴσθησι νοός, ἂς μὴν ἐλπίζῃ ὅτι θὰ ἐμφανισθῇ σ᾽ αὐτὸν ὁρατῶς ἡ δόξα τοῦ Θεοῦ. Διότι λέγομε μὲν ὅτι ἡ ψυχὴ ἔχει αἴσθησι, δηλαδὴ ὅτι καθαρεύει μὲ κάποια ἀνεκλάλητη γεῦσι τῆς θείας παρηγορίας, ὄχι ὅτι ἐμφανίζεται σ᾽ αὐτὴν κάτι ἀπὸ τὰ ἀόρατα, ἐπειδὴ στὸν παρόντα χρόνο, ὅπως ὁ μακάριος Παῦλος λέγει: «ζοῦμε μὲ τὴν πίστι καὶ

οὐ διὰ εἴδους, ὡς ὁ μακάριος Παῦλος λέγει, περιπατοῦμεν[36]*. Ἐὰν οὖν ὀφθῇ τινι τῶν ἀγωνιζομένων, ἢ φῶς, ἢ σχῆμά τι πυροειδές, ἢ φωνή, μηδαμῶς καταδεξάσθω τὸ τοιοῦτον ὅραμα. Ἀπάτη γάρ ἐστι φανερὰ τοῦ ἐχθροῦ, ὅπερ πολλοὶ παθόντες, ὡς ἐξ ἀγνοίας, ἐξετράπησαν τῆς ὁδοῦ τῆς ἀληθείας. Ἡμεῖς δὲ ἴσμεν, ὅτι ἐφ᾽ ὅσον ἐνδημοῦμεν ἐν τῷ φθαρτῷ τούτῳ σώματι, ἐκδημοῦμεν ἀπὸ τοῦ Θεοῦ*[37]*, τουτέστιν, ὁρατῶς, ἢ αὐτὸν ἤ τι τῶν ἐπουρανίων αὐτοῦ θαυμάτων, ὁρᾷν οὐ δυνάμεθα.*

λζ'. Οἱ ἐν τῇ ἀγάπῃ τοῦ Θεοῦ ἐμφαινόμενοι τῇ ψυχῇ ὄνειροι, ὑγιαινούσης ψυχῆς πώς εἰσιν ἀπλανεῖς κατήγοροι. Διόπερ οὔτε ἀπὸ ἑτέρου σχήματος εἰς ἕτερόν τι σχῆμα μεταβάλλονται, οὔτε μὴν πτοοῦσι τὴν αἴσθησιν, οὔτε γελῶσιν, ἢ στυγνάζουσιν ἀθρόως, ἀλλὰ μετὰ πάσης ἐπιεικείας τῇ ψυχῇ προσεγγίζουσι, πνευματικῆς αὐτὴν καταγεμίζοντες θυμηδίας. Ὅθεν καὶ μετὰ τὸ διϋπνισθῆναι τὸ σῶμα, πολλῷ τῷ πόθῳ ζητεῖ ἡ ψυχὴ

ὄχι μὲ αὐτὸ ποὺ φαίνεται». Ἐὰν ἑπομένως, σὲ κάποιον ἀπὸ ἐκείνους οἱ ὁποῖοι ἀγωνίζονται, ἐμφανισθῇ ἢ φῶς ἢ κάποιο πύρινο σχῆμα ἢ φωνή, καθόλου ἂς μὴν ἀποδεχθῇ αὐτοῦ τοῦ εἴδους τὸ ὅραμα. Διότι εἶναι φανερὴ ἡ ἀπάτη τοῦ ἐχθροῦ, τὸ ὁποῖο ἀκριβῶς πολλοὶ ἀφοῦ ἔπαθαν, πράγματι ἀπὸ ἄγνοια, ἐξετράπησαν ἀπὸ τὴν ὁδὸ τῆς ἀληθείας. Ἐμεῖς ὅμως γνωρίζομε, ὅτι ἐφ᾽ ὅσον κατοικοῦμε μέσα σ᾽ αὐτὸ τὸ φθαρτὸ σῶμα, ζοῦμε μακριὰ ἀπὸ τὸν Θεό, δηλαδὴ δὲν μποροῦμε νὰ δοῦμε μὲ τὰ μάτια μας ἢ Αὐτὸν ἢ κάποιο ἀπὸ τὰ ἐπουράνια θαύματά Του.

37. Τὰ ὄνειρα, τὰ ὁποῖα διὰ τῆς ἀγάπης τοῦ Θεοῦ ἐμφανίζονται στὴν ψυχή, εἶναι κατὰ κάποιο τρόπο ἀλάνθαστες ἀποδείξεις τῆς ὑγιοῦς ψυχῆς. Γι᾽ αὐτὸ ἀκριβῶς, οὔτε μεταβάλλονται ἀπὸ ἄλλο σὲ κάποιο ἄλλο σχῆμα, οὔτε βέβαια τρομάζουν τὴν αἴσθησι, οὔτε γελοῦν ἢ αἰφνίδια σκοτεινιάζουν, ἀλλὰ προσεγγίζουν τὴν ψυχὴ μὲ κάθε συστολή, καταγεμίζοντάς την μὲ πνευματικὴ εὐφροσύνη. Γιὰ τοῦτο καὶ ἡ ψυχή, μετὰ τὴν ἀφύπνισι τοῦ σώματος, μὲ πολὺ πόθο ζητᾶ τὴν

τὴν χαρὰν τοῦ ὀνείρου. Αἱ δὲ τῶν δαιμόνων φαντασίαι, διὰ πάντων ἐναντίως ἔχουσιν. Οὔτε γὰρ ἐν τῷ αὐτῷ μένουσι σχήματι, οὔτε μορφὴν ἀτάραχον ἐπὶ πολὺ ἐπιδείκνυνται. Ὃ γὰρ ἐκ προαιρέσεως μὲν οὐκ ἔχουσιν, ἐκ δὲ τῆς οἰκείας κιχρῶνται μόνον πλάνης, ἀρκεῖν αὐτοῖς ἐπὶ πλεῖστον οὐ δύναται. Ἀλλὰ καὶ μεγάλα μὲν λέγουσι καὶ ἀπειλοῦσι δὲ πλεῖστα, εἰς στρατιωτῶν εἶδος ἑαυτοὺς πολλάκις σχηματίζοντες. Ποτὲ δὲ καὶ προσψάλλουσι μετὰ κραυγῆς τῇ ψυχῇ. Ὅθεν ἐπιγινώσκων αὐτοὺς ὁ νοῦς, ὅτε καθαρεύει, πεφαντασμένως διϋπνίζει τὸ σῶμα. Ἔστι δ᾽ ὅτε καὶ χαίρει, ὡς τὸν δόλον αὐτῶν ἐπιγνῶναι δυνηθείς. Διόπερ ἐν αὐτῷ τῷ ὀνείρῳ πλειστάκις ἐλέγχων αὐτούς, εἰς ὀργὴν αὐτοὺς μεγάλην κινεῖ. Πλὴν ἔστιν ὅτε καὶ τὰ χρηστὰ ἐνύπνια, χαρὰν μὲν οὐ φέρουσι τῇ ψυχῇ, λύπην δὲ αὐτῇ ἡδεῖαν ἐμποιοῦσι καὶ ἀνάλγητον δάκρυον. Τοῦτο δὲ γίνεται ἐπὶ τῶν εἰς πολλὴν ταπεινοφροσύνην προκο-

χαρὰ τοῦ ὀνείρου. Οἱ δὲ φαντασίες τῶν δαιμόνων, σὲ ὅλα ἔχουν τρόπο ἀντίθετο. Διότι οὔτε παραμένουν μὲ τὸ ἴδιο σχῆμα, οὔτε ἐμφανίζουν γιὰ πολλὴ ὥρα ἀτάραχη μορφή. Διότι, ἐκεῖνο τὸ ὁποῖο δὲν κατέχουν μὲν ἀπὸ προαίρεσι [δηλαδὴ τὴν εἰρήνη], ἀλλὰ [τὸ] δανείζονται μόνον ἀπὸ τὴν δική τους πλάνη, δὲν δύναται σ᾽ αὐτοὺς νὰ διαρκῇ γιὰ πολύ. Ἀλλὰ καὶ λένε μὲν μεγάλα [λόγια] καὶ ἀπειλοῦν ἐξάλλου πάρα πολλά, δίδοντας συχνὰ στοὺς ἑαυτούς τους τὴν μορφὴ τῶν στρατιωτῶν. Κάποτε δὲ καὶ ψάλλουν κοντὰ στὴν ψυχὴ μὲ κραυγές. Ὁπότε ἀναγνωρίζοντάς τους ὁ νοῦς, ὅταν ζῇ μὲ καθαρότητα, ἀφυπνίζει τὸ σῶμα μέσα στὴν ὀνειρικὴ κατάστασι. Ἐνίοτε καὶ χαίρεται, διότι πράγματι μπόρεσε νὰ ἀναγνωρίσῃ τὴν παγίδα τους. Γι᾽ αὐτό, ἐπειδὴ πάρα πολλὲς φορὲς τοὺς ἐλέγχει μέσα σ᾽ αὐτὸ τὸ ἴδιο τὸ ὄνειρο, τοὺς ὑποκινεῖ σὲ μεγάλη ὀργή. Ἀλλὰ ἐνίοτε καὶ τὰ ἀγαθὰ ἐνύπνια δὲν φέρνουν μὲν χαρὰ στὴν ψυχή, ἀλλὰ προξενοῦν σ᾽ αὐτὴν γλυκειὰ λύπη καὶ δάκρυ χωρὶς πόνο. Αὐτὸ δὲ συμβαίνει σ᾽ ἐκείνους, οἱ ὁποῖοι προόδευσαν στὴν πολλὴ ταπεινοφρο-

ψάντων.

λη΄. Εἰρήκαμεν ἡμεῖς, ὡς παρὰ τῶν ἐν πείρᾳ γεγονότων ἠκούσαμεν, καλῶν τε καὶ φαύλων ὀνείρων διάκρισιν. Ἀρκείτω δὲ ἡμῖν πρὸς ἀρετὴν μεγάλην, τὸ μηδεμιᾷ ὅλως πείθεσθαι φαντασίᾳ· οἱ γὰρ ὄνειροι, ὡς ἐπὶ τὸ πλεῖστον, οὐδὲν ἕτερόν εἰσιν, ἀλλ᾽ εἴδωλα λογισμῶν. Ἢ πάλιν, ὡς ἔφην, δαιμόνων ἐμπαίγματα. Ὁπότε κἂν ἐκ τῆς τοῦ Θεοῦ ἀγαθότητος καταπεμφθῇ ἡμῖν ὅραμα πώποτε, καὶ μὴ αὐτὸ καταδεξώμεθα, οὐκ ἂν ἡμῖν ὁ πολυπόθητος Κύριος Ἰησοῦς ὀργισθῇ διὰ τοῦτο. Οἶδε γὰρ ὅτι διὰ τοὺς δόλους τῶν δαιμόνων ἐπὶ τοῦτο ἐρχόμεθα. Ἡ μὲν γὰρ προειρημένη διάκρισις ἀκριβής ἐστι. Συμβαίνει δὲ ἐκ συναρπαγῆς τινος ἀνεπαισθήτως ῥυπωθεῖσαν τὴν ψυχήν, οὗπερ ἐκτὸς οὐδείς, ὡς οἶμαι, εὑρίσκεται, ἀπολέσαι τὸ ἴχνος τῆς ἀκριβοῦς διαγνώσεως, καὶ πιστεῦσαι ὡς καλοῖς τοῖς μὴ καλοῖς.

λθ΄. Ἤτω πρὸς ὑπόδειγμα ἡμῖν τοῦ πράγματος, δοῦλος ὑπὸ δεσπότου νύκτωρ

σύνη.

38. Ἐμεῖς ἔχομε παρουσιάσει, ὅπως ἀκούσαμε ἀπὸ ἐκείνους οἱ ὁποῖοι ἔχουν λάβει πεῖρα, τὴν διάκρισι καὶ τῶν καλῶν καὶ τῶν ἄσχημων ὀνείρων. Ἂς μᾶς εἶναι δὲ ἀρκετὸ γιὰ ἀρετὴ μεγάλη, τὸ νὰ μὴν πιστεύωμε σὲ καμία ἐντελῶς φαντασία. Διότι τὰ ὄνειρα, ὡς ἐπὶ τὸ πλεῖστον, τίποτα ἄλλο δὲν εἶναι παρὰ ἀπεικονίσματα τῶν λογισμῶν. Ἢ πάλι, ὅπως εἶπα, περιπαίγματα τῶν δαιμόνων. Ὁπότε, κι ἂν ἀπὸ τὴν ἀγαθότητα τοῦ Θεοῦ μᾶς ἀποσταλῇ κάποτε [κάποιο] ὅραμα καὶ δὲν τὸ ἀποδεχθοῦμε, δὲν θὰ ὀργισθῇ μ᾽ ἐμᾶς ὁ πολυπόθητος Κύριος Ἰησοῦς ἐξ αἰτίας αὐτοῦ. Διότι γνωρίζει, ὅτι φθάνομε σ᾽ αὐτό, ἐξ αἰτίας τῶν δολοπλοκιῶν τῶν δαιμόνων. Διότι ἡ μὲν διάκρισι, ἡ ὁποία ἔχει προαναφερθῇ, εἶναι ἀκριβής. Συμβαίνει ὅμως ἀπὸ κάποια συναρπαγή, ἐπειδὴ ἀνεπαισθήτως μολύνθηκε ἡ ψυχή, ἀπὸ τὸ ὁποῖο βέβαια, ὅπως γνωρίζω, κανένας δὲν εἶναι ἀπρόσβλητος, νὰ ἀπολέσῃ τὸ μονοπάτι τῆς ἀκριβοῦς διαγνώσεως καὶ νὰ πιστέψῃ ὡς καλὰ τὰ ὄχι καλά.

39. Ἂς μᾶς εἶναι γιὰ παράδειγμα τοῦ ζητήματος ὁ δοῦλος, ὁ ὁποῖος καλεῖται ἐμπρὸς ἀπὸ τὶς

καὶ μετὰ πολλὴν ἀποδημίαν, πρὸ τῶν περιβόλων τῆς οἰκίας καλούμενος, καὶ ἀκριβῶς μὴ γνωρίζων, ᾧτινι τὴν ἄνοιξιν τῶν θυρῶν διόλου ὁ οἰκέτης ἠρνήσατο. Ἐδεδίει γὰρ μὴ ἡ ὁμοιότης αὐτὸν τῆς φωνῆς συναρπάσασα, προδότην παρασκευάσῃ γενέσθαι, ὧνπερ παρ' αὐτοῦ πεπίστευτο πραγμάτων. Ὥτινι, οὐ μόνον οὐκ ὠργίσθη, ἡμέρας γινομένης, ὁ κύριος αὐτοῦ, ἀλλὰ καὶ πολλῶν ἐπαίνων ἠξίωσεν, ὅτι καὶ τὴν τοῦ δεσπότου φωνὴν πλάνην εἶναι ἐνόμισε, μή τι θέλων τῶν αὐτοῦ ἀπολέσαι πραγμάτων.

μ΄. Ὅτι μὲν ὁ νοῦς, ὅταν ἄρξηται πυκνῶς ὑπὸ τοῦ Θείου φωτὸς ἐνεργεῖσθαι, διαφανής τις ὅλος γίνεται, ὥστε τὸ ἑαυτοῦ φῶς αὐτὸν πλουσίως ὁρᾷν, οὐ δεῖ ἀμφιβάλλειν. Τοῦτο γὰρ ὅλως γίνεται, ὅταν ἡ δύναμις τῆς ψυχῆς κατακυριεύσῃ τῶν παθῶν. Ὅτι δὲ πᾶν τὸ ἐν σχήματι αὐτῷ φαινόμενον, εἴτε ὡς φῶς, εἴτε ὡς πῦρ, ἐκ τῆς τοῦ ἐχθροῦ κακοτεχνίας γίνεται, ὁ θεσπέσιος ἡμᾶς Παῦλος διδάσκει σα-

μάνδρες τοῦ σπιτιοῦ, ἀπὸ τὸν κύριό [του] μέσα στὴν νύκτα καὶ μετὰ ἀπὸ μεγάλη ἀπουσία [τοῦ κυρίου του] ἀπὸ τὴν πατρίδα, καὶ ἐπειδὴ δὲν ἀναγνωρίζει μὲ ἀκρίβεια, ἀρνήθηκε ἐντελῶς ὁ ὑπηρέτης τοῦ σπιτιοῦ σ' αὐτὸν τὸν κάποιο [στὸν κύριό του], τὸ ἄνοιγμα τῶν θυρῶν. Διότι φοβήθηκε μήπως, ἐὰν [τὸν] συναρπάσῃ [τὸν ἐξαπατήσῃ] ἡ ὁμοιότης τῆς φωνῆς, τὸν κάνει νὰ γίνῃ προδότης ἐκείνων ἀκριβῶς τῶν πραγμάτων, τὰ ὁποῖα εἶχαν ἐμπιστευθῆ [στὸν δοῦλο] ἀπὸ αὐτὸν [τὸν κύριό του]. Ὅσον ἀφορᾶ αὐτὸν [τὸν δοῦλο], ὄχι μόνον δὲν ὀργίσθηκε ὁ κύριός του, ὅταν ἔγινε πρωΐ, ἀλλὰ καὶ [τὸν] ἔκρινε ἄξιο πολλῶν ἐπαίνων, διότι καὶ τὴν φωνὴ τοῦ κυρίου [του] θεώρησε ὅτι εἶναι ἀπάτη, ἐπειδὴ δὲν ἤθελε νὰ ἀπολέσῃ κάτι ἀπὸ τὰ πράγματα ἐκείνου.

40. Δὲν πρέπει βέβαια νὰ ἀμφιβάλλῃ [κανείς], ὅτι ὁ νοῦς, ὅταν ἀρχίσῃ νὰ δέχεται συχνὰ τὴν ἐνέργεια τοῦ θείου φωτός, γίνεται ὁλόκληρος κάπως διαφανής, ὥστε ὁ ἴδιος νὰ βλέπῃ πλούσια τὸ φῶς τοῦ ἑαυτοῦ του. Αὐτὸ βέβαια καθ' ὁλοκληρίαν γίνεται, ὅταν ἡ δύναμι τῆς ψυχῆς ἐξουσιάσῃ πλήρως τὰ πάθη. Ὅτι ἐξάλλου, κάθε τι τὸ ὁποῖο παρουσιάζεται σ' αὐτὸν [στὸν νοῦ] μὲ σχῆμα, εἴτε σὰν φῶς, εἴτε σὰν φωτιά, προξενεῖται ἀπὸ τὴν πανουργία τοῦ ἐχθροῦ [τοῦ διαβόλου], μᾶς [τὸ] διδάσκει μὲ σαφήνεια ὁ θεσπέσιος [Ἀπόστολος] Παῦ-

φῶς, εἰς ἄγγελον φωτὸς λέγων αὐτὸν μετασχηματίζεσθαι[38]. Οὐ δεῖ οὖν ἐπὶ ταύτῃ τῇ ἐλπίδι τινὰ τὸν ἀσκητικὸν μετιέναι βίον, ἵνα μὴ ὁ σατανᾶς ἑτοίμην εὕρῃ τὴν ψυχὴν ἐντεῦθεν εἰς συναρπαγήν. Ἀλλ' ἵνα φθάσωμεν μόνον ἐν πάσει αἰσθήσει καὶ πληροφορίᾳ τῆς καρδίας ἀγαπῆσαι τὸν Θεόν, ὅπερ ἐστὶν ἐν ὅλῃ ψυχῇ, καὶ ἐν ὅλῃ καρδίᾳ καὶ ἐν ὅλῃ τῇ διανοίᾳ[39]. Ὁ γὰρ εἰς τοῦτο ὑπὸ τῆς χάριτος ἐνεργούμενος τοῦ Θεοῦ, ἀποδημεῖ τοῦ κόσμου, κἂν ἐν τῷ κόσμῳ παρῇ.

μα´. Ἡ ὑπακοή, πρῶτον μὲν ἐν πάσαις ταῖς εἰσαγώγοις ἀρεταῖς ὑπάρχειν ἔγνωσται καλόν. Ἀθετεῖ γὰρ τέως τὴν οἴησιν, τίκτει δὲ ἡμῖν τὴν ταπεινοφροσύνην. Ὅθεν εἴσοδος καὶ θύρα γίνεται, τοῖς αὐτῆς ἀντεχομένοις ἡδέως, τῆς εἰς Χριστὸν ἀγάπης. Ταύτην ἀθετήσας Ἀδάμ[40], εἰς τὸν βύθιον ἀπωλίσθησε Τάρταρον. Ταύτης ἐρασθεὶς ὁ Κύριος, τῷ τῆς οἰκονομίας λόγῳ, ἄχρι σταυροῦ καὶ θανάτου ὑπήκουσε τῷ ἑαυ-

λος, λέγοντας ὅτι αὐτὸς [ὁ διάβολος] μετασχηματίζεται σὲ ἄγγελο φωτός. Δὲν πρέπει λοιπὸν κανεὶς νὰ μετέρχεται τὸν ἀσκητικὸ βίο [στηριγμένος] σ' αὐτὴν τὴν ἐλπίδα, [ὅτι δηλαδὴ θὰ βλέπῃ ὁράματα], γιὰ νὰ μὴν εὕρῃ ὁ σατανᾶς εἰς τὸ ἑξῆς ἀπὸ αὐτὸ τὴν ψυχὴ πρόσφορη γιὰ τὴν συναρπαγή. Ἀλλὰ νὰ φθάσωμε [νὰ ἐπιθυμοῦμε], μόνον νὰ ἀγαπήσωμε τὸν Θεὸ μὲ κάθε [ἐσωτερικὴ] αἴσθησι καὶ πληροφορία τῆς καρδίας, τὸ ὁποῖο ἀκριβῶς εἶναι [αὐτὸ τὸ ὁποῖο λέγει ἡ Ἁγία Γραφή]: «μὲ ὁλόκληρη τὴν ψυχὴ καὶ μὲ ὁλόκληρη τὴν καρδία καὶ μὲ ὁλόκληρη τὴν διάνοια». Διότι ἐκεῖνος ὁ ὁποῖος σ' αὐτὸ δέχεται τὴν θεία ἐνέργεια ἀπὸ τὴν Χάρι τοῦ Θεοῦ, ἀποδημεῖ ἀπὸ τὸν κόσμο, ἀκόμα κι ἂν διαμένῃ μέσα στὸν κόσμο.

41. Ἡ ὑπακοὴ ἔχει γίνει γνωστό, ὅτι βρίσκεται μεταξὺ ὅλων τῶν εἰσαγωγικῶν ἀρετῶν, ὡς τὸ κορυφαῖο καλό. Διότι ἐν ὅσῳ καταργεῖ τὴν οἴησι [ἔπαρσι], γεννᾶ σ' ἐμᾶς τὴν ταπεινοφροσύνη. Γι' αὐτὸ γίνεται εἴσοδος καὶ θύρα τῆς ἀγάπης πρὸς τὸν Χριστό, γιὰ ἐκείνους οἱ ὁποῖοι μὲ εὐχαρίστησι προσκολλῶνται σ' αὐτήν. Αὐτὴν ἐπειδὴ ἀθέτησε ὁ Ἀδάμ, γλίστρησε [στὴν βαθυτέρα τοῦ Ἅδου σκοτεινὴ ἄβυσσο], στὸν καταποντισμένο Τάρταρο. Αὐτὴν [τὴν ὑπακοή], ἐπειδὴ ἀγάπησε ὁ Κύριος, γιὰ τὸν λόγο τῆς [ἐνσάρκου θείας] οἰκονομίας, μέχρι σταυροῦ καὶ θανάτου ὑπήκουσε

τοῦ Πατρί[41]· καὶ ταῦτα ἐν οὐδενὶ ὢν ἥττων τῆς αὐτοῦ μεγαλωσύνης, ἵνα, τὸ τῆς ἀνθρωπείας παρακοῆς ἔγκλημα, διὰ τῆς ἑαυτοῦ ἐκλύσας ὑπακοῆς, εἰς τὴν μακαρίαν καὶ διαιωνίζουσαν τοὺς ἐν ὑπακοῇ ζήσαντας ἐπαναγάγῃ ζωήν. Πρῶτον οὖν τούτου ἐπιμελεῖσθαι δεῖ τοὺς πρὸς τὴν οἴησιν τοῦ διαβόλου ἀναδεχομένους τὴν πάλην. Δείξει γὰρ ἡμῖν αὕτη προϊοῦσα, πάσας ἀπλανῶς τὰς τρίβους τῶν ἀρετῶν.

μβʹ. Ἡ ἐγκράτεια κοινόν ἐστι πασῶν τῶν ἀρετῶν ἐπώνυμον. Δεῖ οὖν τὸν ἀγωνιζόμενον πάντα ἐγκρατεύεσθαι. Ὥς περ γὰρ ἀνθρώπου οἱονδήποτε τῶν λεπτοτάτων ἀφαιρεθὲν μελῶν, τὸ πᾶν τοῦ ἀνθρώπου, κἂν βραχὺ ᾖ τὸ λειπόμενον, τοῦ σχήματος ἄμορφον ἀπεργάζεται· οὕτω καὶ μιᾶς παραμελῶν ἀρετῆς, ὅλην ὡς οὐκ οἶδε τὴν τῆς ἐγκρατείας ἀφανίζει εὐπρέπειαν. Χρὴ οὖν μὴ μόνον τὰς σωματικὰς φιλοπονεῖν ἀρετάς, ἀλλὰ καὶ τὰς τὸν ἔνδον ἡμῶν ἄνθρωπον καθαί-

στὸν Πατέρα Του· καὶ αὐτὰ χωρὶς σὲ τίποτα νὰ εἶναι ὑποδεέστερος τῆς [Θεϊκῆς] μεγαλωσύνης Αὐτοῦ, ὥστε ἀνασκευάζοντας τὸ ἁμάρτημα τῆς ἀνθρώπινης παρακοῆς μὲ τὴν δική Του ὑπακοή, νὰ ἐπαναφέρῃ στὴν μακαρία καὶ διαμένουσα εἰς τοὺς αἰῶνας ζωή, ἐκείνους οἱ ὁποῖοι ἔζησαν μὲ ὑπακοή. Ἑπομένως πρωτίστως πρέπει νὰ ἐπιμελοῦνται αὐτό, ἐκεῖνοι οἱ ὁποῖοι δέχονται τὴν πάλη ἐναντίον τῆς οἰήσεως [ἀλαζονείας] τοῦ διαβόλου. Διότι θὰ μᾶς δείξῃ, αὐτὴ ἡ ἴδια [ἡ ὑπακοή], προχωρώντας μπροστά, τοὺς δρόμους τῶν ἀρετῶν, δίχως [τὸν κίνδυνο] τῆς πλάνης.

42. Ἡ ἐγκράτεια εἶναι ἡ κοινὴ ἐπωνυμία ὅλων τῶν ἀρετῶν. Πρέπει ἑπομένως ὁ ἀγωνιζόμενος νὰ ἐγκρατεύεται σὲ ὅλα. Διότι ὅπως ἀκριβῶς ἐὰν ἀφαιρέθηκε [κάποιου] ἀνθρώπου ὁποιοδήποτε ἀπὸ τὰ πιὸ μικρὰ μέλη, ἀκόμα κι ἂν εἶναι ἀσήμαντο ἐκεῖνο τὸ ὁποῖο λείπει, μεταποιεῖ τὸ ὅλον τοῦ ἀνθρώπου παραμορφωμένο ὡς πρὸς τὸ σχῆμα [του]· κατὰ τὸν ἴδιο τρόπο καὶ ἐὰν [κάποιος] παραμελῇ μία ἀρετή, ἀφανίζει ὁλόκληρη, ὅπως δὲν γνωρίζει, τὴν εὐπρέπεια τῆς ἐγκρατείας. Πρέπει ἑπομένως, νὰ μὴν καλλιεργοῦμε φιλόπονα μόνο τὶς σωματικὲς ἀρετές, ἀλλὰ καὶ ἐκεῖνες οἱ ὁποῖες μποροῦν νὰ καθαρίσουν

ρειν δυναμένας. Ποῖον γὰρ ὄφελος ἔσται, τῷ τὸ σῶμα παρθένον τηρήσαντι, εἰ τὴν ψυχὴν ὑπὸ τοῦ τῆς παρακοῆς μοιχεύεται δαίμονος; Ἢ πῶς στεφανωθήσεται ὁ γαστριμαργίας μέν, καὶ πάσης σωματικῆς ἐπιθυμίας φεισάμενος, οἰήσεως δὲ καὶ φιλοδοξίας μὴ ἐπιμελησάμενος; Μήτε βραχείας ἀνεχόμενος θλίψεως, τῆς, τὸ φῶς τῆς δικαιοσύνης, μελλούσης ἀντισταθμίζειν πλάστιγγος, τοῖς τὰ ἔργα τῆς δικαιοσύνης ἐν πνεύματι διαπραξαμένοις ταπεινώσεως;

μγ'. Πάσας μὲν τὰς ἀλόγους ἐπιθυμίας, οὕτω δεῖ μισεῖν τοὺς ἀγωνιζομένους, ὥστε εἰς ἕξιν τὸ πρὸς αὐτὰς μῖσος κτήσασθαι. Τὴν δὲ ἐπὶ τῶν βρωμάτων ἐγκράτειαν, οὕτως ἐχρῆν διατηρεῖν, ἵνα μὴ εἰς βδέλυξίν τινος αὐτῶν ἔλθῃ τίς ποτε. Τοῦτο γὰρ καὶ ἐπικατάρατόν ἐστι καὶ δαιμονιῶδες ὅλον. Οὐ γὰρ ὡς φαύλων αὐτῶν, μὴ γένοιτο, ἀπεχόμεθα· ἀλλ' ἵνα τῶν πολλῶν τροφῶν ἑαυτοὺς ἀφιστῶντες, τὰ φλεγ-

τὸν ἐσωτερικό μας ἄνθρωπο. Διότι ποιὸ θὰ εἶναι τὸ ὄφελος γιὰ ἐκεῖνον ὁ ὁποῖος διατήρησε τὸ σῶμα παρθένο, ἐὰν μοιχεύεται ὡς πρὸς τὴν ψυχή, ἀπὸ τὸν δαίμονα τῆς παρακοῆς; Ἢ πῶς θὰ στεφανωθῇ, ἐκεῖνος ὁ ὁποῖος ἐγκατέλειψε μὲν τὴν γαστριμαργία καὶ κάθε σωματικὴ ἐπιθυμία, ἀλλὰ δὲν φρόντισε γιὰ τὴν οἴησι καὶ τὴν φιλοδοξία; [Καὶ πῶς θὰ στεφανωθῇ] ὅταν οὔτε μιὰ μικρὴ θλῖψι δὲν ἀνέχεται, ἡ ὁποία ἐπρόκειτο ὡς ζυγαριὰ νὰ ἀντισταθμίζῃ τὸ φῶς τῆς δικαιοσύνης μὲ τὰ ἔργα τῆς δικαιοσύνης, τὰ ὁποῖα διεπράχθησαν μέσα στὸ πνεῦμα τῆς ταπεινώσεως;

43. Ὅλες μὲν τὶς ἄλογες ἐπιθυμίες, πρέπει νὰ μισοῦν οἱ ἀγωνιζόμενοι κατ' αὐτὸν τὸν τρόπο, ὥστε νὰ ἀποκτήσουν τὸ μῖσος ἐναντίον τους ὡς συνήθεια. Τὴν δὲ ἐγκράτεια, ὅσον ἀφορᾶ τὰ φαγητά, ἦταν ἀνάγκη νὰ διαφυλάττουν κατ' αὐτὸν τὸν τρόπο, ὥστε νὰ μὴν φθάσῃ κανεὶς ποτὲ στὴν ἀποστροφὴ κάποιου ἀπὸ αὐτά. Διότι αὐτὸ εἶναι καὶ ἐπικατάρατο καὶ ὅλο δαιμονικό. Διότι δὲν ἐγκρατευόμεθα ἀπὸ αὐτά, ἐπειδὴ [εἶναι] κακά, μὴ γένοιτο· ἀλλὰ ἀπομακρύνοντας τοὺς ἑαυτούς μας ἀπὸ τὶς πολλὲς τροφές, νὰ παιδαγωγοῦμε συμμέτρως τὰ φλεγό-

μαίνοντα μέλη τῆς σαρκὸς συμμέτρως κολάζωμεν. Λοιπὸν δέ, ἵνα καὶ τὸ ἡμῶν περίσσευμα εἰς οἰκονομίαν ἀρκοῦσαν τοῖς πτωχεύουσι γένηται· ὅπερ ἐστὶν ἀγάπης εἰλικρινοῦς γνώρισμα.

μδ΄. Τὸ ἀπὸ πάντων τῶν παρατιθεμένων, ἢ κιρνωμένων ἐσθίειν, καὶ πίνειν εὐχαριστοῦντας τῷ Θεῷ[42]*, οὐδαμῶς τῷ κανόνι τῆς γνώσεως μάχεται· πάντα γὰρ καλὰ λίαν*[43]*. Τὸ δὲ τῶν πολλῶν καὶ ἡδέων ἡδέως ἀπέχεσθαι, καὶ διακριτικώτερον ὑπάρχει καὶ γνωστικώτερον. Οὐκ ἂν δὲ τῶν παρόντων ἡδέων ἡδέως καταφρονήσωμεν, εἰμὴ τῆς τοῦ Θεοῦ γλυκύτητος ἐν πάσῃ αἰσθήσει καὶ πληροφορίᾳ γευσώμεθα.*

με΄. Ὃν τρόπον ὑπὸ πλήθους βρωμάτων βαρυνόμενον τὸ σῶμα, δειλόν τινα καὶ δυσκίνητον τὸν νοῦν ἀπεργάζεται, οὕτω καὶ ἐξατονοῦν ὑπὸ πολλῆς ἐγκρατείας, στυγνόν τε, καὶ ἀφιλόλογον τὸ θεωρητικὸν τῆς ψυχῆς ὑποτελεῖ [recte: ἐπιτελεῖ] μέρος. Δεῖ οὖν πρὸς τὰς τοῦ σώματος κινήσεις,

μενα μέλη τῆς σαρκός. Ἔπειτα δέ, γιὰ νὰ γίνῃ καὶ τὸ περίσσευμά μας ὡς οἰκονομία, ἡ ὁποία ἐπαρκεῖ σ᾽ ἐκείνους οἱ ὁποῖοι στεροῦνται τὰ ἀναγκαῖα, τὸ ὁποῖο ἀκριβῶς εἶναι γνώρισμα εἰλικρινοῦς ἀγάπης.

44. Τὸ νὰ τρῶμε καὶ νὰ πίνωμε ἀπὸ ὅλα, ὅσα παρατίθενται ἢ κερνοῦνται εὐχαριστώντας τὸν Θεό, καθόλου δὲν ἐναντιώνεται στὸν κανόνα τῆς [θείας] γνώσεως. Διότι ὅλα [ὅσα ἔκανε ὁ Θεός, εἶναι] πολὺ καλά. Τὸ νὰ ἐγκρατευώμεθα ὅμως εὐχαρίστως ἀπὸ τὰ πολλὰ καὶ νόστιμα [φαγητά], εἶναι [στοιχεῖο] βαθυτέρας καὶ διακρίσεως καὶ γνώσεως. Δὲν θὰ μπορέσωμε νὰ καταφρονήσωμε ὅμως εὐχαρίστως τὰ παρόντα ἡδονικά, ἐὰν δὲν γευθοῦμε τὴν γλυκύτητα τοῦ Θεοῦ, μὲ κάθε αἴσθησι καὶ [ἐσωτερικὴ] πληροφορία.

45. Μὲ ὅποιον τρόπο τὸ σῶμα, ὅταν γίνεται βαρὺ ἀπὸ τὸ πλῆθος τῶν φαγητῶν, κάνει τὸν νοῦ κάπως δειλὸ καὶ δυσκίνητο, κατὰ τὸν ἴδιο τρόπο καὶ ὅταν ἀδυνατίζῃ ἀπὸ τὴν πολλὴ ἐγκράτεια, καθιστᾶ τὸ θεωρητικὸ μέρος τῆς ψυχῆς περίλυπο καὶ ἐπιπλέον νὰ μὴν ἀγαπᾷ τὰ λόγια. Πρέπει ἑπομένως νὰ ἑτοιμάζωμε τοὺς ἑαυτούς μας ἀνάλογα μὲ τὶς κι-

καὶ τὰς τροφὰς εὐτρεπίζεσθαι· ἵνα, ὅτε μὲν ὑγιαίνει, κολάζηται πρεπόντως· ὅτε δὲ ἀσθενεῖ, πιαίνοιτο μετρίως. Οὐ γὰρ ἀτονεῖν δεῖ τῷ σώματι τὸν ἀγωνιζόμενον, ἀλλ᾽ ὅσον ἀρκεῖν πρὸς τὸν ἀγῶνα δύνασθαι, ἵνα, κἂν τοῖς πόνοις τοῦ σώματος, καὶ ἡ ψυχὴ πρεπόντως καθαίροιτο.

μς΄. Ὅταν ἡ κενοδοξία μεγάλως φλεγμαίνῃ καθ᾽ ἡμῶν, τὴν ἀδελφῶν τινων ἐπιδημίαν, ἢ οἱονδήποτε ξένον [recte: οἱωνδήποτε ξένων] εἰς πρόφασιν τῆς οἰκείας κακίας εὑρίσκουσα, καλὸν τότε τὸ σύμμετρον ἐπιτρέπειν σχολὴν τῇ συνήθει διαίτῃ. Καὶ γὰρ τὸν δαίμονα ἄπρακτον, καὶ μᾶλλον πενθοῦντα τὴν ἐπιχείρησιν ἀποπεμψόμεθα, καὶ τὸν θεσμὸν τῆς ἀγάπης ἐγκρίτως πληρώσομεν, καὶ τὸ μυστήριον τῆς ἐγκρατείας ἀνεπίδεικτον διὰ τῆς συγκαταβάσεως φυλάξομεν.

μζ΄. Ἡ νηστεία ἔχει μὲν καθ᾽ ἑαυτὴν καύχημα, ἀλλ᾽ οὐ πρὸς τὸν Θεόν· ἐργαλεῖον γάρ ἐστιν, ὥς περ εἰς σωφροσύνην ῥυθμίζον τοὺς

νήσεις τοῦ σώματος καὶ τὶς τροφές· ὥστε, ὅταν μὲν [τὸ σῶμα] εἶναι ὑγιές, νὰ παιδαγωγῆται μὲ τὸν πρέποντα τρόπο· ὅταν δὲ ἀσθενῇ, δύναται συμμέτρως νὰ ἐνισχύεται. Διότι δὲν πρέπει νὰ ἀδυνατίζῃ κατὰ τὸ σῶμα ὁ ἀγωνιζόμενος, ἀλλὰ τόσο [μόνον], ὅσο νὰ μπορῇ νὰ ἐπαρκῇ στὸν ἀγῶνα, γιὰ νὰ μπορῇ, ἀκόμη καὶ μὲ τοὺς κόπους τοῦ σώματος, νὰ καθαρίζεται καὶ ἡ ψυχὴ μὲ τὸν πρέποντα τρόπο.

46. Ὅταν ἡ κενοδοξία φλογίζεται ἐναντίον μας σὲ μεγάλο βαθμό, βρίσκοντας γιὰ πρόφασι τῆς δικῆς της κακίας τὸν ἐρχομὸ κάποιων ἀδελφῶν ἢ ὁποιωνδήποτε ξένων, τότε [εἶναι] καλὸ νὰ ἐπιτρέπωμε σύμμετρα τὴν διακοπή, ὅσον ἀφορᾷ τὴν συνήθη διατροφή [μας]. Διότι καὶ τὸν δαίμονα [τῆς κενοδοξίας] θὰ ἀπομακρύνωμε ἀπὸ ἐμᾶς ἄπρακτο, καὶ νὰ θρηνῇ μᾶλλον τὴν ἀπόπειρά [του], καὶ ἐξαιρετικὰ θὰ ἐκπληρώσωμε τὴν ἐντολὴ τῆς ἀγάπης καὶ τὸ μυστήριο τῆς ἐγκρατείας ἀνεπίδεικτο [κρυπτό], διὰ τῆς συγκαταβάσεως θὰ φυλάξωμε.

47. Ἡ νηστεία ἔχει μὲν ἀπὸ μόνη της τιμὴ ἀλλὰ ὄχι γιὰ τὸν Θεό. Διότι εἶναι ἐργαλεῖο, τὸ ὁποῖο χειραγωγεῖ τρόπον τινὰ στὴν σωφροσύνη, ἐκείνους ποὺ θέλουν.

θέλοντας. Οὐ δεῖ οὖν ἐπ᾽ αὐτῇ μέγα φρονεῖν τοὺς τῆς εὐσεβείας ἀγωνιστάς, ἐκδέχεσθαι δὲ μόνον ἐν πίστει Θεοῦ τὸ πέρας ἡμῶν τοῦ σκοποῦ. Οὔτε γὰρ οἱ τῶν οἱωνδήποτε τεχνῶν ἐπιστήμονες τὸ τοῦ ἐπαγγέλματος ἀποτέλεσμα ἐκ τῶν ἐργαλείων καυχῶνταί ποτε. Ἀλλὰ περιμένει τούτων ἕκαστος τὸ εἶδος τοῦ ἐγχειρήματος, ἵνα ἐξ ἐκείνου τὸ ἀκριβὲς τῆς τέχνης ἐνδείξηται.

μη΄. Ὃν τρόπον ἡ γῆ συμμέτρως ἀρδευομένη, καθαρὸν τὸ καταβαλλόμενον εἰς αὐτὴν σπέρμα μετὰ πλείστης προσθήκης ἀνίησιν, ὑπὸ πολλῶν δὲ μεθυσκομένη ὄμβρων, ἀκάνθας καὶ τριβόλους φέρει μόνον· οὕτω καὶ ἡ γῆ τῆς καρδίας, ἐὰν μὲν συμμέτρῳ οἴνῳ χρώμεθα, καθαρὰ τὰ φυσικὰ αὐτῆς ἀναδίδωσι σπέρματα· καὶ τὰ ἀπὸ τοῦ Ἁγίου Πνεύματος εἰς αὐτὴν ἐπισπειρόμενα, εὐθαλῆ λίαν ἀναφέρει, καὶ πολύκαρπα. Ἐὰν δὲ διάβροχος ὑπὸ τῆς πολυποσίας γίνηται, ἀκάνθας ὄντως φέρει τοὺς ἅπαν-

Δὲν πρέπει ἑπομένως νὰ μεγαλοφρονοῦν γι᾽ αὐτὴν οἱ ἀγωνιστὲς τῆς εὐσεβείας, ἀλλὰ νὰ προσδοκοῦν μόνον μὲ πίστι, τὴν ἀπὸ Θεοῦ ὁλοκλήρωσι τοῦ σκοποῦ τους. Διότι, οὔτε οἱ εἰδήμονες τῶν ὁποιωνδήποτε τεχνῶν καμαρώνουν ποτὲ τὸ ἀποτέλεσμα τοῦ ἐπαγγέλματός [τους] ἀπὸ τὰ ἐργαλεῖα. Ἀλλὰ ὁ καθένας ἀπ᾽ αὐτούς, περιμένει τὴν ἔκφρασι τῆς προσπαθείας, γιὰ νὰ ἀποδείξῃ ἀπ᾽ αὐτὴν τὴν ἀκρίβεια τῆς τέχνης [του].

48. Μὲ ἐκεῖνον τὸν τρόπο μὲ τὸν ὁποῖο ἡ γῆ, ὅταν ποτίζεται σύμμετρα ἀποδίδει καθαρὸ τὸν σπόρο, ὁ ὁποῖος σπάρθηκε σ᾽ αὐτήν, μαζὶ μὲ περισσότερο πλεόνασμα, ἀλλά, ὅταν πλημμυρίζεται ἀπὸ πολλὲς βροχές, ἀποφέρει μόνον ἀγκάθια καὶ τριβόλια· κατὰ τὸν ἴδιο τρόπο καὶ ἡ γῆ τῆς καρδίας, ἐὰν χρησιμοποιοῦμε σύμμετρο κρασὶ ἀποδίδει καθαροὺς τοὺς φυσικούς της σπόρους· καὶ τοὺς [σπόρους], ποὺ σπείρονται ἔπειτα σ᾽ αὐτὴν ἀπὸ τὸ Ἅγιο Πνεῦμα, ἀνυψώνει πολὺ εὐθαλεῖς καὶ πολύκαρπους. Ἐὰν ὅμως πλημμυρίσῃ ἀπὸ τὴν πολυποσία, τότε πράγματι παράγει ὅλους

τας αὐτῆς λογισμούς, καὶ τριβόλους.

μθ΄. Ὅταν ὁ νοῦς ἡμῶν τῷ τῆς πολυποσίας ἐννήχηται κύματι, οὐ μόνον τοῖς ὑπὸ τῶν δαιμόνων ἐν τῷ ὕπνῳ σχηματιζομένοις ἐμπαθῶς εἰδώλοις ἐνορᾷ, ἀλλὰ καὶ ἐν αὐτῷ ὄψεις τινὰς ἀναπλάττων εὐπρεπεῖς, ταῖς ἑαυτοῦ φαντασίαις ὡς ἐῤῥωμέναις τισὶ κέχρηται διαπύρως. Θερμαινομένων γὰρ τῶν συνουσιαστικῶν ὀργάνων ὑπὸ τῆς τοῦ οἴνου ζέσεως, ἀνάγκη πᾶσα παριστᾷν ἑαυτῷ τὸν νοῦν σκιὰν τοῦ πάθους ἐνήδονον. Ἐχρῆν οὖν τῇ συμμετρίᾳ ἡμᾶς κεχρημένους, τὴν ἐκ τοῦ πλεονάζοντος διαφυγεῖν βλάβην· ὅτε γὰρ οὐκ ἔχει τὴν ὑποσύρουσαν αὐτὸν ὁ νοῦς ἡδονὴν πρὸς τὴν ζωγραφίαν τῆς ἁμαρτίας, ἀφάνταστος ὅλος διαμένει, καὶ τὸ κρεῖττον ἀθήλυντος.

ν΄. Πάντα τὰ κατασκευαστὰ πόματα, ἃ δὴ προπόματα καλοῦσιν οἱ ταύτης τεχνῖται τῆς ἐπινοίας, ὡς ἔοικε διὰ τὸ ὁδηγεῖν εἰς γαστέρα τὸ πλῆθος τῶν βρωμάτων, οὐ δεῖ μεταδιώκειν τοὺς

τοὺς λογισμούς της, ὡς ἀγκάθια καὶ τριβόλια.

49. Ὅταν ὁ νοῦς μας κολυμπᾷ μέσα στὸ κῦμα τῆς πολυποσίας, ὄχι μόνον βλέπει στὸν ὕπνο του τὶς ἐμπαθῶς σχηματιζόμενες ἀπὸ τοὺς δαίμονες εἰκόνες, ἀλλὰ καὶ ἀναπλάθοντας μέσα του κάποια ὄμορφα πρόσωπα, συμπεριφέρεται φλογερὰ στὶς φαντασίες του, σὰν σὲ κάποιες ἐρωμένες. Διότι ὅταν θερμαίνωνται τὰ συνουσιαστικὰ ὄργανα ἀπὸ τὴν θέρμη τοῦ κρασιοῦ, ἀναγκαστικὰ ὁ νοῦς ἀναπαριστᾶ στὸν ἑαυτό του, ἡδονικὴ σκιαγραφία τοῦ πάθους. Ἔπρεπε ἑπομένως ἐμεῖς, ἔχοντας χρησιμοποιήσει τὸ μέτρο, νὰ ἀποφύγωμε τὴν βλάβη ἀπὸ τὴν ὑπερβολή. Διότι ὅταν ὁ νοῦς δὲν ἔχῃ τὴν ἡδονή, ἡ ὁποία [τὸν] παρασύρει στὴν ἀναπαράστασι τῆς ἁμαρτίας, παραμένει ὁλόκληρος χωρὶς φαντασία καὶ τὸ κυριώτερο χωρὶς σαρκικὴ ἐπιθυμία.

50. Ὅλα τὰ ποτὰ τὰ κατασκευαστά, τὰ ὁποῖα μάλιστα οἱ δημιουργοὶ αὐτῆς τῆς τέχνης [τὰ] ὀνομάζουν προπόματα, καθὼς φαίνεται ἐξ αἰτίας τοῦ ὅτι ὁδηγοῦν στὴν γαστέρα τὸ πλῆθος τῶν φαγητῶν, δὲν πρέπει νὰ [τὰ] ἐπιδιώκουν ἐκεῖνοι

θέλοντας τὰ οἰδαίνοντα κολάζειν μέρη τοῦ σώματος. Οὐ γὰρ μόνον αὐτῶν ἡ ποιότης ἐπιβλαβὴς τοῖς ἀγωνιζομένοις σώμασι γίνεται, ἀλλὰ καὶ αὐτὴ ἡ παράλογος αὐτῶν σύγκρασις πλήττει λίαν τὴν θεόφοβον[δ'] *συνείδησιν. Τί γὰρ ἄρα τὸ λεῖπον τῇ τοῦ οἴνου φύσει, ἵνα διαφόρων ἡδυσμάτων ἐπιμειξίᾳ, ἡ τούτου στερότης θηλύνοιτο;*

να΄. Ὁ Κύριος ἡμῶν, καὶ ταύτης τῆς ἱερᾶς πολιτείας Διδάσκαλος, Ἰησοῦς Χριστός, ὄξος ἐν τῷ πάθει παρὰ τῶν ὑπουργούντων τοῖς διαβολικοῖς ἐπιτάγμασι πεπότισται[44]*, ἵνα ὑπογραμμὸν ἡμῖν*[45] *(ἐμοὶ δοκεῖ) ἐναργῆ καταλίπῃ τῆς τῶν ἱερῶν ἀγώνων διαθέσεως. Οὐ δεῖ γάρ, φησί, τοῖς ἡδύνουσι κεχρῆσθαι βρώμασιν ἢ πόμασι τοὺς ἀγωνιζομένους κατὰ τῆς ἁμαρτίας· ἀλλὰ μᾶλλον τοῦ πικροῦ τῆς μάχης μετὰ καρτερίας ἀνέχεσθαι. Προστεθείτω [recte: προστεθήτω] δὲ καὶ ὕσσωπον τῷ σπόγγῳ τῆς ὕβρεως*[ε']*, ὅπως ἂν τελείως ἐμφέροιτο τῷ ὑποδείγματι τὸ*

οἱ ὁποῖοι θέλουν νὰ καταστείλουν τὰ πυρούμενα μέρη τοῦ σώματος. Διότι δὲν γίνεται μόνο ἡ ποιότης τους ἐπιβλαβὴς σ' ἐκείνους ποὺ ἀγωνίζονται, ἀλλὰ καὶ ὁ παράλογος συγκερασμός τους πολὺ πληγώνει τὴν εὐλαβῆ συνείδησι. Διότι τί [εἶναι] ἐκεῖνο ἄραγε τὸ ὁποῖο λείπει ἀπὸ τὴν φύσι τοῦ κρασιοῦ, ὥστε νὰ καταστρέφεται ἡ γνησιότητα αὐτοῦ μὲ τὴν ἀνάμειξι διαφόρων καρυκευμάτων;

51. Ὁ Κύριός μας καὶ αὐτῆς τῆς ἱερᾶς πολιτείας [τῆς ἀσκήσεως] ὁ Διδάσκαλος Ἰησοῦς Χριστός, ἔχει ποτισθῆ ὄξος κατὰ τὸ Πάθος Του, ἀπὸ ἐκείνους οἱ ὁποῖοι ὑπηρετοῦσαν τὰ διαβολικὰ προστάγματα, γιὰ νὰ μᾶς ἀφήσῃ (ἐγὼ νομίζω) ζωντανὸ ὑπόδειγμα τῆς διαθέσεως ἔναντι τῶν ἱερῶν [ἀσκητικῶν] ἀγώνων, [πῶς πρέπει ἐμεῖς νὰ διατιθέμεθα ἔναντι αὐτῶν]. Διότι λέγει, δὲν πρέπει νὰ χρησιμοποιοῦν τὰ φαγητὰ ἢ τὰ ποτὰ ποὺ εὐφραίνουν, ἐκεῖνοι οἱ ὁποῖοι ἀγωνίζονται ἐναντίον τῆς ἁμαρτίας· ἀλλὰ μᾶλλον νὰ ὑπομένουν μὲ καρτερία τὸ πικρὸ τοῦ ἀγῶνα. Ἂς προστεθῇ καὶ ὁ ὕσσωπος στὸν σπόγγο τῆς ὕβρεως, γιὰ νὰ παρομοιάσῃ ἀπολύτως στὸ παράδειγμα,

σχῆμα τῆς ἡμῶν καθάρσεως. Τὸ μὲν γὰρ δριμύ, τῶν ἀγώνων ἴδιον· τὸ δὲ καθαρτικόν[46]*, πάντως τῆς τελειώσεως.*

νβ΄. Τῷ λουτρῷ παραβάλλειν, οὐκ ἄν τις ἁμαρτωλὸν ἢ παράλογον ἀποφήνοιτο [recte: ἀποφαίνοιτο]· τὸ δὲ δι᾽ ἐγκράτειαν καὶ τούτου ἀπέχεσθαι, καὶ ἀνδρεῖον λέγω, καὶ σωφρονέστατον. Οὔτε γὰρ τὸ σῶμα ἡμῶν ἐκθηλύνει ἡ ἐνήδονος ἐκείνη ὑγρασία, οὔτε μὴν εἰς ὑπόμνησιν τῆς γυμνότητος τοῦ Ἀδὰμ[47] *τῆς ἀδόξου ἐρχόμεθα· ἵνα καὶ τῶν ἐκείνου φύλλων εἰς τὸ σκεπάσαι τὴν δευτέραν τῆς αἰσχύνης φροντίζωμεν πρόφασιν· οἵ γε μάλιστα ἀπὸ τῆς τοῦ βίου πρὸ βραχέος ἐκπηδήσαντες ἐξωλείας, ἁγνείᾳ τοῦ ἑαυτῶν σώματος τῷ κάλλει τῆς σωφροσύνης ἑνωθῆναι ὀφείλομεν.*

νγ΄. Ἰατροὺς μετακαλεῖσθαι ἐν τῷ καιρῷ τῶν νόσων, οὐδὲν τὸ κωλῦον· ἐπειδὴ γὰρ ἔμελεν ὑπὸ τῆς ἀνθρωπείου πείρας ποτὲ συλλέγεσθαι ἡ τέχνη, διὰ τοῦτο καὶ προϋπῆρχε τὰ φάρμακα.

ὁ τρόπος τῆς δικῆς μας καθάρσεως. Τὸ μὲν βέβαια δριμὺ [τοῦ ὄξους εἶναι], χαρακτηριστικὸ τῶν [ἀσκητικῶν] ἀγώνων· τὸ δὲ καθαρτικὸ [τοῦ ὑσσώπου, εἶναι χαρακτηριστικὸ] ὁπωσδήποτε τῆς τελειώσεως.

52. Τὸ νὰ πορευώμεθα στὸ λουτρὸ δὲν θὰ μποροῦσε κάποιος νὰ [τὸ] θεωρῇ ἁμαρτωλὸ ἢ παράλογο. Ἀλλὰ τὸ νὰ ἀπέχωμε καὶ ἀπ᾽ αὐτό, λόγῳ ἐγκρατείας λέγω, [ὅτι εἶναι] καὶ ἀνδρεῖο καὶ σωφρονέστατο. Διότι οὔτε τὸ σῶμα μας κάνει μαλθακὸ ἡ εὐχάριστη ἐκείνη ὑγρασία [τοῦ λουτροῦ], οὔτε βέβαια ἐρχόμεθα στὴν ὑπόμνησι τῆς ἄδοξης γυμνότητος τοῦ Ἀδάμ, γιὰ νὰ φροντίζωμε νὰ σκεπάσωμε καὶ μὲ τὰ φύλλα ἐκείνου τὴν δεύτερη αἰτία τῆς αἰσχύνης, κατ᾽ ἐξοχὴν βέβαια [ἐμεῖς], οἱ ὁποῖοι ἀφοῦ πρὸ ὀλίγου ἀπομακρυνθήκαμε ἀπὸ τὴν συμφορὰ τοῦ κόσμου, ὀφείλομε νὰ ἑνωθῇ ἡ ἁγνότητα τοῦ σώματός μας μὲ τὸ κάλλος τῆς σωφροσύνης.

53. Τίποτα δὲν [ὑπάρχει], τὸ ὁποῖο νὰ ἐμποδίζῃ νὰ προσκαλοῦμε ἰατροὺς κατὰ τὴν χρονικὴ περίοδο τῶν ἀσθενειῶν. Ἐπειδὴ ἐπρόκειτο κάποτε ἀπὸ τὴν ἀνθρώπινη πεῖρα νὰ συγκροτηθῇ ἡ τέχνη [ἡ ἰατρική], γι᾽ αὐτὸ καὶ προϋπῆρχαν τὰ φάρμακα [στὴ φύσι].

Πλὴν οὐκ ἐχρῆν εἰς αὐτοὺς τὴν ἐλπίδα ἔχειν τῆς ἰάσεως, ἀλλ᾽ εἰς τὸν ἀληθινὸν ἡμῶν σωτῆρα καὶ ἰατρόν, Ἰησοῦν Χριστόν. Ταῦτα δὲ λέγω τοῖς ἐν Κοινοβίοις, ἢ ἐν Πόλεσι, τῆς ἐγκρατείας τὸν σκοπὸν κατορθοῦσι, διὰ τὸ μὴ δύνασθαι αὐτούς, ἐκ τῶν συμβαινουσῶν αὐτοῖς περιστάσεων, ἄπαυστον ἔχειν διὰ τῆς ἀγάπης τὴν ἐνέργειαν τῆς πίστεως. Ἄλλως τε, καὶ διὰ τὸ μὴ εἰς κενοδοξίαν αὐτοὺς καὶ πειρασμὸν ἐμπίπτειν τοῦ διαβόλου, ἐξ ὧν τινες αὐτῶν, ἰατρῶν μὴ χρῄζειν ἐπὶ πολλῶν ἐπαγγέλλονται. Εἰδέ τις τὸν ἀναχωρητικὸν βίον ἐρημικωτέροις μεταξὺ δύο μόνον ἢ τριῶν ὁμοτρόπων ἀδελφῶν κατορθοῖ τόποις, μόνῳ τῷ Κυρίῳ ἑαυτόν, τῷ ἰωμένῳ ἡμῶν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν[48], ἐν πίστει προσαγέτω, κἂν ὁποίοις ἂν περιπίπτῃ πάθεσι. Ἔχει γὰρ τῶν νόσων ἱκανήν, μετὰ Κύριον, τὴν ἐρημίαν παρήγορον. Ὅθεν οὔτε τῆς ἐνεργείας ὁ τοιοῦτος πένεταί ποτε τῆς πίστεως, ἐπειδὴ μάλιστα οὔ-

Ἀλλὰ δὲν πρέπει νὰ ἔχωμε τὴν ἐλπίδα τῆς θεραπείας σ᾽ αὐτοὺς[8] [τοὺς ἰατροὺς], ἀλλὰ στὸν ἀληθινό μας Σωτῆρα καὶ Ἰατρό, τὸν Ἰησοῦ Χριστό. Αὐτὰ βέβαια λέγω σ᾽ ἐκείνους οἱ ὁποῖοι ἀγωνίζονται τὸν σκοπὸ τῆς ἐγκρατείας στὰ Κοινόβια ἢ στὶς πόλεις, ἐξ αἰτίας τοῦ ὅτι δὲν μποροῦν αὐτοὶ νὰ ἔχουν ἀδιάλειπτη τὴν ἐνέργεια τῆς πίστεως διὰ τῆς ἀγάπης, λόγῳ τῶν περιστάσεων οἱ ὁποῖες συμβαίνουν σ᾽ αὐτούς. Ἐξάλλου καὶ διὰ νὰ μὴν περιπίπτουν οἱ ἴδιοι σὲ κενοδοξία καὶ πειρασμὸ τοῦ διαβόλου, ἐξ αἰτίας τῶν ὁποίων [τῆς κενοδοξίας καὶ τοῦ πειρασμοῦ] κάποιοι ἀπὸ αὐτοὺς δηλώνουν ἐνώπιον πολλῶν, ὅτι δὲν ἔχουν ἀνάγκη ἀπὸ ἰατρούς. Ἐὰν ὅμως κάποιος, σὲ ἐρημικώτερους τόπους, θὰ ἀγωνιζόταν τὸν ἀναχωρητικὸ τρόπο ζωῆς μεταξὺ δύο μόνον ἢ τριῶν ἀδελφῶν, ὅμοιων κατὰ τὴν ἀσκητικὴ τάξι, ἂς ὁδηγῇ τὸν ἑαυτόν του μὲ πίστι ἐνώπιον μόνον τοῦ Κυρίου, ὁ ὁποῖος θεραπεύει κάθε ἀσθένεια καὶ κάθε ἀδυναμία μας, σὲ ὅποια κι ἂν περιπίπτῃ παθήματα. Διότι ἔχει ἰσχυρὴ παρήγορο τῶν ἀσθενειῶν, μετὰ τὸν Κύριο, τὴν ἐρημία. Γι᾽ αὐτὸ αὐτοῦ τοῦ εἴδους [ὁ ἀσκητής], οὔτε ποτὲ στερεῖται τὴν [θεία] ἐνέργεια τῆς πίστεως, ἐπειδὴ μάλιστα οὔτε

τε που ἐνδείξασθαι τὴν ἐκ τῆς ὑπομονῆς εὑρίσκει ἀρετήν, καλῷ τῷ τῆς ἐρημίας κεχρημένος παραπετάσματι. Διὰ τοῦτο γὰρ ὁ Κύριος κατοικίζει μονοτρόπους ἐν οἴκῳ[49].

νδʹ. Ὅταν πρὸς τὰς συμβαινούσας ἡμῖν σωματικὰς ἀνωμαλίας λίαν ἀπεχθανώμεθα, εἰδέναι δεῖ ὅτι ἡ ψυχὴ ἡμῶν ἔτι δεδούλωται ταῖς ἐπιθυμίαις τοῦ σώματος. Διὸ καὶ τὰς ὑλώδεις ποθοῦσα εὐπραγίας, οὔτε ἀναχωρῆσαι τῶν καλῶν τοῦ βίου βούλεται, ἀλλὰ καὶ ἀσχολίαν μεγάλην ἡγεῖται τὸ μὴ δύνασθαι διὰ τὰς νόσους κεχρῆσθαι τοῖς τοῦ βίου ὡραίοις· ἐὰν δὲ εὐχαρίστως τὰς ἐκ τῆς νόσου προσδέχεται ἀνίας, οὐ μακρὰν οὖσα τῶν τῆς ἀπαθείας ὅρων γνωρίζεται. Ὅθεν καὶ τὸν θάνατον ὡς πρόφασιν ὄντα μᾶλλον ζωῆς ἀληθινῆς, τότε μετὰ χαρᾶς ἀπεκδέχεται.

νεʹ. Οὐ κἂν ἐπιθυμήσῃ ἡ ψυχὴ χωρισθῆναι τοῦ σώματος, εἰμὴ ἄποιος αὐτῇ ἡ πρὸς τὸν ἀέρα τοῦτον διάθεσις γένηται. Πᾶσαι γὰρ

κάπου βρίσκει νὰ ἐπιδείξῃ τὴν ἀρετὴ τὴν ἐκ τῆς ὑπομονῆς, γιατὶ ἔχει χρησιμοποιήσει τὸ καλὸ παραπέτασμα τῆς ἐρημίας. Γι᾽ αὐτὸ βέβαια ὁ Κύριος κατοικίζει [προστατεύει] μονοτρόπους [μοναχοὺς] σὲ σπίτι.

54. Ὅταν τρέφωμε μεγάλη ἀποστροφὴ πρὸς τὶς σωματικὲς ἀρρώστιες οἱ ὁποῖες μᾶς συμβαίνουν, πρέπει νὰ γνωρίζωμε, ὅτι ἡ ψυχή μας ἀκόμη εἶναι ὑπόδουλη στὶς ἐπιθυμίες τοῦ σώματος. Γι᾽ αὐτὸ καὶ ἐπιθυμώντας τὶς γήινες ἀνέσεις, οὔτε θέλει νὰ ἀποσυρθῇ ἀπὸ τὰ ἀγαθὰ τοῦ κόσμου, ἀλλὰ καὶ θεωρεῖ μεγάλο ἐμπόδιο τὸ νὰ μὴν μπορῇ, ἐξ αἰτίας τῶν ἀσθενειῶν, νὰ μετέρχεται τὰ ὡραῖα τοῦ κόσμου. Ἐὰν ὅμως εὐχαρίστως ἀποδέχεται τὶς θλίψεις ἀπὸ τὴν ἀσθένεια, ἀποδεικνύεται, ὅτι δὲν εἶναι μακριὰ ἀπὸ τὰ μέτρα τῆς ἀπαθείας. Γι᾽ αὐτὸ καὶ τὸν θάνατο τότε προσδοκᾶ μὲ χαρά, ἐπειδὴ πράγματι εἶναι περισσότερο αἰτία τῆς ἀληθινῆς ζωῆς.

55. Δὲν θὰ ἐπιθυμήσῃ ἡ ψυχὴ νὰ χωρισθῇ ἀπὸ τὸ σῶμα, ἐὰν σ᾽ αὐτὴν [τὴν ψυχὴ] δὲν ἔγινε ἡ διάθεσί [της] ἐλεύθερη [χωρὶς νὰ ἔχῃ προσκόλλησι] ὅσον ἀφορᾶ τὸν κόσμο τοῦτο. Διότι ὅλες

αἱ αἰσθήσεις τοῦ σώματος τῇ πίστει ἀντίκειται· ἐπειδὴ αἱ μέν, τῶν παρόντων μόνον γίνονται· ἡ δέ, τὴν τῶν μελλόντων ἀγαθῶν ἐπαγγέλλεται πολυτέλειαν. Προσήκει οὖν τὸν ἀγωνιζόμενον, μὴ περὶ δένδρων τινῶν εὐκλόνων, ἢ συσκίων, ἢ πηγῶν καλλιῤῥόων, ἢ λειμώνων ποικίλων καὶ εὐανθῶν, ἢ οἴκων εὐπρεπῶν, ἢ καὶ συγγενικῶν διατριβῶν ἐνθυμεῖσθαι πώποτε· μήτε δὲ τῶν πανηγυρικῶν, εἰ τύχοι, μεμνῆσθαι φιλοτιμιῶν· ἀλλὰ κεχρῆσθαι μὲν τοῖς ἀναγκαίοις εὐχαρίστως, ὁδὸν δέ τινα ξένην ἡγεῖσθαι τὸν βίον, πάσης σαρκικῆς διαθέσεως ἔρημον. Οὕτω γὰρ ἂν μόνον στενώσαντες ἡμῶν τὴν διάνοιαν, εἰς τὸ ἴχνος αὐτὴν ὅλην τῆς αἰωνίου ἐπιτρέψωμεν ὁδοῦ.

νς΄. Ὅτι ἡ βλέψις, καὶ ἡ γεῦσις καὶ αἱ λοιπαὶ αἰσθήσεις διαφοροῦσι τὴν μνήμην τῆς καρδίας, ὅταν αὐταῖς ὑπὲρ τὸ μέτρον κεχρήμεθα, πρώτη Εὔα ἡμῖν ὁμιλεῖ τὸ τοιοῦτον. Ἕως μὲν γὰρ ὅτε οὐκ ἐπεῖδεν ἐκείνη εἰς τὸ δένδρον, τῆς παραγγελίας ἡδέως, ἐ-

οἱ αἰσθήσεις τοῦ σώματος ἐναντιώνονται στὴν πίστι· ἐπειδὴ οἱ μὲν [αἰσθήσεις τοῦ σώματος] πραγματοποιοῦνται μόνο ἀπὸ τὴν παροῦσα κατάστασι τῶν πραγμάτων· ἡ δὲ [πίστι] ὑπόσχεται τὸ μεγαλεῖο τῶν μελλοντικῶν ἀγαθῶν. Ταιριάζει ἑπομένως σ᾽ ἐκεῖνον ποὺ ἀγωνίζεται νὰ μὴν σκέπτεται ποτὲ σχετικὰ μὲ κάποια δένδρα μὲ ὡραίους κλάδους, ἢ πλούσια σκιά, ἢ μὲ πηγὲς ποὺ ρέουν ὄμορφα, ἢ [σχετικὰ] μὲ κήπους πολύχρωμους καὶ ἀνθισμένους, ἢ ἀρχοντικὰ σπίτια ἢ καὶ συγγενικὲς συναναστροφές· οὔτε δὲ νὰ θυμᾶται, ἐὰν ἔτυχε, τὶς πανηγυρικὲς ἐκδηλώσεις· ἀλλὰ νὰ κάνῃ χρῆσι τῶν ἀναγκαίων μὲ εὐγνωμοσύνη, νὰ θεωρῇ δὲ τὸν τρόπο τῆς ζωῆς [του], ὡς κάποια ξένη πορεία [ποὺ ἀνήκει σὲ ἄλλους], ἔρημη [κενὴ] ἀπὸ κάθε σαρκικὴ ἐπιθυμία. Διότι μόνον ἐὰν στενέψωμε κατ᾽ αὐτὸν τὸν τρόπο τὴν διάνοιά μας θὰ στρέψωμε αὐτὴν ὁλόκληρη πρὸς τὸ μονοπάτι τῆς αἰωνίου πορείας.

56. Ὅτι ἡ ὅρασι καὶ ἡ γεῦσι καὶ οἱ ὑπόλοιπες αἰσθήσεις, διασκορπίζουν τὴν μνήμη τῆς καρδίας [τὴν καρδιακὴ μνήμη τοῦ Θεοῦ], ὅταν ἔχωμε χρησιμοποιήσει αὐτὲς περισσότερο ἀπὸ τὸ μέτρο, μᾶς τὸ λέγει αὐτὸ πρώτη ἡ Εὔα. Διότι ἕως τότε βέβαια, ποὺ δὲν κοίταξε ἐκείνη τὸ δένδρο τῆς ἐντολῆς [τῆς ἀπαγορευτικῆς τοῦ Θεοῦ] μὲ ἡδονή, θυ-

μέμνητο τοῦ θείου ἐπιμελῶς προστάγματος. Διὸ καὶ ταῖς πτέρυξι ἔτι τοῦ θείου ὥς περ ἐσκέπετο ἔρωτος, ἐντεῦθεν τὴν αὐτῆς ἀγνοοῦσα γυμνότητα. Ἐπειδὴ δὲ εἶδε τὸ ξύλον ἡδέως, καὶ μετὰ πολλῆς αὐτοῦ τῆς ἐπιθυμίας ἥψατο, καὶ λοιπὸν τοῦ ἐξ αὐτοῦ καρποῦ μετὰ ἐνεργοῦς [recte: ἐναργοῦς] τινος ἐγεύσατο ἡδονῆς, εὐθὺς μὲν διηυθύνθη πρὸς σωματικὴν συμπλοκήν, ὡς γυμνὴ τῷ πάθει συναφθεῖσα, ὅλην δὲ αὐτῆς τὴν ἐπιθυμίαν εἰς τὴν τῶν παρόντων ἀπόλαυσιν δέδωκε, μείξασα, διὰ τὸ τοῦ καρποῦ ἡδυφανές, τῷ ἑαυτῆς, καὶ τῷ τοῦ Ἀδὰμ πταίσματι[50]*. Ὅθεν δυσχερῶς λοιπὸν ὁ ἀνθρώπινος νοῦς μεμνῆσθαι τοῦ Θεοῦ δύναται, ἢ τῶν αὐτοῦ ἐντολῶν. Ἡμεῖς οὖν εἰς τὸ βάθος ἀεὶ τῆς καρδίας ἡμῶν μὴ [delendum] ἀφορῶντες μετὰ μνήμης ἀπαύστου τοῦ Θεοῦ, ὡς πηροὶ τὰς ὄψεις, τῷ φιλαπατεῶνι τούτῳ ἐνδιάγωμεν βίῳ. Φιλοσοφίας γὰρ ὄντως πνευματικῆς ἴδιον, ἄπτερον ἀεὶ τὸν ἔρωτα δια-*

μόταν μὲ ἐπιμέλεια τὴν θεία προσταγή. Γι᾿ αὐτὸ καὶ σκεπαζόταν ἀκόμη, τρόπον τινὰ μὲ τὶς φτεροῦγες τοῦ θείου ἔρωτος, ἀγνοώντας ἕνεκα τούτου τὴν γυμνότητά της. Ἐπειδὴ ὅμως εἶδε τὸ δένδρο ἡδονικὰ καὶ τὸ ἤγγιξε μὲ μεγάλη ἐπιθυμία καὶ ἔπειτα γεύθηκε τὸν καρπὸ ἀπ᾿ αὐτὸ μὲ μιὰ ζωηρὰ ἡδονή, ἀμέσως ἀφ᾿ ἑνὸς κατευθύνθηκε πρὸς τὴν σαρκικὴ μεῖξι, διότι καθὼς [ἦταν] γυμνὴ συνεπλάκη μὲ τὸ πάθος, ἀφ᾿ ἑτέρου δέ, ὅλην τὴν ἐπιθυμία της, παραδίδει στὴν ἀπόλαυσι τῶν παρόντων [αἰσθητῶν πραγμάτων], ἀφοῦ ἕνεκα τῆς ἡδονικῆς ὄψεως τοῦ καρποῦ, ἀνέμειξε στὸ δικό της ἁμάρτημα καὶ τὸ [ἁμάρτημα] τοῦ Ἀδάμ. Γι᾿ αὐτὸ ἔπειτα, δύσκολα ὁ ἀνθρώπινος νοῦς μπορεῖ νὰ θυμηθῇ τὸν Θεὸ ἢ τὶς ἐντολές Του. Ἐμεῖς λοιπόν, πάντοτε ἂς βλέπωμε μετὰ προσοχῆς στὸ βάθος τῆς καρδίας μας, μαζὶ μὲ ἀδιάλειπτη μνήμη τοῦ Θεοῦ, [καὶ] σὰν τυφλοὶ ὡς πρὸς τοὺς ὀφθαλμούς, νὰ διερχώμεθα τὴν ζωὴ αὐτὴ ποὺ ἀγαπᾶ τὴν ἀπάτη. Διότι χαρακτηριστικὸ τῆς ὄντως πνευματικῆς φιλοσοφίας, [εἶναι] νὰ διαφυλάττῃ πάντοτε χωρὶς φτερὰ τὸν ἔρωτα τῶν ὀφθαλμῶν [δηλαδὴ τὴν σφοδρὴ ἐπιθυμία νὰ βλέπουν

φυλάττειν τῶν ὄψεων. Τοῦτο δὲ καὶ ὁ πολυπειρότατος Ἰὼβ διδάσκει ἡμᾶς λέγων· εἰδὲ καὶ τῷ ὀφθαλμῷ μου ἐπηκολούθησεν ἡ καρδία μου[51]· ὄντως ἀκροτάτης ἐγκρατείας ὑπάρχει ἡ ὑπόθεσις γνώρισμα.

νζ΄. Ὁ ἐνδημῶν ἀεὶ τῇ ἑαυτοῦ καρδίᾳ, ἐκδημεῖ πάντων τῶν τοῦ βίου ὡραίων. Πνεύματι γὰρ περιπατῶν τὰς τῆς σαρκὸς ἐπιθυμίας εἰδέναι οὐ δύναται[52]· ἐπειδὴ λοιπὸν ἐν τῷ φρουρίῳ τῶν ἀρετῶν τοὺς περιπάτους ὁ τοιοῦτος ποιεῖται, αὐτὰς ὥς περ τὰς ἀρετὰς πυλωροὺς ἔχων, τοῦ τῆς ἁγνείας πολίσματος. Διὸ καὶ ἄπρακτοι λοιπὸν αἱ τῶν δαιμόνων τότε ἐπ᾽ αὐτῷ γίνονται μηχαναί, κἂν ἄχρι τῶν θυρίδων τῆς φύσεως τὰ τοῦ πανδήμου ἔρωτος καταφθάσῃ πως βέλη.

νη΄. Ὅταν μηκέτι τῶν τῆς γῆς ὡραίων ἄρξηται ἡμῶν ἐπιθυμεῖν ἡ ψυχή, τότε ἀκηδιαστής τις ὡς τὰ πολλὰ νοῦς αὐτῇ ὑπεισέρχεται, μήτε τῇ διακονίᾳ τοῦ λόγου συγχωρῶν ἡδέως ὑπηρετεῖν, μήτε μὴν τρανὴν ἐπιθυμίαν

καὶ νὰ παρατηροῦν]. Αὐτὸ ἐξάλλου μᾶς διδάσκει καὶ ὁ πολυπειρότατος Ἰὼβ λέγοντας: «[Εἴθε νὰ μὴν ριζώσω ποτὲ στὴν γῆ], ἐὰν τὸν ὀφθαλμό μου ἀκολούθησε ἀμέσως καὶ ἡ καρδία μου». Ἡ περίπτωσι εἶναι ὄντως γνώρισμα ὑψίστης ἐγκρατείας.

57. Ἐκεῖνος ὁ ὁποῖος παραμένει πάντοτε μέσα στὴν καρδία του, φεύγει μακριὰ ἀπὸ ὅλα τὰ ὡραῖα τοῦ κόσμου. Διότι, ὅταν περιπατῇ ἐν Πνεύματι [ζῇ ἐν Ἁγίῳ Πνεύματι], δὲ μπορεῖ νὰ γνωρίζῃ τὶς ἐπιθυμίες τῆς σαρκός, ἐπειδὴ πράγματι αὐτὸς [ὁ ἄνθρωπος] κάνει τοὺς περιπάτους του στὸ φρούριο τῶν ἀρετῶν, ἔχοντας τρόπον τινὰ αὐτὲς τὶς ἴδιες τὶς ἀρετές, ὡς φύλακες τῶν θυρῶν τῆς πόλεως τῆς καθαρότητος. Γι᾽ αὐτὸ λοιπὸν καὶ τότε οἱ πανουργίες τῶν δαιμόνων ἀποβαίνουν σ᾽ αὐτὸν ἄπρακτες, ἀκόμη κι ἂν μέχρι τὶς εἰσόδους τῆς φύσεως [δηλαδὴ τὶς σωματικὲς αἰσθήσεις], καταφθάσουν νὰ ρίξουν κατὰ κάποιον τρόπο, τὰ βέλη τοῦ σαρκικοῦ ἔρωτα.

58. Ὅταν ἡ ψυχή μας ἀρχίσῃ νὰ μὴν ἐπιθυμῇ πλέον τὰ ὡραῖα τῆς γῆς [τὶς ἐπίγειες ἡδονές], τότε τὶς περισσότερες φορές, εἰσχωρεῖ κρυφὰ σ᾽ αὐτὴν κάποιος [δαιμονικὸς] νοῦς τῆς ἀκηδίας [τῆς πλήρους ἀθυμίας], ὁ ὁποῖος οὔτε [τῆς] ἐπιτρέπει εὐχαρίστως νὰ ἐργάζεται στὴν διακονία τοῦ [θείου] λόγου, οὔτε βέβαια ἀφήνει σ᾽ αὐτὴν [νὰ αἰσθάνεται] ἰσχυρὴ τὴν ἐπιθυμία

τῶν μελλόντων αὐτῇ καταλιμπάνων ἀγαθῶν· ἀλλὰ καὶ τὴν πρόσκαιρον ταύτην ὑπερβαλλόντως ἐξαχρειῶν ζωήν, ὡς οὐκ ἔχουσαν ἔργον ἀρετῆς ἄξιον. Καὶ αὐτὴν δὲ τὴν γνῶσιν ἐξουδενῶν, ὡς καὶ ἄλλοις ἤδη πολλοῖς παρασχεθεῖσαν, ἢ μηδέν τι τέλειον ἐπαγγελλομένην ἡμῖν. Τοῦτο δὲ τὸ χλιαρὸν καὶ νωθροποιὸν ἐκφευξόμεθα πάθος, εἴγε εἰς στενοὺς ἄγαν ὅρους ἐπιστήσομεν ἡμῶν τὴν διάνοιαν, πρὸς μόνην τὴν μνήμην τοῦ Θεοῦ ἀφορῶντες. Οὕτω γὰρ ἂν μόνον εἰς τὴν ἑαυτοῦ ὁ νοῦς ἐπαναδραμὼν θέρμην, τῆς διαφορήσεως ἐκείνης ἀναχωρῆσαι τῆς ἀλόγου δυνήσεται.

νθʹ. Ἀπαιτεῖ ἡμᾶς πάντως ὁ νοῦς, ὅταν αὐτοῦ πάσας τὰς διεξόδους τῇ μνήμῃ ἀποφράξωμεν τοῦ Θεοῦ, ἔργον ὀφεῖλον αὐτοῦ πληροφορεῖν τὴν ἐντρέχειαν. Δεῖ οὖν αὐτῷ διδόναι, τὸ Κύριε Ἰησοῦ μόνον, εἰς ὁλόκληρον πραγματείαν τοῦ σκοποῦ. Οὐδεὶς γάρ, φησί, λέγει Κύριον Ἰησοῦν, εἰμὴ ἐν Πνεύματι Ἁγίῳ[53]. *Ἀλλ᾽ οὕτω*

τῶν μελλοντικῶν ἀγαθῶν· ἀλλὰ καὶ αὐτὴ τὴν πρόσκαιρη ζωὴ ἐξαχρειώνει [τὴν παρουσιάζει ἄχρηστη], ἐπειδὴ δῆθεν δὲν ἔχει ἔργο ἄξιο ἀρετῆς. Ἀλλὰ καὶ τὴν ἴδια τὴν [θεία] γνῶσι ἐξουδενώνει, ὅτι χαρίστηκε ἤδη [αὐτὴ] καὶ σὲ ἄλλους πολλούς, ἢ ὅτι τίποτα τὸ τέλειο δὲν ὑπόσχεται σὲ μᾶς [ὅτι θὰ χαρίσῃ]. Ἀλλὰ αὐτὸ τὸ χλιαρὸ πάθος ποὺ προξενεῖ τὴν νωθρότητα θὰ [τὸ] ἀποφύγωμε, ἐὰν πράγματι περιορίσωμε τὴν διάνοιά μας σὲ πολὺ στενὰ ὅρια στρέφοντας τὴν προσοχὴ ἀποκλειστικὰ πρὸς μόνη τὴν μνήμη τοῦ Θεοῦ [στὴν εὐχή]. Διότι, μόνον ὅταν τυχὸν ἐπανέλθῃ στὴν θερμότητά του, κατ᾽ αὐτὸν τὸν τρόπο ὁ νοῦς, θὰ μπορέσῃ νὰ ἀπομακρυνθῇ ἀπὸ ἐκεῖνον τὸν παράλογο διασκορπισμό.

59. Ὁ νοῦς, ὅταν ἀποκλείσωμε ὅλες τὶς διεξόδους του μὲ τὴν μνήμη τοῦ Θεοῦ, ἀπαιτεῖ ὁπωσδήποτε νὰ ἱκανοποιήσωμε ἐμεῖς πλήρως τὴν ἐσωτερική του κίνησι [τὴν φυσική του ἐνεργητικότητα] - ἔργο ἀπαραίτητο! Ἑπομένως, πρέπει νὰ δίδωμε σ᾽ αὐτὸν [στὸν νοῦ], μόνον [τὴν εὐχή], τὸ Κύριε Ἰησοῦ, γιὰ τὴν τελεία ἐκπλήρωσι τοῦ σκοποῦ. Διότι λέγει [ὁ Ἀπόστολος Παῦλος]: «Κανεὶς δὲν ὁμολογεῖ τὸν Κύριον Ἰησοῦν, παρὰ μόνον διὰ τοῦ Ἁγίου Πνεύματος». Ἀλλὰ ἂς θεω-

στενῶς τὸ ῥητὸν διαπαντὸς ἐν τοῖς ἑαυτοῦ ταμείοις θεωρείτω, ἵνα μὴ εἰς φαντασίας ἐκτρέποιτό τινας. Ὅσοι γὰρ τοῦτο τὸ ἅγιον καὶ ἔνδοξον ὄνομα ἐν τῷ βάθει μελετῶσιν ἀπαύστως τῆς καρδίας, οὗτοι καὶ τὸ φῶς αὐτῶν τοῦ νοῦ δύνανται ὁρᾶν ποτε. Στενῇ γὰρ τῇ μερίμνῃ ὑπὸ τῆς διανοίας κρατούμενον, πάντα τὸν ἐπιπολάζοντα ῥύπον τῇ ψυχῇ, ἐν αἰσθήσει ἱκανῇ καταφλέγει. Καὶ γὰρ ὁ Θεὸς ἡμῶν, φησί, πῦρ καταναλίσκον[54] τὴν μοχθηρίαν. Ὅθεν εἰς ἀγάπην λοιπὸν πολλὴν τὴν ψυχὴν τῆς αὐτοῦ δόξης προσκαλεῖται ὁ Κύριος. Ἐγχρονίζον γὰρ τὸ ἔνδοξον ἐκεῖνο, καὶ πολυπόθητον ὄνομα διὰ τῆς μνήμης τοῦ νοῦ τῇ θέρμῃ τῆς καρδίας, ἕξιν ἡμῖν πάντως ἐμποιεῖ τοῦ ἀγαπᾶν τὴν αὐτοῦ ἀγαθότητα, μηδενὸς ὄντος λοιπὸν τοῦ ἐμποδίζοντος. Οὗτος γάρ ἐστιν ὁ μαργαρίτης ὁ πολύτιμος[55], ὅντινα, πωλήσας τὴν περιουσίαν αὐτοῦ ἅπασάν τις, κτήσασθαι δύναται, καὶ ἔχειν ἀνεκλάλητον ἐπὶ τῇ αὐτοῦ εὑρέσει χαράν.

ρῇ [ὁ νοῦς] τὰ λόγια τῆς εὐχῆς [τοῦ Ἰησοῦ], πάντοτε μέσα στὰ βάθη του, [νὰ ἐνεργοῦν] κατὰ τρόπο τόσο πυκνὸ [ἀδιαλείπτως ἐπαναλαμβανόμενα], ὥστε νὰ μὴν μπορῇ νὰ ἐκτραπῇ σὲ ὁποιεσδήποτε φαντασίες. Διότι, ὅσοι μελετοῦν ἀδιαλείπτως αὐτὸ τὸ ἅγιο καὶ ἔνδοξο Ὄνομα μέσα στὸ βάθος τῆς καρδίας [τους], αὐτοὶ μποροῦν κάποτε νὰ βλέπουν καὶ τὸ φῶς τοῦ νοός τους. Διότι ὅταν κρατῆται [τὸ θεῖο Ὄνομα] ἀπὸ τὴν διάνοια μὲ συγκεντρωμένη ἐπιμέλεια [ὅταν ἐγχρονίζῃ], καταφλέγει μὲ ἔντονη αἴσθησι [μὲ πλήρη ἐπίγνωσι], ὅλη τὴν ἀκαθαρσία ἡ ὁποία ἐπιπλέει στὴν ψυχή. Διότι ἄλλωστε ὁ Θεός μας, λέγει [ἡ Ἁγία Γραφή, εἶναι] φωτιά, ἡ ὁποία κατακαίει τὴν κακία. Συνεπῶς λοιπὸν ὁ Κύριος, προσκαλεῖ τὴν ψυχὴ σὲ μεγάλη ἀγάπη τῆς δόξας Του. Διότι ὅταν χρονίζῃ [ἐντός μας] ἐκεῖνο τὸ πλῆρες [θείας] δόξης καὶ πολυπόθητο Ὄνομα, διὰ τῆς μνήμης τοῦ νοὸς μὲ τὴν θέρμη τῆς καρδίας, μᾶς προξενεῖ τὴν συνήθεια [δηλαδὴ μᾶς δημιουργεῖ κατάστασι] τοῦ νὰ ἀγαποῦμε τὴν ἀγαθότητά Του, καθὼς δὲν ὑπάρχει πλέον κανεὶς ὁ ὁποῖος ἐμποδίζει [ἀφοῦ κατεφλέχθησαν τὰ πάθη]. Αὐτὸς βέβαια εἶναι ὁ πολύτιμος μαργαρίτης, τὸν ὁποῖο μπορεῖ κανεὶς νὰ ἀποκτήσῃ καὶ νὰ ἔχῃ ἀνεκλάλητη χαρὰ γιὰ τὴν εὕρεσί Του, ἐὰν πωλήσῃ ὁλόκληρη τὴν περιουσία του.

ξ'. Ἄλλη ἐστὶν ἡ εἰσαγωγὸς χαρά, καὶ ἄλλη ἡ τελειοποιός. Ἡ μὲν γάρ, φαντασίας οὐχ ὑπάρχει ἄμοιρος, ἡ δέ, ταπεινοφροσύνην ἔχει τὴν δύναμιν. Μέσον δὲ τούτων ἐστὶ λύπη θεοφιλής, καὶ ἀνάλγητον[ς'] *δάκρυον. Ἐν γὰρ πλήθει ὄντως σοφίας, πλῆθος γνώσεως· καὶ ὁ προστιθεὶς γνῶσιν, προστίθησιν ἄλγημα*[56]*. Διὰ τοῦτο οὖν πρῶτον δεῖ τῇ εἰσαγωγῷ χαρᾷ πρὸς τοὺς ἀγῶνας προσκληθῆναι τὴν ψυχήν, ἐλεγχθῆναι δ' αὐτὴν καὶ δοκιμασθῆναι ὑπὸ τῆς ἀληθείας τοῦ Ἁγίου Πνεύματος, περί τε ὧν ἔπραξε κακῶν, ἢ καὶ ἔτι πράττει μετεωρισμῶν. Ἐν ἐλεγμοῖς γάρ, φησίν, ὑπὲρ ἀνομίας ἐπαίδευσας ἄνθρωπον, καὶ ἐξέτηξας ὡς ἀράχνην τὴν ψυχὴν αὐτοῦ*[57]*. Ἵνα, τῆς θείας αὐτὴν ἐλέγξεως δοκιμασάσης, ὥς περ ἐν χωνευτηρίῳ, οὕτω τὴν ἐνέργειαν λάβῃ τῆς ἀφαντάστου χαρᾶς, ἐν θερμῇ μνήμῃ τοῦ Θεοῦ.*

ξα'. Ὅταν ὑπὸ ὀργῆς ἡ ψυχὴ ταράττηται, ἢ ὑπὸ κραιπάλης θολῶται, ἢ ὑπὸ χαλεπῆς

60. Ἄλλη εἶναι ἡ χαρὰ ἡ εἰσαγωγική, [τὴν ὁποία ἔχουν οἱ ἀρχάριοι στὴν πνευματικὴ ζωὴ] καὶ ἄλλη ἡ τελειοποιός, [ἡ χαρὰ τῶν τελείων]. Ἡ μὲν πρώτη βέβαια δὲν εἶναι ἄμοιρη κενοδοξίας, ἡ δὲ [δευτέρα] ἔχει ὡς δύναμι τὴν ταπεινοφροσύνη. Ἀνάμεσα σ' αὐτὲς ὑπάρχει [μιὰ ἄλλη ἐνδιάμεση κατάστασι], λύπη φιλόθεη καὶ [ἕνα γλυκὸ] δάκρυ χωρὶς πόνο. Διότι πράγματι, μέσα στὸ πλῆθος τῆς σοφίας, [ὑπάρχει] πλῆθος γνώσεως· καὶ ἐκεῖνος ὁ ὁποῖος προσθέτει γνῶσι, προσθέτει πόνο. Γι' αὐτὸ λοιπὸν πρέπει, πρῶτα νὰ προσκληθῇ ἡ ψυχὴ στοὺς [ἀσκητικοὺς] ἀγῶνες μὲ τὴν εἰσαγωγικὴ χαρὰ [γιὰ νὰ ἑλκυσθῇ, ὕστερα] δὲ αὐτὴ νὰ κριθῇ [μὲ τὸ κριτήριο] τῆς ἀληθείας τοῦ Ἁγίου Πνεύματος καὶ νὰ δοκιμασθῇ γιὰ ὅσα ἔπραξε κακά, ἢ καὶ ἀκόμη [γιὰ ὅση] ἔχει κενοδοξία. Διότι λέγει [ἡ Ἁγία Γραφή]: «Μὲ ἐλέγχους παιδαγώγησες τὸν ἄνθρωπο γιὰ τὶς ἀνομίες [του] καὶ σὰν ἀράχνη ἔλιωσες ὁλότελα τὴν ψυχή του». Ὥστε [λέγει ὁ Δαυΐδ], διὰ τοῦ [θείου] ἐλέγχου νὰ δοκιμάσῃς αὐτὴν [τὴν ψυχή], ὅπως ἀκριβῶς σὲ καμίνι [τὸν χρυσό, καὶ] κατ' αὐτὸ τὸν τρόπο θὰ λάβῃ τὴν ἐνέργεια τῆς χαρᾶς δίχως κενοδοξία [δηλαδὴ τὴν χαρὰ τῶν τελείων, ἡ ὁποία ὑπάρχει] στὴν θερμὴ μνήμη τοῦ Θεοῦ [δηλαδὴ στὴν εὐχή].

61. Ὅταν ἡ ψυχὴ ταράζεται ἀπὸ τὴν ὀργὴ ἢ θολώνεται ἀπὸ τὴν κραιπάλη ἢ ἐνοχλῆται ἀπὸ βαρειὰ

δυσθυμίας ὀχλῆται, οὐ δύναται ὁ νοῦς ἐγκρατὴς (κἂν ὅπως ἑαυτὸν βιάζοιτο) γενέσθαι τῆς τοῦ Θεοῦ μνήμης. Ἐσκοτισμένος γὰρ ὅλος ὑπὸ τῆς δεινότητος τῶν παθῶν ὤν, ἀλλότριος τῆς οἰκείας πάντως γίνεται αἰσθήσεως. Διόπερ οὐκ ἔχει ποῦ ἡ ἐπιθυμία τὴν ἑαυτῆς ἐκτυπώσῃ σφραγῖδα, ἵνα φέρῃ ἄληστον ὁ νοῦς τὸ εἶδος τῆς μελέτης, σκληρᾶς τῆς μνήμης τῆς διανοίας, ἐκ τῆς τῶν παθῶν γινομένης ὠμότητος. Εἰδὲ τούτων ἐκτὸς εἴη, κἂν βραχὺ ὑπὸ τῆς λήθης ὑποκλαπῇ τὸ ποθούμενον, εὐθέως πάλιν ὁ νοῦς τῇ οἰκείᾳ ἐντρεχείᾳ χρησάμενος, θερμῶς ἐπιλαμβάνεται τοῦ πολυποθήτου ἐκείνου, καὶ σωτηρίου θηράματος. Ἔχει γὰρ αὐτὴν τὴν χάριν τότε καὶ συμμελετῶσαν τῇ ψυχῇ καὶ συγκράζουσαν τό, Κύριε Ἰησοῦ Χριστέ, καθὼς ἂν μήτηρ διδάσκῃ· καὶ πάλιν συμμελετᾷ τῷ ἑαυτῆς τέκνῳ τό, Πάτερ ὄνομα. Ἄχρις οὖν εἰς ἕξιν ἀγάγῃ, τοῦ ἀντ᾽ ἄλλης οἱασδηποτοῦν βρεφοπρεποῦς ὁμιλίας, τρανῶς τὸν Πατέ-

κατήφεια, ὁ νοῦς δὲν μπορεῖ (ἀκόμα κι ἂν μὲ ὅποιο τρόπο ἤθελε βιάζῃ τὸν ἑαυτό του), νὰ γίνῃ κάτοχος τῆς μνήμης τοῦ Θεοῦ [τῆς εὐχῆς]. Διότι, μὲ τὸ νὰ εἶναι ὁλόκληρος ἐσκοτισμένος ἀπὸ τὴν σκληρότητα τῶν παθῶν, καθίσταται ἐντελῶς ξένος ἀπὸ τὴν ἐσωτερική του αἴσθησι [γίνεται ἐκτὸς ἑαυτοῦ]. Γι᾽ αὐτὸ ἀκριβῶς ἡ ἐπιθυμία [τῆς μνήμης τοῦ Θεοῦ], δὲν ἔχει [τόπο] ποὺ νὰ ἐκτυπώσῃ τὴν σφραγῖδα της [δηλαδὴ τὴν εὐχή], γιὰ νὰ διατηρῇ ὁ νοῦς ἀδιάκοπο τὸν ἐξωτερικὸ τύπο τῆς μελέτης [τοῦ θείου Ὀνόματος], ἐπειδὴ ἡ μνήμη τῆς διανοίας γίνεται σκληρὴ ἀπὸ τὴν τραχύτητα τῶν παθῶν, [καὶ δὲν εἶναι μαλακὴ γιὰ νὰ ἐγχαραχθῇ ἡ σφραγῖδα τῆς εὐχῆς]. Ἐὰν ὅμως ἤθελε εἶναι [ὁ νοῦς] ἔξω ἀπ᾽ αὐτὰ [τὰ πάθη, τότε] ἀκόμη κι ἂν λίγο κλαπῇ κρυφὰ τὸ ποθούμενο [δηλαδὴ ἡ εὐχὴ] ἀπὸ τὴν λήθη, ἀμέσως πάλι ὁ νοῦς, ἀφοῦ χρησιμοποιήσῃ τὴν ἐσωτερική του, [τὴν φυσική του] κίνησι, μὲ θέρμη συλλαμβάνει τὸ πολυπόθητο καὶ σωτήριο ἐκεῖνο θήραμα [τὸ Ὄνομα τοῦ Ἰησοῦ]. Διότι τότε [ὁ νοῦς] κατέχει αὐτὴ τὴν ἴδια τὴν Χάρι, ἡ ὁποία καὶ μελετᾶ καὶ κραυγάζει μαζὶ μὲ τὴν ψυχὴ τὸ «Κύριε Ἰησοῦ Χριστέ», καθ᾽ ὃν τρόπο ἡ μητέρα θὰ δίδασκε [τὸ παιδί της]· καὶ ἐπαναλαμβάνοντας μαζὶ μὲ τὸ παιδί της, ἀπαγγέλλει τὸ ὄνομα «Πατέρα», μέχρις ὅτου ὁδηγήσῃ [τὸ παιδὶ] ἔπειτα, στὴν συνήθεια τοῦ νὰ φωνάζῃ εὐκρινῶς τὸν Πατέρα, ἀντὶ ἄλλης ὁποιουδήποτε εἴδους βρεφοπρεποῦς ὁμιλίας, ἀκόμη κι ἂν

ρα, κἂν ὑπνοῖ, καλεῖν. Διὰ τοῦτο ὁ Ἀπόστολος λέγει· ὡσαύτως δὲ καὶ τὸ Πνεῦμα συναντιλαμβάνεται ταῖς ἀσθενείαις ἡμῶν· τὸ γὰρ τί προσευξόμεθα, καθ' ὃ δεῖ, οὐκ οἴδαμεν· ἀλλ' αὐτὸ τὸ Πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις[58]*. Ἐπειδὴ γὰρ ἡμεῖς νηπιάζομεν πρὸς τὸ τῆς ἀρετῆς τέλειον, τῆς αὐτοῦ πάντως χρήζομεν βοηθείας, ἵνα ὑπὸ τῆς αὐτοῦ ἀνεκλαλήτου γλυκύτητος, τῶν λογισμῶν ἡμῶν ἁπάντων συνεχομένων τε καὶ καθηδυνομένων, ἐξ ὅλης διαθέσεως πρὸς τὴν τοῦ Θεοῦ καὶ Πατρὸς ἡμῶν κινηθῶμεν μνήμην τε καὶ ἀγάπην. Διόπερ ἐν αὐτῷ, ὡς αὐτὸς πάλιν ὁ θεσπέσιος Παῦλος λέγει, κράζομεν, ὅτε ὑπ' αὐτοῦ Θεὸν Πατέρα ῥυθμιζόμεθα καλεῖν ἀκαταπαύστως, ἀββᾶ ὁ πατήρ*[59]*.*

ξβʹ. Ὁ θυμὸς πλέον τῶν ἄλλων παθῶν ταράττειν εἴωθε, καὶ συγχεῖν τὴν ψυχήν, ἔστι δ' ὅτε καὶ τὰ μέγιστα αὐτὴν ὠφελεῖ. Ἡνίκα γὰρ κατὰ τῶν ἀσεβούντων, ἢ ὁπωσδήποτε ἀσελγαινόντων,

ἤθελε κοιμᾶται. Γι' αὐτὸ λέγει ὁ Ἀπόστολος [Παῦλος]: «Ἐπίσης καὶ τὸ [Πανάγιο] Πνεῦμα συμβοηθεῖ στὶς ἀδυναμίες μας· διότι τὸ τί θὰ προσευχηθοῦμε, σύμφωνα μὲ ἐκεῖνο τὸ ὁποῖο πρέπει, δὲν γνωρίζομε· ἀλλὰ αὐτὸ τὸ [Πανάγιο] Πνεῦμα μεσιτεύει ὑπερβαλλόντως γιὰ μᾶς μὲ ἀλαλήτους στεναγμούς». Διότι, ἐπειδὴ ἐμεῖς εἴμαστε σὰν τὰ βρέφη, ἐν σχέσει πρὸς τὴν τελειότητα τῆς ἀρετῆς [τῆς προσευχῆς], ἔχομε ἀνάγκη ὁπωσδήποτε τὴν βοήθειά Του, γιὰ νὰ κινηθοῦμε μὲ ὁλόκληρη τὴν ἐσωτερική [μας] δύναμι πρὸς τὴν μνήμη καὶ τὴν ἀγάπη τοῦ Θεοῦ καὶ Πατέρα μας, καθὼς συμμαζεύονται καὶ κατευφραίνονται ὅλοι οἱ λογισμοί μας ἀπὸ τὴν ἀνεκλάλητη γλυκύτητά Του. Γι' αὐτὸ ἀκριβῶς, πάλι ὁ θεσπέσιος Παῦλος λέγει: «ὅταν ἀπ' Αὐτὸ [τὸ Πανάγιο Πνεῦμα] παρακινούμεθα νὰ ἀποκαλοῦμε ἀδιάλειπτα Πατέρα τὸν Θεό, κράζομε ἐν Αὐτῷ «ἀββᾶ, ὁ πατήρ».

62. Ὁ θυμός, περισσότερο ἀπὸ τὰ ἄλλα πάθη, συνηθίζει νὰ ταράσσῃ καὶ νὰ συγχύζῃ τὴν ψυχή· εἶναι ὅμως καὶ φορές, καὶ τὴν ὠφελεῖ τὰ μέγιστα. Διότι ὅσες φορές, χωρὶς ταραχή, χρησιμοποιοῦμε αὐτὸν ἐναντίον ἐκείνων οἱ ὁποῖοι ἀσεβοῦν [στὸν Θεό], ἢ ὁπωσδήποτε ἐναντίον ἐκείνων ποὺ ἀσελγοῦν, [καὶ αὐτὸ γίνεται]

ἀταράχως αὐτῷ ἵνα ἢ σωθῶσιν, ἢ καταισχυνθῶσι, κεχρήμεθα, προσθήκην αὐτῇ προξενοῦμεν πρᾳότητος. Τῷ γὰρ σκοπῷ πάντως τῆς δικαιοσύνης καὶ τῆς ἀγαθότητος συντρέχομεν τοῦ Θεοῦ. Ἀλλὰ καὶ τὸ θηλυδριῶδες αὐτῆς, βαρέως ὀργισθέντες κατὰ τῆς ἁμαρτίας, ἀπαῤῥενοῦμεν πολλάκις· ὅτι δὲ καὶ αὐτῷ τῷ τῆς φθορᾶς πνεύματι ἐμβριμώμενοι, ὅταν ἐν πολλῇ ὦμεν ἀθυμίᾳ ἐπάνω τῆς τοῦ θανάτου φρονοῦμεν καυχήσεως, οὐ δεῖ ἀμφιβάλλειν. Ὅπερ ἵνα διδάξῃ ἡμᾶς ὁ Κύριος, δὶς ἐν τῷ πνεύματι τῷ ᾅδῃ ἐμβριμησάμενος καὶ ταράξας ἑαυτόν, καίτοιγε ἀταράχῳ βουλήσει πάντα ὅσα θέλει ποιῶν, οὕτω τὴν Λαζάρου ψυχὴν ἀπέδωκε τῷ σώματι[60]· ὥστε μοι δοκεῖν εἰς ὅπλον μᾶλλον δικαιοσύνης τῇ φύσει ἡμῶν τὸν σώφρονα θυμὸν παρὰ τοῦ κτίσαντος ἡμᾶς παρασχεθῆναι Θεοῦ. Ὥς περ εἰ κατὰ τοῦ ὄφεως ἐχρήσατο ἡ Εὔα, οὐκ ἂν ὑπ᾿ ἐκείνης τῆς ἐμπαθοῦς ἐνηργεῖτο ἡδονῆς[61]· ὥστε

ἢ γιὰ νὰ σωθοῦν, ἢ γιὰ νὰ ντροπιασθοῦν, [τότε] παρέχομε σ᾿ αὐτήν, [δηλαδὴ στὴν ψυχὴ] ἐπαύξησι τῆς πραότητος. Διότι ὁπωσδήποτε συνεργοῦμε στὸν σκοπὸ τῆς δικαιοσύνης καὶ τῆς ἀγαθότητος τοῦ Θεοῦ. Ἀλλὰ πολλὲς φορές, ἐὰν ὀργισθοῦμε πολὺ ἐναντίον τῆς ἁμαρτίας, τότε μεταβάλλομε σὲ ἀρρενωπότητα καὶ τὴν θηλυπρέπεια αὐτῆς [τῆς ψυχῆς]. Δὲν πρέπει δὲ νὰ ἀμφιβάλλωμε, ὅτι, ὅταν εἴμαστε σὲ πολλὴ ἀθυμία, [ἡ ὁποία εἶναι κατάστασι φθορᾶς καὶ θανάτου], ἐὰν ἀγανακτοῦμε καὶ ἐναντίον αὐτοῦ τοῦ ἴδιου τοῦ πνεύματος τῆς φθορᾶς, διατιθέμεθα ὑπεράνω τῆς ἐπάρσεως τοῦ θανάτου [ὡς τάχα νικητοῦ ἔναντι τῆς ζωῆς]. Τὸ ὁποῖο ἀκριβῶς, γιὰ νὰ μᾶς διδάξῃ ὁ Κύριος, δύο φορὲς ἀφοῦ ἀγανάκτησε μὲ τὸ πνεῦμα ἐναντίον τοῦ ᾅδη καὶ τάραξε τὸν Ἑαυτό Του - μολονότι βέβαια [δύναται] νὰ κάνῃ ὅλα ὅσα θέλει μὲ ἀτάραχη βούλησι - κατ᾿ αὐτὸν τὸν τρόπο ἀπέδωσε στὸ σῶμα τὴν ψυχὴ τοῦ Λαζάρου· ὥστε νομίζω, ὅτι ἐδόθη ὁ σώφρων θυμὸς στὴν φύσι μας ἀπὸ τὸν Θεό, τὸν Πλαστουργό μας, ὡς ὅπλο δικαιοσύνης. Ὅπως ἀκριβῶς, ἐὰν ἡ Εὔα χρησιμοποιοῦσε [τὸν θυμὸ] ἐναντίον τοῦ ὄφεως, δὲν θὰ ἀποδεχόταν τὴν ἐνέργεια ἀπὸ ἐκείνη τὴν ἐμπαθῆ ἡδονή· ὥστε

μοι φαίνεσθαι, ὅτι ὁ διὰ ζῆλον τῆς εὐσεβείας τῷ θυμῷ σωφρόνως κεχρημένος, δοκιμώτερος πάντως παρὰ τῇ τῶν ἀνταποδόσεων εὑρεθήσεται πλάστιγγι, τοῦ οὐδόλως διὰ δυσκινησίαν νοῦ, εἰς θυμὸν κινουμένου. Ἐπειδὴ ὁ μέν, ἀγύμναστον τὸν τῶν ἀνθρωπίνων φρενῶν ἡνίοχον ἔχων φαίνεται· ὁ δὲ δὴ ἐπὶ τῶν ἵππων τῆς ἀρετῆς ἐναγώνιος γίνεται καὶ φέρεται ἐν μέσῳ τῶν δαιμονικῶν παρατάξεων, τὸ τῆς ἐγκρατείας ἀεὶ καταγυμνάζων ἐν φόβῳ Θεοῦ τέθριππον. Ὅπερ ἅρμα Ἰσραὴλ ἐν τῇ ἀναλήψει τοῦ θείου Ἠλιού, παρὰ τῇ Γραφῇ εἰρημένον εὑρίσκομεν[62]*. Ἐπειδὴ πρώτοις Ἰουδαίοις περὶ τῶν τεσσάρων ἀρετῶν διαφόρως φαίνεται ὁμιλήσας ὁ Θεός· διόπερ ὅλως καὶ ἐπὶ ἅρματος πυρὸς ἀνελήφθη ὁ τοσοῦτος καὶ τηλικοῦτος τῆς σοφίας τρόφιμος, ὡς ἵπποις ταῖς οἰκείαις, ἐμοὶ δοκεῖ, ὁ σώφρων χρησάμενος ἀρεταῖς, ἐν τῷ ἁρπάξαντι αὐτὸν ἐν αὔρᾳ πυρὸς πνεύματι.*

νομίζω, ὅτι ἐκεῖνος ὁ ὁποῖος ἔχει χρησιμοποιήσει μὲ φρόνησι τὸν θυμὸ ἕνεκα τοῦ ζήλου γιὰ τὴν εὐσέβεια, ὁπωσδήποτε θὰ βρεθῇ πιὸ ἄξιος στὴν ζυγαριὰ τῶν ἀνταποδόσεων, ἀπὸ ἐκεῖνον ὁ ὁποῖος δὲν κινήθηκε στὸν θυμό, ἐξαιτίας τῆς δυσκινησίας τοῦ νοός [του]. Ἐπειδή, ὁ μὲν ἕνας φαίνεται νὰ ἔχῃ ἀγύμναστο τὸν ἡνίοχο τῶν ἀνθρωπίνων φρενῶν, ὁ δὲ ἄλλος, ἤδη μετέχει στὸν ἀγῶνα ἐπάνω στὰ ἄλογα τῆς ἀρετῆς καὶ ὁρμᾶ στὸ μέσο τῶν δαιμονικῶν παρατάξεων, ἐξασκώντας πάντοτε στὸ ἔπακρον μὲ φόβο Θεοῦ, τὸ συρόμενο ἀπὸ τὰ τέσσερα ἄλογα ἅρμα τῆς ἐγκρατείας. Τὸ ὁποῖο ἀκριβῶς, ἅρμα Ἰσραήλ, βρίσκομε νὰ ἔχῃ εἰπωθῆ ἀπὸ τὴν [Ἁγία] Γραφή, μὲ τὴν ἀνάληψι τοῦ [Προφήτου] Ἠλιού. Ἐπειδὴ ὁ Θεός, στοὺς Ἰουδαίους πρώτους, φαίνεται ὅτι μίλησε γιὰ τὶς τέσσερεις ἀρετὲς ξεχωριστὰ [ἀνδρεία, φρόνησι, σωφροσύνη, δικαιοσύνη]. Γι᾽ αὐτὸ βεβαίως καὶ πάνω σὲ πύρινο ἅρμα ἀνελήφθη ὁ τέτοιας ποιότητος καὶ μεγέθους υἱὸς τῆς σοφίας, γιατὶ μοῦ φαίνεται ὅτι ὁ σώφρων, χρησιμοποίησε τὶς ἀρετές του ὡς ἄλογα στὸν ἄνεμο, ὁ ὁποῖος τὸν ἅρπαξε μὲ πύρινη αὔρα.

ξγ΄. Ὁ γνώσεως μετασχὼν ἁγίας, καὶ γλυκύτητος Θεοῦ γευσάμενος, οὔτε δικάζειν ὀφείλει ποτέ, οὔτε δίκην ὅλως κινεῖν πρός τινας, κἂν αὐτὰ ἅπερ ἠμφίασται ἀφέληταί τις. Ἡ γὰρ τῶν ἀρχόντων τοῦ κόσμου τούτου δικαιοσύνη, ἥττηται πάντως τῇ δικαιοσύνῃ τοῦ Θεοῦ, μᾶλλον δὲ οὐδέν ἐστι πρὸς τὸ δίκαιον τοῦ Θεοῦ· ἐπεὶ ποία διαφορὰ μεταξὺ τῶν τέκνων τοῦ Θεοῦ, καὶ τῶν τοῦ αἰῶνος τούτου ἀνθρώπων, εἰμὴ τὸ τούτων δίκαιον ἀτελὲς ὂν πρὸς τὴν ἐκείνων δικαιοσύνην φαίνοιτο; Ὥστε τὸ μέν, λέγεσθαι ἀνθρώπινον δίκαιον, τὸ δέ, θείαν δικαιοσύνην. Οὕτως οὖν ὁ μὲν Κύριος ἡμῶν, οὔτε λοιδορούμενος ἀντελοιδόρει, οὔτε πάσχων ἠπείλει[63], ἀλλὰ καὶ τὴν ἀφαίρεσιν τῆς ἐσθῆτος σιωπῶν ὑπέμεινε[64], καὶ ὑπὲρ τῆς ἡμῶν σωτηρίας ὠδυνᾶτο[65]. Καὶ τὸ μεῖζον, ὑπὲρ τῶν κακουργούντων τὸν Πατέρα ἠξίου[66]. Οἱ δὲ τοῦ κόσμου ἄνθρωποι, οὐκ ἂν τοῦ δικάζεσθαι παύσωνται, εἰμὴ μετὰ προσθή-

63. Ἐκεῖνος ὁ ὁποῖος ἔγινε μέτοχος ἁγίας γνώσεως καὶ ἐγεύθη τὴν γλυκύτητα τοῦ Θεοῦ, οὔτε εἶναι πρέπον νὰ δικάζῃ ποτέ, οὔτε καθόλου νὰ κινῇ δικαστικὸ ἀγῶνα ἐναντίον κάποιων, ἀκόμη κι ἂν κανεὶς ἀποστερηθῇ, ἀκόμη καὶ αὐτὰ τὰ ὁποῖα φορᾶ. Διότι ἡ δικαιοσύνη τῶν ἀρχόντων τοῦ κόσμου τούτου νικᾶται ἐντελῶς ἀπὸ τὴν δικαιοσύνη τοῦ Θεοῦ, μᾶλλον δὲ εἶναι [ἕνα] τίποτα σὲ σύγκρισι μὲ τὸ δίκαιο τοῦ Θεοῦ. Διότι ποιὰ διαφορὰ [ὑπάρχει] μεταξὺ τῶν παιδιῶν τοῦ Θεοῦ καὶ τῶν ἀνθρώπων τοῦ αἰῶνος τούτου, ἐὰν δὲν εἶναι δυνατὸν νὰ ἀποδεικνύεται, ὅτι εἶναι ἀτελὲς τὸ δίκαιο αὐτῶν [τῶν ἀνθρώπων], σὲ σύγκρισι μὲ τὴν δικαιοσύνη ἐκείνων [τῶν παιδιῶν τοῦ Θεοῦ]; Ὥστε, τὸ μὲν νὰ λέγεται ἀνθρώπινο δίκαιο, ἐνῶ τὸ ἄλλο, θεία δικαιοσύνη. Ἔτσι λοιπόν, ὁ μὲν Κύριός μας οὔτε ἀνταπέδιδε τὸν χλευασμό, ὅταν [τὸν] χλεύαζαν, οὔτε ὅταν ὑπέφερε ἀπειλοῦσε, ἀλλὰ καὶ τὴν ἀφαίρεσι τοῦ χιτῶνος Του ὑπέμεινε σιωπῶντας, καὶ ἔπασχε γιὰ τὴν δική μας σωτηρία. Καὶ τὸ μεγαλύτερο, ἀπαιτοῦσε ἀπὸ τὸν Πατέρα [ἔλεος], γιὰ χάρι ἐκείνων ποὺ [Τὸν] κακοποιοῦσαν. Οἱ δὲ ἄνθρωποι τοῦ κόσμου δὲν θὰ σταματήσουν ἀπὸ τὸ νὰ ἐγείρουν δικαστικοὺς ἀγῶνες, ἐὰν δὲν πάρουν πάλι τὰ πράγματα ἐκείνων ποὺ ὁδηγοῦν

κης ἐνίοτε τὰ τῶν ἐναγώγων ἀπολάβωσι πράγματα, ὁπόταν μάλιστα πρὸ τοῦ χρέους τοὺς τόκους κομίζωνται, ὥστε αὐτῶν γίνεσθαι τὸ δίκαιον ἀρχὴν πολλάκις ἀδικίας μεγάλης.

ξδ΄. Οὐ δεῖ, φασίν, ἤκουσά τινων εὐλαβῶν λεγόντων, παραχωρεῖν τοῖς τυχοῦσι διαρπάζειν, ἅπερ πρὸς τὴν ἑαυτῶν διοίκησιν, ἢ πρὸς πενήτων ἀνάπαυσιν ἔχομεν· ἵνα μὴ ἁμαρτίας πρόξενοι τοῖς ἀδικοῦσιν ἡμᾶς δι᾽ ὧν ἀνεξικακοῦμεν γινώμεθα, καὶ μάλιστα εἰ παρὰ χριστιανῶν τοῦτο πάσχομεν· τοῦτο δὲ οὐδὲν ἕτερόν ἐστιν, εἰ θέλειν τὰ ἑαυτοῦ ὑπὲρ ἑαυτὸν μετὰ ἀλόγου προφάσεως. Εἰ γὰρ καταλιπὼν τὸ εὔχεσθαι, καὶ προσέχειν τῇ ἐμαυτοῦ καρδίᾳ, δίκας ἀγορεύειν πρὸς τοὺς θέλοντάς με ἐπηρεάζειν κατὰ μικρὸν ἄρξομαι, καὶ δικαστηρίων παρεδρεύειν προαυλίοις, δῆλον ὅτι τὰ ἐκδικούμενα, κρείττονα τῆς ἐμαυτοῦ ἡγοῦμαι σωτηρίας, ἵνα μὴ εἴπω, καὶ αὐτοῦ τοῦ σωτηρίου ἐντάλματος. Πῶς γὰρ ὅλως τῷ εὐαγγε-

[στὰ δικαστήρια], κάποτε μαζὶ καὶ μὲ τὸ παραπάνω, ὅταν συμβῇ μάλιστα νὰ παίρνουν τοὺς τόκους πρὶν ἀπὸ τὸ χρέος, ὥστε νὰ γίνεται πολλὲς φορὲς τὸ δίκαιό τους, ἐξουσία μεγάλης ἀδικίας.

64. Δὲν πρέπει, λέγουν, - ἄκουσα, ὅτι ἰσχυρίζονταν κάποιοι εὐλαβεῖς - νὰ ἐπιτρέπωμε στοὺς ὁποιουσδήποτε νὰ ληστεύουν ἐκεῖνα ἀκριβῶς, τὰ ὁποῖα ἔχομε γιὰ τὴν προσωπική μας συντήρησι, ἢ γιὰ τὴν ἀνακούφισι τῶν πτωχῶν· γιὰ νὰ μὴν γινώμεθα, ἐξ αἰτίας ἐκείνων γιὰ τὰ ὁποῖα ἀνεξικακοῦμε, πρόξενοι ἁμαρτίας σ᾽ ὅσους μᾶς ἀδικοῦν καὶ μάλιστα, ἐὰν αὐτὸ τὸ ὑφιστάμεθα ἀπὸ χριστιανούς. Αὐτὸ ὅμως δὲν εἶναι τίποτα ἄλλο, παρὰ τὸ νὰ θέλω, μὲ μιὰ ἐξωφρενικὴ δικαιολογία, τὰ τοῦ ἑαυτοῦ μου περισσότερο ἀπὸ τὸν ἑαυτό μου. Διότι ἐὰν θὰ ἀρχίσω σιγὰ - σιγά, ἀφοῦ ἐγκατέλειψα τὴν εὐχὴ καὶ τὸ νὰ προσέχω τὴν καρδία μου, νὰ ἐκφωνῶ δικανικοὺς λόγους ἐναντίον ἐκείνων οἱ ὁποῖοι θέλουν νὰ μὲ ἀπειλοῦν καὶ νὰ κάθωμαι διαρκῶς στὰ προαύλια τῶν δικαστηρίων, [εἶναι] φανερὸ ὅτι θεωρῶ ὅσα δικαστικῶς διεκδικῶ, τιμιώτερα τῆς δικῆς μου σωτηρίας, γιὰ νὰ μὴν πῶ καὶ αὐτῆς τῆς ἴδιας τῆς ἐντολῆς ποὺ ὁδηγεῖ στὴν σωτηρία. Διότι πῶς θὰ συμμορφωθῶ ἐξ ὁλοκλήρου πρὸς

λικῷ ἀκολουθήσω προστάγματι, τῷ κελεύοντί μοι, καὶ ἀπὸ τοῦ αἴροντος τὰ σὰ μὴ ἀπαίτει[67], εἰμὴ μετὰ χαρᾶς ὑπομείνω, κατὰ τὸ ἀποστολικὸν λόγιον, τὴν τῶν προσόντων μοι διαρπαγὴν πραγμάτων[68]; Ὁπότε οὔτε δικασάμενός τις καὶ ἀπολαβὼν ὅσαπερ ἐβιάσθη, τῆς ἁμαρτίας τὸν πλεονέκτην ἐλευθεροῖ· ἐπειδὴ τὰ φθαρτὰ δικαστήρια τὸ ἄφθαρτον τοῦ Θεοῦ κριτήριον ὁρίζειν οὐ δύνανται. Τούτους γὰρ πάντως τοὺς νόμους, ὁ αἴτιος πληροφορεῖ, παρ᾽ οἷς καὶ ὑπὲρ τῆς αἰτίας ἀπολογεῖσθαι αὐτὸν συμβαίνει· ὥστε καλὸν τό, τὴν τῶν θελόντων ἡμᾶς ἀδικεῖν, φέρειν βίαν, καὶ εὔχεσθαι ὑπὲρ αὐτῶν, ἵνα διὰ μετανοίας, οὐ μὴν διὰ τῆς ἀνταποδόσεως, ὧν ἀφ᾽ ἡμῶν ἥρπασαν, ἀπολυθῶσι τοῦ τῆς πλεονεξίας ἐγκλήματος. Τοῦτο γὰρ θέλει ἡ δικαιοσύνη τοῦ Θεοῦ, ἵνα αὐτὸν τὸν πλεονέκτην, οὐχὶ τὸ πλεονεκτηθέν, ἀπολάβωμέν ποτε τῆς ἁμαρτίας, διὰ τῆς μετανοίας, ἐλεύθερον.

ξε΄. Λίαν ἁρμόδιον καὶ διὰ πάντων ἐπωφελές, τὸ ἐπι-

τὴν εὐαγγελικὴ προσταγή, ἡ ὁποία μὲ διατάζει: «καὶ ἀπὸ ἐκεῖνον ὁ ὁποῖος ἀφαιρεῖ τὰ δικά σου, νὰ μὴν ἀπαιτῇς», ἐὰν δὲν ὑπομείνω μὲ χαρά, σύμφωνα μὲ τὸ ἀποστολικὸ ρητό, τὴν ἁρπαγὴ τῶν πραγμάτων, τὰ ὁποῖα μοῦ ἀνήκουν; Ἐπειδή, οὔτε ἐὰν κανεὶς διεξήγαγε δίκη καὶ ξαναπῆρε ὅσα ἀκριβῶς διὰ τῆς βίας ἀπώλεσε, μπορεῖ νὰ ἀπαλλάσσῃ τὸν πλεονέκτη ἀπὸ τὴν ἁμαρτία· ἐπειδὴ τὰ φθαρτὰ δικαστήρια δὲν μποροῦν νὰ κανονίζουν τὸ ἄφθαρτο δικαστήριο τοῦ Θεοῦ. Διότι σὲ κάθε περίπτωσι ὁ κατηγορούμενος συμμορφώνεται μὲ τοὺς νόμους, κατὰ τὴν κρίσι τῶν ὁποίων συμβαίνει αὐτὸς νὰ ἀπολογῆται γιὰ τὴν κατηγορία [του]· ὥστε [εἶναι] καλὸ τὸ νὰ ὑπομένωμε τὴν βία ἐκείνων, οἱ ὁποῖοι θέλουν νὰ μᾶς ἀδικοῦν καὶ νὰ προσευχώμεθα γι᾽ αὐτούς, ὥστε μὲ τὴν μετάνοια, [καὶ] ὄχι βέβαια μὲ τὴν ἐξόφλησι ἐκείνων τὰ ὁποῖα ἅρπαξαν ἀπὸ ἐμᾶς, νὰ ἀπαλλαγοῦν ἀπὸ τὴν κατηγορία τῆς πλεονεξίας. Διότι αὐτὸ θέλει ἡ δικαιοσύνη τοῦ Θεοῦ γιὰ νὰ ἀποκτήσωμε πάλι, κάποτε ἐλεύθερο διὰ τῆς μετανοίας, αὐτὸν τὸν ἴδιο τὸν πλεονέκτη, [καὶ] ὄχι ἐκεῖνο τὸ ὁποῖο ἀποκτήθηκε μὲ πλεονεξία.

65. Εἶναι πολὺ κατάλληλο καὶ καθ᾽ ὅλα ἐπωφελές, τὸ νὰ πω-

γνόντας ἡμᾶς τὴν ὁδὸν τῆς εὐσεβείας, εὐθέως ἅπαντα τὰ προσόντα ἡμῖν διαπωλεῖν, καὶ τὰ ἀπὸ τούτων χρήματα διοικεῖν, κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου[69]*, καὶ μὴ προφάσει τοῦ θέλειν ἐντολὰς ποιεῖν διαπαντός, παρακούειν τοῦ σωτηρίου κελεύσματος. Ἔσται γὰρ ἡμῖν ἐκ τούτου, πρῶτον μέν, ἡ καλὴ ἀμεριμνία καὶ ἡ ἐντεῦθεν λοιπὸν ἀνεπιβούλευτος πενία, ἥτις πάσης ἀδικίας καὶ πάσης δίκης ἐπάνω φρονεῖ, διὰ τὸ μὴ ἔχειν ἡμᾶς μηκέτι, τὴν τὸ πῦρ τῶν πλεονεκτῶν ἀνάπτουσαν ὕλην· περιθάλψει δὲ ἡμᾶς πλέον τῶν ἄλλων ἀρετῶν ἡ ταπεινοφροσύνη, καὶ εἰς τοὺς οἰκείους ὡς γυμνοὺς ὑπάρχοντας ἀναπαύσει κόλπους· οἷον μήτηρ τὸ ἑαυτῆς παιδίον εἰς τὰς οἰκείας προσλαμβανομένη καταθάλπει ἀγκάλας, ὅταν διὰ τὴν νηπιώδη ἁπλότητα τὴν ἑαυτοῦ ἐκδυσάμενον πόῤῥω που ἀποῤῥίψῃ ἐσθῆτα· τῇ γυμνότητι μᾶλλον διὰ πολλὴν ἀκακίαν, ἢ τῇ ποικιλίᾳ τῆς ἐσθῆτος τερπόμενον· φυλάσσων*

λοῦμε ἀμέσως, ὅταν ἐμεῖς φθάσωμε στὴν ἐπίγνωσι τῆς ὁδοῦ τῆς εὐσεβείας [τὴν μοναχικὴ πολιτεία], ὅλα ὅσα μᾶς ἀνήκουν, καὶ τὰ χρήματα [ποὺ θὰ λάβωμε] ἀπὸ αὐτά, νὰ τὰ διαχειριζώμεθα σύμφωνα μὲ τὴν ἐντολὴ τοῦ Κυρίου, [νὰ τὰ διαμοιράζωμε στοὺς πτωχοὺς] καὶ νὰ μὴν παρακούωμε τὴν προσταγὴ ποὺ ὁδηγεῖ στὴν σωτηρία μὲ τὴν δικαιολογία, ὅτι θέλομε συνεχῶς νὰ ἐκτελοῦμε τὶς ἐντολὲς [μὲ ἐλεημοσύνη στοὺς πτωχούς]. Διότι ἐξ αὐτοῦ, [δηλαδὴ τῆς ὑπακοῆς στὴν ἐντολὴ τοῦ Κυρίου] θὰ προκύψῃ σὲ μᾶς, πρῶτα μὲν ἡ καλὴ ἀμεριμνία καὶ ἀπ᾽ αὐτὴν ὕστερα ἡ ἀνεπιβούλευτη πτωχεία, ἡ ὁποία σκέπτεται ὑπεράνω κάθε ἀδικίας καὶ κάθε δίκης, ἐξ αἰτίας τοῦ ὅτι δὲν κατέχομε πλέον τὴν ὕλη, ποὺ ἀνάβει τὴν φωτιὰ τῶν πλεονεκτῶν. Ἀλλὰ θὰ μᾶς περιθάλψῃ, περισσότερο ἀπὸ τὶς ἄλλες ἀρετές, ἡ ταπεινοφροσύνη καὶ θὰ μᾶς ἀναπαύσῃ στοὺς κόλπους της, καθὼς εἴμεθα γυμνοί· ὅπως ἡ μητέρα καταθερμαίνει τὸ παιδί της ὅταν τὸ παίρνῃ στὴν ἀγκαλιά της, ἐπειδὴ ἐκεῖνο, ὅταν ξεντύθηκε πέταξε, ἕνεκα τῆς παιδικῆς [του] ἁπλότητος, κάπου μακριὰ τὸ φόρεμά [του]· καθὼς εὐχαριστεῖται, ἐξ αἰτίας τῆς πολλῆς [του] ἀκακίας, περισσότερο μὲ τὴν γυμνότητα παρὰ μὲ τὸν στολισμὸ τοῦ φορέματος. Διότι λέγει [ἡ Ἁγία Γραφή], ὅτι φυλάσσει

γάρ, φησί, τὰ νήπια ὁ Κύριος· ἐταπεινώθην, καὶ ἔσωσέ με[70].

ξς΄. Καθὸ ἔχομεν, πάντως ὁ Κύριος ἡμᾶς ἀπαιτήσει τὸν λόγον τῆς ἐλεημοσύνης, οὐ καθὸ οὐκ ἔχομεν[71]*· ἐὰν οὖν ὅπερ εἶχον δοῦναι εἰς πολλοὺς χρόνους, ἐν ὀλίγῳ χρόνῳ δαπανήσω διὰ τὸν φόβον τοῦ Θεοῦ, χρηστῷ διαπύρῳ κελεύσματι, περὶ τίνος ἔτι ὁ μηδὲν ἔχων ἐγκληθήσομαι; Ἀλλ᾽ ἐρεῖ τις· πόθεν οὖν ἐλεηθήσονται τοῦ λοιποῦ, οἱ ἐκ τῶν ἡμετέρων μετρίως ἐθισθέντες κατ᾽ ὀλίγον διοικεῖσθαι πένητες; Μανθανέτω δὲ ὁ τοιοῦτος μὴ προφάσει τῆς ἰδίας φιλοχρηματίας ὀνειδίζειν τῷ Θεῷ. Οὐχ ὑστερήσει γὰρ ὁ Θεὸς τὸ οἰκεῖον οἰκονομῶν ὡς ἀπ᾽ ἀρχῆς κτίσμα· οὔτε γὰρ πρὶν οὗτος, ἢ ἐκεῖνος πρὸς τὴν ἐλεημοσύνην ἐξηγείροντο ἐστεροῦντο τροφῆς, ἢ σκεπασμάτων οἱ πτωχοί. Καλὸν οὖν τό, παρ᾽ αὐτὴν τὴν ἐπίγνωσιν, μετὰ χρηστῆς διακονίας, ἀποῤῥῖψαι τὸ ἐκ τοῦ πλούτου ἀλόγιστον φρόνημά τε, καὶ καύχημα, τὰς*

ὁ Κύριος τὰ νήπια· ταπεινώθηκα καὶ μὲ ἔσωσε.

66. Ὁ Κύριος σὲ κάθε περίπτωσι θὰ ἀπαιτήση ἀπὸ ἐμᾶς τὴν ἐντολὴ τῆς ἐλεημοσύνης, σύμφωνα μὲ ὅ,τι ἔχομε, ὄχι σύμφωνα μὲ ὅ,τι δὲν ἔχομε. Ἑπομένως, ἐὰν ἐκεῖνο τὸ ὁποῖο εἶχα νὰ δίδω σὲ πολλοὺς χρόνους, [τὸ] ἐξαντλήσω μέσα σὲ λίγο χρόνο χάριν τοῦ φόβου τοῦ Θεοῦ, κατὰ τὴν ἀγαθὴ διάπυρη ἐντολὴ [τῆς ἐλεημοσύνης], γιὰ ποιὸ πρᾶγμα, θὰ κληθῶ ἐγὼ σὲ ἀπολογία, ὁ ὁποῖος πλέον δὲν ἔχω τίποτα; Ἀλλὰ θὰ πῆ κάποιος· ἀπὸ ποῦ λοιπὸν θὰ ἐλεηθοῦν εἰς τὸ ἑξῆς οἱ πτωχοί, οἱ ὁποῖοι συνήθισαν βαθμηδὸν μὲ μέτρο νὰ συντηροῦνται ἀπὸ τὰ δικά μας; Ἀλλὰ ἂς μάθη αὐτὸς [ὁ ἄνθρωπος], νὰ μὴν κατηγορῆ τὸν Θεὸ μὲ τὴν δικαιολογία τῆς δικῆς του φιλοχρηματίας. Διότι δὲν θὰ βρεθῆ σὲ ἔλλειψι ὁ Θεὸς γιὰ νὰ οἰκονομῆ τὸ δικό του πλάσμα, καθὼς ἀπὸ τὴν ἀρχὴ [ἔπραττε]· οὔτε οἱ πτωχοὶ ἐστεροῦντο τροφῆς ἢ σκεπασμάτων, πρὶν αὐτὸς ἢ ἐκεῖνος ἀφυπνίζοντο [ἔδειχναν ἐνδιαφέρον], ὅσον ἀφορᾶ τὴν ἐλεημοσύνη. Καλὸν [εἶναι] ἑπομένως, [κανεὶς] παράλληλα μὲ αὐτὴ τὴν ἐπίγνωσι [γιὰ τὴν κλῆσι στὴν μοναχικὴ πολιτεία καὶ] τὴν ἀγαθὴ διακονία [τῆς διανομῆς τῶν ὑπαρχόντων του], νὰ ἀπορρίψη τὸ ἀπερίσκεπτο φρόνημα καὶ καύχημα, λόγῳ τοῦ πλούτου, ἀφοῦ

οἰκείας ἐπιθυμίας μισήσαντα, ὅπερ ἐστὶ μισῆσαι τὴν ἑαυτοῦ ψυχήν[72]*˙ ἵνα μηκέτι χαίροντες ἐπὶ τῇ τῶν χρημάτων διασπορᾷ, ἐξουδενώσωμεν τὴν ψυχὴν ἡμῶν σφόδρα, ὡς μηδὲν τῶν καλῶν ἐργαζόμενοι˙ ἕως μὲν γάρ που χρημάτων εὐποροῦμεν, χαίρομεν μεγάλως (εἴπερ ἐστὶν εἰς ἡμᾶς ἡ τοῦ ἀγαθοῦ ἐνέργεια) ἐπὶ τῷ τούτων διασκορπισμῷ, ὡς ἱλαρῶς ὑπηρετούμενοι τῷ θείῳ κελεύσματι˙ ἐπειδὰν δὲ πάντα ἐξαντλήσωμεν, λύπη ἡμῖν ἄπειρος, καὶ ταπείνωσις ἐπεισέρχεται, ὡς μηδὲν δικαιοσύνης ἄξιον διαπραττομένοις˙ ὅθεν λοιπὸν ἐφ᾽ ἑαυτὴν ἐπιστρέφει ἡ ψυχὴ ἐν πολλῇ ταπεινώσει˙ ἵν᾽ ὅπερ οὐκ ἔχει κτᾶσθαι καθ᾽ ἡμέραν διὰ τῆς ἐλεημοσύνης, τοῦτο ἐκ τῆς ἐπιπόνου εὐχῆς, καὶ τῆς ὑπομονῆς, καὶ τῆς ταπεινοφροσύνης ἑαυτῇ περιποιῆται˙ πτωχὸς γάρ, φησί, καὶ πένης αἰνέσουσι τὸ ὄνομά σου, Κύριε*[73]*˙ οὔτε δὲ τὸ τῆς θεολογίας χάρισμα ἑτοιμάζεταί τινι ὑπὸ τοῦ Θεοῦ, εἰμή τις ἑτοιμάσοι ἑαυτόν,*

μισήση τὶς ἐπιθυμίες του, τὸ ὁποῖο ἀκριβῶς εἶναι νὰ μισήση τὴν ψυχή του· ὥστε, καθὼς πλέον δὲν χαιρόμαστε ἀπὸ τὸ μοίρασμα τῶν χρημάτων, νὰ ἐξουδενώσωμε πάρα πολὺ τὴν ψυχή μας, σὰν νὰ μὴν ἐπιτελοῦμε κανένα ἀπὸ τὰ καλά. Διότι ἕως ὅτου ἔχωμε ἀφθονία χρημάτων, χαιρόμαστε ὑπερβαλλόντως (ἐὰν βέβαια ὑπάρχῃ σ᾽ ἐμᾶς ἡ [θεία] ἐνέργεια τοῦ ἀγαθοῦ), γιὰ τὴν διανομὴ αὐτῶν [τῶν χρημάτων], ἐπειδὴ πράγματι χαρούμενα ὑποτασσόμεθα στὴν θεία ἐντολὴ [τῆς ἐλεημοσύνης]· ὅταν ὅμως [τὰ] ἐξαντλήσωμε ὅλα, ἐπέρχεται μέσα μας ἄπειρος λύπη καὶ ταπείνωσι, διότι πράγματι δὲν διαπράττομε τίποτα ἄξιο τῆς ἀρετῆς· γιὰ τοῦτο λοιπὸν ἡ ψυχὴ ἐπιστρέφει στὸν ἑαυτό της μὲ πολλὴ ταπείνωσι· ὥστε ἐκεῖνο τὸ ὁποῖο ἀκριβῶς δὲν μπορεῖ νὰ ἀποκτᾷ καθημερινὰ διὰ τῆς ἐλεημοσύνης, αὐτὸ νὰ ἀποκτᾷ γιὰ τὸν ἑαυτό της, ἀπὸ τὴν ἐπίπονη εὐχὴ καὶ τὴν ὑπομονὴ καὶ τὴν ταπεινοφροσύνη. Διότι λέγει [ἡ Ἁγία Γραφή]: «ὁ πτωχὸς καὶ ὁ ἄπορος θὰ ὑμνήσουν τὸ Ὄνομά Σου Κύριε». Ἀλλὰ οὔτε [καὶ] τὸ χάρισμα τῆς θεολογίας ἑτοιμάζεται γιὰ κάποιον ἀπὸ τὸν Θεό, ἐὰν κανεὶς δὲν ἤθελε προετοιμάση τὸν ἑαυτόν του,

ὥστε πάντα τὰ προσόντα αὐτῷ ἀποκτήσασθαι ἕνεκεν τῆς δόξης τοῦ Εὐαγγελίου τοῦ Θεοῦ˙ ἵνα ἐν θεοφιλεῖ πενίᾳ τὸν πλοῦτον εὐαγγελίζηται τῆς βασιλείας τοῦ Θεοῦ˙ ὁ γὰρ εἰρηκώς, ἡτοίμασας ἐν τῇ χρηστότητί σου τῷ πτωχῷ, ὁ Θεός, καὶ ἐπαγαγών˙ Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ[74], *τοῦτο σαφῶς σημαίνει.*

ξζ΄. Πάντα μὲν τὰ χαρίσματα τοῦ Θεοῦ ἡμῶν καλὰ λίαν, καὶ πάσης ἀγαθότητος παρεκτικά. Οὐδὲν δὲ οὕτως ἡμῶν ἀναφλέγει, καὶ κινεῖ τὴν καρδίαν εἰς τὴν ἀγάπην τῆς αὐτοῦ ἀγαθότητος, ὡς ἡ θεολογία. Γέννημα γὰρ οὖσα αὕτη πρώϊμον τῆς τοῦ Θεοῦ ἀγαθότητος, πρῶτα πάντως καὶ δῶρα χαρίζεται τῇ ψυχῇ. Πρῶτον μὲν γὰρ παρασκευάζει ἡμᾶς πάσης τῆς τοῦ βίου χαίροντας καταφρονεῖν φιλίας, ὡς ἔχοντας ἀντὶ φθαρτῶν ἐπιθυμιῶν ἀνεκλάλητον πλοῦτον τὰ λόγια τοῦ Θεοῦ. Ἔπειτα δὲ τῷ πυρὶ τὸν νοῦ ἡμῶν

ὥστε ὅλα ὅσα ἀνήκουν σ᾽ αὐτόν, νὰ τὰ ἀπορρίψῃ ἕνεκα τῆς δόξης τοῦ Εὐαγελίου τοῦ Θεοῦ· γιὰ νὰ εὐαγγελίζεται τὸν πλοῦτο τῆς βασιλείας τοῦ Θεοῦ, μὲ θεοφιλῆ πτωχεία. Διότι ἐκεῖνος, ὁ ὁποῖος ἔχει πεῖ: «ἑτοίμασες μὲ τὴν ἀγαθότητά Σου γιὰ τὸν πτωχό, ὁ Θεός», ὁ ὁποῖος καὶ προσθέτει: «ὁ Κύριος θὰ δώσῃ λόγο σὲ ὅσους εὐαγγελίζονται μὲ δύναμι πολλή», αὐτὸ ἀκριβῶς ὑποδηλώνει.

67. Ὅλα τὰ χαρίσματα τοῦ Θεοῦ μας, εἶναι πολὺ καλὰ καὶ ἱκανὰ νὰ παρέξουν κάθε ἀγαθότητα. Κανένα ὅμως δὲν ἀναφλέγει καὶ δὲν κινεῖ τὴν καρδία στὴν ἀγάπη τῆς ἀγαθότητος Αὐτοῦ, ἔτσι ὅπως ἡ θεολογία. Διότι ἐπειδὴ αὐτὴ εἶναι πρώιμο γέννημα τῆς ἀγαθότητος τοῦ Θεοῦ, χαρίζει ὁπωσδήποτε στὴν ψυχὴ καὶ τὶς πρῶτες δωρεὲς ὅλων [τὶς ἀνώτερες]. Διότι, κατὰ πρῶτον μέν, μᾶς καταρτίζει νὰ καταφρονοῦμε κάθε ἀγάπη τοῦ κόσμου ἔχοντας χαρά, καθὼς ἔχομε, ἀντὶ γιὰ φθαρτὲς ἐπιθυμίες, ἀπερίγραπτο πλοῦτο τὰ λόγια τοῦ Θεοῦ. Ἔπειτα δέ, καταυγάζει τὸν νοῦ μας μὲ τὴν φω-

περιαυγάζει τῆς ἀλλοιώσεως. Ὅθεν αὐτὸν καὶ κοινωνικὸν τῶν λειτουργικῶν πνευμάτων[75] *ποιεῖ. Γνησίως οὖν οἱ εἰς ταύτην προετοιμασθέντες τὴν ἀρετὴν πορευθῶμεν, ἀγαπητοί· τὴν εὐπρεπῆ, τὴν πανθέωρον, τὴν πάσης ἀμεριμνίας πρόξενον, τὴν ἐν αὐγῇ φωτὸς ἀῤῥήτου τὸν νοῦν τρέφουσαν τοῖς λόγοις τοῦ Θεοῦ, τὴν τῷ Θεῷ Λόγῳ, ἵνα μὴ πολλὰ λέγω, τὴν λογικὴν ψυχὴν διὰ τῶν ἁγίων προφητῶν πρὸς κοινωνίαν ἁρμοσαμένην ἀχώριστον· ἵνα καὶ παρὰ ἀνθρώποις· ὢ τοῦ θαύματος· τοὺς θειώδεις*[η'] *φθόγγους ἡ νυμφαγωγὸς ἐναρμόσασα ἡ θεία, τρανῶς ᾄδῃ τὰς δυναστείας τοῦ Κυρίου*[76].

ξη'. Ὁ νοῦς ἡμῶν τὰ πολλά, περὶ μὲν τὴν προσευχὴν δυσανασχέτως ἔχει, διὰ τὸ στενὸν ἄγαν καὶ περιεσταλμένον τῆς εὐκτικῆς ἀρετῆς· εἰς δὲ τὴν θεολογίαν χαίρων ἑαυτὸν ἐπιδίδωσι, διὰ τὸ πλατύ, καὶ ἀπολελυμένον τῶν θείων θεωρημάτων. Ἵνα οὖν μὴ ὁδὸν αὐτῷ δῶμεν τοῦ πολλὰ

τιὰ τῆς ἀλλοιώσεως. Ἐκ τούτου δέ, τὸν καθιστᾶ [τὸν νοῦ] κοινωνὸ μὲ τὰ λειτουργικὰ πνεύματα [τοὺς ἀγγέλους]. Ἑπομένως νὰ βαδίσωμε γνήσια, ἀγαπητοί, [ἐμεῖς] οἱ ὁποῖοι προετοιμασθήκαμε γι᾽ αὐτὴν τὴν ἀρετὴ [δηλαδὴ τὴν θεολογία]· τὴν εὐπρεπῆ, ἡ ὁποία θεωρεῖ τὰ πάντα, τὴν πρόξενο τῆς ὁλοκληρωτικῆς ἀμεριμνίας, ἐκείνην ἡ ὁποία μέσα σὲ φέγγος ἀπὸ ἄρρητο φῶς τρέφει τὸν νοῦ μὲ τοὺς λόγους τοῦ Θεοῦ, ἐκείνην, γιὰ νὰ μὴν λέγω πολλά, ἡ ὁποία συνήρμοσε τὴν λογικὴ ψυχὴ μὲ τὸν Θεὸ Λόγο, διὰ τῶν [λόγων] τῶν Ἁγίων Προφητῶν σὲ κοινωνία ἀχώριστη· ὥστε - ὢ τοῦ θαύματος! - νὰ ὑμνῇ ἡ θεία νυμφαγωγός, [ἡ θεολογία] μεγαλοπρεπῶς τὶς δυνάμεις τοῦ Κυρίου, ἀφοῦ ἐνηρμόνισε τοὺς θεοειδεῖς φθόγγους καὶ στοὺς ἀνθρώπους, [ὅπως καὶ στοὺς ἀγγέλους].

68. Ὁ νοῦς μας, σὲ μεγάλο βαθμό, δυσανασχετεῖ μὲν ὡς πρὸς τὴν προσευχή, λόγῳ τοῦ μεγάλου περιορισμοῦ καὶ τῆς συγκεντρώσεως τῆς προσευχητικῆς ἀρετῆς· στὴν δὲ θεολογία, ἀφιερώνει τὸν ἑαυτό του μὲ χαρά, ἕνεκα τοῦ εὐρύχωρου καὶ ἐλεύθερου τῶν θείων θεωρημάτων. Γιὰ νὰ μὴν δώσωμε λοιπὸν σ᾽ αὐτὸν δίοδο γιὰ νὰ λέγη

λέγειν, ἢ καὶ ὑπὲρ τὸ μέτρον αὐτὸν πτεροῦσθαι, παραχωρῶμεν τῇ χαρᾷ, καὶ τῇ προσευχῇ τὰ πλεῖστα˙ καὶ τῇ ψαλμωδίᾳ, καὶ τῇ τῶν Γραφῶν ἀναγνώσει σχολάζωμεν˙ μήτε τῶν φιλολόγων ἀνδρῶν παρορῶντες τὰ θεωρήματα, ὧν ἡ πίστις διὰ τῶν λόγων γνωρίζεται· οὔτε γὰρ ἴδια, αὐτὸ τοῦτο ποιοῦντες, παρασκευάζομεν ῥήματα ἐπιμειγῆναι τοῖς λόγοις τῆς χάριτος, οὔτε μὴν ὑπὸ τῆς κενοδοξίας αὐτὸν ὑποσυρῆναι [recte: ὑποσυρθῆναι] διαφορηθέντα διὰ τῆς πολλῆς χαρᾶς καὶ τῆς πολυλογίας παραχωρήσομεν. Ἀλλὰ καὶ πάσης φαντασίας αὐτὸν ἐκτὸς ἐν τῷ καιρῷ τῆς θεωρίας φυλάξομεν, καὶ δακρυώδεις αὐτῷ σχεδὸν τὰς πάσας ἐκ τούτου ἐννοίας περιποιήσομεν. Ἀναπαυόμενος γὰρ ἐν τοῖς καιροῖς τῆς ἡσυχίας, καὶ καθηδυνόμενος ὑπὸ τοῦ τῆς εὐχῆς μάλιστα γλυκάσματος, οὐ μόνον τῶν προειρημένων αἰτιῶν ἐκτὸς γίνεται, ἀλλὰ καὶ πλέον ἀνανεοῦται εἰς τὸ ὀξέως, καὶ δίχα πόνου τοῖς θείοις ἐπι-

πολλὰ ἢ καὶ γιὰ νὰ πετᾷ [νὰ φυσιοῦται] αὐτὸς ὑπὲρ τὸ μέτρο, νὰ ἀφήνωμε τὴν χαρὰ τῶν πολλῶν λόγων, καὶ νὰ ἀσχολούμεθα περισσότερο μὲ τὴν προσευχὴ καὶ τὴν ψαλμωδία καὶ μὲ τὴν ἀνάγνωσι τῶν Γραφῶν· χωρὶς οὔτε νὰ καταφρονοῦμε τὶς γνῶμες τῶν ἀνθρώπων ποὺ ἀγαποῦν τὸν λόγο, τῶν ὁποίων ἡ πίστι ἀπὸ τοὺς [θεολογικοὺς] λόγους [μόνο] καθίσταται φανερή· οὔτε βέβαια, κάνοντας [καὶ ἐμεῖς] αὐτὸ τὸ ἴδιο, νὰ συνθέτωμε δικούς μας λόγους, γιὰ νὰ ἀναμειχθοῦν μὲ τοὺς λόγους τῆς Χάριτος, οὔτε βέβαια νὰ ἐπιτρέψωμε νὰ παρασυρθῇ αὐτὸς [ὁ νοῦς] ἀπὸ τὴν κενοδοξία, ἀφοῦ διασκορπισθῇ ἀπὸ τὴν πολλὴ χαρὰ καὶ τὰ πολλὰ λόγια [τὴν πολυρρημοσύνη]. Ἀλλὰ καὶ νὰ τὸν φυλάξωμε ἔξω ἀπὸ κάθε κενοδοξία κατὰ τὸν καιρὸ τῆς θεωρίας [ποὺ γίνεται ἐν καιρῷ προσευχῆς] καὶ νὰ ἐξασφαλίσωμε ἐξ αὐτοῦ [τοῦ περιορισμοῦ] σ᾽ αὐτὸν [στὸν νοῦ] σχεδὸν ὅλους τοὺς λογισμοὺς δακρυώδεις [κατανυκτικούς]. Διότι, ὅταν ἀναπαύεται στὸν καιρὸ τῆς ἡσυχίας καὶ καταγλυκαίνεται πάρα πολὺ ἀπὸ τὴν γλυκύτητα τῆς εὐχῆς, ὄχι μόνον ἐκφεύγει ἀπὸ τὶς ἁμαρτίες, ποὺ προηγουμένως ἔχουν εἰπωθῇ, ἀλλὰ καὶ περισσότερο ἀνανεώνεται, γιὰ νὰ ἐντρυφᾷ γρήγορα

βάλλειν θεωρήμασι, μετὰ τοῦ, καὶ εἰς τὴν θεωρίαν αὐτὸν τῆς διακρίσεως ἐν πολλῇ προκόπτειν ταπεινώσει. Πλὴν δεῖ εἰδέναι, ὅτι ἐστὶν εὐχὴ παντὸς πλάτους ἐπάνω· αὕτη δὲ ἐκείνων μόνον ὑπάρχει τῶν ἐν πάσῃ αἰσθήσει καὶ πληροφορίᾳ ἐμπεπλησμένων τῆς ἁγίας χάριτος.

ξθ΄. Ἡ χάρις τὴν ἀρχὴν ἐν αἰσθήσει πολλῇ τὴν ψυχὴν τῷ οἰκείῳ εἴωθε περιαυγάζειν φωτί. Προϊόντων δὲ τῶν ἀγώνων, ἀγνώστως τὰ πολλὰ ἐνεργεῖ τῇ θεολόγῳ ψυχῇ τὰ ἑαυτῆς μυστήρια. Ἵνα τότε μὲν ἡμᾶς χαίροντας εἰς τὸ ἴχνος ἐπιβάλῃ τῶν θείων θεωρημάτων, ὡς ἐξ ἀγνοίας εἰς γνῶσιν καλουμένους. Ἐν δὲ τῷ μέσῳ τῶν ἀγώνων, ἀκενόδοξον ἡμῶν τὴν γνῶσιν διαφυλάττῃ. Δεῖ οὖν λυπεῖσθαι μὲν ἡμᾶς συμμέτρως ὡς ἐγκαταλειφθέντας, ἵνα πλέον ταπεινωθῶμεν, καὶ ὑποταγῶμεν τῇ δόξῃ τοῦ Κυρίου, χαίρειν δὲ εὐκαίρως τῇ ἀγαθῇ ἐλπίδι πτερουμένους. Ὡς γὰρ ἡ πολλὴ λύπη εἰς ἀπελπισμὸν καὶ ἀπι-

καὶ χωρὶς κόπο στὰ θεῖα θεωρήματα καὶ ταυτοχρόνως, νὰ προχωρῇ αὐτὸς μὲ πολλὴ ταπείνωσι, στὴν θεωρία τῆς διακρίσεως. Ἀλλὰ πρέπει νὰ γνωρίζῃ, ὅτι ὑπάρχει εὐχὴ ὑπεράνω παντὸς εὔρους [ὅταν ὁ νοῦς ἐλευθερωθῇ ἀπὸ τὰ πάθη δὲν αἰσθάνεται τὴν στενότητα τῆς εὐχῆς, ἀλλὰ τὸν πλατυσμὸ καὶ τὴν ἄνεσι]. Αὐτὴ ὅμως [ἡ προσευχὴ] ἀνήκει μόνον σ᾽ ἐκείνους οἱ ὁποῖοι εἶναι πεπληρωμένοι μὲ κάθε αἴσθησι καὶ πληροφορία ἀπὸ τὴν Ἁγία Χάρι.

69. Ἡ Χάρις, στὴν ἀρχὴ τοῦ πνευματικοῦ ἀγῶνος, συνηθίζει νὰ καταυγάζῃ μὲ πολλὴ αἴσθησι καὶ πληροφορία τὴν ψυχὴ μὲ τὸ δικό Της φῶς. Καθὼς δὲ προχωροῦν οἱ ἀγῶνες, σὲ μεγάλο βαθμὸ ἐνεργεῖ [ἡ Χάρις] στὴν θεολόγο ψυχὴ μὲ ἄγνωστο τρόπο τὰ μυστήριά Της. [Ἐνεργεῖ δηλαδὴ ἡ Χάρις], γιὰ νὰ μᾶς εἰσαγάγῃ μὲν τότε στὸ μονοπάτι τῶν θείων θεωρημάτων, δίδοντάς μας χαρά, καθὼς καλούμεθα ἀπὸ τὴν ἄγνοια στὴν γνῶσι. Στὸ δὲ μέσο τῶν ἀγώνων [ἐνεργεῖ ἡ Χάρις], γιὰ νὰ διαφυλάττῃ τὴν γνῶσι μας ἀκενόδοξη. Πρέπει ἑπομένως ἐμεῖς νὰ λυπούμεθα ἀφ᾽ ἑνὸς μὲ μέτρο, ὡσὰν νὰ εἴμεθα [δῆθεν] ἐγκαταλελειμμένοι, γιὰ νὰ ταπεινωθοῦμε περισσότερο καὶ νὰ ὑποταχθοῦμε στὴν δόξα τοῦ Κυρίου, ἀφ᾽ ἑτέρου δὲ νὰ χαιρώμεθα στὸν ἁρμόδιο καιρό, ἀναπτερωμένοι μὲ τὴν ἀγαθὴ ἐλπίδα. Διότι, ὅπως ἡ πολλὴ λύπη φέρνει τὴν ψυχὴ στὴν

στίαν τὴν ψυχὴν περιΐστησι, οὕτω καὶ ἡ πολλὴ χαρὰ εἰς οἴησιν αὐτὴν προσκαλεῖται, ἐπὶ τῶν ἔτι δὲ νηπιαζόντων λέγω· φωτισμοῦ μὲν γὰρ καὶ ἐγκαταλείψεως τὸ μέσον, πεῖρα· λύπης δὲ καὶ χαρᾶς τὸ μέσον, ἐλπίς. Ὑπομένων γάρ, φησίν, ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι[77], *καὶ πάλιν· κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν μου ἐν τῇ καρδίᾳ μου αἱ παρακλήσεις σου εὔφραναν τὴν ψυχήν μου*[78].

ο'. Ὥς περ αἱ τῶν λουτρῶν συνεχῶς ἀνοιγόμεναι θύραι, τὴν ἔνδον θέρμην θᾶττον ὠθοῦνται πρὸς τὰ ἔξω, οὕτω καὶ ἡ ψυχή, ὅταν πολλὰ θέλῃ διαλέγεσθαι, κἂν πάντα καλὰ λέγῃ, τὴν ἑαυτῆς μνήμην διὰ τῆς φωνητικῆς πύλης διαφορεῖ. Ὅθεν λοιπὸν ὁ νοῦς στερίσκεται μὲν τῶν κυρίων[θ'] *ἐννοιῶν, αὐτὴν δὲ τὴν τῶν λόγων*[ι'] *συμπληγάδα ὀχληδόν πως τοῖς τυχοῦσι διαλέγεται· ἐπειδὴ οὔτε τὸ Ἅγιον, λοιπόν, ἔχει Πνεῦμα, εἰς ἀφάνταστον αὐτὴν συντηροῦν διάνοιαν. Φεύγει γὰρ ἀεὶ τὸ ἀγαθὸν τὴν πολυλογί-*

κατάστασι τῆς ἀπελπισίας καὶ τῆς ἀπιστίας, κατὰ τὸν ἴδιο τρόπο καὶ ἡ πολλὴ χαρά, τὴν προσκαλεῖ στὴν οἴησι [στὴν ἔπαρσι-ἀλαζονεία], ὁμιλῶ βέβαια ὡς πρὸς ἐκείνους οἱ ὁποῖοι ἀκόμα βρίσκονται σὲ νηπιακὴ πνευματικὴ ἡλικία. Διότι ἡ μεσότης μέν, μεταξὺ φωτισμοῦ καὶ ἐγκαταλείψεως, [εἶναι] ἡ ἐμπειρία· ἡ δὲ μεσότης μεταξὺ λύπης καὶ χαρᾶς, [εἶναι] ἡ ἐλπίδα. Ὑπομένοντας, λέγει [ἡ Ἁγία Γραφή], ὑπέμεινα τὸν Κύριο καὶ μὲ πρόσεξε, καὶ πάλι [λέγει]: σύμφωνα μὲ τὸ πλῆθος τῶν ὀδυνῶν μου μέσα στὴν καρδία μου, οἱ παρακλήσεις Σου γέμισαν μὲ εὐφροσύνη τὴν ψυχή μου.

70. Ὅπως ἀκριβῶς οἱ θύρες τῶν λουτρῶν, ὅταν ἀνοίγωνται συνεχῶς, ἀπομακρύνουν γρηγορώτερα πρὸς τὰ ἔξω τὴν ἐσωτερικὴ θερμότητα, κατὰ τὸν ἴδιο τρόπο καὶ ἡ ψυχή, ὅταν θέλῃ νὰ μιλᾷ ἄμετρα, ἀκόμη κι ἂν ὅλα τὰ λέγῃ καλά, διασκορπίζει μέσῳ τῆς φωνητικῆς πύλης [τοῦ στόματος] τὴν μνήμη [τοῦ Θεοῦ ποὺ ἔχει ἐντός] της. Γιὰ τοῦτο λοιπὸν ὁ νοῦς, ἀποστερεῖται ἀφ᾽ ἑνὸς τὰ σημαντικὰ [γιὰ τὴν σωτηρία του] νοήματα, ἀφ᾽ ἑτέρου δέ, σωρηδόν πως συνομιλεῖ μὲ ὅποιους τύχει αὐτὴν τὴν συμπληγάδα τῶν λόγων [δηλαδὴ τὰ πολλὰ λόγια ποὺ σὰν συμπληγάδες συμπιέζουν τὴν ψυχή]· ἐπειδὴ δὲν ἔχει οὔτε τὸ Ἅγιον Πνεῦμα πλέον, γιὰ νὰ διαφυλάττῃ αὐτὴ [τὴν ψυχὴ] σὲ ἀκενόδοξη κατάστασι, ὡς πρὸς τὴν διάνοια. Διότι πάντοτε τὸ ἀγαθὸ ἀποφεύγει τὴν πολυλο-

αν, ὡς ταραχῆς ὂν ἁπάσης καὶ φαντασίας ξένον. Καλὴ οὖν ἡ εὔκαιρος σιωπή, οὐδὲν ἕτερον οὖσα, ἢ μήτηρ ἐννοιῶν σοφωτάτων.

οα΄. Πολλὰ μὲν οὖν τῇ θεολόγῳ ψυχῇ τὴν ἀρχὴν διενοχλεῖν, αὐτὸς ἡμᾶς ὁ λόγος τῆς γνώσεως διδάσκει, πάθη. Πλεῖον δὲ πάντων ὁ θυμός, καὶ τὸ μῖσος. Τοῦτο δὲ πάσχει, οὐ τοσοῦτον διὰ τοὺς ἐνεργοῦντας ταῦτα δαίμονας, ὅσον διὰ τὴν οἰκείαν προκοπήν. Ἕως μὲν γὰρ ἡ ψυχὴ τῷ τοῦ κόσμου φρονήματι συναπάγηται, κἂν ὁπωσοῦν ἴδῃ τὸ δίκαιον παρά τινων καταπατούμενον, ἀκίνητος καὶ ἀτάραχος μένει. Τῶν γὰρ ἰδίων ἐπιθυμιῶν φροντίζουσα, εἰς τὸ δίκαιον οὐκ ἀφορᾷ τοῦ Θεοῦ. Ὅτε δὲ τῶν ἑαυτῆς ἐπάνω ἄρξηται γενέσθαι παθῶν[ια΄], διά τε τὴν τῶν παρόντων καταφρόνησιν καὶ τὴν ἀγάπην τοῦ Θεοῦ, οὔτε ἐν ἑαυτῷ [recte: ἑαυτῇ] τὸ δίκαιον, οὔτε ἐν ἑτέρῳ ἀθετούμενον ἰδεῖν φέρει, ἀλλὰ χολᾷ κατὰ τῶν κακούργων καὶ ταράττεται, ἕως ὅτου τοὺς ὑβριστὰς ἴδῃ

γία, ἐπειδὴ πράγματι εἶναι ξένο ἀπὸ κάθε ταραχὴ καὶ ὑπερηφάνια. Ἑπομένως, [εἶναι] καλὴ ἡ σιωπὴ ποὺ γίνεται στὴν κατάλληλη στιγμή, καθὼς δὲν εἶναι τίποτε ἄλλο παρὰ ἡ μητέρα τῶν πλέον σοφῶν νοημάτων.

71. Αὐτὸς λοιπὸν ὁ ἴδιος ὁ λόγος τῆς γνώσεως μᾶς διδάσκει μέν, ὅτι στὴν ἀρχὴ πολλὰ πάθη ἐνοχλοῦν ὑπερβολικὰ τὴν θεολόγο ψυχή. Περισσότερο ὅμως ἀπὸ ὅλα ὁ θυμὸς καὶ τὸ μῖσος. Παθαίνει δὲ αὐτό, ὄχι τόσο ἐξ αἰτίας τῶν δαιμόνων, οἱ ὁποῖοι ἐνεργοῦν αὐτὰ [τὰ πάθη], ὅσο ἐξ αἰτίας τῆς δικῆς της προκοπῆς. Διότι, ἕως ὅτου μὲν ἀποπλανᾶται ἡ ψυχὴ ἀπὸ τὸ φρόνημα τοῦ κόσμου, ἀκόμη κι ἂν δῇ ἀπὸ κάποιους νὰ καταπατῆται τὸ δίκαιο [τοῦ Θεοῦ] μὲ ὁποιοδήποτε τρόπο, μένει ἀκίνητη καὶ ἀτάραχη. Διότι, ἐπειδὴ φροντίζει γιὰ τὶς δικές της ἐπιθυμίες, δὲν ἀποσκοπεῖ στὸ δίκαιο τοῦ Θεοῦ. Ὅταν ὅμως ἀρχίσῃ νὰ γίνεται [ἡ ψυχὴ] ὑπεράνω τῶν παθῶν της, λόγῳ καὶ τῆς καταφρονήσεως τῶν παρόντων καὶ τῆς ἀγάπης τοῦ Θεοῦ, δὲν ὑποφέρει νὰ δῇ τὸ δίκαιο [τοῦ Θεοῦ] νὰ ἀθετῆται, οὔτε στὸν ἑαυτόν της οὔτε σὲ ἄλλον, ἀλλὰ ὀργίζεται ἐναντίον τῶν κακοποιῶν καὶ ταράσσεται, ἕως νὰ δῇ τοὺς ὑβριστὲς

τῆς δικαιοσύνης εὐσεβεῖ λογισμῷ, τῷ ταύτης ἀπολογουμένους ἀξιώματι. Διὰ τοῦτο οὖν τοὺς μὲν ἀδίκους μισεῖ, τοὺς δὲ δικαίους ὑπεραγαπᾷ. Ἀσυνάρπακτον γὰρ πάντως τὸ ὄμμα τῆς ψυχῆς γίνεται, ὅταν τὸ ἑαυτῆς παραπέτασμα, τὸ σῶμα λέγω, εἰς λεπτότητα πολλὴν διὰ τῆς ἐγκρατείας ἐξυφάνῃ. Πλὴν κρεῖττόν ἐστι πολὺ τοῦ μισεῖν τοὺς ἀδίκους, τὸ κλαίειν τὴν ἑαυτῶν ἀναισθησίαν. Εἰ γὰρ κἀκεῖνοι μίσους ὑπάρχουσιν ἄξιοι, ἀλλὰ τὴν φιλόθεον[ιβ'] *ψυχὴν ὁ λόγος οὐ θέλει ὑπὸ μίσους διοχλεῖσθαι. Ἐπειδή, μίσους ἐμπαρόντος τῇ ψυχῇ, οὐκ ἐνεργεῖ ἡ γνῶσις.*

οβ΄. Ὁ θεολόγος νοῦς ὑπ᾽ αὐτῶν τῶν λογίων τοῦ Θεοῦ καθηδυνόμενος τὴν ψυχὴν καὶ διαπυρούμενος, τοῖς τῆς ἀπαθείας προβάλλει [recte: προσβάλλει][γ'], *μέτροις ἐν εὐκαίροις, πλάτεσι. Τὰ λόγια γάρ, φησί, Κυρίου λόγια ἁγνά, ἀργύριον πεπυρωμένον δοκίμιον τῇ γῇ*[79]. *Ὁ δὲ γνωστικός, ἐκ τῆς κατὰ τὴν ἐνέργειαν πείρας βεβαι-*

τῆς [θείας] δικαιοσύνης νὰ ἀπολογοῦνται μὲ εὐσεβῆ λογισμό, ὅσον ἀφορᾶ τὴν ἀπαίτησί της [γιὰ θεία δικαιοσύνη]. Γι᾽ αὐτὸ ἑπομένως τοὺς μὲν ἀδίκους μισεῖ, τοὺς δὲ δικαίους ὑπεραγαπᾶ. Ὁ ὀφθαλμὸς βέβαια τῆς ψυχῆς παραμένει ἐντελῶς ἀσύλητος, ὅταν τὸ παραπέτασμά της, τὸ σῶμα [δηλαδὴ] λέγω, [τὸ] κατεργασθῇ διὰ τῆς ἐγκρατείας πολὺ λεπτό. Ἀλλὰ εἶναι πολὺ καλλίτερο, ἀπὸ τὸ νὰ μισῇ τοὺς ἀδίκους, τὸ νὰ κλαίῃ γιὰ τὴν ἀναισθησία τους. Διότι ἂν καὶ ἐκεῖνοι εἶναι ἄξιοι μίσους, ὅμως ὁ λόγος [τοῦ Θεοῦ] δὲν θέλει ἡ ψυχὴ ποὺ ἀγαπᾶ τὸν Θεὸ νὰ ἐνοχλῆται πολὺ ἀπὸ μῖσος. Ἐπειδή, ὅταν ὑπάρχῃ μῖσος μέσα στὴν ψυχή, δὲν ἐνεργεῖ ἡ [θεία] γνῶσι.

72. Ὁ θεολόγος νοῦς, ἐπειδὴ καταγλυκαίνεται στὴν ψυχὴ καὶ γίνεται διάπυρος ἀπὸ αὐτὰ τὰ ἴδια τὰ λόγια τοῦ Θεοῦ, πλησιάζει τὰ εὔρη τῆς ἀπαθείας, [ὅταν φθάσῃ] στὰ κατάλληλα μέτρα. Διότι τὰ λόγια Κυρίου, λέγει [ἡ Ἁγία Γραφή], λόγια ἁγνά, ἄργυρος πυρακτωμένος, ποὺ δοκιμάστηκε [ἡ καθαρότης του σὲ καμίνι] στὴ γῆ. Ὁ δὲ γνωστικὸς [νοῦς], ἐπειδὴ κατοχυρώνεται ἀπὸ τὴν ἐμπειρία τῆς κατ᾽ ἐνέργειαν Χάριτος, γίνεται

ούμενος, ἐπάνω τῶν παθῶν γίνεται. Γεύεται δὲ καὶ ὁ θεολόγος, εἴπερ ταπεινότερον ἑαυτὸν διάθοιτο, τῆς πείρας τῆς γνωστικῆς, καὶ ὁ γνωστικὸς εἴπερ ἄπταιστον τὸ διακριτικὸν τῆς ψυχῆς ἔχῃ μέρος, τῆς θεωρητικῆς πρὸς ὀλίγον ἀρετῆς. Τὰ γὰρ δύο οὐ συμβαίνει ἑκάστῳ ἐξ ὁλοκλήρου παραγίνεσθαι χαρίσματα˙ ἵνα, τῶν ἀμφοτέρων θαυμαζόντων εἰς ὃ ἕκαστος ἑκάστου περιττεύει, ἡ ταπεινοφροσύνη ἐν αὐτοῖς μετὰ ζήλου δικαιοσύνης πλεονάζῃ. Διὰ τοῦτο ὁ Ἀπόστολος λέγει˙ ᾧ μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ Πνεῦμα[80].

ογ΄. Ὅταν δὲ ἐν εὐθηνίᾳ ᾖ ἡ ψυχὴ τῶν φυσικῶν αὐτῆς καρπῶν, μεγαλοφωνότερον καὶ τὴν ψαλμῳδίαν ποιεῖται, καὶ φωνῇ μᾶλλον θέλει προσεύχεσθαι. Ὅτε δὲ ὑπὸ τοῦ Ἁγίου Πνεύματος ἐνεργεῖται, μετὰ πάσης ἀνέσεως, καὶ ἡδύτητος ψάλλει καὶ εὔχεται ἐν μόνῃ τῇ καρδίᾳ˙ ἕπεται δὲ ἐκείνῃ

ὑπεράνω τῶν παθῶν. Γεύεται ὅμως καὶ ὁ θεολόγος [νοῦς] τὴν ἐμπειρία τῆς [θείας] γνώσεως, ἂν πράγματι ἤθελε καταστήσῃ ἐσωτερικὰ τὸν ἑαυτό του ταπεινότερο· καὶ ὁ γνωστικὸς [νοῦς γεύεται] γιὰ λίγο τὴν θεωρητικὴ ἀρετή, ἂν πράγματι ἔχῃ τὸ διακριτικὸ μέρος τῆς ψυχῆς καθαρό. Διότι δὲν συμβαίνει νὰ βρίσκωνται σ᾽ ἕναν [ἄνθρωπο] τὰ δύο χαρίσματα ἐξ ὁλοκλήρου· γιὰ νὰ πλεονάζῃ ἡ ταπεινοφροσύνη σ᾽ αὐτοὺς μαζὶ μὲ τὸν ζῆλο γιὰ τὴν ἀρετή, ἐπειδὴ θαυμάζουν καὶ οἱ δύο ἐκεῖνο στὸ ὁποῖο ὁ καθένας ὑπερέχει τοῦ ἄλλου. Γι᾽ αὐτὸ ὁ Ἀπόστολος λέγει: «διότι σὲ ἄλλον μὲν δίδεται ἀπὸ τὸ [Ἅγιο] Πνεῦμα λόγος σοφίας, σὲ ἄλλον δὲ ἀπὸ τὸ ἴδιο Πνεῦμα λόγος γνώσεως».

73. Ὅταν δὲ εἶναι ἡ ψυχὴ σὲ ἀφθονία τῶν φυσικῶν της χαρισμάτων, [καὶ ὡς ἐκ τούτου βρίσκεται σὲ μία φυσικὴ εὐφορία], ἐκτελεῖ καὶ τὴν ψαλμωδία πιὸ μεγαλόφωνα καὶ θέλει μᾶλλον νὰ προσεύχεται μὲ τὴν φωνή. Ὅταν ὅμως δέχεται τὴν ἐνέργεια τοῦ Ἁγίου Πνεύματος, ψάλλει μὲ κάθε ἀνάπαυσι καὶ γλυκύτητα καὶ εὔχεται μόνον μέσα στὴν καρδία [της]· ἀκολουθεῖ δέ, σ᾽ ἐκείνη

μὲν τῇ διαθέσει χαρὰ πεφαντασμένη, ταύτῃ δὲ πνευματικὸν δάκρυον, καὶ μετὰ ταῦτα θυμηδία τις φιλήσυχος. Θερμὴ γὰρ ἡ μνήμη διὰ τὴν τῆς φωνῆς μένουσα συμμετρίαν, δακρυώδεις τινάς, καὶ ἠπίους ἐννοίας τὴν καρδίαν πάντως παρασκευάζει φέρειν. Ὅθεν ὄντως ἔστιν ἰδεῖν τὰ σπέρματα τῆς εὐχῆς μετὰ δακρύων ἐν τῇ γῇ τῆς καρδίας, διὰ τὴν ἐλπίδα τῆς τοῦ θερισμοῦ ἐνσπειρόμενα χαρᾶς[81]*· πλήν, ὅτε ὑπὸ πολλῆς δυσθυμίας βαρούμεθα, δεῖ ὀλίγον μείζονι τῇ φωνῇ ποιεῖσθαι ἡμᾶς τὴν ψαλμῳδίαν, τῇ τῆς ἐλπίδος χαρᾷ τοὺς φθόγγους τῆς ψυχῆς ἀνακρούοντας, ἄχρις οὗ τὸ νέφος ἐκεῖνο τὸ βαρὺ ὑπὸ τῶν ἀνέμων τοῦ μέλους διαλυθῇ.*

οδ΄. Ἡνίκα ἐν τῇ ἑαυτῆς ἐπιγνώσει ἡ ψυχὴ γένηται, φέρει καὶ ἐξ ἑαυτῆς θέρμην τινὰ καὶ θεοφιλῆ αἰδῶ. Μὴ συγχεομένη γὰρ ὑπὸ τῶν μεριμνῶν τοῦ βίου, ἔρωτά τινα ἀποτίκτει, ἐν τῇ εἰρήνῃ, συμμέτρως τὸν Θεὸν ζητοῦσα τῆς εἰρήνης. Ἀλλὰ ταύτης μὲν ταχέως δια-

μὲν [τὴν πρώτη] ἐσωτερικὴ κατάστασι, χαρὰ γεμάτη κενοδοξία, σ᾽ αὐτὴ δὲ [τὴν δεύτερη], πνευματικὸ δάκρυ καὶ κατόπιν κάποια εὐφροσύνη, ποὺ ἀγαπᾶ τὴν ἡσυχία. Διότι ἡ μνήμη [τοῦ Θεοῦ], καθὼς παραμένει θερμὴ λόγῳ τῆς συμμετρίας τῆς φωνῆς, ἑτοιμάζει δίχως ἄλλο τὴν καρδία νὰ φέρῃ κάποιους κατανυκτικοὺς καὶ ἤρεμους λογισμούς. Γι᾽ αὐτὸ ὄντως συμβαίνει, νὰ βλέπῃ [κανεὶς] συνήθως τὰ σπέρματα τῆς εὐχῆς νὰ σπείρωνται ἕνεκα τῆς ἐλπίδος τοῦ θερισμοῦ, μὲ δάκρυα χαρᾶς μέσα στὴ γῆ τῆς καρδίας. Ἀλλὰ ὅταν πιεζώμεθα ἀπὸ μεγάλη δυσθυμία, πρέπει ἐμεῖς λιγάκι νὰ ἐκτελοῦμε μὲ ἰσχυρότερη φωνὴ τὴν ψαλμωδία, ἀποδίδοντας μουσικὰ τοὺς φθόγγους τῆς ψυχῆς μὲ τὴν χαρὰ τῆς ἐλπίδος, μέχρις ὅτου τὸ βαρὺ ἐκεῖνο νέφος διαλυθῇ ἀπὸ τοὺς ἀνέμους τῆς μελωδίας.

74. Ὅταν ἡ ψυχὴ φθάνῃ συνήθως στὴν ἐπίγνωσι τοῦ ἑαυτοῦ της, ἀναδίδει καὶ ἀπὸ τὴν φύσι της κάποια θερμότητα καὶ θεοφιλῆ συστολή. Διότι, ἀφοῦ δὲν συγχέεται ἀπὸ τὶς μέριμνες τοῦ βίου, γεννᾶ μέσα στὴν εἰρήνη κάποιον [θεῖο] ἔρωτα, γιὰ νὰ ἀποζητήσῃ ἀνάλογα τὸν Θεὸ τῆς εἰρήνης. Ἀλλὰ γρήγορα διασκορ-

φορεῖται τῆς ἐνθυμήσεως, ἢ ὑπὸ τῶν αἰσθήσεων προδιδομένης τῆς μνήμης, ἢ καὶ ἀναλισκούσης τῆς φύσεως θᾶττον τὸ οἰκεῖον, διὰ πενίαν, καλόν. Ὅθεν οἱ τῶν Ἑλλήνων σοφοί, οὗπερ διὰ τῆς ἐγκρατείας ἐπιτυγχάνειν ἐνόμιζον, τοῦτο οὐκ εἶχον ὡς ἔδει, διὰ τὸ μὴ ἐνεργεῖσθαι τὸν νοῦν αὐτῶν ὑπὸ τῆς ἀενάου καὶ πάντα ἀληθινῆς σοφίας. Ἡ δὲ ἐκ τοῦ Παναγίου Πνεύματος φερομένη θέρμη τῇ καρδίᾳ πρῶτον μὲν εἰρηνική ἐστιν ὅλη, καὶ ἀνένδοτος, καὶ ὅλα τὰ μέρη τῆς ψυχῆς εἰς τὸν τοῦ Θεοῦ προσκαλουμένη πόθον, καὶ οὔτε ἔξω τῆς καρδίας ῥιπιζομένη, δι᾽ ἑαυτῆς δὲ μᾶλλον ὅλον τὸν ἄνθρωπον εἰς ἀγάπην τινὰ ἄπειρον κατευφραίνουσα, καὶ χαράν. Δεῖ μέντοι ἐπιγνόντας ἐκείνην, εἰς ταύτην καταφθάσαι· ὑγιαινούσης μὲν γάρ πως τῇ ἐγκρατείᾳ τῆς φύσεως, ὑπάρχει γνώρισμα ἡ φυσικὴ ἀγάπη· ἀχθῆναι δὲ τὸν νοῦν εἰς ἀπάθειαν, ὡς ἡ πνευματικὴ ἀγάπη, οὐ δύναται.

πίζεται ἀπὸ τὴν σκέψι [τοῦ θείου ἔρωτος], ἢ διότι προδίδεται ἡ μνήμη [τοῦ Θεοῦ] ἀπὸ τὶς αἰσθήσεις, ἢ ἡ φύσι δαπανᾶ γρηγορώτερα λόγῳ τῆς πτωχείας [της] τὸ δικό της καλὸ [ἀδυνατίζει αὐτὸ τὸ καλὸ τῆς θείας ἀγάπης, διότι ἀκόμα δὲν πλουτίζεται ἀπὸ τὸ Ἅγιον Πνεῦμα]. Γιὰ τοῦτο οἱ σοφοὶ τῶν Ἑλλήνων, ἐκεῖνο τὸ ὁποῖο ἀκριβῶς ἐνόμιζαν ὅτι ἐπιτυγχάνουν διὰ τῆς ἐγκρατείας, αὐτὸ δὲν τὸ κατεῖχαν ὅπως ἔπρεπε, ἐξ αἰτίας τοῦ ὅτι ὁ νοῦς δὲν δεχόταν τὴν [θεία] ἐνέργεια ἀπὸ τὴν αἰώνια καὶ πάντοτε ἀληθινὴ Σοφία. Ἡ δὲ θέρμη, ἡ ὁποία ἐπιπίπτει στὴν καρδία ἀπὸ τὸ Πανάγιο Πνεῦμα, κατ᾽ ἀρχὰς εἶναι ὅλη εἰρηνικὴ καὶ σταθερὴ καὶ προσκαλεῖ ὅλα τὰ μέρη τῆς ψυχῆς στὸν πόθο τοῦ Θεοῦ, καὶ δὲν ἀνεμίζει ἔξω ἀπὸ τὴν καρδία, ἀλλὰ μᾶλλον διὰ μέσου αὐτῆς τῆς ἰδίας [δηλαδὴ παραμένουσα ἐντός της], κατευφραίνει μὲ κάποια ἄπειρη ἀγάπη καὶ χαρά, ὁλόκληρο τὸν ἄνθρωπο. Ἀλλὰ ὅμως πρέπει, ἀφοῦ ἀποκτήσωμε ἐπίγνωσι ἐκείνης [τῆς φυσικῆς θέρμης], νὰ καταφθάσωμε σ᾽ αὐτὴν [στὴν θέρμη τοῦ Παναγίου Πνεύματος]· διότι, ὅταν μὲν ὑγιαίνῃ κάπως ἡ φύσι μὲ τὴν ἐγκράτεια, ὑπάρχει ὡς γνώρισμα ἡ φυσικὴ ἀγάπη. Δὲν δύναται ὅμως [αὐτὴ ἡ φυσικὴ ἀγάπη], ὅπως ἡ πνευματικὴ ἀγάπη, νὰ ὁδηγήσῃ τὸν νοῦ στὴν ἀπάθεια.

οε΄. Ὥς περ ὁ ἀὴρ οὗτος ὁ περὶ ἡμᾶς, ἐμπνέοντος μὲν τοῦ Βοῤῥᾶ τῇ κτίσει, καθαρὸς διαμένει διὰ τὴν τοῦ ἀνέμου λεπτήν τινα καὶ αἰθριοποιὸν φύσιν· τοῦ δὲ Νότου πνέοντος, ὅλος ὥς περ δασύνεται, τῆς τοῦ ἀνέμου τούτου ἀχλυοποιοῦ φύσεως, λόγῳ τινὸς συγγενείας ἐκ τῶν ἑαυτοῦ μερῶν τὰς νεφέλας κατὰ πάσης ἐπιφέροντος τῆς οἰκουμένης· οὕτω καὶ ἡ ψυχή· ὅτε μὲν ὑπὸ τῆς τοῦ ἀληθινοῦ καὶ ἁγίου Πνεύματος ἐπιπνοίας ἐνεργεῖται, ἐκτὸς τῆς δαιμονικῆς ὅλη ἀχλύος εὑρίσκεται. Ὅτε δὲ ὑπὸ τοῦ πνεύματος σφοδρῶς τῆς πλάνης ἐμπνέεται, ὑπὸ τῶν νεφελῶν ὅλη τῆς ἁμαρτίας σκεπάζεται. Ἐχρῆν οὖν ἡμᾶς ἀεὶ τὴν πρόθεσιν ἐκ πάσης τῆς ἰσχύος πρὸς τὴν καθαρτικὴν καὶ ζωοποιὸν αὔραν ἐπιστρέφειν τοῦ Ἁγίου Πνεύματος, τουτέστι πρὸς ὃ εἶδεν ἀπὸ Βοῤῥᾶ πνεῦμα ἐρχόμενον ἐν φωτὶ γνώσεως ὁ προφήτης Ἰεζεκιήλ[82]· ἵνα αἴθριον ἡμῶν ἀεὶ τῆς ψυχῆς τὸ θεωρητικὸν μάλιστα διαμένῃ μέρος, πρὸς

75. Ὅπως ἀκριβῶς αὐτὴ ἡ ἀτμόσφαιρα γύρω μας, ὅταν στὴν κτίσι πνέῃ ὁ Βοριᾶς, παραμένει καθαρὴ ἐξ αἰτίας κάποιας λεπτῆς καὶ αἰθρίας φύσεως τοῦ ἀνέμου· ὅταν δὲ πνέῃ Νοτιᾶς, ὅλη [ἡ ἀτμόσφαιρα] γίνεται τρόπον τινὰ πυκνὴ ἕνεκα τῆς ὁμιχλώδους φύσεως αὐτοῦ τοῦ ἀνέμου, ἐπειδὴ συγκεντρώνει ἐπάνω σὲ ὅλη τὴν οἰκουμένη τὰ σύννεφα ἀπὸ τὰ δικά του στοιχεῖα, λόγῳ κάποιας σχέσεως πρὸς αὐτὰ [τὰ σύννεφα]· κατὰ τὸν ἴδιο τρόπο καὶ ἡ ψυχή, ὅταν μὲν δέχεται τὴν [θεία] ἐνέργεια ἀπὸ τὴν πνοὴ τοῦ ἀληθινοῦ καὶ Ἁγίου Πνεύματος, βρίσκεται ὁλόκληρη ἔξω ἀπὸ τὴν δαιμονικὴ ὁμίχλη. Ὅταν ὅμως σφοδρῶς ἐμπνέεται ἀπὸ τὸ πνεῦμα τῆς πλάνης, ὁλόκληρη σκεπάζεται ἀπὸ τὰ σύννεφα τῆς ἁμαρτίας. Εἶναι ἀνάγκη ἑπομένως, ἐμεῖς πάντοτε μὲ ὅλη μας τὴν δύναμι νὰ στρέφωμε τὴν πρόθεσί [μας] πρὸς τὴν καθαρτικὴ καὶ ζωοποιὸ αὔρα τοῦ Ἁγίου Πνεύματος, δηλαδὴ πρὸς ἐκεῖνο τὸ πνεῦμα, τὸ ὁποῖο εἶδε νὰ ἔρχεται ἀπὸ τὸν Βορρᾶ μέσα σὲ φῶς γνώσεως, ὁ προφήτης Ἰεζεκιήλ· γιὰ νὰ παραμένῃ μάλιστα πάντοτε ἀνέφελο τὸ θεωρητικὸ μέρος τῆς ψυχῆς [μας], ὥστε νὰ κινούμεθα ἐμεῖς

τὸ ἀπλανῶς ἡμᾶς τοῖς θείοις ἐπιβάλλειν θεωρήμασιν, ἐν ἀέρι φωτός, τὰ τοῦ φωτὸς ὁρῶντας. Τοῦτο γάρ ἐστι φῶς ἀληθινῆς γνώσεως.

οϛ΄. Τινὲς ὑπενόησαν τὴν χάριν ἅμα καὶ τὴν ἁμαρτίαν, τουτέστι τὸ πνεῦμα τῆς ἀληθείας, καὶ τὸ πνεῦμα τῆς πλάνης[83]*, ἐπὶ τῶν βαπτιζομένων ἐγκρύπτεσθαι εἰς τὸν νοῦν. Ὅθεν φασί, τὸ μὲν ἓν πρόσωπον εἰς τὰ καλὰ παρακαλεῖ τὸν νοῦν, τὸ δὲ ἕτερον εὐθὺς πρὸς τὰ ἐναντία. Ἐγὼ δὲ ἐκ τῶν θείων Γραφῶν καὶ ἐξ αὐτῆς δὲ τοῦ νοῦ τῆς αἰσθήσεως κατείληφα, ὅτι πρὸ μὲν τοῦ ἁγίου βαπτίσματος, ἔξωθεν ἡ χάρις πρὸς τὰ καλὰ προτρέπεται τὴν ψυχήν, ὁ δὲ σατανᾶς ἐν τοῖς αὐτῆς ἐμφωλεύει βάθεσιν, ὅλας τὰς τοῦ νοῦ ἀποφράττειν δεξιὰς πειρώμενος διεξόδους. Ἀπὸ δὲ αὐτῆς τῆς ὥρας ἐν ᾗπερ ἀναγεννώμεθα, ἔξωθεν μὲν ὁ δαίμων γίνεται, ἔσωθεν δὲ ἡ χάρις. Ὅθεν εὑρίσκομεν, ὅτι ὡς πάλαι ἐκυρίευεν ἡ πλάνη τῆς ψυχῆς, οὕτω, μετὰ τὸ βάπτισμα, αὐτῆς κυριεύει ἡ ἀλήθεια. Ἐνεργεῖ*

δίχως πλάνη στὰ θεῖα θεωρήματα, καθὼς βλέπομε μέσα στὸν ἀέρα τοῦ φωτός, τὰ τοῦ φωτός. Διότι αὐτὸ εἶναι τὸ φῶς τῆς ἀληθινῆς γνώσεως.

76. Κάποιοι νόμισαν, σχετικὰ μ᾽ ἐκείνους οἱ ὁποῖοι λαμβάνουν τὸ Ἅγιο Βάπτισμα, ὅτι κρύβεται μέσα στὸν νοῦ [τους], μαζὶ ἡ Χάρις καὶ ἡ ἁμαρτία, δηλαδὴ τὸ Πνεῦμα τῆς ἀληθείας καὶ τὸ πνεῦμα τῆς πλάνης. Γιὰ τοῦτο λέγουν: τὸ μὲν ἕνα πρόσωπο παρακινεῖ τὸν νοῦ στὰ καλά, τὸ δὲ ἄλλο ἀμέσως στὰ ἀντίθετα. Ἐγὼ ὅμως ἀπὸ τὰ Ἱερὰ Κείμενα, ἀλλὰ καὶ ἀπ᾽ αὐτὴν τὴν ἴδια τὴν αἴσθησι τοῦ νοός [μου], ἔχω καταλάβει, ὅτι πρὶν μὲν ἀπὸ τὸ Ἅγιον Βάπτισμα, ἡ Χάρις προτρέπει ἀπ᾽ ἔξω τὴν ψυχὴ πρὸς τὰ καλά, ὁ δὲ σατανᾶς ἐμφωλεύει μέσα στὰ βάθη της, προσπαθώντας νὰ ἀποκλείῃ ὅλες τὶς καλὲς διόδους τοῦ νοός. Ἀπὸ τὴν ὥρα ὅμως κατὰ τὴν ὁποία ἀκριβῶς ἀναγεννώμεθα, ὁ μὲν δαίμονας μεταβαίνει ἔξω, ἡ δὲ Χάρις ἐντός. Γιὰ τοῦτο ἀνακαλύπτομε, ὅτι, ὅπως παλιὰ ἐξουσίαζε ἡ πλάνη τὴν ψυχή, κατὰ τὸν ἴδιο τρόπο μετὰ τὸ βάπτισμα, ἐξουσιάζει αὐτὴν ἡ ἀλήθεια. Ἀλλὰ ὅμως

μέντοι καὶ ὁ σατανᾶς μετὰ τοῦτο τῇ ψυχῇ καθάπερ τὸ πρίν, καὶ χείρω δὲ τὰ πολλά, οὐχ ὡς συμπαρὼν δὲ τῇ χάριτι, μὴ γένοιτο, ἀλλὰ καπνίζων ὥς περ τὸν νοῦν διὰ τῆς ὑγρότητος τοῦ σώματος τὴν ἡδύτητα τῶν ἀλόγων ἡδονῶν. Παραχωρήσει δὲ τοῦ Θεοῦ τοῦτο γίνεται, ἵνα διὰ τῆς ζάλης, καὶ τοῦ πυρός, καὶ τῆς δοκιμασίας διερχόμενος ὁ ἄνθρωπος, οὕτως ἐν ἀπολαύσει (εἰ θέλει) γένηται τοῦ ἀγαθοῦ. Διήλθομεν γάρ, φησί, διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν[84].

οζ΄. Ἡ χάρις, ὡς ἔφην, ἀπ᾽ αὐτῆς τῆς ῥοπῆς, ἐν ᾗ βαπτιζόμεθα, ἐν αὐτῷ τῷ βάθει τοῦ νοῦ ἐγκρύπτεται, αὐτῇ τῇ αἰσθήσει αὐτοῦ, κρύπτουσα τὴν ἑαυτῆς παρουσίαν. Ἐπειδὰν δὲ ἄρξηταί τις ἐκ πάσης προθέσεως ἐρᾶν τοῦ Θεοῦ, τότε ἀρρήτῳ τινὶ λόγῳ διὰ τῆς τοῦ νοῦ αἰσθήσεως προσομιλεῖ τῇ ψυχῇ, μέρος τι τῶν ἑαυτῆς ἀγαθῶν. Ὅθεν εἰς ἐπιθυμίαν λοιπὸν ὁ τοῦτο ὅλως θέλων ἀσφαλῶς κρατεῖν τὸ

ἐνεργεῖ καὶ ὁ σατανᾶς μετὰ ἀπὸ αὐτὸ στὴν ψυχή, ὅπως ἀκριβῶς καὶ πρίν, ἀλλὰ καὶ πολὺ χειρότερα, ὄχι σὰν νὰ συνυπάρχῃ βέβαια μὲ τὴν Χάρι, – μὴ γένοιτο – ἀλλὰ σκοτίζοντας τὸν νοῦ τρόπον τινά, μὲ τὴν γλυκύτητα τῶν ἀλόγων ἡδονῶν, διὰ τῆς ὑγρότητος τοῦ σώματος. Αὐτὸ δὲ γίνεται μὲ τὴν παραχώρησι τοῦ Θεοῦ, ὥστε ἀφοῦ διέλθῃ ὁ ἄνθρωπος διὰ μέσου τῆς τρικυμίας καὶ τῆς φωτιᾶς καὶ τῆς δοκιμασίας, κατ᾽ αὐτὸν τὸν τρόπο (ἐὰν θέλῃ), νὰ ἀπολαύσῃ τὸ ἀγαθό. Διότι, λέγει [ἡ Ἁγία Γραφή]: «Περάσαμε μέσα ἀπὸ φωτιὰ καὶ νερὸ καὶ μᾶς ἔβγαλες σὲ τόπο ἀναψυχῆς».

77. Ἡ Χάρις, ὅπως εἶπα, ἀπ᾽ αὐτὴν τὴν κρίσιμη στιγμή, κατὰ τὴν ὁποία βαπτιζόμεθα, κρύβεται μέσα σ᾽ αὐτὸ τὸ ἴδιο τὸ βάθος τοῦ νοός, κρύβοντας μὲ τὴν ἴδια τὴν αἴσθησί του τὴν δική της παρουσία. Ὁπόταν δὲ ἀρχίσῃ κανεὶς νὰ ἀγαπᾷ τὸν Θεὸ μὲ ὅλη του τὴν διάθεσι, τότε [ἡ Χάρις] μὲ κάποιο ἄφατο τρόπο διὰ μέσου τῆς αἰσθήσεως τοῦ νοός, συνάπτει στὴν ψυχὴ κάποιο μέρος τῶν δικῶν της ἀγαθῶν. Γιὰ τοῦτο λοιπόν, ἐκεῖνος ὁ ὁποῖος θέλει νὰ κατέχῃ μὲ ἀσφάλεια τὸ ἀπόκτημα φθάνει

εὕρημα ἔρχεται, τοῦ πάντα τὰ παρόντα μετὰ πολλῆς χαρᾶς ἀποκτήσασθαι ἀγαθά, ἵνα τὸν ἀγρὸν ὄντως κτήσηται ἐν ᾧπερ εὗρε τὸν θησαυρὸν κεκρυμμένον τῆς ζωῆς[85]*. Ὅταν γὰρ πάντα τις ἀποκτήσηται τὸν βιωτικὸν πλοῦτον, τότε εὑρίσκει τὸν τόπον, ἐν ᾧ ἡ χάρις κατακέκρυπται τοῦ Θεοῦ. Κατὰ γὰρ τὴν προκοπὴν τῆς ψυχῆς, καὶ τὸ θεῖον δῶρον τὴν ἑαυτοῦ ἐν τῷ νοῒ ἐμφανίζει χρηστότητα. Πλέον μέντοι τότε ὑπὸ τῶν δαιμόνων τὴν ψυχὴν ὀχλεῖσθαι παραχωρεῖ ὁ Κύριος˙ ἵνα καὶ τὴν διάκρισιν αὐτὴν δεόντως ἐκδιδάσκῃ καλοῦ τε καὶ κακοῦ, καὶ ταπεινοτέραν αὐτὴν ἀπεργάζηται, διὰ τό, πολλὴν αὐτῇ, ὅτε καθαίρεται, αἰσχύνην ἐκ τῆς τῶν δαιμονικῶν λογισμῶν ἐγγίνεσθαι αἰσχρότητος.*

οη΄. Κατ᾽ εἰκόνα ἐσμὲν τοῦ Θεοῦ[86]*, τῷ νοερῷ τῆς ψυχῆς κινήματι˙ τὸ γὰρ σῶμα, ὥσπερ οἶκος αὐτῆς ἐστιν. Ἐπειδὴ οὖν ἐκ τῆς παραβάσεως τοῦ Ἀδάμ, οὐ μόνον αἱ γραμμαὶ τοῦ χαρακτῆρος τῆς ψυχῆς ἐρρυπώθησαν, ἀλλὰ*

στὴν ἐπιθυμία τοῦ νὰ ἀπολέση μὲ πολλὴ χαρὰ ὅλα τὰ παρόντα ἀγαθά, γιὰ νὰ ἀποκτήση πράγματι τὸν ἀγρό, μέσα ἀκριβῶς στὸν ὁποῖο βρῆκε κρυμμένο τὸν θησαυρὸ τῆς ζωῆς. Διότι, ὅταν κάποιος ἀπολέσῃ ὁλόκληρο τὸν βιοτικό [του] πλοῦτο, τότε βρίσκει τὸν τόπο, μέσα στὸν ὁποῖο ἔχει κρυφθῆ ἡ Χάρις τοῦ Θεοῦ. Διότι σύμφωνα μὲ τὴν προκοπὴ τῆς ψυχῆς, καὶ τὸ θεῖο δῶρο ἐμφανίζει μέσα στὸν νοῦ, τὴν δική του ἀγαθότητα. Ἀλλὰ ὅμως, τότε ὁ Κύριος παραχωρεῖ περισσότερο νὰ ἐνοχλῆται ἡ ψυχὴ ἀπὸ τοὺς δαίμονες· γιὰ νὰ τὴν διδάσκῃ καταλλήλως, τὴν διάκρισι καὶ τοῦ καλοῦ καὶ τοῦ κακοῦ, καὶ νὰ τὴν καθιστᾷ ταπεινότερη ἐξ αἰτίας τοῦ ὅτι γεννᾶται σ᾽ αὐτὴν πολλὴ ντροπὴ ἕνεκα τῶν δαιμονικῶν λογισμῶν τῆς αἰσχρότητος, ὅταν προχωρῇ στὴν κάθαρσι.

78. Εἴμαστε κατ᾽ εἰκόνα τοῦ Θεοῦ, ὡς πρὸς τὴν νοερὰ κίνησι τῆς ψυχῆς· τὸ σῶμα βέβαια εἶναι, ὅπως ἀκριβῶς τὸ σπίτι της. Ἐπειδὴ ἑπομένως ἐξ αἰτίας τῆς παραβάσεως τοῦ Ἀδάμ, ὄχι μόνο οἱ γραμμὲς τοῦ χαρακτῆρος τῆς ψυχῆς ρυπάνθηκαν, ἀλλὰ

καὶ τὸ σῶμα ἡμῶν τῇ φθορᾷ ὑπέπεσε· διὰ τοῦτο ὁ ἅγιος τοῦ Θεοῦ Λόγος ἐσαρκώθη, ὕδωρ ἡμῖν σωτηρίου διὰ τοῦ οἰκείου βαπτίσματος ὡς Θεὸς εἰς ἀναγέννησιν χαρισάμενος. Ἀναγεννώμεθα γὰρ διὰ τοῦ ὕδατος, ἐν τῇ ἐνεργείᾳ τοῦ Ἁγίου καὶ Ζωοποιοῦ Πνεύματος· ὅθεν εὐθέως καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα, εἴπερ ἐξ ὁλοκλήρου διαθέσεως προσερχώμεθα τῷ Θεῷ, καθαριζόμεθα· τοῦ μὲν Ἁγίου Πνεύματος εἰς ἡμᾶς κατασκηνοῦντος, τῆς δ' ἁμαρτίας ὑπ' αὐτοῦ φυγαδευομένης. Οὐ γάρ ἐστι δυνατὸν ἑνὸς ὄντος, καὶ ἁπλοῦ τοῦ χαρακτῆρος τῆς ψυχῆς, δύο πρόσωπα, ὡς ἐνόμισάν τινες, εἰς αὐτὴν ἐμπαρεῖναι. Τῆς γὰρ θείας χάριτος προσαρμοζούσης ἑαυτὴν διὰ τοῦ ἁγίου βαπτίσματος ἐν στοργῇ τινι ἀπείρῳ ταῖς γραμμαῖς τοῦ κατ' εἰκόνα ἐπὶ ἀῤῥαβῶνι τῆς ὁμοιώσεως, ποῦ δύναται χωρηθῆναι τὸ τοῦ πονηροῦ πρόσωπον; μηδεμιᾶς μάλιστα οὔσης κοινωνίας τοῦ φωτὸς πρὸς τὸ σκότος[87]; Ἐκβάλλεσθαι οὖν πιστεύομεν ἐκ τῶν ταμιείων

καὶ τὸ σῶμα μας ὑπέπεσε στὴν φθορά· γι' αὐτὸ ὁ Ἅγιος τοῦ Θεοῦ Λόγος ἐσαρκώθη, ἀφοῦ [μᾶς] χάρισε, ὡς Θεὸς διὰ τοῦ δικοῦ Του Βαπτίσματος, τὸ ὕδωρ τῆς σωτηρίας [τὸ μυστήριο τοῦ Βαπτίσματος] γιὰ τὴν ἀναγέννησί [μας]. Διότι ἀναγεννώμεθα, διὰ τοῦ ὕδατος, μὲ τὴν [θεία] ἐνέργεια τοῦ Ἁγίου καὶ Ζωοποιοῦ Πνεύματος· γιὰ τοῦτο καὶ ἀμέσως καθαιρόμεθα καὶ κατὰ τὴν ψυχὴ καὶ κατὰ τὸ σῶμα, ἐὰν πράγματι προσερχώμεθα στὸν Θεὸ μὲ ὁλόκληρη τὴν [ἐσωτερική μας] διάθεσι· μὲ τὸ νὰ κατασκηνώνῃ ἀφ' ἑνὸς σὲ μᾶς τὸ Ἅγιο Πνεῦμα, ἀφ' ἑτέρου δὲ ὑπ' Αὐτοῦ νὰ ἐξορίζεται ἡ ἁμαρτία. Διότι δὲν εἶναι δυνατόν, ἐνῶ εἶναι ἕνας καὶ ἁπλός, ὁ χαρακτήρας τῆς ψυχῆς, νὰ παρίστανται μέσα σ' αὐτὴν δύο πρόσωπα, ὅπως ἐνόμισαν κάποιοι. Διότι, ποῦ μπορεῖ νὰ βρῇ χῶρο τὸ πρόσωπο τοῦ πονηροῦ, ὅταν ἡ θεία Χάρις συναρμόζῃ τὸν ἑαυτόν Της διὰ τοῦ Ἁγίου Βαπτίσματος, μὲ κάποια ἄπειρη στοργὴ στὶς γραμμὲς τοῦ κατ' εἰκόνα, γιὰ τὸν ἀρραβῶνα τῆς ὁμοιώσεως; Ἐνῶ μάλιστα καμιὰ δὲν ὑπάρχει κοινωνία τοῦ φωτὸς μὲ τὸ σκοτάδι; Ἐμεῖς λοιπόν, οἱ ἀθλητὲς τῶν ἱερῶν ἀγώνων πιστεύομε,

τοῦ νοῦ διὰ τοῦ λουτροῦ τῆς ἀφθαρσίας, ἡμεῖς οἱ τῶν ἱερῶν ἀγώνων δρομεῖς, τὸν πολύμορφον ὄφιν· καὶ μὴ θαυμάζωμεν, τίνος ἕνεκεν μετὰ τὸ βάπτισμα πάλιν φαῦλα μετὰ τῶν καλῶν λογιζόμεθα; Τὸ γὰρ λουτρὸν τῆς ἁγιότητος, τὸν μὲν ἐκ τῆς ἁμαρτίας περιαιρεῖ ἡμῶν ῥύπον, τὸ δὲ διπλοῦν τῆς θελήσεως ἡμῶν οὐκ ἀλλάσσει νῦν, οὔτε μὴν τοὺς δαίμονας πολεμεῖν ἡμῖν, ἢ ἀπάτης προσλαλεῖν ῥήματα κωλύει. Ἵνα ἅπερ οὐκ ἐφυλαξάμεθα, φυσικοὶ ὑπάρχοντες[88]*, τὰ ὅπλα τῆς δικαιοσύνης λαβόντες*[89]*, ἐν τῇ δυνάμει τηρήσωμεν τοῦ Θεοῦ.*

οθ΄. Ὁ σατανᾶς, ὡς εἶπον, διὰ μὲν τοῦ ἁγίου βαπτίσματος ἐκβάλλεται ἀπὸ τῆς ψυχῆς· συγχωρεῖται δὲ αὐτῷ, ἕνεκεν τῶν προειρημένων αἰτιῶν, ἐνεργεῖν αὐτῇ διὰ τοῦ σώματος. Ἡ μὲν γὰρ χάρις τοῦ Θεοῦ, αὐτὸ τὸ βάθος τῆς ψυχῆς τουτέστιν εἰς τὸν νοῦν κατασκηνοῖ. Πᾶσα γάρ, φησίν, ἡ δόξα τῆς θυ-

ὅτι διὰ τοῦ λουτροῦ τῆς ἀφθαρσίας [τοῦ Ἁγίου Βαπτίσματος], διώχνεται ἔξω ὁ πολύμορφος ὄφις [ὁ σατανᾶς] ἀπὸ τὰ ταμεῖα τοῦ νοός. Καὶ ἂς μὴν ἀποροῦμε, γιὰ ποιὸ λόγο μετὰ τὸ Βάπτισμα, σκεπτόμεθα πάλι τὰ κακὰ μαζὶ μὲ τὰ καλά; Διότι τὸ λουτρὸ τῆς ἁγιότητος [τὸ Ἅγιο Βάπτισμα], τὸν μὲν ρύπο τῆς ἁμαρτίας ἀφαιρεῖ ἀπὸ μᾶς, τὸ δὲ διπλὸ τῆς θελήσεώς μας δὲν ἀλλάσσει τώρα, οὔτε βέβαια ἐμποδίζει οἱ δαίμονες νὰ μᾶς πολεμοῦν ἢ νὰ φλυαροῦν λόγια ἀπατηλά. Ὥστε ἐκεῖνα τὰ ὁποῖα ἀκριβῶς δὲν φυλάξαμε, ὅταν εἴμαστε φυσικοί, νὰ [τὰ] τηρήσωμε μὲ τὴν δύναμι τοῦ Θεοῦ, ἀφ᾽ ὅτου λάβαμε τὰ [ὑπὲρ φύσιν-θεῖα] ὅπλα τῆς δικαιοσύνης.

79. Ὁ σατανᾶς, ὅπως εἶπα, διὰ μὲν τοῦ Ἁγίου Βαπτίσματος διώχνεται ἔξω ἀπὸ τὴν ψυχή· ἐπιτρέπεται ὅμως σ᾽ αὐτόν, ἐξ αἰτίας τῶν λόγων ποὺ ἔχουν προαναφερθῆ, νὰ ἐνεργῇ σ᾽ αὐτὴν [τὴν ψυχὴ] διὰ τοῦ σώματος. Διότι ἡ μὲν Χάρις τοῦ Θεοῦ δύναται νὰ καταλαμβάνη αὐτὸ τὸ βάθος τῆς ψυχῆς, δηλαδὴ τὸν νοῦ. Διότι λέγει [ἡ Ἁγία Γραφή]: «ἡ δόξα τῆς θυ-

γατρὸς τοῦ βασιλέως ἔσωθεν[90]*, οὐ φαινομένη τοῖς δαίμοσι· διόπερ ἐξ αὐτοῦ τοῦ βάθους τῆς καρδίας ἡμῶν αἰσθανόμεθα τοῦ θείου, ὥσπερ ἀναβλύζοντος, πόθου, ὅτε θερμῶς τοῦ Θεοῦ μεμνήμεθα. Τὰ δὲ πονηρὰ πνεύματα ταῖς αἰσθήσεσι λοιπὸν τοῦ σώματος ἐνάλλεται, καὶ ἐμφωλεύει· διὰ τῆς εὐχερείας τῆς σαρκὸς ἐνεργοῦντα, ἐπὶ τῶν ἔτι νηπιαζόντων τῇ ψυχῇ. Οὕτως οὖν ὁ μὲν νοῦς ἡμῶν ἀεί, κατὰ τὸν θεῖον Ἀπόστολον, συνήδεται τῷ νόμῳ τοῦ Πνεύματος*[91]*· τὰ δὲ αἰσθητήρια τῆς σαρκὸς τῷ λείῳ τῶν ἡδονῶν συναπάγεσθαι θέλει. Ὅθεν ἡ μὲν χάρις διὰ τῆς τοῦ νοὸς αἰσθήσεως, τὸ σῶμα εἰς ἀγαλλίασιν ἄρρητον ἐπὶ τῶν προκοπτόντων τῇ γνώσει κατευφραίνει· οἱ δὲ δαίμονες διὰ τῶν αἰσθήσεων τοῦ σώματος, ὅτε ἡμᾶς εὕρωσι μάλιστα ἀμελῶς καὶ ὀλιγώρως τὸν δρόμον τῆς εὐσεβείας τρέχοντας, τὴν ψυχὴν αἰχμαλωτίζουσι, βιαίως αὐτήν, εἰς ἃ μὴ θέλει, παρακαλοῦντες οἱ φόνιοι.*

γατέρας τοῦ Βασιλέως [εἶναι] ἐντός [της]» καὶ δὲν φαίνεται στοὺς δαίμονες· γι᾽ αὐτὸ ἀκριβῶς, ἀπὸ αὐτὸ τὸ βάθος τῆς καρδίας μας, αἰσθανόμεθα τρόπον τινὰ νὰ ἀναβλύζῃ ὁ θεῖος πόθος, ὅταν μνημονεύωμε θερμὰ τὸν Θεό. Τὰ δὲ πονηρὰ πνεύματα λοιπόν, ἐπιτίθενται καὶ ἐμφωλεύουν στὶς αἰσθήσεις τοῦ σώματος, ἐνεργώντας πάνω στὴν ψυχὴ ἐκείνων οἱ ὁποῖοι ἀκόμα εἶναι [πνευματικῶς] νήπιοι, διὰ τῆς ροπῆς τῆς σαρκός. Κατ᾽ αὐτὸ τὸν τρόπο ἑπομένως, σύμφωνα μὲ τὸν Ἀπόστολο, ὁ μὲν νοῦς μας πάντοτε συνευφραίνεται μὲ τὸν νόμο τοῦ [Ἁγίου] Πνεύματος· τὰ δὲ αἰσθητήρια τῆς σαρκὸς ἐπιθυμοῦν νὰ συμπαρασύρωνται ἀπὸ τὴν ἀπόλαυσι τῶν ἡδονῶν. Γιὰ τοῦτο ἡ μὲν Χάρις, ὅσον ἀφορᾶ ἐκείνους οἱ ὁποῖοι προκόπτουν [πνευματικῶς], διὰ τῆς αἰσθήσεως τοῦ νοός, ἕνεκα τῆς [θείας] γνώσεως, κατευφραίνει τὸ σῶμα μὲ ἄρρητη ἀγαλλίασι· οἱ δὲ δαίμονες, διὰ τῶν αἰσθήσεων τοῦ σώματος, ὅταν κατ᾽ ἐξοχὴν μᾶς βροῦν νὰ τρέχωμε τὸν δρόμο τῆς εὐσεβείας μὲ ἀμέλεια καὶ ἀδιαφορία, αἰχμαλωτίζουν τὴν ψυχὴ καὶ τὴν καλοῦν μὲ τὴν βία σ᾽ ἐκεῖνα τὰ ὁποῖα δὲν θέλει, οἱ θανατηφόροι.

π΄. Οἱ λέγοντες ὁμοῦ τὰ δύο πρόσωπα, τῆς χάριτος, καὶ τῆς ἁμαρτίας, ταῖς τῶν πιστῶν ἐμπαρεῖναι καρδίας, ἐκ τοῦ εἰρηκέναι τὸν Εὐαγγελιστήν, τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβε[92], *συνίστασθαι θέλουσι τὴν ἑαυτῶν ὑπόνοιαν, λέγοντες μηδαμῶς τὴν θείαν λαμπρότητα ὑπὸ τῆς τοῦ πονηροῦ συνδιατριβῆς μολύνεσθαι, κἂν ὁποσοῦν [*recte: *ὁποσονοῦν] πλησιάζῃ, φησὶν [*recte: *φασίν], ἐν τῇ ψυχῇ τὸ φῶς τὸ θεῖον τῇ σκοτίᾳ τοῦ δαίμονος· ὑπὸ δὲ αὐτοῦ τοῦ εὐαγγελικοῦ ῥητοῦ ἔξω τῶν ἁγίων Γραφῶν φρονοῦντες ἐλέγχονται. Ἐπειδὴ γὰρ ὁ Λόγος τοῦ Θεοῦ, τὸ φῶς τὸ ἀληθινόν, τῇ ἑαυτοῦ σαρκὶ ἐπιφανῆναι κατηξίωσε κτίσει, ἀμέτρῳ φιλανθρωπίᾳ τὸ φῶς αὐτοῦ παρ᾽ ἡμῖν ἀνάψας τῆς ἁγίας γνώσεως, τὸ δὲ φρόνημα τοῦ κόσμου τὴν βουλὴν οὐ κατέλαβε τοῦ Θεοῦ, τουτέστιν οὐκ ἔγνω, ἐπειδή τὸ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς Θεόν*[93], *τούτου χάριν τοιούτῳ ὁ θεολόγος ἐχρήσατο ῥήματι ἀμέ-*

80. Ἐκεῖνοι οἱ ὁποῖοι λέγουν, ὅτι παρίστανται μέσα στὶς καρδίες τῶν πιστῶν μαζὶ τὰ δύο πρόσωπα, τῆς Χάριτος καὶ τῆς ἁμαρτίας, ἐξ αἰτίας τοῦ ὅτι ἔχει πεῖ ὁ Εὐαγγελιστὴς [Ἰωάννης]: «τὸ φῶς λάμπει μέσα στὸ σκοτάδι καὶ τὸ σκοτάδι δὲν τὸ κατέλαβε [τὸ φῶς]», θέλουν νὰ ἑδραιωθῇ ἡ εἰκασία τους, ἐπειδὴ ἰσχυρίζονται, ὅτι ἡ θεία λαμπρότητα καθόλου δὲν μολύνεται ἀπὸ τὴν ἀπὸ κοινοῦ διαμονὴ μὲ τὸν πονηρό, ὅσο κι ἂν πλησιάζῃ, λέγουν, μέσα στὴν ψυχὴ τὸ θεῖο φῶς μὲ τὸ σκότος τοῦ δαίμονος. Ἀλλὰ ἐλέγχονται ἀπὸ αὐτὸ τὸ ἴδιο τὸ εὐαγγελικὸ ρητό, γιατὶ φρονοῦν ἐκτὸς τῆς Ἁγίας Γραφῆς. Ἐπειδὴ λοιπόν, ὁ Λόγος τοῦ Θεοῦ, τὸ φῶς τὸ ἀληθινό, εὐδόκησε ἀπὸ ἄμετρη φιλανθρωπία νὰ ἐμφανισθῇ μέσα στὴν κτίσι [Του] μὲ σάρκα, γιὰ νὰ ἀνάψῃ σὲ μᾶς τὸ φῶς τῆς [θείας] Του γνώσεως, τὸ δὲ φρόνημα τοῦ κόσμου δὲν προσέλαβε τὴ βουλὴ τοῦ Θεοῦ, δηλαδὴ δὲν [τὴν] γνώρισε, ἐπειδὴ τὸ φρόνημα τῆς σαρκὸς [εἶναι] ἔχθρα πρὸς τὸν Θεό, χάριν αὐτοῦ ἀναμφίβολα, ὁ Θεολόγος [Ἰωάννης] χρησιμοποίησε αὐτοῦ τοῦ εἴδους τὸν λόγο:

λει, ὀλίγα εἰρηκὼς μέσα ὁ θεσπέσιος, ἐπάγει˙ ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, ἀντὶ τοῦ ὁδηγεῖ καὶ ζωοποιεῖ˙ ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι᾽ αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω˙ εἰς τὰ ἴδια ἦλθε καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον˙ ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ[94]*. Λέγει δὲ καὶ ὁ σοφώτατος Παῦλος ἑρμηνεύων τὸ οὐ κατέλαβον˙ οὐχ ὅτι ἤδη ἔλαβον ἢ καὶ ἤδη τετελείωμαι˙ διώκω δέ, εἰ καὶ καταλάβω, ἐφ᾽ ᾧ καὶ κατελήφθην ὑπὸ Ἰησοῦ Χριστοῦ*[95]*. Ὥστε οὐ τὸν σατανᾶν λέγει ὁ Εὐαγγελιστὴς μὴ κατειληφέναι τὸ φῶς τὸ ἀληθινόν, ἀπ᾽ ἀρχῆς γὰρ ἀλλότριον αὐτοῦ ἐστι, ἐπειδὴ οὐδὲ ἐν αὐτῷ φαίνει, ἀλλὰ τοὺς ἀκούοντας μὲν ἀνθρώπους τὰς δυναστείας, καὶ τὰ θαυμάσια τοῦ Θεοῦ μὴ θέλοντας δὲ προσεγγίσαι διὰ τὴν ἐσκοτισμένην αὐτῶν καρδίαν τῷ φωτὶ*

[«τὸ φῶς λάμπει μέσα στὸ σκοτάδι καὶ τὸ σκοτάδι δὲν τὸ κατέλαβε [τὸ φῶς]». Ἀφοῦ ἔχει πεῖ ἐνδιάμεσα ὀλίγα, προσθέτει ὁ θεσπέσιος: «Εἶναι τὸ φῶς τὸ ἀληθινὸ τὸ ὁποῖο φωτίζει κάθε ἄνθρωπο, ὁ ὁποῖος ἔρχεται στὸν κόσμο», ἀντὶ [νὰ πῆ] ὁδηγεῖ καὶ ζωοποιεῖ· «Εἶναι μέσα στὸν κόσμο καὶ ὁ κόσμος ἔγινε δι᾽ Αὐτοῦ καὶ ὁ κόσμος δὲν ἀνεγνώρισε Αὐτόν· ἦρθε στὰ δικά Του καὶ οἱ δικοί Του δὲν Τὸν ἀποδέχθηκαν· ὅσοι δὲ τὸν δέχθηκαν, ἔχει δώσει σ᾽ αὐτοὺς ἐξουσία νὰ γίνουν παιδιὰ τοῦ Θεοῦ, [δηλαδὴ] σ᾽ αὐτοὺς οἱ ὁποῖοι πιστεύουν στὸ Ὄνομά Του». Λέγει δὲ καὶ ὁ σοφώτατος Παῦλος ἑρμηνεύοντας τὸ [χωρίο] «δὲν κατέλαβε»: «ὄχι ὅτι ἤδη ἔλαβα ἢ [ὅτι] καὶ ἤδη ἔχω φθάσει στὴν τελείωσι· ἀλλὰ ἐπιδιώκω, μήπως καὶ φθάσω σ᾽ ἐκεῖνο γιὰ τὸ ὁποῖο καὶ καταλήφθηκα ἀπὸ τὸν Ἰησοῦ Χριστό». Ὥστε ὁ Εὐαγγελιστὴς [Ἰωάννης] δὲν λέγει ὅτι δὲν κατέλαβε ὁ σατανᾶς τὸ φῶς τὸ ἀληθινό, διότι ἐξ ἀρχῆς [τὸ ἀληθινὸ φῶς] εἶναι ξένο ἐκείνου, ἐπειδὴ οὔτε λάμπει μέσα σ᾽ αὐτόν, ἀλλὰ ἀποδοκιμάζει μὲ τὸν λόγο [Του], ὡς ἀξίους [ἀποδοκιμασίας], ἐκείνους τοὺς ἀνθρώπους, οἱ ὁποῖοι ἀκούουν μὲν τὶς δυνάμεις καὶ τὰ θαυμάσια τοῦ Θεοῦ, ἀλλὰ λόγῳ τῆς ἀμαυρωμένης τους καρδίας, δὲν

τῆς γνώσεως αὐτοῦ, διὰ τοῦ λόγου ἀξίους ἀτιμάζει.

πα΄. Δύο ὥς περ γένη ὁ λόγος ἡμᾶς διδάσκει τῆς γνώσεως τῶν πονηρῶν πνευμάτων. Τὰ μὲν γὰρ αὐτῶν εἰσιν ὥς περ λεπτότερα, τὰ δὲ ὑλωδέστερα˙ τὰ οὖν λεπτότερα, τῇ ψυχῇ πολεμεῖ˙ τὰ δὲ ἄλλα, τὴν σάρκα διὰ λιπαρῶν τινων παρακλήσεων αἰχμαλωτίζειν εἴωθε. Διόπερ ἐναντίως ἔχουσιν ἀεὶ πρὸς ἑαυτούς, οἵ τε τῇ ψυχῇ προσπαλαίοντες δαίμονες, καὶ οἱ τῷ σώματι˙ κἂν εἰς τὸ βλάπτειν τοὺς ἀνθρώπους τὴν ἴσην ἔχωσι πρόθεσιν. Ὅτε οὖν ἡ χάρις οὐ κατοικεῖ εἰς τὸν ἄνθρωπον, εἰς τὰ βάθη τῆς καρδίας δίκην ὄντως ὄφεων ἐμφωλεύουσι, μὴ συγχωροῦντες ὅλως διαβλέψαι τὴν ψυχὴν πρὸς τὴν ἐπιθυμίαν τοῦ καλοῦ. Ὅτε δὲ εἰς τὸν νοῦν ἡ χάρις ἐγκέκρυπται, ὡσὰν νεφέλαι τινὲς ζοφώδεις λοιπὸν διὰ τῶν τῆς καρδίας μερῶν διατρέχουσιν εἰς τὰ πάθη τῆς ἁμαρτίας, ἢ εἰς μετεωρισμοὺς ποικίλους σχηματιζόμενοι˙ ἵνα τῇ μνήμῃ μετεωρίζον-

θέλουν νὰ προσεγγίσουν τὸ φῶς τῆς γνώσεως [Αὐτοῦ].

81. Ὁ λόγος τῆς [πνευματικῆς] γνώσεως [τῆς πνευματικῆς ἐμπειρίας], μᾶς διδάσκει τρόπον τινά, [ὅτι ὑπάρχουν] δύο γένη τῶν πονηρῶν πνευμάτων. Τὰ μὲν [πρῶτα] πράγματι ἀπ᾽ αὐτὰ εἶναι τρόπον τινὰ λεπτότερα, τὰ δὲ [ἄλλα] παχύτερα· τὰ λεπτότερα λοιπὸν πολεμοῦν ἐναντίον τῆς ψυχῆς· τὰ δὲ ἄλλα συνηθίζουν νὰ αἰχμαλωτίζουν τὴν σάρκα μὲ ἡδονικὲς παρηγορίες. Γι᾽ αὐτὸ ἀκριβῶς ἐναντιώνονται πάντοτε μεταξύ τους, καὶ οἱ δαίμονες οἱ ὁποῖοι ἀντιμάχονται τὴν ψυχή, καὶ ἐκεῖνοι οἱ ὁποῖοι [ἀντιμάχονται] τὸ σῶμα, ἂν καὶ ἔχουν τὴν ἴδια πρόθεσι εἰς τὸ νὰ βλάπτουν τούς ἀνθρώπους. Ὅταν ἑπομένως ἡ Χάρις δὲν κατοικῇ στὸν ἄνθρωπο, ἐμφωλεύουν στὰ βάθη τῆς καρδίας, κατὰ τὸν τρόπο τῶν φιδιῶν, καὶ δὲν ἐπιτρέπουν καθόλου νὰ ἀτενίσῃ ἡ ψυχὴ πρὸς τὴν ἐπιθυμία τοῦ καλοῦ. Ὅταν δὲ ἡ Χάρις ἔχῃ καλυφθῆ μέσα στὸν νοῦ, τότε [οἱ δαίμονες], σὰν κάποια σκοτεινὰ σύννεφα, διέρχονται γρήγορα μέσῳ τῶν μερῶν τῆς καρδίας στὰ πάθη τῆς ἁμαρτίας, ἢ [διέρχονται] σχηματιζόμενοι σὲ ποικίλους μετεωρισμοὺς [διασκορπισμούς]· ὥστε διασκορπίζοντας τὸν νοῦ ἀπὸ τὴν μνήμη

τες τὸν νοῦν, τῆς πρὸς τὴν χάριν αὐτὸν ὁμιλίας ἀποσπῶσιν. Ὅτε τοίνυν ὑπὸ τῶν τῇ ψυχῇ διενοχλούντων δαιμόνων εἰς τὰ ψυχικὰ ἐκπυρούμεθα πάθη, καὶ μάλιστα εἰς τὴν οἴησιν, ἥτις ἐστὶ μήτηρ πάντων τῶν κακῶν, τὴν ἀνάλυσιν τοῦ σώματος ἡμῶν λογιζόμενοι, τὸν ὄγκον μάλιστα τῆς φιλοδοξίας καταισχύνομεν. Τὸ αὐτὸ δὲ δεῖ ποιεῖν, καὶ ὅταν οἱ τῷ σώματι προσπαλαίοντες δαίμονες εἰς αἰσχρὰς ἐπιθυμίας τὴν καρδίαν ἡμῶν ἀναζέειν παρασκευάζωσι. Αὕτη γὰρ μόνη ἡ ἐνθύμησις πάσας τὰς διαφορὰς τῶν πονηρῶν πνευμάτων καταργεῖν δύναται ἐν τῇ μνήμῃ τοῦ Θεοῦ. Εἰ δὲ ἀπὸ ταύτης τῆς ἐνθυμήσεως πάλιν ἐξουδενώσιν ἡμῖν ἄπειρον τῆς ἀνθρωπείας φύσεως οἱ ψυχικοὶ ὑποβάλλουσι δαίμονες, ὡς οὐδενὸς οὔσης αὐτῆς ἀξίας διὰ λόγου τὴν σάρκα (τοῦτο γὰρ φιλοῦσι ποιεῖν, ὅταν αὐτούς τις βασανίσαι θέλῃ τῇ τοιαύτῃ ἐννοίᾳ), τὴν τῆς ἐπουρανίου λοιπὸν Βασιλείας τιμήν τε καὶ δόξαν ἐνθυ-

[τοῦ Θεοῦ], νὰ τὸν ἀποσποῦν ἀπὸ τὴν κοινωνία μὲ τὴν Χάρι. Ὅταν λοιπὸν φλογιζώμεθα ἀπὸ τοὺς δαίμονες, οἱ ὁποῖοι σφοδρὰ ἐνοχλοῦν τὴν ψυχή, πρὸς τὰ ψυχικὰ πάθη καὶ μάλιστα στὴν οἴησι [στὴν ὑπερηφάνια], ἡ ὁποία εἶναι ἡ μητέρα ὅλων τῶν κακῶν, [τότε] ἐὰν σκεπτώμεθα τὴν ἀποσύνθεσι τοῦ σώματός μας, καταντροπιάζομε κατ᾽ ἐξοχὴν τὸ μέγεθος τῆς φιλοδοξίας. Τὸ ἴδιο δὲ πρέπει νὰ κάνωμε καὶ ὅταν οἱ δαίμονες, οἱ ὁποῖοι μάχονται ἐναντίον τοῦ σώματος, συντελοῦν στὸ νὰ βράζῃ ἡ καρδία μας γιὰ τὶς αἰσχρὲς ἐπιθυμίες. Διότι μόνη αὐτὴ ἡ ἴδια ἡ σκέψι [τοῦ θανάτου], μέσῳ τῆς μνήμης τοῦ Θεοῦ, δύναται νὰ καταργῇ ὅλα τὰ εἴδη τῶν πονηρῶν δαιμόνων. Ἐὰν ὅμως πάλι ἀπὸ αὐτὴν τὴν σκέψι [τοῦ θανάτου], οἱ ψυχικοὶ δαίμονες μᾶς ὑποβάλλουν τὴν ἀπεριόριστη ἐξουδένωσι τῆς ἀνθρωπίνης φύσεως, ὅτι δῆθεν αὐτὴ εἶναι ἐντελῶς ἀνάξια λόγου, ἕνεκα τῆς σαρκός, (διότι αὐτὸ ἀρέσκονται νὰ κάνουν, ὅταν κάποιος θέλῃ νὰ τοὺς βασανίσῃ μὲ αὐτοῦ τοῦ εἴδους τὴν ἐνθύμησι), σκεπτόμεθα ἔπειτα τὴν τιμὴ καὶ τὴν δόξα τῆς ἐπουρανίου

μούμεθα, μήτε τὸ πικρὸν καὶ γνοφῶδες παρορῶντες τῆς κρίσεως˙ ἵνα τῷ μέν, τὴν ἀθυμίαν ἡμῶν παραμυθώμεθα, τῷ δέ, τὸ εὔκολον τῆς καρδίας ἡμῶν ἐπιστύφωμεν.

πβ΄. Ὁ Κύριος ἡμῶν ἐν τοῖς Εὐαγγελίοις διδάσκει, ὅτι ὅταν ὑποστρέψας εὕρῃ σεσαρωμένον καὶ σχολάζοντα τὸν ἑαυτοῦ οἶκον, τουτέστι τὴν ἄκαρπον καρδίαν, ὁ σατανᾶς, τότε παραλαμβάνει ἕτερα ἑπτὰ πνεύματα πονηρότερα ἑαυτοῦ, καὶ εἰσέρχεται εἰς αὐτὴν καὶ ἐμφωλεύει, χείρονα τῶν πρώτων τὰ τοῦ ἀνθρώπου ἔσχατα ποιῶν[96]*. Ὅθεν δεῖ νοεῖν, ὅτι ἐφ᾽ ὅσον ἐστὶ τὸ Ἅγιον Πνεῦμα ἐν ἡμῖν, οὐ δύναται εἰσελθὼν ὁ σατανᾶς ἐν τῷ βάθει τῆς ψυχῆς καταμεῖναι. Ἀλλὰ καὶ ὁ θεσπέσιος Παῦλος φανερῶς ταύτης ἡμᾶς διδάσκει τὸν νοῦν τῆς θεωρίας. Ἐκ μὲν γὰρ τῆς ἀγωνιστικῆς γνώσεως θεωρήσας τὸ σχῆμα τῆς ὑποθέσεως, οὕτω λέγει˙ συνήδομαι γὰρ τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον˙ βλέπω δὲ ἕτερον*

Βασιλείας, χωρὶς νὰ παραθεωροῦμε τὸ πικρὸ καὶ ζοφερὸ τῆς κρίσεως· ὥστε μὲ τὸ ἕνα μὲν [τὴν ἐνθύμησι τῆς Βασιλείας], νὰ παρηγοροῦμε τὴν ἀθυμία μας, μὲ τὸ ἄλλο δὲ [τὴν ἐνθύμησι τοῦ θανάτου], νὰ ἐλέγχωμε πικρὰ τὸ ἐπιρρεπὲς τῆς καρδίας μας.

82. Ὁ Κύριός μας στὰ Εὐαγγέλια διδάσκει, ὅτι ὅταν ὁ σατανᾶς ἐπιστρέφοντας βρῇ σκουπισμένο καὶ ἄπρακτο τὸ σπίτι του, δηλαδὴ τὴν ἄκαρπη καρδία, τότε παραλαμβάνει ἄλλα ἑπτὰ πνεύματα πονηρότερα ἀπὸ τὸν ἴδιο, καὶ εἰσέρχεται καὶ ἐμφωλεύει σ᾽ αὐτὴν [τὴν καρδία], κάνοντας τὰ ἔσχατα τοῦ ἀνθρώπου χειρότερα ἀπὸ τὰ πρῶτα. Γιὰ τοῦτο πρέπει νὰ ἐννοήσωμε ὅτι, ἐφ᾽ ὅσον τὸ Ἅγιον Πνεῦμα εἶναι μέσα μας, δὲ μπορεῖ ὁ σατανᾶς, ἂν εἰσέλθῃ, νὰ παραμείνῃ στὸ βάθος τῆς ψυχῆς. Ἀλλὰ καὶ ὁ θεσπέσιος Παῦλος, φανερὰ μᾶς διδάσκει τὸ νόημα αὐτῆς τῆς θεωρίας. Διότι ἐξετάζοντας τὸ εἶδος τῆς ὑποθέσεως, σύμφωνα μὲ τὴν γνῶσι τοῦ ἀγῶνα, ὁμιλεῖ κατ᾽ αὐτὸν τὸν τρόπο: «Εὐφραίνομαι λοιπὸν μὲ τὸν νόμο τοῦ Θεοῦ κατὰ τὸν ἐσωτερικό [μου] ἄνθρωπο· βλέπω ὅμως ἄλλον νόμο

νόμον ἐν τοῖς μέλεσί μου ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου, καὶ αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μέλεσί μου[97]. *Ἐκ δὲ τῆς τελειότητος, οὐδὲν ἄρα νῦν, φησί, κατάκριμα τοῖς ἐν Χριστῷ Ἰησοῦ μὴ κατὰ σάρκα περιπατοῦσιν· ὁ γὰρ νόμος τοῦ Πνεύματος τῆς ζωῆς ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου*[98]. *Λέγει δὲ καὶ ἀλλαχοῦ, ἵνα πάλιν διδάξῃ ἡμᾶς, ὅτι ἐκ τοῦ σώματος πολεμεῖ ὁ σατανᾶς τὴν ψυχήν, τὴν μετέχουσαν τοῦ Ἁγίου Πνεύματος· στῆτε οὖν περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ· καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης, καὶ ὑποδυσάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης· ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι, καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθαι, καὶ τὴν μάχαιραν τοῦ Πνεύματος, ὅ ἐστι ῥῆμα*

στὰ μέλη μου, ὁ ὁποῖος ἀντιστρατεύεται τὸν νόμο τοῦ νοός μου καὶ μὲ αἰχμαλωτίζει στὸν νόμο τῆς ἁμαρτίας ὁ ὁποῖος ὑπάρχει στὰ μέλη μου». Ἐξ [ἐπόψεως] δὲ τῆς τελειότητος λέγει [ὁ Ἀπόστολος Παῦλος]: «ἑπομένως τώρα δὲν ὑπάρχει καμία καταδίκη στοὺς ἐν Χριστῷ Ἰησοῦ, οἱ ὁποῖοι δὲν πορεύονται σύμφωνα μὲ τὴν σάρκα· διότι ὁ νόμος τοῦ Πνεύματος τῆς Ζωῆς μὲ ἐλευθέρωσε ἀπὸ τὸν νόμο τῆς ἁμαρτίας καὶ τοῦ θανάτου». Λέγει δὲ καὶ σὲ ἄλλο σημεῖο, γιὰ νὰ μᾶς διδάξῃ πάλι, ὅτι μέσῳ τοῦ σώματος πολεμᾶ ὁ σατανᾶς τὴν ψυχή, ἡ ὁποία μετέχει τοῦ Ἁγίου Πνεύματος· «Σταθῆτε λοιπὸν [στὸν ἀγῶνα], ἀφοῦ περιζώσετε τὴν μέση Σας μὲ τὴν ἀλήθεια· καὶ φορέσετε τὸν θώρακα τῆς δικαιοσύνης καὶ βάλετε στὰ πόδια ὑποδήματα, ἕτοιμοι γιὰ τὸ Εὐαγγέλιο τῆς εἰρήνης· ἐπάνω ἀπὸ ὅλα σηκώνοντας τὴν ἀσπίδα τῆς πίστεως, μὲ τὴν ὁποία θὰ μπορέσετε ὅλα τὰ πυρωμένα βέλη τοῦ πονηροῦ νὰ σβήσετε καὶ νὰ δεχθῆτε τὴν περικεφαλαία τῆς σωτηρίας καὶ τὴν μάχαιρα τοῦ Πνεύματος, τὸ ὁποῖο εἶναι ὁ λόγος τοῦ

Θεοῦ[99]. Ἄλλο δέ ἐστιν αἰχμαλωτισμός, καὶ ἄλλο πάλη˙ ἐπειδὴ τὸ μέν ἐστι βιαίας τινὸς ἀπαγωγῆς σημαντικόν, τὸ δὲ ἰσοσθενοῦς τινος ἀγῶνος δηλωτικόν. Διόπερ ὅλως βέλεσι πεπυρωμένοις ταῖς χριστοφόροις ψυχαῖς ἐπέρχεσθαι, λέγει ὁ Ἀπόστολος, τὸν διάβολον. Ὁ γὰρ μὴ ὢν ἐγκρατὴς τοῦ ἑαυτοῦ ἀνταγωνιστοῦ, βέλεσι πάντως κατ᾽ αὐτοῦ κέχρηται˙ ἵνα τὸν ἐκ μήκους αὐτῷ μαχόμενον τῷ πτερῷ δυνηθῇ θηρεῦσαι τῶν βελῶν. Οὕτως οὖν καὶ ὁ σατανᾶς˙ ἐπειδὴ οὐ δύναται διὰ τὴν παρουσίαν τῆς χάριτος ἐμφωλεῦσαι, ὡς τὸ πρίν, τῷ τῶν ἀγωνιζομένων νοΐ, τῇ ὑγρότητι λοιπὸν ἐφίπταται ὡς ἐμφωλεύει τῷ σώματι, ἵνα διὰ τῆς αὐτοῦ εὐχερείας τὴν ψυχὴν δελεάζῃ. Διόπερ δεῖ ἐκτήκειν αὐτὸ συμμέτρως, ἵνα μή, διὰ τῆς αὐτοῦ ὑγρότητος, ὀλισθαίνῃ ὁ νοῦς εἰς τὸ λεῖον τῶν ἡδονῶν. Ἀπ᾽ αὐτοῦ γὰρ τοῦ ἀποστολικοῦ ῥητοῦ προσήκει πείθεσθαι, ὅτι ὁ μὲν νοῦς τῶν ἀγωνιζομένων ὑπὸ τοῦ

Θεοῦ». Ἄλλο δὲ εἶναι ὁ αἰχμαλωτισμὸς καὶ ἄλλο ἡ πάλη· ἐπειδὴ τὸ μὲν [ἕνα - ὁ αἰχμαλωτισμός], εἶναι τὸ δηλωτικὸ κάποιας βίαιης ἀπαγωγῆς, τὸ δὲ [ἄλλο - ἡ πάλη], τὸ δηλωτικὸ κάποιου ἰσοδύναμου ἀγῶνα. Γι᾽ αὐτὸ ἀκριβῶς λέγει ὁ Ἀπόστολος, ὅτι ἐξ ὁλοκλήρου μὲ πυρωμένα βέλη ἐπιτίθεται ὁ διάβολος ἐναντίον τῶν χριστοφόρων ψυχῶν. Διότι ἐκεῖνος, ὁ ὁποῖος δὲν εἶναι ἰσχυρὸς ἔναντι τοῦ ἀντιπάλου του, ὁπωσδήποτε θὰ χρησιμοποιήσῃ ἐναντίον του βέλη· γιὰ νὰ μπορέσῃ μὲ τὸ φτερὸ τῶν βελῶν, νὰ πλήξῃ ἐκεῖνον ποὺ τὸν πολεμᾶ ἀπὸ μακριά. Κατὰ τὸν ἴδιο τρόπο λοιπὸν [κάνει] καὶ ὁ σατανᾶς· ἐπειδὴ δὲν μπορεῖ ἐξ αἰτίας τῆς παρουσίας τῆς Χάριτος νὰ ἐμφωλεύσῃ, ὅπως πρίν, μέσα στὸν νοῦ τῶν ἀγωνιζομένων, πετᾶ ἑπομένως μὲ τὴν ὑγρότητα [χρησιμοποιεῖ τὴν ὑγρότητα] καθὼς ἐμφωλεύει στὸ σῶμα, ὥστε νὰ δελεάζῃ τὴν ψυχὴ μέσῳ τῆς ῥοπῆς ἐκείνου [τοῦ σώματος]. Γι᾽ αὐτὸ ἀκριβῶς, μὲ μέτρο πρέπει νὰ τὸ ξηραίνωμε [τὸ σῶμα], γιὰ νὰ μὴν γλιστρᾷ ὁ νοῦς, διὰ τῆς ὑγρότητος αὐτοῦ, στὸ ὀλισθηρὸ τῶν ἡδονῶν. Διότι ἀπ᾽ αὐτὸν τὸν ἀποστολικὸ λόγο πρέπει νὰ βεβαιωνώμεθα, ὅτι ὁ μὲν νοῦς τῶν ἀγωνιστῶν δέχεται

θείου φωτὸς ἐνεργεῖται, διόπερ καὶ τῷ θείῳ νόμῳ δουλεύει, καὶ συνήδεται· ἡ δὲ σὰρξ τὰ πονηρὰ ἡδέως διὰ τὴν αὐτῆς εὐχέρειαν προσίεται πνεύματα, διόπερ καὶ τῇ αὐτῶν ποτὲ ἐξέλκεται δουλεύειν πονηρίᾳ. Ὅθεν μάλιστα φαίνεται μὴ εἶναι κοινόν τι κατοικητήριον τὸν νοῦν Θεοῦ τε, καὶ διαβόλου. Ἐπεί, πῶς τῷ μὲν νοΐ μου δουλεύω νόμῳ Θεοῦ, τῇ δὲ σαρκὶ νόμῳ ἁμαρτίας[100]*, εἰμὴ ὁ μὲν νοῦς μου ἐν πάσῃ ἐλευθερίᾳ πρὸς μάχην ἵστατο τῶν δαιμόνων, τῇ χρηστότητι τῆς χάριτος ἡδέως δουλούμενος, τὸ δὲ σῶμα ἥδιον τὴν ὀσμὴν προσίετο τῶν ἀλόγων ἡδονῶν; Διὰ τὸ ἐν αὐτῷ, ὡς ἔφην, παραχωρεῖσθαι ἐμφωλεύειν ἐπὶ τῶν ἀγωνιζομένων τὰ πονηρὰ πνεύματα. Οἶδα γάρ, φησί, ὅτι οὐκ οἰκεῖ ἐν ἐμοί, τουτέστιν ἐν τῇ σαρκί μου, τὸ ἀγαθόν*[101]*. Ὥστε ἐπὶ τῶν κατὰ τὸ μέσον τῶν ἀγώνων ἀνθισταμένων τῇ ἁμαρτίᾳ, οὐ γὰρ ἐξ αὐτοῦ τοῦτο ὁ Ἀπόστολος λέγει. Τῷ μὲν νοΐ μάχονται οἱ δαίμονες, τὴν δὲ σάρκα λιπαραῖς ὑπεκλύειν πρὸς τὸ*

τὴν ἐνέργεια ἀπὸ τὸ θεῖο φῶς, καὶ γι᾽ αὐτὸ ὑποτάσσεται καὶ συνευφραίνεται μὲ τὸν θεῖο νόμο· ἡ δὲ σάρκα εὐχαρίστως, ἐξ αἰτίας τῆς ροπῆς της, ἀφήνει νὰ πλησιάσουν τὰ [δαιμονικὰ] πνεύματα, γι᾽ αὐτὸ ἀκριβῶς καὶ κάποτε σύρεται μὲ τὴν βία, γιὰ νὰ ὑπηρετῇ ὡς δούλη στὴν πονηρία τους. Ἐξ αὐτοῦ μάλιστα φαίνεται, ὅτι ὁ νοῦς δὲν εἶναι κάποια κοινὴ κατοικία καὶ τοῦ Θεοῦ καὶ τοῦ διαβόλου. Ἐπειδή, πῶς μὲ τὸν νοῦ μου μὲν ὑποτάσσομαι στὸν νόμο τοῦ Θεοῦ, ἐνῶ μὲ τὴν σάρκα μου στὸν νόμο τῆς ἁμαρτίας, ἐὰν ὁ μὲν νοῦς μου δὲν παρετάσσετο μὲ κάθε ἐλευθερία στὴν μάχη ἐναντίον τῶν δαιμόνων, ὑποτασσόμενος εὐχαρίστως στὴν ἀγαθότητα τῆς Χάριτος, τὸ δὲ σῶμα [μου] δεχόταν μετὰ περισσοτέρας εὐχαριστήσεως τὴν ὀσμὴ τῶν ἀλόγων ἡδονῶν; [Συμβαίνουν αὐτὰ] ἐξ αἰτίας τοῦ ὅτι, ὅπως εἶπα, παραχωρεῖται [ὑπὸ τοῦ Κυρίου], νὰ ἐμφωλεύουν σ᾽ αὐτὸ [τὸ σῶμα] τῶν ἀγωνιζομένων, τὰ πονηρὰ πνεύματα. Διότι γνωρίζω, λέγει [ὁ Ἀπόστολος Παῦλος], ὅτι δὲν κατοικεῖ μέσα μου, δηλαδὴ στὴν σάρκα μου τὸ ἀγαθό. Λοιπόν, λέγει αὐτὸ ὁ Ἀπόστολος, ὄχι βέβαια ἐκ τοῦ ἑαυτοῦ του [ἀπὸ τὴν προσωπική του πεῖρα, ἀλλὰ] γιὰ ἐκείνους οἱ ὁποῖοι ἀντιστέκονται στὴν ἁμαρτία στὸ μέσον τῶν ἀγώνων [δηλαδὴ στὴν μέση πνευματικὴ κατάστασι]. Οἱ δαίμονες πολεμοῦν μὲν ἐναντίον τοῦ νοὸς [μὲ τοὺς λογισμούς], ἐπιχειροῦν δὲ νὰ χαλαρώνουν βαθμηδὸν τὴν σάρκα

λεῖον τῶν ἡδονῶν ἐπιχειροῦσι παρακλήσεσι. Παραχωροῦνται γὰρ ἅπαξ κατὰ δίκαιον κρῖμα ἐνδιατρίβειν περὶ τὰ βάθη τοῦ σώματος, καὶ ἐπὶ τῶν συντόνως ἀγωνιζομένων κατὰ τῆς ἁμαρτίας, διὰ τό, ὑπὸ δοκιμὴν εἶναι ἀεὶ τὸ αὐτεξούσιον τοῦ ἀνθρωπίνου φρονήματος. Εἰδέ τις δυνηθῇ ζῶν ἔτι διὰ τῶν πόνων ἀποθανεῖν, ὅλως λοιπὸν γίνεται οἶκος τοῦ Ἁγίου Πνεύματος. Πρὶν γὰρ ἀποθάνῃ ὁ τοιοῦτος, ἤδη ἀνέστη. Ὅπερ ἦν αὐτὸς ὁ μακάριος Παῦλος, καὶ ὅσοι τελείως ἠγωνίσαντο, ἢ ἀγωνίζονται κατὰ τῆς ἁμαρτίας.

πγ΄. Φέρει μὲν ἡ καρδία καὶ ἐξ ἑαυτῆς λογισμοὺς καλούς τε καὶ οὐ καλούς, οὐ φύσει δὲ καρποφοροῦσα τὰς μὴ καλὰς ἐννοίας. Ἀλλ᾿ ὥσπερ εἰς ἕξιν ἔχουσα διὰ τὴν πρώτην ἅπαξ ἀπάτην τὴν μνήμην τοῦ μὴ καλοῦ, τοὺς δὲ πλείστους καὶ πονηροὺς ἐκ τῆς τῶν δαιμόνων συλλαμβάνει πικρίας. Πάντων δὲ ἡμεῖς, ὡς ἐκ τῆς καρδίας προϊόντων, αἰσθανόμεθα. Καὶ διὰ τοῦτό τινες ὑπενόησαν

μὲ ἡδονικὲς παρηγορίες. Διότι τοὺς ἐπιτρέπεται κάποτε, σύμφωνα μὲ δίκαιη ἀπόφασι, νὰ παραμένουν γύρω ἀπὸ τὰ βάθη τοῦ σώματος καὶ σ᾿ ἐκείνους οἱ ὁποῖοι ἀγωνίζονται ἔντονα ἐναντίον τῆς ἁμαρτίας, ἐξ αἰτίας τοῦ ὅτι, πάντοτε εἶναι ὑπὸ δοκιμὴ τὸ αὐτεξούσιο τοῦ ἀνθρωπίνου φρονήματος. Ἐὰν δὲ κάποιος μέσῳ τῶν κόπων, δυνηθῇ, ἐνῶ ἀκόμη ζῇ, νὰ πεθάνῃ, γίνεται τότε ἐξ ὁλοκλήρου οἶκος τοῦ Ἁγίου Πνεύματος. Αὐτὸς [ὁ ἄνθρωπος] βέβαια, πρὶν νὰ πεθάνῃ, ἤδη ἀναστήθηκε. Τὸ ὁποῖο ἀκριβῶς ἦταν ὁ μακάριος Παῦλος καὶ ὅσοι ὁλοκληρωτικὰ ἀγωνίσθηκαν καὶ ἀγωνίζονται ἐναντίον τῆς ἁμαρτίας.

83. Ἡ καρδία βέβαια γεννᾶ καὶ ἐκ τοῦ ἑαυτοῦ της λογισμοὺς καὶ καλοὺς καὶ ὄχι καλούς, ἀλλὰ δὲν παράγει ἐκ φύσεως τὰ ὄχι καλὰ νοήματα. Ἀλλὰ τρόπον τινά, ἔχοντας συνηθίσει τὴν μνήμη τοῦ κακοῦ, ἐξ αἰτίας τῆς πρώτης πάλαι ποτὲ ἀπάτης [τοῦ προπατορικοῦ ἁμαρτήματος], συλλαμβάνει λοιπὸν τοὺς περισσοτέρους καὶ πονηροὺς [λογισμούς], ἕνεκα τῆς κακίας τῶν δαιμόνων. Ἐμεῖς ὅμως αἰσθανόμεθα, ὅτι ὅλοι ἐξέρχονται ὡς ἀπὸ τὴν καρδία [μας]. Καὶ γι᾿ αὐτὸ κάποιοι ὑπέθεσαν,

εἰς τὸν νοῦν εἶναι σὺν τῇ χάριτι καὶ τὴν ἁμαρτίαν˙ διόπερ λέγουσι καὶ τὸν Κύριον εἰρηκέναι˙ τὰ δὲ ἐξερχόμενα ἐκ τοῦ στόματος ἐκ τῆς καρδίας ἐξέρχονται, κἀκεῖνα κοινοῖ τὸν ἄνθρωπον. Ἐκ γὰρ τῆς καρδίας ἐξέρχονται διαλογισμοὶ πονηροί, μοιχεῖαι, καὶ τὰ ἑξῆς[102]*. Οὐκ ἴσασι δέ, ὅτι ὁ νοῦς ἡμῶν λεπτοτάτης τινὸς αἰσθήσεως ἔχων ἐνέργειαν, αὐτῶν τῶν ὑπὸ τῶν πονηρῶν πνευμάτων ὑποβαλλομένων αὐτῷ λογισμῶν, οἰκειοῦται˙ ὥς περ διὰ τῆς σαρκὸς τὴν ἐνέργειαν τῆς εὐχερείας τοῦ σώματος, πλέον εἰς τοῦτο φερούσης διὰ τῆς συγκράσεως τὴν ψυχήν, ὡς οὐκ οἴδαμεν˙ ἐπειδὴ ἀμέτρως φιλεῖ ἀεὶ ἡ σάρξ, τὸ ὑπὸ τῆς ἀπάτης κολακεύεσθαι. Καὶ διὰ τοῦτο ἐκ τῆς καρδίας καὶ οἱ ἐκ τῶν δαιμόνων ἐνσπειρόμενοι τῇ ψυχῇ λογισμοί, ἐξερχόμενοι φαίνονται. Ἰδιοποιούμεθα δὲ αὐτούς, ὅταν αὐτοῖς συνήδεσθαι θέλωμεν˙ ὅπερ ὁ Κύριος μεμφόμενος, ὡς αὐτὸ τὸ θεῖον δηλοῖ λόγιον, τῷ προειρημένῳ ῥητῷ ἐχρήσατο.*

ὅτι ὑπάρχει στὸν νοῦ μαζὶ μὲ τὴν Χάρι καὶ ἡ ἁμαρτία· γι᾽ αὐτὸ ἀκριβῶς λέγουν, ὅτι καὶ ὁ Κύριος ἔχει πεῖ: ἐκεῖνα δὲ τὰ ὁποῖα ἐξέρχονται ἀπὸ τὸ στόμα, ἀπὸ τὴν καρδία ἐξέρχονται καὶ αὐτὰ μολύνουν τὸν ἄνθρωπο. Διότι ἀπὸ τὴν καρδία ἐξέρχονται πονηροὶ λογισμοί, μοιχεῖες καὶ τὰ ἑξῆς. Δὲν γνωρίζουν ὅμως, ὅτι ὁ νοῦς μας, ἐπειδὴ ἔχει τὴν ἐνέργεια κάποιας λεπτοτάτης αἰσθήσεως, οἰκειοποιεῖται τοὺς λογισμούς, οἱ ὁποῖοι ὑποβάλλονται σ᾽ αὐτὸν ἀπὸ τὰ πονηρὰ πνεύματα· ὅπως ἀκριβῶς [συμβαίνει] ἐξ αἰτίας τῆς ἐνεργείας τῆς ροπῆς τοῦ σώματος, ἡ ὁποία παρασύρει περισσότερο πρὸς αὐτὸ [τὸ σῶμα] τὴν ψυχή, λόγῳ τῆς συγκράσεως μὲ τὴν σάρκα, μὲ τρόπο ποὺ δὲν γνωρίζομε· ἐπειδὴ ἡ σάρκα ἀρέσκεται πάντοτε ἄμετρα στὸ νὰ κολακεύεται ἀπὸ τὴν ἀπάτη [τῶν δαιμόνων]· καὶ γι᾽ αὐτὸ καὶ οἱ λογισμοί, οἱ ὁποῖοι σπείρονται στὴν ψυχὴ ἀπὸ τοὺς δαίμονες, φαίνονται, ὅτι ἐξέρχονται ἀπὸ τὴν καρδία. Ἰδιοποιούμεθα δὲ αὐτοὺς [τοὺς λογισμούς], ὅταν θέλωμε νὰ εὐφραινώμεθα μ᾽ αὐτούς· τὸ ὁποῖο ἀκριβῶς ἐπικρίνοντας ὁ Κύριος, καθὼς φανερώνει τὸ θεῖο λόγιον [στὴν Ἁγία Γραφή], χρησιμοποίησε τὸν λόγο, ὁ ὁποῖος ἔχει προαναφερθῆ.

Ὁ γὰρ συνηδόμενος τοῖς ἐκ τῆς πονηρίας τοῦ σατανᾶ αὐτῷ ὑποβαλλομένοις λογισμοῖς, καὶ τὴν μνήμην αὐτῶν, ὥς περ ἐγγράφων ἐν τῇ ἑαυτοῦ καρδίᾳ, οὐκ ἄδηλον, ὅτι ἐκ τῆς ἑαυτοῦ λοιπὸν καρποφορεῖ ἐννοίας.

πδ΄. Λέγει ἐν τοῖς Εὐαγγελίοις ὁ Κύριος, μὴ δύνασθαι ἐκβληθῆναι τὸν ἰσχυρὸν ἐκ τοῦ οἴκου αὐτοῦ, ἐὰν μὴ ὁ ἰσχυρότερος αὐτοῦ δήσας αὐτόν, καὶ σκυλεύσας ἐκβάλῃ[103]*. Πῶς οὖν δύναται ὁ μετὰ τοσαύτης αἰσχύνης ἐκβαλλόμενος πάλιν εἰσιέναι, καὶ τῷ ἀληθινῷ συνδιατρίβειν οἰκοδεσπότῃ, ἐν τῷ ἑαυτοῦ, ὡς ἐὰν καὶ θέλῃ, ἀναπαυομένῳ οἴκῳ; Οὔτε γὰρ βασιλεὺς τὸν ἀντιστάντα αὐτῷ ποτε καταγωνισάμενος τύραννον, συμπαρεῖναι αὐτῷ τοῦτον ἐν ταῖς βασιλικαῖς αὐλαῖς ἐνθυμηθήσεται. Ἀποσφάξει δὲ μᾶλλον εὐθέως, ἢ δήσας, πρὸς μακρὰν τιμωρίαν, καὶ θάνατον οἴκτιστον παραδώσει τοῖς ἰδίοις στρατεύμασιν.*

πε΄. Εἴ τις διὰ τὸ καλὰ ἡμᾶς ὁμοῦ καὶ φαῦλα λογίζεσθαι, τό τε Ἅγιον Πνεῦ-

Διότι ἐκεῖνος ὁ ὁποῖος εὐφραίνεται μὲ τοὺς λογισμούς, οἱ ὁποῖοι ὑποβάλλονται σ᾽ αὐτὸν ἀπὸ τὴν πονηρία τοῦ σατανᾶ, δὲν [εἶναι] ἄγνωστο, ὅτι ἔπειτα ἀπὸ τὴν δική του διάνοια, παράγει καὶ τὴν μνήμη τους, χαράσσοντάς [την], τρόπον τινά, μέσα στὴν καρδία του.

84. Λέγει ὁ Κύριος στὰ Εὐαγγέλια, ὅτι δὲν εἶναι δυνατὸν νὰ ἐκβληθῇ ὁ ἰσχυρὸς ἀπὸ τὸ σπίτι του, ἐὰν δὲν τὸν ἐκδιώξῃ ὁ ἰσχυρότερος αὐτοῦ, ἀφοῦ τὸν δέσῃ καὶ τὸν λαφυραγωγήσῃ. Πῶς ἑπομένως εἶναι δυνατόν, ἐκεῖνος ὁ ὁποῖος ἐκδιώκεται μὲ τόσο μεγάλη ντροπή, πάλι νὰ εἰσέρχεται, ὅσο καὶ ἂν [τὸ] θέλῃ, καὶ νὰ συμβιώνῃ μὲ τὸν ἀληθινὸ οἰκοδεσπότη, ὁ ὁποῖος ἀναπαύεται μέσα στὸ σπίτι του; Διότι οὔτε [κανένας] βασιλέας, ποὺ κατετρόπωσε ἄλλοτε τὸν [σφετεριστὴ] τύραννο, ὁ ὁποῖος ἐξεγείρεται ἐναντίον του, θὰ σκεφθῇ νὰ παρευρίσκεται αὐτὸς μαζί του στὶς βασιλικὲς αὐλές. Ἀλλὰ μᾶλλον θὰ [τὸν] φονεύσῃ ἀμέσως, ἢ ἀφοῦ [τὸν] δέσῃ θὰ [τὸν] παραδώσῃ στὰ δικά του στρατεύματα, γιὰ μακροχρόνια τιμωρία καὶ γιὰ ἐξαιρετικὰ οἰκτρὸ θάνατο.

85. Ἐὰν κάποιος, ἐξ αἰτίας τοῦ ὅτι ἐμεῖς ταυτοχρόνως σκεπτόμεθα καλὰ καὶ κακά, θεωρῇ ὅτι ἐνοι-

μα καὶ τὸν διάβολον, ὁμοῦ ἐνοικεῖν ἐν τῷ νοῒ ὑπολαμβάνει, μανθανέτω, ὅτι τοῦτο γίνεται διὰ τὸ μηδέπω ἡμᾶς γεγεῦσθαι καὶ ἑωρακέναι, ὅτι χρηστὸς ὁ Κύριος[104]*. Πρῶτον μὲν γάρ, ὡς καὶ ἀνωτέρω ἔφην, κρύπτει τὴν ἑαυτῆς παρουσίαν ἐπὶ τῶν βαπτιζομένων ἡ χάρις, ἐκδεχομένη τὴν τῆς ψυχῆς πρόθεσιν. Ἐπειδὰν δὲ ὅλως ἐπιστρέψῃ ὁ ἄνθρωπος πρὸς τὸν Κύριον, τότε ἀῤῥήτῳ τινὶ αἰσθήσει τὴν παρουσίαν αὐτῆς ἐμφαίνει τῇ καρδίᾳ. Καὶ πάλιν ἐκδέχεται τὴν τῆς ψυχῆς κίνησιν, παραχωροῦσα μέντοι τὰ δαιμονικὰ βέλη ἄχρι τῆς βαθείας αὐτῆς καταφθάνειν αἰσθήσεως, ἵνα θερμοτέρᾳ προθέσει, καὶ ταπεινῇ διαθέσει ἐκζητήσῃ τὸν Θεόν. Ἐὰν οὖν λοιπὸν ἄρξηται προβαίνων ὁ ἄνθρωπος τῇ τηρήσει τῶν ἐντολῶν, καὶ ἀπαύστως ἐπικαλῆται τὸν Κύριον Ἰησοῦν, τότε καὶ ἐπὶ τὰ ἐξώτερα αἰσθητήρια τῆς καρδίας τὸ πῦρ τῆς ἁγίας ἐπινέμεται χάριτος, τὰ ζιζάνια τῆς ἀνθρωπίνης γῆς πληροφορη-*

κοῦν μέσα στὸν νοῦ μαζὶ καὶ τὸ Ἅγιο Πνεῦμα καὶ ὁ διάβολος, ἂς μάθῃ, ὅτι αὐτὸ συμβαίνει ἐξ αἰτίας τοῦ ὅτι ἐμεῖς οὐδέποτε ἔχομε γευθῆ καὶ δῆ [μὲ τὴν νοερὰ αἴσθησι], ὅτι ὁ Κύριος [εἶναι] ἀγαθός. Διότι κατὰ πρῶτον μέν, ὅπως καὶ πιὸ πάνω εἶπα, ἡ Χάρις κρύπτει τὴν δική της παρουσία σ᾽ ἐκείνους οἱ ὁποῖοι εἶναι βαπτισμένοι, ἐπειδὴ περιμένει τὴν πρόθεσι [τὴν προαίρεσι] τῆς ψυχῆς. Ὁπόταν δὲ ἐπιστρέψῃ ὁλοκληρωτικὰ ὁ ἄνθρωπος πρὸς τὸν Κύριο, τότε μὲ κάποια ἀνέκφραστη αἴσθησι, φανερώνει [ἡ Χάρις] τὴν παρουσία της στὴν καρδία. Καὶ πάλι περιμένει τὴν κίνησι τῆς ψυχῆς, ὅταν ἔπειτα παραχωρῇ νὰ φθάσουν ξαφνικὰ τὰ δαιμονικὰ βέλη μέχρι τῆς βαθείας αἰσθήσεώς της, ὥστε νὰ ἐκζητήσῃ τὸν Θεὸ μὲ θερμότερη διάθεσι καὶ ταπεινὴ ἐσωτερικὴ κατάστασι. Ἐὰν ἑπομένως λοιπὸν ἀρχίσῃ ὁ ἄνθρωπος νὰ προοδεύῃ στὴν τήρησι τῶν ἐντολῶν καὶ ἀδιαλείπτως νὰ ἐπικαλῆται τὸν Κύριο Ἰησοῦ, τότε τὸ πῦρ τῆς ἁγίας Χάριτος ἐξαπλώνεται γρήγορα καὶ στὰ ἐξωτερικὰ αἰσθητήρια τῆς καρδίας, καταφλέγοντας μὲ [ἐσωτερικὴ] πληροφορία τὰ ζιζάνια

τικῶς καταφλέγουσα [recte: καταφλέγον]. Ὅθεν καὶ αἱ δαιμονικαὶ βουλαὶ πόῤῥω που ἐκεῖνον καταφθάνουσι τὸν τόπον, ἠρέμα λοιπὸν νύττουσαι τὸ ἐμπαθὲς τῆς ψυχῆς. Ὅτε δὲ πάσας τὰς ἀρετὰς ὁ τοῦ ἀγῶνος ἄνθρωπος ἐγκομβώσοιτο, καὶ μάλιστα τὴν τελείαν ἀκτημοσύνην, τότε τὴν πᾶσαν αὐτοῦ βαθυτέρᾳ τινὶ αἰσθήσει περιαυγάζει φύσιν, εἰς ἀγάπην αὐτὸν λοιπὸν πολλὴν περιθάλπουσα τοῦ Θεοῦ. Διόπερ ἐξωτέρω τῆς τοῦ σώματος αἰσθήσεως τότε τὰ δαιμονικὰ ἀποσβέννυται τόξα. Ἡ γὰρ αὖρα τοῦ Ἁγίου Πνεύματος, πρὸς ἀνέμους εἰρήνης κινοῦσα τὴν καρδίαν, τὰ τοῦ πυρφόρου δαίμονος εἰς ἀέρα ἔτι φερόμενα κατασβέννυσι βέλη. Πλὴν καὶ τὸν εἰς τοῦτο τὸ μέτρον φθάσαντα, παραχωρεῖ ποτε τῇ κακίᾳ τῶν δαιμόνων ὁ Θεός, ἀφώτιστον αὐτοῦ τότε τὸν νοῦν καταλιμπάνων, ἵνα τὸ αὐτεξούσιον ἡμῶν, εἰς τὸ παντελὲς μὴ ᾖ δεδεμένον τῷ δεσμῷ τῆς χάριτος, οὐ μόνον διὰ τὸ ἐξ ἀγώ-

τῆς ἀνθρωπίνης γῆς [τῆς ἐμπαθείας]. Γιὰ τοῦτο [τότε] καὶ οἱ δαιμονικὲς προσβολές, ἀπὸ κάπου μακριὰ καταφθάνουν σ᾽ ἐκεῖνο τὸν τόπο, κεντώντας πλέον [μόνον] ἀσθενικά, τὸ ἐμπαθὲς [μέρος] τῆς ψυχῆς. Ὅταν δὲ ὁ ἀγωνιστὴς ἄνθρωπος, ἤθελε ἐγκολπωθῇ ὅλες τὶς ἀρετὲς καὶ μάλιστα τὴν τελεία ἀκτημοσύνη, τότε ὁλόκληρη τὴν φύσι του καταυγάζει [ἡ Χάρις] μὲ κάποια βαθύτερη αἴσθησι, καταφλέγοντας εἰς τὸ ἑξῆς [τὴν καρδία του] γιὰ τὴν μεγάλη ἀγάπη τοῦ Θεοῦ. Γι᾽ αὐτὸ ἀκριβῶς τότε τὰ δαιμονικὰ βέλη σβήνονται ἔξω ἀπὸ τὴν αἴσθησι τοῦ σώματος [πρὶν φθάσουν στὸ σῶμα]. Διότι ἡ αὔρα τοῦ Ἁγίου Πνεύματος, κινώντας τὴν καρδία πρὸς εἰρηνικοὺς ἀνέμους, σβήνει ἐντελῶς τὰ βέλη τοῦ πυρφόρου δαίμονα, ἐνῶ ἀκόμη μεταφέρονται στὸν ἀέρα [πρὶν ἐγγίσουν τὴν καρδία]. Ἀλλὰ κάποτε παραχωρεῖ ὁ Θεὸς στὴν κακία τῶν δαιμόνων καὶ ἐκεῖνον, ὁ ὁποῖος ἔφθασε σ᾽ αὐτὸ τὸ μέτρο [τῆς ἀγάπης τοῦ Θεοῦ], ἐγκαταλείποντας τότε τὸν νοῦ του ἀφώτιστο, γιὰ νὰ μὴν εἶναι ἐξ ὁλοκλήρου δεμένο τὸ αὐτεξούσιό μας στὸ δεσμὸ τῆς Χάριτος, ὄχι μόνον γιὰ νὰ ἡττηθῇ

νων ἡττηθῆναι τὴν ἁμαρτίαν, ἀλλὰ καὶ διὰ τὸ ὀφείλειν ἔτι προκόπτειν εἰς τὴν πνευματικὴν πεῖραν τὸν ἄνθρωπον. Τὸ γὰρ τοῦ παιδευομένου νομιζόμενον τέλειον, ἀτελὲς ἔτι πρὸς τὸν πλοῦτον τοῦ παιδεύοντος Θεοῦ ἐν ἀγάπῃ ὑπάρχει φιλοτιμίας, κἂν ὅλην τὴν Ἰακὼβ δειχθεῖσαν κλίμακα[105] ἀνελθεῖν τις δυνηθῇ τῇ προκοπῇ τῶν πόνων.

πς΄. Ὁ Κύριος αὐτὸς λέγει τὸν σατανᾶν ἐκ τοῦ οὐρανοῦ πεπτωκέναι[106], ἵνα μὴ ἀφορᾷ εἰς τὰ τῶν ἁγίων Ἀγγέλων ὁ δυσειδὴς ἐνδιαιτήματα. Πῶς οὖν ὁ τῆς τῶν καλῶν δούλων κοινωνίας μὴ καταξιούμενος, κοινὸν δύναται ἔχειν μετὰ Θεοῦ οἰκητήριον τὸν ἀνθρώπινον νοῦν; Ἀλλ᾽ εἰ καὶ ἐροῦσιν, ὅτι κατὰ παραχώρησιν τοῦτο γίνεται, πλέον οὐδὲν λέξουσι. Ἡ μὲν γὰρ παιδευτικὴ παραχώρησις, οὐδαμῶς τὴν ψυχὴν τοῦ θείου φωτὸς ἀποστερεῖ, κρύπτει δὲ μόνον, ὡς ἤδη εἶπον, τὰ πολλὰ τὸν νοῦν τὴν ἑαυτῆς παρουσίαν ἡ χάρις, ἵνα προωθοῖτο ὥς

ἡ ἁμαρτία ἀπὸ τοὺς ἀγῶνες [μας], ἀλλὰ καὶ ἐξ αἰτίας τοῦ ὅτι ὀφείλει νὰ προκόπτῃ ὁ ἄνθρωπος ἀκόμη [περισσότερο] στὴν πνευματικὴ πεῖρα. Διότι ἐκεῖνο τὸ ὁποῖο θεωρεῖται τέλειο, ἀπὸ ἐκεῖνον ὁ ὁποῖος παιδαγωγεῖται, εἶναι ἀκόμη ἀτελὲς ἐν σχέσει πρὸς τὸν πλοῦτο τοῦ Θεοῦ, ὁ ὁποῖος παιδαγωγεῖ μὲ ἀγάπη γεμάτη γενναιοδωρία [γιὰ νὰ ἐξαντλήσῃ ἡ Χάρις τὶς δυνατότητες ποὺ ἔχει ἡ ψυχὴ γιὰ τελειότητα], ἀκόμη κι ἂν κάποιος μὲ τὴν προκοπὴ τῶν κόπων [του] μπορέσῃ νὰ ἀνέβῃ ὁλόκληρη τὴν κλίμακα, ἡ ὁποία ἐπιδείχθηκε στὸν Ἰακώβ.

86. Αὐτὸς ὁ ἴδιος ὁ Κύριος λέγει, ὅτι ἔχει πέσει ὁ σατανᾶς ἀπὸ τὸν οὐρανό, γιὰ νὰ μὴν στρέφῃ, ὁ δύσμορφος, τὸ βλέμμα του στοὺς τόπους διαμονῆς τῶν ἁγίων Ἀγγέλων. Πῶς ἑπομένως, ἐκεῖνος ὁ ὁποῖος δὲν ἀξιώνεται τῆς κοινωνίας μὲ τοὺς καλοὺς δούλους, εἶναι δυνατὸν νὰ ἔχῃ τὸν ἀνθρώπινο νοῦ, κοινὴ κατοικία μετὰ τοῦ Θεοῦ; Ἀλλά, ἐὰν καὶ θὰ διακηρύξουν [κάποιοι], ὅτι κατὰ παραχώρησι γίνεται αὐτό, τίποτε περισσότερο δὲν θὰ ἰσχυρισθοῦν. Διότι ἡ μὲν παιδευτικὴ παραχώρησι καθόλου δὲν ἀποστερεῖ τὴν ψυχὴ ἀπὸ τὸ θεῖο φῶς, ἀλλὰ μόνον, ὅπως ἤδη εἶπα, ἡ Χάρις κρύπτει κατὰ πολὺ τὴν παρουσία της ἀπὸ τὸν νοῦ, γιὰ νὰ σπρώχνῃ τρόπον

περ τὴν ψυχὴν τῇ πικρίᾳ τῶν δαιμόνων· διὰ τὸ μετὰ παντὸς φόβου, καὶ πολλῆς ταπεινώσεως ἐκζητεῖν αὐτὴν τὴν ἐκ Θεοῦ βοήθειαν, τὴν τοῦ ἐχθροῦ αὐτῆς ἐπιγινώσκουσαν κατ᾽ ὀλίγον κακίαν· ὃν τρόπον ἂν μήτηρ ἀτακτοῦν τὸ οἰκεῖον περὶ τοὺς θεσμοὺς τῆς γαλουχίας βρέφος, βραχὺ τῶν ἑαυτῆς ἐξωθοίη ἀγκαλῶν, ἵνα καταπληττόμενον ὑπό τινων περιεστώτων αὐτῇ σαπροειδῶν ἀνθρώπων, ἢ θηρίων οἱωνδήποτε, μετὰ φόβου πολλοῦ καὶ δακρύων εἰς τοὺς μητρῴους ἀνθυποστρέφῃ κόλπους. Ἡ δὲ κατὰ ἀποστροφὴν γινομένη παραχώρησις, ὡσανεὶ δέσμιον παραδίδωσι τὴν μὴ θέλουσαν ἔχειν ψυχὴν τὸν Θεόν, τοῖς δαίμοσι· ἡμεῖς δὲ οὐκ ἐσμὲν ὑποστολῆς τέκνα[107]*, μὴ γένοιτο, ἀλλὰ βρέφη γνήσια τῆς τοῦ Θεοῦ εἶναι χάριτος πιστεύομεν, μικραῖς παραχωρήσεσι, καὶ πυκναῖς παρακλήσεσιν ὑπ᾽ αὐτῆς γαλουχούμενα· ἵνα διὰ τῆς αὐτῆς χρηστότητος φθάσωμεν ἐλθεῖν εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πλη-*

τινὰ τὴν ψυχὴ στὴν σκληρότητα τῶν δαιμόνων· ὥστε, μὲ κάθε φόβο καὶ πολλὴ ταπείνωσι, νὰ ζητῇ αὐτὴ μὲ πόθο τὴν βοήθεια [μόνον] ἀπὸ τὸν Θεό, ἐπειδὴ ἀναγνωρίζει λίγο λίγο τὴν κακία τοῦ ἐχθροῦ της. [Αὐτὸ γίνεται] μὲ τὸν τρόπο, μὲ τὸν ὁποῖο θὰ ἔδιωχνε γιὰ λίγο ἡ μητέρα ἀπὸ τὶς ἀγκάλες της τὸ βρέφος της, ἐπειδὴ ἀτακτεῖ ὡς πρὸς τὶς συνήθειες τοῦ θηλασμοῦ, ὥστε νὰ τρομάζῃ ἀπὸ κάποιους ἀποκρουστικοὺς ἀνθρώπους, ἢ ἀπὸ ὁποιαδήποτε θηρία, τὰ ὁποῖα [δῆθεν] ἔχουν σταθῆ ὁλόγυρά της καὶ νὰ ἐπιστρέφῃ πάλι στοὺς μητρικοὺς κόλπους, μὲ πολὺ φόβο καὶ δάκρυα. Ἡ δὲ παραχώρησι, ἡ ὁποία γίνεται λόγῳ ἀποστροφῆς, ὡσὰν αἰχμάλωτη παραδίδει στοὺς δαίμονες τὴν ψυχή, ἡ ὁποία δὲν θέλει νὰ ἔχῃ τὸν Θεὸ [ὡς Πατέρα]. Ἐμεῖς ὅμως δὲν εἴμεθα τέκνα δειλίας καὶ ἀμφιταλαντεύσεως, μὴ γένοιτο, ἀλλὰ πιστεύομε ὅτι εἴμεθα γνήσια βρέφη τῆς Χάριτος τοῦ Θεοῦ, τὰ ὁποῖα γαλουχοῦνται ἀπ᾽ Αὐτήν, μὲ μικρὲς παραχωρήσεις καὶ συνεχεῖς παρηγορίες· γιὰ νὰ κατορθώσωμε νὰ φθάσωμε, διὰ τῆς ἀγαθότητός Της, στὸν τέλειο ἄνθρωπο, στὸ μέτρο τῆς ἡλικίας τοῦ πλη-

ρώματος τοῦ Χριστοῦ[108].

πζ΄. Ἡ παιδευτικὴ παραχώρησις φέρει μὲν λύπην πολλήν, καὶ ταπείνωσιν, καὶ ἀπελπισμὸν δὲ σύμμετρον τῇ ψυχῇ˙ ἵνα τὸ φιλόδοξον αὐτῆς καὶ εὐπτόητον μέρος πρεπόντως εἰς ταπείνωσιν ἔρχηται. Εὐθέως δὲ φόβον Θεοῦ, καὶ δάκρυον ἐξομολογήσεως ἐπάγει τῇ καρδίᾳ, καὶ τῆς καλλίστης σιωπῆς πολλὴν ἐπιθυμίαν˙ ἡ δὲ κατὰ ἀποστροφὴν Θεοῦ γινομένη ἀπελπισμοῦ ὁμοῦ καὶ ἀπιστίας, καὶ τύφου, καὶ ὀργῆς τὴν ψυχὴν πληρωθῆναι παραχωρεῖ. Δεῖ οὖν ἡμᾶς, εἰδότας τὴν πεῖραν τῶν ἀμφοτέρων παραχωρήσεων, κατὰ τὸν ἑκάστης τρόπον προσιέναι τῷ Θεῷ˙ ἐκεῖ μὲν γὰρ εὐχαριστίαν μετὰ τῆς ἀπολογίας προσάγειν αὐτῷ ὀφείλομεν˙ ὡς τὸ τῆς γνώμης ἡμῶν ἀκόλαστον τῇ σχολῇ τῆς παρακλήσεως κολάζοντι, ἵνα ἀρετῆς ἡμᾶς καὶ κακίας ὡς Πατὴρ ἀγαθὸς διδάσκῃ τὴν διαφοράν˙ ἐνταῦθα δὲ ἐξαγόρευσιν τῶν ἁμαρτημάτων ἄπαυστον, καὶ δάκρυον ἀνελλιπές, καὶ ἀναχώρησιν πλείονα˙ ὅπως

ρώματος τοῦ Χριστοῦ.

87. Ἡ παιδαγωγικὴ παραχώρησι, φέρνει μὲν στὴν ψυχὴ πολλὴ λύπη καὶ ταπείνωσι, μαζὶ μὲ σύμμετρο ἀπελπισμό· γιὰ νὰ ἔρχεται τὸ φιλόδοξο καὶ δειλὸ μέρος [της], ὅπως πρέπει, σὲ ταπείνωσι. Ἀμέσως δὲ προξενεῖ στὴν καρδία δάκρυ ἐξομολογήσεως καὶ πολλὴ ἐπιθυμία γιὰ τὴν·ἀρίστη σιωπή. Ἡ δὲ [παραχώρησι], ἡ ὁποία γίνεται λόγῳ τῆς ἀποστροφῆς πρὸς τὸν Θεό, ἐπιτρέπει νὰ γεμίσῃ ἡ ψυχὴ μὲ ἀπελπισία μαζὶ καὶ μὲ ἀπιστία καὶ ἀλαζονεία καὶ ὀργή. Πρέπει ἑπομένως ἐμεῖς, γνωρίζοντας τὴν ἐμπειρία καὶ τῶν δύο παραχωρήσεων, σύμφωνα μὲ τὸν χαρακτῆρα τῆς καθεμιᾶς, νὰ προσεγγίζωμε τὸν Θεό. Διότι ἐκεῖ μὲν [στὴν παιδαγωγικὴ παραχώρησι] ὀφείλομε νὰ προσφέρωμε σ᾿ Αὐτὸν εὐγνωμοσύνη μαζὶ μὲ ἀπολογία· διότι τιμωρεῖ μὲ παιδαγωγικὸ μάθημα τὸ ἀκόλαστο τῆς σκέψεώς μας, γιὰ νὰ μᾶς διδάσκῃ ὡς Πατέρας ἀγαθὸς τὴν διαφορὰ μεταξὺ ἀρετῆς καὶ κακίας. Ἐδῶ δὲ [στὴν ἐξ ἀποστροφῆς παραχώρησι ὀφείλομε νὰ προσφέρωμε σ᾿ Αὐτόν], συνεχῆ ἐξαγόρευσι τῶν ἁμαρτημάτων καὶ δάκρυ ἀκατάπαυστο καὶ ἐντονώτερη ἀναχώρησι [ἀπὸ τὸν κόσμο]· γιὰ

ἂν οὕτω δυνηθῶμεν τῇ προσθήκῃ τῶν πόνων δυσωπῆσαι τὸν Θεὸν ἐπιβλέψαι ὡς τὸ πρὶν εἰς τὰς καρδίας ἡμῶν. Πλὴν δεῖ εἰδέναι, ὅτι ὅταν κατ᾽ οὐσιώδη συμβολὴν τῇ ψυχῇ καὶ τῷ σατανᾷ ἡ μάχη γίνεται, ἐπὶ τῆς παιδευτικῆς λέγω παραχωρήσεως, ὑποστέλλει μὲν ἡ χάρις ἑαυτήν, ὡς καὶ ἤδη εἶπον, ἀγνώστῳ δὲ τῇ ψυχῇ συνεργεῖ βοηθείᾳ, ἵνα τὴν νίκην τῆς ψυχῆς εἶναι μόνον ἐπιδεικνύῃ, τοῖς ἐχθροῖς αὐτῆς.

πη΄. Ὥς περ ὅταν τις τῇ χειμερινῇ ὥρᾳ ἐν ὑπαιθρίῳ που ἑστηκὼς τόπῳ, ἀφορῶν δὲ πρὸς ἀνατολὰς ὅλως ἐν ἀρχῇ τῆς ἡμέρας τὰ μὲν ἐμπρόσθια αὐτοῦ μέρη πάντα ὑποθερμαίνηται ὑπὸ τοῦ ἡλίου, τὰ δὲ ὀπίσθια αὐτοῦ πάντα ἄμοιρα ᾖ τῆς θέρμης, διὰ τὸ μὴ εἶναι κατὰ κεφαλῆς αὐτοῦ τὸν ἥλιον· οὕτω καὶ οἱ εἰς ἀρχὴν ὄντες πνευματικῆς ἐνεργείας, περιθάλπονται μὲν μερικῶς ποτε ὑπὸ τῆς ἁγίας χάριτος τὴν καρδίαν, διόπερ καὶ πνευματικὰ τότε ὁ νοῦς αὐτῶν καρποφορεῖν ἄρχεται φρονήματα· φανε-

νὰ μπορέσωμε ἴσως κατ᾽ αὐτὸν τὸν τρόπο, μὲ τὴν αὔξησι τῶν κόπων, νὰ καταπείσωμε τὸν Θεὸ νὰ ἐπιβλέψῃ, ὅπως πρίν, στὶς καρδίες μας. Ἀλλὰ πρέπει νὰ γνωρίζωμε, ὅτι ὅταν γίνεται ἡ μάχη μεταξὺ τῆς ψυχῆς καὶ τοῦ σατανᾶ, μὲ συμπλοκὴ ἐπὶ τῇ βάσει τῆς ὑπάρξεως – μιλῶ σχετικὰ μὲ τὴν παιδευτικὴ παραχώρησι - ὑποστέλλει μὲν ἡ Χάρις τὸν ἑαυτό Της, ὅπως καὶ ἤδη εἶπα, ἀλλὰ συνεργεῖ στὴν ψυχὴ μὲ ἀφανῆ βοήθεια, γιὰ νὰ ἐπιδεικνύῃ στοὺς ἐχθρούς της, ὅτι ἡ νίκη εἶναι μόνον τῆς ψυχῆς.

88. Ὅπως ἀκριβῶς, ὅταν κάποιος κατὰ τὴν χειμερινὴ ἐποχή, ἔχῃ σταθῆ κάπου σὲ ὑπαίθριο χῶρο, στραμμένος τελείως πρὸς τὴν ἀνατολή, στὴν ἀρχὴ τῆς ἡμέρας, τὰ μὲν ἔμπροσθεν μέρη του θερμαίνονται ὁλόκληρα ἐλαφρῶς ἀπὸ τὸν ἥλιο, τὰ δὲ ὄπισθεν [μέρη] του ὅλα εἶναι ἀμέτοχα τῆς θερμότητος, λόγῳ τοῦ ὅτι ὁ ἥλιος δὲν πέφτει στὸ κεφάλι του· κατὰ τὸν ἴδιο τρόπο καὶ ἐκεῖνοι, οἱ ὁποῖοι εἶναι στὴν ἀρχὴ πνευματικῆς ἐνεργείας, ζεσταίνονται μὲν κάποτε μερικῶς ἀπὸ τὴν ἁγία Χάρι κατὰ τὴν καρδία, γι᾽ αὐτὸ ἀκριβῶς καὶ ὁ νοῦς τους, τότε ἀρχίζει νὰ παράγῃ πνευματικὰ νοήματα· παραμένουν ὅμως [κάποια] μέρη αὐτῆς [τῆς καρδίας] ἀκάλυπτα [ἀπὸ

ρὰ δὲ αὐτῆς μέρη μένουσι κατὰ σάρκα φρονοῦντα, διὰ τὸ μηδέπω ἅπαντα τὰ μέλη τῆς καρδίας ἐν βαθείᾳ αἰσθήσει ὑπὸ τοῦ Ἁγίου φωτὸς καταυγάζεσθαι τῆς χάριτος. Ὅπερ τινὲς μὴ νοήσαντες, δύο ὑποστάσεις ἐνόμισαν ἑαυταῖς, ὥς περ ἀντικαθεστηκυίαις ἐν τῷ νοῒ τῶν ἀγωνιζομένων εἶναι. Οὕτως οὖν ἐν τῇ αὐτῇ ῥοπῇ καὶ καλά, καὶ οὐ καλὰ συμβαίνει τὴν ψυχὴν ἐννοεῖν, ὃν τρόπον ὁ τοῦ ὑποδείγματος ἄνθρωπος ἐν τῇ αὐτῇ θίξει, καὶ ῥιγᾷ, καὶ θάλπεται· ἀφ᾽ οὗ γὰρ ὁ νοῦς ἡμῶν εἰς τὸ διπλοῦν τῆς γνώσεως ἀπωλίσθησε, ἀνάγκην ἔχει ἔκτοτε, κἂν μὴ θέλῃ, κατὰ τὴν αὐτὴν ῥοπὴν καὶ καλὰ καὶ φαῦλα φέρειν διανοήματα, μάλιστα ἐπὶ τῶν εἰς λεπτότητα διακρίσεως ἐρχομένων. Ὡς γὰρ σπεύδει ἀεὶ τὸ καλὸν ἐννοεῖν, εὐθὺς καὶ τοῦ κακοῦ μέμνηται· ἐπειδὴ εἰς διπλῆν τινα ἔννοιαν ἔσχισται ἀπὸ τῆς Ἀδὰμ παρακοῆς ἡ τοῦ ἀνθρώπου μνήμη. Ἐὰν οὖν ἀρξώμεθα θερμῷ ζήλῳ τὰς ἐντολὰς τοῦ Θεοῦ διαπράτ-

τὴν θεία Χάρι], ἐπειδὴ φρονοῦν κατὰ σάρκα, λόγῳ τοῦ ὅτι οὐδέποτε καταυγάζονται μὲ βαθειὰ αἴσθησι ἀπὸ τὸ Ἅγιο Φῶς τῆς Χάριτος ὅλα τὰ μέλη τῆς καρδίας. Τὸ ὁποῖο ἀκριβῶς, ἐπειδὴ κάποιοι δὲν ἀντελήφθησαν, ἐνόμισαν ὅτι εἶναι δύο ὑποστάσεις [δύο πρόσωπα], οἱ ὁποῖες τρόπον τινὰ ἔχουν ἔλθη σὲ ἀντιπαράταξι μεταξύ τους, μέσα στὸν νοῦ τῶν ἀγωνιζομένων. Ἔτσι λοιπόν, μὲ τὴν ἴδια ροπὴ συμβαίνει νὰ δίδῃ ἡ ψυχὴ καὶ τὰ καλὰ καὶ τὰ μὴ καλά, μ᾽ ἐκεῖνο τὸν τρόπο μὲ τὸν ὁποῖο ὁ ἄνθρωπος τοῦ παραδείγματος καὶ ριγᾷ [ἀπὸ τὸ κρύο] καὶ ζεσταίνεται, μὲ τὴν ἴδια ἐπαφὴ [μὲ τὸν ἥλιο]. Διότι, ἀφοῦ ὁ νοῦς μας διολίσθησε στὸ διπλὸ τῆς γνώσεως, ἔκτοτε ἀναγκάζεται ἀκόμη κι ἂν δὲν θέλῃ, νὰ φέρῃ μὲ τὴν ἴδια ροπὴ καὶ καλὰ καὶ ἄσχημα νοήματα, μάλιστα [ὁ νοῦς] ἐκείνων, οἱ ὁποῖοι φθάνουν σὲ λεπτότητα διακρίσεως. Διότι ὅπως σπεύδει πάντοτε νὰ σκέπτεται τὸ καλό, ἀμέσως ἔχει θυμηθῆ καὶ τὸ κακό· ἐπειδὴ ἀπὸ τὴν παρακοὴ τοῦ Ἀδάμ, ἡ μνήμη τοῦ ἀνθρώπου ἔχει διαχωρισθῆ σὲ κάποια διπλῆ σκέψι. Ἐὰν ἑπομένως ἀρχίσωμε μὲ θερμὸ ζῆλο νὰ ἐπιτελοῦμε τὶς ἐντολὲς τοῦ

τεσθαι, ἅπαντα ἡμῶν τὰ αἰσθητήρια ἐν βαθείᾳ τινὶ αἰσθήσει φωτίζουσα ἡ χάρις, τὰ μὲν ἡμέτερα ὥς περ καταφλέγει ἐνθυμήματα, ἡδύνουσα δὲ ἡμῶν τὴν καρδίαν ἐν εἰρήνῃ τινὶ φιλίας ἀνενδότου, πνευματικά τινα, καὶ οὐκ ἔτι κατὰ σάρκα λογίζεσθαι ἡμᾶς παρασκευάζει˙ τοῦτο δὲ τοῖς ἐγγίζουσι τῇ τελειότητι συνεχῶς ἄγαν συμβαίνει, οἵτινες ἄπαυστον ἔχουσιν ἐν τῇ καρδίᾳ τὴν μνήμην τοῦ Κυρίου.

πθ΄. Δύο ἡμῖν καλὰ ἡ χάρις ἡ ἁγία διὰ τοῦ βαπτίσματος περιποιεῖται τῆς ἀναγεννήσεως, ὧντινων τὸ ἓν ἀπείρως τοῦ ἑνὸς ὑπερβάλλει˙ ἀλλὰ τὸ μὲν ἕν, εὐθέως χαρίζεται˙ ἀνακαινίζει γὰρ ἡμᾶς ἐν αὐτῷ τῷ ὕδατι, καὶ πάσας τὰς γραμμὰς τῆς ψυχῆς, τουτέστι τὸ κατ᾽ εἰκόνα, λαμπρύνει, πᾶσαν τὴν ῥυτίδα τῆς ἁμαρτίας ἡμῶν ἀπονίπτουσα˙ τὸ δὲ ἕτερον, ἐκδέχεται ἵνα σὺν ἡμῖν ἐργάσηται, ὅπερ ἐστὶ τὸ καθ᾽ ὁμοίωσιν. Ὅτε γοῦν ἄρξεται ὁ νοῦς ἐν πολλῇ αἰσθήσει γεύεσθαι τῆς χρηστότητος τοῦ Παναγίου Πνεύματος,

Θεοῦ, ἡ Χάρις φωτίζοντας μὲ κάποια βαθειὰ αἴσθησι ὅλα τὰ αἰσθητήριά μας, τοὺς μὲν δικούς μας λογισμοὺς τρόπον τινὰ καταφλέγει, γλυκαίνοντας δὲ τὴν καρδία μας, μὲ κάποια εἰρήνη ἀκατάπαυστης ἀγάπης, μᾶς προδιαθέτει νὰ μὴν σκεπτώμεθα πλέον λογισμοὺς σύμφωνα μὲ τὴν σάρκα, ἀλλὰ κάποια πνευματικὰ [θεωρήματα]. Αὐτὸ δὲ συμβαίνει διαρκῶς σ᾽ ἐκείνους, οἱ ὁποῖοι ἐγγίζουν στὴν τελειότητα, οἱ ὁποῖοι ἔχουν ἀδιάλειπτη μέσα στὴν καρδία τους τὴν μνήμη τοῦ Κυρίου.

89. Ἡ Ἁγία Χάρις, διὰ τοῦ Βαπτίσματος τῆς ἀναγεννήσεως, μᾶς προσφέρει δύο καλά, ἀπὸ τὰ ὁποῖα τὸ ἕνα, εἶναι ἀπείρως ἀνώτερο τοῦ ἄλλου. Ἀλλὰ τὸ μὲν ἕνα ἀμέσως χαρίζεται. Διότι [ἡ Χάρις] μᾶς ἀνακαινίζει μέσα σ᾽ αὐτὸ τὸ ἴδιο τὸ νερό, καὶ λαμπρύνει ὅλες τὶς γραμμὲς τῆς ψυχῆς, δηλαδὴ τὸ κατ᾽ εἰκόνα, καθαρίζοντας καλά, κάθε πτυχὴ τῆς ἁμαρτίας μας. Τὸ δὲ ἄλλο, τὸ ὁποῖο ἀκριβῶς εἶναι τὸ καθ᾽ ὁμοίωσιν, [ἡ Χάρις] περιμένει γιὰ νὰ [τὸ] ἐργασθῇ μαζί μας [μὲ τὴν συμμετοχὴ τῆς προαιρέσεώς μας]. Ὅταν βεβαίως ὁ νοῦς ἀρχίσῃ μὲ πολλὴ αἴσθησι νὰ γεύεται τὴν ἀγαθότητα τοῦ Παναγίου Πνεύματος,

τότε ὀφείλομεν εἰδέναι, ὅτι ἄρχεται ἡ χάρις ὥς περ ἐπιζωγραφεῖν εἰς τὸ κατ᾽ εἰκόνα τὸ καθ᾽ ὁμοίωσιν. Ὃν γὰρ τρόπον οἱ ζωγράφοι, πρῶτον μὲν ἑνὶ χρώματι διαγράφουσι τὸ σχῆμα τοῦ ἀνθρώπου, χροιᾷ δὲ τὴν χροιὰν κατ᾽ ὀλίγον ἐπανθίζοντες, οὕτω τοῦ ὁμοιογραφουμένου ἄχρι καὶ τῶν τριχῶν ἀποσῴζουσι τὸ εἶδος˙ οὕτω καὶ ἡ ἁγία χάρις τοῦ Θεοῦ, πρῶτον μὲν διὰ τοῦ βαπτίσματος εἰς τὸ ὅπερ ἦν, ὅτε ἐγένετο ἄνθρωπος, ῥυθμίζει τὸ κατ᾽ εἰκόνα˙ ὅτε δὲ ἡμᾶς ἴδῃ ἐκ πάσης προθέσεως ἐπιθυμοῦντας τοῦ κάλλους τῆς ὁμοιώσεως, καὶ ἑστῶτας γυμνοὺς καὶ ἀπτοήτους εἰς τὸ ταύτης ἐργαστήριον, τότε ἀρετῇ τὴν ἀρετὴν ἐπανθίζουσα, καὶ ἀπὸ δόξης εἰς δόξαν τὸ τῆς ψυχῆς εἶδος ἀναφέρουσα, τὸν χαρακτῆρα τῆς ὁμοιώσεως αὐτῇ περιποιεῖ. Ὥστε οὖν ἡ μὲν αἴσθησις δηλοῖ ἡμᾶς μορφοῦσθαι τὸ καθ᾽ ὁμοίωσιν, τὸ δὲ τέλειον τῆς ὁμοιώσεως ἐκ τοῦ φωτισμοῦ γνωσόμεθα. Πάσας μὲν γὰρ τὰς ἀρετὰς διὰ τῆς αἰσθήσεως ὁ νοῦς, κατὰ μέτρον τι καὶ ῥυθμὸν ἄρρητον

τότε ὀφείλομε νὰ γνωρίζωμε, ὅτι ἀρχίζει ἡ Χάρις τρόπον τινὰ νὰ ζωγραφίζῃ πάνω στὸ κατ᾽εἰκόνα τὸ καθ᾽ ὁμοίωσιν. Διότι μὲ ὅποιο τρόπο οἱ ζωγράφοι, κατὰ πρῶτον μέν, σχεδιάζουν μὲ ἕνα χρῶμα τὸ σχῆμα τοῦ ἀνθρώπου, προσθέτοντας βαθμηδὸν δέ, μὲ ποικιλία ἀπόχρωσι στὴν ἀπόχρωσι, διασώζουν πανομοιότυπα, μέχρι καὶ στὶς τρίχες, τὴν μορφὴ ἐκείνου ποὺ ἀντιγράφουν· κατὰ τὸν ἴδιο τρόπο καὶ ἡ Ἁγία Χάρις τοῦ Θεοῦ, πρῶτα μὲν διὰ τοῦ Ἁγίου Βαπτίσματος, μορφώνει τὸ κατ᾽ εἰκόνα, σ᾽ ἐκεῖνο ἀκριβῶς τὸ ὁποῖο ἦταν ὁ ἄνθρωπος, ὅταν δημιουργήθηκε. Ὅταν ὅμως μᾶς δῇ νὰ ἐπιθυμοῦμε μὲ ὅλη μας τὴν διάθεσι τὸ κάλλος τῆς ὁμοιώσεως [μὲ τὸν Θεὸ] καὶ ἔχωμε σταθῆ γυμνοὶ [ἐλεύθεροι ἀπὸ τὶς ἐπιθυμίες τοῦ κόσμου] καὶ σταθεροὶ στὸ ἐργαστήριο Της, τότε προσθέτοντας μὲ ποικιλία ἀρετὴ στὴν ἀρετή, καὶ ἀνυψώνοντας τὴν μορφὴ τῆς ψυχῆς ἀπὸ δόξα σὲ δόξα, παρέχει σ᾽ αὐτὴν τὸν χαρακτῆρα τῆς ὁμοιώσεως. Ὥστε λοιπόν, ἡ μὲν [πνευματική μας] αἴσθησι δύναται νὰ μᾶς ἀποδεικνύῃ, ὅτι λαμβάνομε μορφὴ ἐν σχέσει πρὸς τὸ καθ᾽ ὁμοίωσιν, θὰ γνωρίσωμε ὅμως τὸ τέλειον τῆς ὁμοιώσεως ἀπὸ τὸ φωτισμό. Διότι ὅλες μὲν τὶς ἀρετὲς [τὶς] λαμβάνει ὁ νοῦς, προκόπτοντας βαθμηδὸν διὰ τῆς αἰσθήσεως, σύμφωνα μὲ κάποιο ἀνερμήνευτο

προκόπτων, ἀπολαμβάνει· τὴν δὲ πνευματικὴν οὐ δύναταί τις ἀγάπην κτήσασθαι, εἰ μὴ ἐν πάσῃ πληροφορίᾳ φωτισθῇ παρὰ τοῦ Ἁγίου Πνεύματος· ἐὰν γὰρ μὴ τελείως τὸ καθ᾽ ὁμοίωσιν διὰ τοῦ θείου φωτὸς ἀπολάβῃ ὁ νοῦς, πάσας μὲν τὰς ἄλλας ἀρετὰς σχεδὸν ἔχειν δύναται, τῆς δὲ τελείας ἀγάπης ἔτι ἄμοιρος μένει. Ὅταν γὰρ ὁμοιωθῇ τῇ τοῦ Θεοῦ ἀρετῇ (ὡς χωρεῖ δὲ ἄνθρωπος λέγω ὁμοιωθῆναι Θεῷ), τότε καὶ τῆς θείας ἀγάπης φέρει τὴν ὁμοίωσιν. Ὡς γὰρ ἐπὶ τῶν ὁμοιογραφουμένων τὸ ἀνθηρότερον τῶν χρωμάτων χρῶμα προστεθὲν τῇ εἰκόνι, ἄχρι καὶ τοῦ μειδιᾶσαι ἀποσῴζει τὴν τοῦ ὁμοιογραφουμένου ὁμοιότητα, οὕτω καὶ ἐπὶ τῶν εἰς θείαν ὁμοίωσιν παρὰ τῆς θείας χάριτος διαζωγραφουμένων, ὁ φωτισμὸς τῆς ἀγάπης προστιθείς, εἰς τὴν τοῦ καθ᾽ ὁμοίωσιν ὁλοκλήρως εὐπρέπειαν δηλοῖ εἶναι τὸ κατ᾽ εἰκόνα· οὔτε γὰρ ἀπάθειαν ἄλλη δύναται ἀρετὴ περιποιήσασθαι τῇ ψυχῇ, εἰ μὴ ἡ ἀγάπη μόνη· πλήρωμα γὰρ νόμου ἡ ἀγάπη[109]*·*

μέτρο καὶ ἀναλογία. Τὴν πνευματικὴ ὅμως ἀγάπη δὲν δύναται κανεὶς νὰ ἀποκτήσῃ, ἐὰν δὲν φωτισθῇ ἀπὸ τὸ Ἅγιο Πνεῦμα μὲ κάθε πληροφορία. Διότι ἐὰν ὁ νοῦς τελείως δὲν λάβῃ διὰ τοῦ θείου Φωτὸς βαθμηδὸν τὸ καθ᾽ ὁμοίωσιν, ὅλες μὲν τὶς ἄλλες ἀρετὲς μπορεῖ σχεδὸν νὰ [τὶς] ἔχῃ, ἀλλὰ ἀκόμη μένει ἀμέτοχος τῆς τελείας ἀγάπης. Διότι ὅταν ὁμοιωθῇ μὲ τὴν ἀρετὴ τοῦ Θεοῦ (ὅσον εἶναι δυνατόν, δηλαδὴ λέγω, νὰ ὁμοιωθῇ ὁ ἄνθρωπος μὲ τὸν Θεό), τότε παίρνει καὶ τὴν ὁμοίωσι τῆς θείας ἀγάπης. Διότι ὅπως, ὡς πρὸς ὅσα πανομοιότυπα ἀντιγράφονται, ὅταν προστεθῇ στὴν εἰκόνα τὸ ζωηρότερο ἀπὸ τὰ χρώματα, διασῴζει μέχρι καὶ τὸ χαμόγελο, ὅσον ἀφορᾷ τὴν ὁμοιότητα ἐκείνου ποὺ ἀντιγράφεται πανομοιότυπα, κατὰ τὸν ἴδιο τρόπο καὶ ὅσον ἀφορᾷ ἐκείνους οἱ ὁποῖοι ζωγραφίζονται, ἀπὸ τὴν θεία Χάρι, μὲ ποικίλα χρώματα, μὲ σκοπὸ τὴν θεία ὁμοίωσι, ὅταν προστεθῇ ὁ φωτισμὸς τῆς θείας ἀγάπης, ἤθελε δείξῃ σαφῶς, ὅτι τὸ κατ᾽ εἰκόνα βρίσκεται πλήρως στὴν μεγαλοπρέπεια τοῦ καθ᾽ ὁμοίωσιν. Διότι οὔτε μπορεῖ ἄλλη ἀρετὴ νὰ παρέξῃ στὴν ψυχὴ τὴν ἀπάθεια, παρὰ μόνη ἡ ἀγάπη· διότι ἡ ἀγάπη [εἶναι] τὸ πλήρωμα τοῦ νόμου·

ὥστε οὖν ἀνακαινοῦται μὲν ἡμέρᾳ καὶ ἡμέρᾳ ὁ ἔσω ἡμῶν ἄνθρωπος[110] *ἐν τῇ γεύσει τῆς ἀγάπης, πληροῦται δὲ ἐν τῇ ταύτης τελειότητι.*

ϟ΄. Γεύει μὲν τὸ Πανάγιον Πνεῦμα ἐν ἀρχῇ τῆς προκοπῆς, εἴπερ θερμῶς ἐρασθῶμεν τῆς ἀρετῆς τοῦ Θεοῦ, τὴν ψυχὴν ἐν πάσῃ αἰσθήσει καὶ πληροφορίᾳ τῆς γλυκύτητος τοῦ Θεοῦ, ἵνα ἔχῃ εἰδέναι ὁ νοῦς ἐν ἀκριβεῖ ἐπιγνώσει τὸ τέλειον ἔπαθλον τῶν φιλοθέων πόνων· κρύπτει δὲ λοιπὸν ἐπὶ πολὺ τὴν τοῦ ζωοποιοῦ τούτου δώρου πολυτέλειαν, ἵνα κἂν πάσας τὰς ἄλλας ἀρετὰς κατεργαζώμεθα, μηδὲν ὅλως ἑαυτοὺς ὑπονοῶμεν εἶναι, διὰ τὸ μηδέπω ὥς περ εἰς ἕξιν ἔχειν τὴν ἁγίαν ἀγάπην. Οὕτως οὖν τότε ὁ τοῦ μίσους δαίμων ταῖς τῶν ἀγωνιζομένων διοχλεῖ ψυχαῖς, ὥστε καὶ αὐτοὺς τοὺς ἀγαπῶντας αὐτοὺς πρὸς μῖσος διαβάλλειν καὶ ἄχρι σχεδὸν τοῦ φιλήματος φέρειν τὴν φθοροποιὸν τοῦ μίσους ἐνέργειαν. Ὅθεν πλέον ἀλγύνεται ἡ ψυχή, φέρουσα μὲν τὴν μνήμην τῆς πνευμα-

ὥστε λοιπὸν ἀνακαινίζεται μὲν μὲ τὴν γεῦσι τῆς ἀγάπης, ἡμέρα μὲ τὴν ἡμέρα ὁ ἐσωτερικός μας ἄνθρωπος, καθίσταται δὲ πλήρης μὲ τὴν τελειότητα αὐτῆς [τῆς ἀγάπης].

90. Τὸ Πανάγιο Πνεῦμα στὴν ἀρχὴ τῆς [πνευματικῆς] προκοπῆς, ἐὰν βέβαια θερμῶς ἀγαπήσωμε μὲ πόθο τὴν ἀρετὴ τοῦ Θεοῦ, δίδει στὴν ψυχὴ νὰ γευθῇ μὲ κάθε αἴσθησι καὶ πληροφορία τὴν γλυκύτητα τοῦ Θεοῦ, γιὰ νὰ γνωρίζῃ ὁ νοῦς, μὲ ἀκριβῆ ἐπίγνωσι, τὸ τελικὸ ἔπαθλο τῶν πνευματικῶν ἀγώνων· κρύπτει δὲ ἔπειτα γιὰ πολὺ διάστημα τὴν πολυτέλεια τοῦ ζωοποιοῦ αὐτοῦ δώρου, ὥστε, κι ἂν ἀκόμη ἐργαζώμεθα ὅλες τὶς ἄλλες ἀρετές, νὰ συμπεραίνωμε γιὰ τοὺς ἑαυτούς μας, ὅτι δὲν εἴμεθα ἐντελῶς τίποτα, ἐξ αἰτίας τοῦ ὅτι ἀκόμη δὲν ἔχομε τρόπον τινὰ φθάσει στὴν κατάστασι τῆς θείας ἀγάπης. Κατ᾽ αὐτὸν τὸν τρόπο λοιπὸν τότε ὁ δαίμονας τοῦ μίσους παρενοχλεῖ τὶς ψυχὲς τῶν ἀγωνιστῶν, ὥστε νὰ διαβάλλῃ πρὸς μῖσος [ἐναντίον τους] καὶ ἐκείνους [ἀκόμη], οἱ ὁποῖοι τοὺς ἀγαποῦν, καὶ νὰ [τοὺς] φθάνῃ στὴν καταστρεπτικὴ ἐνέργεια τοῦ μίσους, σχεδὸν μέχρι τοῦ φιλήματος [δηλαδὴ τῆς προδοσίας]. Ὑποφέρει λοιπὸν περισσότερο ἡ ψυχή, διότι ἐνῶ ἔχει τὴν μνήμη τῆς πνευμα-

τικῆς ἀγάπης, μὴ δυναμένη δὲ αὐτὴν ἐν αἰσθήσει κτήσασθαι, διὰ τῶν τελειοτάτων πόνων ὑστέρησιν. Χρεία οὖν αὐτὴν τέως ἐκ βίας κατεργάζεσθαι, ἵνα τὴν γεῦσιν αὐτῆς ἐν πάσῃ αἰσθήσει καταφθάσωμεν, καὶ πληροφορίᾳ. Τὸ γὰρ τέλειον αὐτῆς οὐδεὶς ἐν τῇ σαρκὶ ὢν ταύτῃ δύνασθαι κτήσασθαι, εἰ μὴ μόνον οἱ ἄχρι μαρτυρίου, καὶ τελείας ἀνθομολογήσεως ἐλθόντες ἅγιοι, ἐπειδὴ ὁ τούτῳ τυχών, ἀλλάσσεται ὅλος, καὶ οὔτε τροφῆς εὐχερῶς ὀρέγεται. Τῷ γὰρ ὑπὸ τῆς θείας ἀγάπης τρεφομένῳ, ποία ἔσται ἐπιθυμία τῶν ἐν κόσμῳ καλῶν; Διὰ τοῦτο ὁ σοφώτατος Παῦλος, τὸ μέγα δοχεῖον τῆς γνώσεως, τὴν μέλλουσαν τρυφὴν τῶν δικαίων ἡμᾶς ἐκ τῆς αὐτοῦ πληροφορίας εὐαγγελιζόμενος, οὕτω λέγει· οὐκ ἔστιν ἡ βασιλεία τῶν οὐρανῶν βρῶσις καὶ πόσις, ἀλλὰ δικαιοσύνη καὶ εἰρήνη, καὶ χαρὰ ἐν Πνεύματι Ἁγίῳ[111]· ἅτινά ἐστιν ὁ καρπὸς τῆς τελείας ἀγάπης. Ὥστε οὖν γεύεσθαι μὲν αὐτῆς ἐνταῦθα συνε-

τικῆς ἀγάπης, ὅμως δὲν δύναται νὰ ἀποκτήσῃ αὐτὴν μὲ αἴσθησι, λόγῳ ὑστερήσεως τῶν πλέον τελείων [ἀσκητικῶν] κόπων [δηλαδὴ δὲν ἔχει ἀκόμη φθάσει στὴν ἀρτιότητα τῶν ἀσκητικῶν της ἀγώνων]. [Εἶναι] ἑπομένως ἀνάγκη, μέχρι τότε νὰ τὴν ἐργαζώμεθα μὲ τὴν βία, γιὰ νὰ φθάσωμε αἴφνης στὴν γεῦσι αὐτῆς [τῆς θείας ἀγάπης], μὲ κάθε αἴσθησι καὶ πληροφορία. Διότι, τὴν τελεία ἔκφρασι αὐτῆς δὲν δύναται κανεὶς νὰ ἀποκτήσῃ, ὅσο εὑρίσκεται μὲ αὐτὴν τὴν σάρκα, παρὰ μόνον οἱ Ἅγιοι, οἱ ὁποῖοι ἔφθασαν μέχρι τοῦ μαρτυρίου καὶ τῆς τελείας ὁμολογίας, ἐπειδὴ ἐκεῖνος ποὺ τοῦ συνέβη [ἡ κατάστασι τῆς τελείας ἀγάπης], μεταμορφώνεται ὁλόκληρος καὶ δὲν ἐπιθυμεῖ εὔκολα οὔτε τροφή. Διότι ποιὰ ἐπιθυμία τῶν καλῶν στὸν κόσμο μπορεῖ νὰ ὑπάρχῃ, γιὰ ἐκεῖνον ὁ ὁποῖος τρέφεται ἀπὸ τὴν θεία ἀγάπη; Γιὰ τοῦτο ὁ σοφώτατος Παῦλος, τὸ μέγα δοχεῖο τῆς γνώσεως, ἀναγγέλοντάς μας τὴν μελλοντικὴ ἀπόλαυσι τῶν δικαίων, ἀπὸ τὴν δική του πληροφορία [ἐμπειρία], ἀναφέρει μ᾽ αὐτὸν τὸν τρόπο: «δὲν εἶναι ἡ βασιλεία τῶν οὐρανῶν φαγητὸ καὶ ποτό, ἀλλὰ δικαιοσύνη καὶ εἰρήνη καὶ χαρὰ ἐν Πνεύματι Ἁγίῳ»· τὰ ὁποῖα εἶναι ὁ καρπὸς τῆς τελείας ἀγάπης. Ὥστε ἑπομένως ἐκεῖνοι, οἱ ὁποῖοι προκόπτουν στὴν τελειότητα, μποροῦν νὰ γεύωνται ἐδῶ συνε-

χῶς οἱ εἰς τελειότητα προκόπτοντες δύνανται. Τελείως δὲ αὐτὴν οὐδεὶς δύναται κτήσασθαι, εἰμὴ ὅταν καταποθῇ τελείως τὸ θνητὸν ὑπὸ τῆς ζωῆς[112].

ϟα'. Διηγήσατό μοί τις τῶν ἀπλήστῳ τινὶ γνώμῃ ἀγαπώντων τὸν Θεόν, ὅτι ἐπιθυμήσαντί μοι γνωστῶς γνῶναι τὴν ἀγάπην τοῦ Θεοῦ, παρέσχε τοῦτο ἐν αἰσθήσει πολλῇ καὶ πληροφορίᾳ ὁ Ἀγαθός. Καὶ τοσοῦτον, φησί, τῆς τοιαύτης ἐνεργείας ᾐσθόμην, ὥστε ἐπείγεσθαι μὲν τότε τὴν ψυχὴν μετὰ ἀνεκλαλήτου τινὸς χαρᾶς καὶ ἀγάπης ἐκβῆναι ἐκ τοῦ σώματος, καὶ ἀπελθεῖν πρὸς τὸν Κύριον, ἀγνοεῖν δὲ ὥς περ, τῆς προσκαίρου ταύτης ζωῆς τὸν τρόπον. Ὁ δὲ ταύτης τῆς ἀγάπης ἐν πείρᾳ γενόμενος, κἂν μυρία παρά τινος ὑβρισθῇ, ἢ ζημιωθῇ συμβαίνει γὰρ αὐτὸν ἔχειν ἔτι τὸν τοιοῦτόν τινα μέλλοντα διαπονεῖσθαι, οὐκ ὀργίζεται κατ' αὐτοῦ. Ἀλλὰ μένει ὡσανεὶ τῇ τοῦ ὑβρίσαντος αὐτόν, ἢ καὶ ζημιώσαντος ψυχῇ κεκολλημένος. Κατ' ἐκείνων δὲ μόνον ἀνάπτεται, οἵτινες

χῶς αὐτὴν [τὴν τελεία ἀγάπη]. Τελείως ὅμως δὲν μπορεῖ κανεὶς αὐτὴν νὰ ἀποκτήσῃ, παρὰ μόνον, ὅταν καταποθῇ ἐντελῶς τὸ θνητὸ [τοῦ ἀνθρώπου] ἀπὸ τὴν Ζωή.

91. Μοῦ διηγήθηκε κάποιος ἀπὸ ἐκείνους ποὺ ἀγαποῦν τὸν Θεὸ μὲ κάποια ἀκόρεστη διάθεσι, ὅτι καθὼς ἐπιθυμοῦσα νὰ γνωρίσω σαφῶς τὴν ἀγάπη τοῦ Θεοῦ, μοῦ τὸ χάρισε ὁ Ἀγαθὸς μὲ πολλὴ αἴσθησι καὶ πληροφορία. Καὶ τόσο πολύ, λέγει, αἰσθάνθηκα αὐτοῦ τοῦ εἴδους τὴν ἐνέργεια, ὥστε ἡ ψυχὴ τότε, ἀφ᾽ ἑνὸς νὰ ἐπείγεται, μὲ κάποια ἀνεκλάλητο χαρὰ καὶ ἀγάπη, νὰ ἐξέλθῃ ἀπὸ τὸ σῶμα καὶ νὰ ἀναχωρήσῃ πρὸς τὸν Κύριο, ἀφ᾽ ἑτέρου τρόπον τινά, νὰ μὴν γνωρίζῃ ὁτιδήποτε ἀφορᾶ τὴν πρόσκαιρη αὐτὴ ζωή. Ἐκεῖνος δέ, ποὺ ἔφθασε μὲ ἐμπειρία σ᾽ αὐτὴν τὴν ἀγάπη, ἀκόμη κι ἂν ἀπερίγραπτα ὑβρισθῇ πολὺ ἀπὸ κάποιον ἢ ζημιωθῇ - διότι συμβαίνει νὰ ἔχῃ αὐτὸς ἐπιπλέον κάποιον τέτοιον [ἄνθρωπο], ὁ ὁποῖος πρόκειται νὰ [τὸν] ὑποβάλλῃ σὲ δοκιμασίες – δὲν ὀργίζεται ἐναντίον του. Ἀλλὰ μένει, ὡσὰν νὰ εἶναι συνδεδεμένος μὲ τὴν ψυχὴ ἐκείνου, ὁ ὁποῖος [τὸν] ἐξύβρισε ἢ ἐζημίωσε. Παροργίζεται δὲ μόνον ἐναντίον ἐκείνων, οἱ ὁποῖοι

ἢ κατὰ πενήτων ἔρχονται, ἢ κατὰ τοῦ Θεοῦ, ὡς λέγει ἡ Γραφή, λαλοῦσιν ἀδικίαν[113]*, ἢ ἄλλως πως βιοῦσι πονηρῶς. Ὁ γὰρ ὑπὲρ ἑαυτὸν λοιπὸν πολὺ φιλῶν τὸν Θεόν, μᾶλλον δὲ ὁ μηκέτι ἑαυτὸν φιλῶν, ἀλλὰ τὸν Θεὸν μόνον, οὐκ ἔτι τὴν ἑαυτοῦ τιμὴν ἐκδικεῖ, ἀλλὰ μόνον τὴν τοῦ τιμήσαντος αὐτὸν ἐν τιμῇ αἰωνίῳ θέλει τιμᾶσθαι δικαιοσύνην. Τοῦτο δὲ οὐκ ἔτι ὡς ἐκ θελήσεώς τινος ὀλίγης ἔχει, ἀλλ' ὥς περ εἰς ἕξιν λοιπὸν τὴν τοιαύτην ἔχει διάθεσιν, διὰ πολλὴν πεῖραν τῆς τοῦ Θεοῦ ἀγάπης. Πρὸς δὲ τούτοις δεῖ εἰδέναι, ὅτι ὁ εἰς τοσαύτην ἀγάπην ἐνεργούμενος ὑπὸ τοῦ Θεοῦ, ἐπάνω καὶ πίστεως γίνεται ἐν τῷ καιρῷ τῆς ἐνεργείας τῆς τοιαύτης, ὡς ἐν αἰσθήσει λοιπὸν τῆς καρδίας κρατῶν διὰ τῆς πολλῆς ἀγάπης τὸν πίστει τιμώμενον, ὅπερ ἡμῖν σαφῶς κατασημαίνει ὁ Ἅγιος Παῦλος λέγων· νυνὶ δὲ μένει τὰ τρία ταῦτα, πίστις, ἐλπίς, ἀγάπη, μείζων δὲ τούτων ἡ ἀγάπη*[114]*. Ὁ γὰρ ἐν πλούτῳ*

ἢ κινοῦνται ἐναντίον τῶν πτωχῶν ἢ ὁμιλοῦν, ὅπως λέγει ἡ [Ἁγία] Γραφή, ἐναντίον τοῦ Θεοῦ ἄδικα ἢ μὲ ἄλλο τρόπο, ζοῦν κάπως πονηρά. Διότι ἐκεῖνος λοιπόν, ὁ ὁποῖος ἀγαπᾶ τὸν Θεὸ πολὺ περισσότερο ἀπὸ τὸν ἑαυτό του, μᾶλλον δὲ ἐκεῖνος ὁ ὁποῖος δὲν ἀγαπᾶ τὸν ἑαυτόν του, ἀλλὰ μόνον τὸν Θεό, δὲν ὑπερασπίζεται εἰς τὸ ἑξῆς τὴν δική του τιμή, ἀλλὰ θέλει νὰ τιμᾶται μόνον ἡ ἁγιότης Ἐκείνου, ὁ ὁποῖος τὸν τίμησε μὲ αἰώνια τιμή. Ἀλλὰ αὐτὸ δὲν εἶναι πλέον προερχόμενο ἀπὸ κάποια μικρὴ ἐπιθυμία [του], ἀλλὰ ἔχει αὐτὴ τὴν διάθεσι εἰς τὸ ἑξῆς, τρόπον τινὰ ὡς κατάστασι, ἐξ αἰτίας τῆς πολλῆς [του] ἐμπειρίας ἀπὸ τὴν ἀγάπη τοῦ Θεοῦ. Ἐπιπλέον δέ, πρέπει νὰ γνωρίζωμε, ὅτι ἐκεῖνος ὁ ὁποῖος ἐνεργεῖται ὑπὸ τοῦ Θεοῦ σὲ τόσο μεγάλη ἀγάπη, γίνεται κατὰ τὸν χρόνον τῆς ἐνεργείας αὐτῆς [τῆς ἀγάπης] ὑπεράνω καὶ τῆς πίστεως, διότι πλέον κρατᾶ πράγματι μὲ αἴσθησι τῆς καρδίας, ἐξ αἰτίας τῆς πολλῆς ἀγάπης, Ἐκεῖνον ὁ ὁποῖος τιμᾶται ἕνεκα τῆς πίστεως, τὸ ὁποῖο ἀκριβῶς δηλώνει σαφῶς ὁ Ἅγιος Παῦλος λέγοντας: «ἀλλὰ τώρα ἀκριβῶς [στὴν παροῦσα ζωή], μένουν αὐτὰ τὰ τρία, ἡ πίστι, ἡ ἐλπίδα, ἡ ἀγάπη. Μεγαλυτέρα δὲ μεταξὺ αὐτῶν εἶναι ἡ ἀγάπη». Διότι ἐκεῖνος ὁ ὁποῖος κατέχει τὸν Θεὸ μὲ πλοῦτο

ἀγάπης, ὡς ἔφην, κρατῶν τὸν Θεόν, μείζων ἐστὶ πολὺ τότε τῆς ἑαυτοῦ πίστεως ὡς ὅλος ὢν ἐν πόθῳ.

ϟβʹ. Ἡ μεσότης τῆς ἐνεργείας τῆς ἁγίας γνώσεως, οὐ μικρῶς ἡμᾶς λυπεῖσθαι παρασκευάζει, ὅταν, ἐκ παροξυσμοῦ τινος ὑβρίσαντές τινα, ἐχθρὸν αὐτὸν ἑαυτοῖς κατασκευάσωμεν. Διόπερ οὐδέποτε ἐνδίδωσι νύττουσα τὴν συνείδησιν ἡμῶν, ἕως ὅτε διὰ τῆς πολλῆς ἀπολογίας εἰς τὴν παλαιὰν ἐπαναγάγωμεν τὸν ὑβρισθέντα διάθεσιν. Ἡ δὲ ἀκροτάτη αὐτῆς διάνοιξις, καὶ ὅταν ἀδίκως τις τῶν τοῦ κόσμου ἀνθρώπων καθ᾽ ἡμῶν ὀργισθῇ, ἀδολεσχεῖν ἡμᾶς καὶ φροντίζειν ἄγαν ποιεῖ· ἐπειδὴ ὅλως πρόσκομμά τινι τῶν ἐκ τοῦ αἰῶνος τούτου ἁπάντων γινόμεθα, ὅθεν καὶ ἀργὸς τότε ὁ νοῦς περὶ τὴν θεολογίαν γίνεται. Ἀγάπη γὰρ ὢν ὅλως ὁ λόγος τῆς γνώσεως, οὐ συγχωρεῖ τὴν διάνοιαν πλατυνθῆναι πρὸς σύλληψιν θεωρημάτων θείων, εἰμὴ πρῶτον ἀπολάβωμεν ἐν τῇ ἀγάπῃ καὶ τὸν εἰκῇ ὀργιζόμενον ἡμῖν. Εἰδὲ

ἀγάπης, ὅπως εἶπα, εἶναι τότε πολὺ μεγαλύτερος τῆς πίστεώς του, ἐπειδὴ εἶναι πράγματι ὁλόκληρος μέσα στὸν πόθο [τοῦ Θεοῦ].

92. Ἡ μεσότης τῆς ἐνεργείας τῆς ἁγίας γνώσεως μᾶς φέρνει στὴν κατάστασι νὰ λυπούμεθα ὄχι λίγο, ὅταν, ἐξ αἰτίας κάποιου παροξυσμοῦ, καταστήσαμε κάποιον ἐχθρό μας, ἀφοῦ τὸν ὑβρίσαμε. Γι᾽ αὐτὸ ἀκριβῶς, οὐδέποτε ὑποχωρεῖ [ἡ ἐνέργεια τῆς θείας γνώσεως] νὰ κεντᾷ τὴν συνείδησί μας, ἕως ὅτου μὲ τὴν πολλὴ ἀπολογία ἐπαναφέρωμε ἐκεῖνον, ποὺ ὑβρίσθηκε, στὴν πρώτη κατάστασι. Ἡ δὲ ἀκραία διεύρυνσι [ἡ τελεία ἐνέργεια τῆς θείας γνώσεως], καὶ ὅταν κάποιος ἀπὸ τοὺς ἀνθρώπους τοῦ κόσμου ὀργισθῇ ἀδίκως ἐναντίον μας, μᾶς κάνει νὰ ἀσχολούμεθα καὶ νὰ φροντίζωμε πολὺ [γιὰ τὴν συμφιλίωσι]· ἐπειδὴ γενικῶς γινόμεθα πρόσκομμα [γιὰ τὴν σωτηρία] σὲ κάποιον ἐξ ὅλων τῶν [ἀνθρώπων] τοῦ αἰῶνος τούτου, γιὰ τοῦτο καὶ γίνεται ὁ νοῦς τότε ἀδρανὴς σχετικὰ μὲ τὴν θεολογία. Διότι, ἐπειδὴ ὁ λόγος τῆς γνώσεως εἶναι ἡ καθ᾽ ὁλοκληρίαν ἀγάπη, δὲν ἐπιτρέπει νὰ πλατυνθῇ ἡ διάνοια γιὰ νὰ συλλάβῃ θεῖα θεωρήματα, ἐὰν πρῶτα δὲν ἐπαναφέρωμε μέσα στὴν ἀγάπη καὶ ἐκεῖνον, ὁ ὁποῖος ἄνευ λόγου ὀργίζεται ἐναντίον μας. Ἐὰν

ἐκεῖνος οὐ θέλει τοῦτο γενέσθαι, ἢ πάλιν ἀπέστη τῶν ἡμετέρων διατριβῶν, τὸν χαρακτῆρα ἡμᾶς τοῦ προσώπου αὐτοῦ λοιπὸν προσήκει τῇ ἑαυτῶν ἐν ἀσυστάλτῳ [recte: ἀσυστάτῳ] τινὶ τῆς ψυχῆς χύματι [recte: σχήματι][ιδʹ] *προστιθέντας διαθέσει, οὕτως ἐν τῷ βάθει τῆς καρδίας τῆς ἀγάπης ἀποπληροῦν τὸν νόμον. Δεῖ γάρ, φησί, καὶ τὰ τῶν χολώντων ἀκαίρως πρόσωπα, ἀχόλῳ τῇ ἐννοίᾳ ἐν τῇ ἑαυτῶν ἐνορᾷν διανοίᾳ, τοὺς θέλοντας ἔχειν γνῶσιν Θεοῦ. Τούτου δὲ γινομένου, οὐ μόνον περὶ τὴν θεολογίαν ὁ νοῦς ἡμῶν ἀπταίστως κινηθήσεται, ἀλλὰ καὶ εἰς τὴν ἀγάπην τοῦ Θεοῦ μετὰ πολλῆς ἀναβήσεται παῤῥησίας, ὡς ἐκ δευτέρας βαθμίδος εἰς πρώτην ἀνεμποδίστως ἐπειγόμενος.*

ϟγ'. Ἡ τῆς ἀρετῆς ὁδός, τοῖς μὲν ἀρχομένοις ἐρᾷν τῆς εὐσεβείας, τραχεῖα καὶ κατάστυγνος φαίνεται, οὐ διὰ τὸ ἐκείνην τοιαύτην εἶναι, ἀλλὰ διὰ τὸ τὴν ἀνθρωπείαν φύσιν εὐθὺς ἐκ γαστρὸς τῷ πλάτει συναναστρέφεσθαι

ὅμως ἐκεῖνος δὲν θέλῃ νὰ γίνῃ αὐτό, ἢ πάλι ἀπεχώρησε ἀπὸ τὶς δικές μας συναναστροφές, ἐπιβάλλεται ἐμεῖς ὕστερα μὲ τὴν [ἀγαπητικὴ] διάθεσι τῆς ψυχῆς μας νὰ σχηματίσωμε νοητῶς τὸν χαρακτῆρα τοῦ προσώπου του, μὲ κάποια σκιώδη μορφή, ἐκπληρώνοντας κατ᾿ αὐτὸν τὸν τρόπο τὸν νόμο τῆς ἀγάπης, μέσα στὸ βάθος τῆς καρδίας [μας]. Διότι πρέπει, λέγει, αὐτοὶ ποὺ θέλουν νὰ ἔχουν τὴν γνῶσι τοῦ Θεοῦ, νὰ θεωροῦν μέσα στὴν διάνοιά τους νοερῶς, μὲ λογισμὸ χωρὶς κακία, καὶ τὰ πρόσωπα ἐκείνων, ποὺ χωρὶς λόγο τοὺς μισοῦν. Ὅταν βέβαια γίνεται αὐτό, ὁ νοῦς μας, ὄχι μόνον θὰ κινηθῇ ἀπλανῶς, ὅσον ἀφορᾶ τὴν θεολογία, ἀλλὰ καὶ στὴν ἀγάπη τοῦ Θεοῦ θὰ ἀνεβῇ μὲ μεγάλη παρρησία, σπεύδοντας πράγματι ἀνεμπόδιστα ἀπὸ τὴν δεύτερη [τὴν ἀγάπη τοῦ ἀδελφοῦ] στὴν πρώτη βαθμίδα [στὴν ἀγάπη τοῦ Θεοῦ].

93. Ἡ ὁδὸς τῆς ἀρετῆς φαίνεται σ᾿ ἐκείνους μέν, ποὺ ἀρχίζουν νὰ ποθοῦν τὴν εὐσέβεια, σκληρὴ καὶ περίλυπη, ὄχι διότι ἐκείνη εἶναι τέτοια, ἀλλὰ διότι ἡ ἀνθρώπινη φύσι, ἀμέσως ἀπὸ τὴν κοιλία [τῆς μητέρας - ἀπὸ τὴν γέννησι], συναναστρέφεται

τῶν ἡδονῶν. Τοῖς δὲ τὸ μέσον αὐτῆς παρελθεῖν δυνηθεῖσι, προσηνὴς ὅλη καὶ ἄνετος δείκνυται. Τῷ γὰρ καλῷ ἔθει τὸ φαῦλον ὑποταγὲν διὰ τῆς ἐνεργείας τοῦ ἀγαθοῦ, τῇ τῶν ἀλογίστων ἡδονῶν συναπόλλυται μνήμῃ. Ὅθεν λοιπὸν ἡδέως ἡ ψυχὴ τὰς τρίβους ἁπάσας διαπορεύεται τῶν ἀρετῶν. Διὰ τοῦτο ὁ Κύριος, εἰσάγων μὲν ἡμᾶς εἰς τὴν ὁδὸν τῆς σωτηρίας, λέγει, ὅτι στενὴ καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ ὀλίγοι δι᾿ αὐτῆς εἰσπορεύονται[115]. Πρὸς δὲ τοὺς θέλοντας πολλῇ τῇ προθέσει προσιέναι τῇ τῶν ἁγίων αὐτοῦ ἐντολῶν τηρήσει, φησίν· ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι[116]. Δεῖ οὖν παρὰ τὴν ἀρχὴν τῆς ἀγωνίας, βιαίῳ τινὶ θελήματι τὰς ἁγίας τοῦ Θεοῦ κατεργάζεσθαι ἐντολάς· ἵνα θεωρήσας ἡμῶν ὁ ἀγαθὸς Κύριος τὸν σκοπὸν καὶ τὸν κόπον, ἕτοιμον ἡμῖν τὸ θέλημα αὐτοῦ, ἡδέως ἄγαν τοῖς αὐτοῦ ὑπηρετοῦσιν ἐνδόξοις θελήμασι, καταπέμψῃ. Παρὰ γὰρ Κυ-

μὲ τὴν ἄνεσι τῶν ἡδονῶν. Σ᾿ ἐκείνους ὅμως, ποὺ μπόρεσαν νὰ ἀνέβουν στὸ μέσον αὐτῆς [τῆς ὁδοῦ τῆς ἀρετῆς], φανερώνεται ὅλη τερπνὴ καὶ ἄνετη. Διότι, καθὼς ἡ κακὴ συνήθεια ὑποτάσσεται συνήθως στὴν καλή, ἀφανίζεται [ἡ κακὴ συνήθεια], μαζὶ μὲ τὴν μνήμη τῶν παραλόγων ἡδονῶν, διὰ τῆς ἐνεργείας τοῦ ἀγαθοῦ [μὲ τὴν ἄσκησι τοῦ καλοῦ]. Ὁπότε πλέον ἡ ψυχὴ μὲ εὐχαρίστησι διατρέχει ὅλους τοὺς δρόμους τῶν ἀρετῶν. Γι᾿ αὐτὸ ὁ Κύριος, ὅταν μὲν μᾶς εἰσάγῃ, κατὰ τὴν ἀρχὴ τοῦ ἀγῶνος, στὴν ὁδὸ τῆς σωτηρίας, λέγει, ὅτι στενὴ καὶ γεμάτη θλίψεις [εἶναι] ἡ ὁδός, ἡ ὁποία ὁδηγεῖ στὴν ζωὴ καὶ [εἶναι] λίγοι ὅσοι εἰσέρχονται δι᾿ αὐτῆς. Πρὸς ἐκείνους δέ, οἱ ὁποῖοι θέλουν νὰ ἀκολουθοῦν μὲ πολλὴ διάθεσι, τὴν τήρησι τῶν ἁγίων ἐντολῶν Του, λέγει: «ὁ ζυγός μου βέβαια ἀγαθὸς καὶ τὸ φορτίο μου εἶναι ἐλαφρύ». Πρέπει, ἑπομένως, στὴν ἀρχὴ τοῦ ἀγῶνος νὰ ἐργαζώμεθα τὶς ἁγίες ἐντολὲς τοῦ Θεοῦ, μὲ κάποια βίαιη καὶ ὁρμητικὴ θέλησι, ὥστε, ὅταν δῇ ὁ ἀγαθὸς Κύριος τὴν πρόθεσι καὶ τὸν κόπο μας, θὰ ἀποστείλῃ σ᾿ ἐμᾶς, οἱ ὁποῖοι ὑποτασσόμεθα πάρα πολὺ εὐχαρίστως στὰ ἔνδοξα θελήματά Του, ἑτοιμασμένο [εὔκολο] τὸ θέλημά Του [θὰ εἶναι ἄνετος ὁ ἀγῶνας μας γιὰ τὴν ἐκκοπὴ τοῦ θελήματός μας]. Διότι τὸ θέλημα ἑτοι-

ρίου τότε ἑτοιμάζεται θέλησις[117]· ὥστε ἐν πολλῇ τινι ἡμᾶς χαρᾷ ἐργάζεσθαι ἀπαύστως τὸ ἀγαθόν. Τότε γὰρ ὄντως αἰσθησόμεθα, ὅτι ὁ Θεός ἐστιν ὁ ἐνεργῶν ἐν ἡμῖν τὸ θέλειν, καὶ τὸ ἐνεργεῖν ὑπὲρ τῆς εὐδοκίας[118].

ϟδ΄. Ὃν τρόπον μὴ θερμανθεὶς ἢ μαλαχθεὶς ὁ κηρὸς ἐπὶ πολύ, οὐ δύναται τὴν ἐπιτιθεμένην αὐτῷ σφραγῖδα δέξασθαι, οὕτως οὐδὲ ἄνθρωπος, ἐὰν μὴ διὰ πόνων, καὶ ἀσθενειῶν δοκιμασθῇ, οὐ δύναται χωρῆσαι τῆς τοῦ Θεοῦ ἀρετῆς τὴν σφραγῖδα. Διὰ τοῦτο ὁ μὲν Κύριος λέγει τῷ θεσπεσίῳ Παύλῳ· ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται[119]. Αὐτὸς δὲ ὁ Ἀπόστολος καυχᾶται λέγων· ἥδιστα οὖν μᾶλλον καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου, ἵνα ἐπισκηνώσῃ ἐπ᾽ ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ[120]. Ἀλλὰ καὶ ἐν ταῖς παροιμίαις γέγραπται· ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται[121]. Καὶ ὁ μὲν Ἀπόστολος ἀσθενείας

μάζεται τότε ἀπὸ τὸν Κύριο· ὥστε ἐμεῖς νὰ ἐργαζώμεθα ἀκαταπαύστως μὲ μιὰ μεγάλη χαρὰ τὸ ἀγαθό. Τότε βέβαια ὄντως θὰ αἰσθανθοῦμε, ὅτι ὁ Θεὸς εἶναι ἐκεῖνος, ὁ ὁποῖος ἐνεργεῖ μέσα μας, τὸ νὰ θέλωμε [τὸ θέλημά μας] καὶ τὸ νὰ ἐνεργοῦμε, γιὰ χάρι τοῦ κατ᾽ εὐδοκίαν ἁγίου θελήματός Του.

94. Κατὰ τό φυσικὸ μέτρο, σύμφωνα μὲ τὸν ὁποῖο, ἐὰν τὸ κερὶ δὲν θερμανθῇ ἢ γιὰ πολλὴ ὥρα δὲν μαλαχθῇ, δὲν μπορεῖ νὰ δεχθῇ τὴν σφραγῖδα, ἡ ὁποία τίθεται ἐπάνω σ᾽ αὐτό, σύμφωνα μὲ τὸ ἴδιο φυσικὸ μέτρο οὔτε ὁ ἄνθρωπος, ἐὰν δὲν δοκιμασθῇ μὲ πόνους καὶ ἀσθένειες, δὲν δύναται νὰ δεχθῇ τὴν σφραγῖδα τῆς ἀρετῆς τοῦ Θεοῦ. Γι᾽ αὐτὸ ὁ μὲν Κύριος λέγει στὸν θεσπέσιο Παῦλο: «σοῦ ἀρκεῖ ἡ Χάρις μου· διότι ἡ δύναμί μου φαίνεται τελειοτέρα μέσα στὴν ἀσθένεια». Ὁ ἴδιος δὲ ὁ Ἀπόστολος καυχᾶται λέγοντας: «λοιπὸν θὰ καυχηθῶ περισσότερο μὲ μεγάλη εὐχαρίστησι γιὰ τὶς ἀσθένειές μου, γιὰ νὰ κατοικήσῃ σ᾽ ἐμένα ἡ δύναμι τοῦ Χριστοῦ». Ἀλλὰ καὶ στὶς Παροιμίες ἔχει γραφῆ: «παιδαγωγεῖ βέβαια ὁ Κύριος ἐκεῖνον τὸν ὁποῖο ἀγαπᾶ, μαστιγώνει δὲ τὸν καθένα τὸν ὁποῖο παραδέχεται υἱό [Του]». Καὶ ὁ μὲν Ἀπόστολος ὀνομάζει ἀσθέ-

λέγει τὰς ἐπαναστάσεις τῶν ἐχθρῶν τοῦ σταυροῦ[122]*, αἵτινες συνεχῶς αὐτῷ τε, καὶ πᾶσι τοῖς τότε ἁγίοις συνέβαινον, ἵνα μὴ ὑπεραίρωνται, ὡς αὐτὸς λέγει, τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων, ἀλλὰ μᾶλλον ἐνέμενον διά τῆς ταπεινώσεως τῷ σχήματι τῆς τελειότητος, διὰ τῶν πυκνῶν ἐξουδενώσεων, τὸ θεῖον δῶρον ὁσίως φυλάττοντες. Ἡμεῖς δὲ νῦν ἀσθενείας τοὺς πονηροὺς λογισμοὺς λέγωμεν, καὶ τὰς σωματικὰς ἀνωμαλίας. Τότε μὲν γὰρ ἐπειδὴ αἰκίαις θανατηφόροις, καὶ διαφόροις ἑτέραις θλίψεσι τὰ σώματα τῶν κατὰ τῆς ἁμαρτίας ἀγωνιζομένων ἁγίων παρεδίδοντο, ἐπάνω ἦσαν πολὺ τῶν τῇ ἀνθρωπείᾳ φύσει ἐκ τῆς ἁμαρτίας ἐπεισελθόντων παθῶν. Νῦν δέ, ἐπειδὴ ἡ εἰρήνη πληθύνεται, διὰ τὸν Κύριον, τῶν ἐκκλησιῶν, διὰ τοῦτο δεῖ συνεχέσι μὲν ἀνωμαλίαις τὸ σῶμα, λογισμοῖς δὲ πονηροῖς τὰς ψυχὰς τῶν ἀγωνιστῶν τῆς εὐσεβείας δοκιμάζεσθαι, μάλιστα παρ᾽ οἷς ἡ γνῶσις ἐν πάσῃ αἰσθήσει καὶ πληροφορίᾳ ἐνεργεῖ, ἵνα καὶ*

νειες τὶς ἐπιθέσεις ἀπὸ τοὺς ἐχθροὺς τοῦ σταυροῦ, οἱ ὁποῖες συνεχῶς συνέβαιναν καὶ σ᾽ αὐτὸν καὶ σὲ ὅλους τοὺς τότε ἁγίους, γιὰ νὰ μὴν ὑπερηφανεύωνται, ὅπως ὁ ἴδιος λέγει, ἕνεκα τοῦ πολλοῦ πλήθους τῶν ἀποκαλύψεων, ἀλλὰ μᾶλλον ἔμεναν σταθεροί, διὰ τῆς ταπεινώσεως, στὴν κατάστασι τῆς τελειότητος, προφυλάσσοντας μὲ τὶς συνεχεῖς ἐξουδενώσεις ὁσίως τὸ θεῖο δῶρο. Ἐμεῖς δὲ τώρα ὀνομάζομε ἀσθένειες τοὺς πονηροὺς λογισμοὺς καὶ τὶς σωματικὲς ἀρρώστιες. Διότι τότε μέν, ἐπειδὴ τὰ σώματα τῶν ἁγίων ποὺ ἀγωνίζονταν ἐναντίον τῆς ἁμαρτίας, παρεδίδοντο σὲ θανατηφόρες κακοποιήσεις καὶ διάφορες ἄλλες ταλαιπωρίες, ἦσαν πολὺ ὑπεράνω τῶν παθῶν, τὰ ὁποῖα εἰσήχθησαν ἔπειτα στὴν ἀνθρώπινη φύσι ἀπὸ τὴν ἁμαρτία. Σήμερα ὅμως, ἐπειδὴ μὲ τὴν Χάρι τοῦ Κυρίου αὐξάνεται ἡ εἰρήνη τῶν ἐκκλησιῶν, γιὰ τοῦτο πρέπει νὰ δοκιμάζεται τὸ σῶμα μὲν τῶν ἀγωνιστῶν τῆς εὐσεβείας μὲ συνεχεῖς ἀσθένειες, οἱ ψυχὲς δὲ μὲ πονηροὺς λογισμούς, κατ᾽ ἐξοχὴν σ᾽ ἐκείνους στοὺς ὁποίους ἡ [θεία] γνῶσι ἐνεργεῖ μὲ κάθε αἴσθησι καὶ πληροφορία, γιὰ νὰ

πάσης κενοδοξίας καὶ μετεωρισμοῦ ἐκτὸς ὑπάρχωσι, καὶ χωρῆσαι δυνηθῶσι, ὡς ἔφην, ἐν ταῖς καρδίαις αὐτῶν διὰ πολλῆς ταπεινώσεως τοῦ θείου κάλλους τὴν σφραγῖδα, κατὰ τὸν λέγοντα ἅγιον· ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε[123]*. Δεῖ οὖν εὐχαριστοῦντες ὑπομένειν τὴν βουλὴν τοῦ Κυρίου. Τότε γὰρ ἡμῖν εἰς λόγον δευτέρου μαρτυρίου, τό τε συνεχὲς τῶν νόσων, καὶ ἡ πρὸς τοὺς δαιμονιώδεις λογισμοὺς μάχη, λογισθήσεται. Ὁ γὰρ λέγων τότε τοῖς ἁγίοις μάρτυσι διὰ τῶν ἀνόμων ἐκείνων ἀρχόντων ἀρνήσασθαι τὸν Χριστόν, ποθῆσαι δὲ τὰς βιωτικὰς δόξας, καὶ νῦν τ' αὐτὰ ἐφέστηκε δι' ἑαυτοῦ τοῖς δούλοις τοῦ Θεοῦ ἀδιαλείπτως λέγων. Ὁ τότε ἀλγύνων τὰ τῶν δικαίων σώματα, καὶ ὑβρίζων ἐσχάτως τοὺς τιμίους διδασκάλους διὰ τῶν ὑπηρετούντων τοῖς διαβολικοῖς ἐκείνοις φρονήμασι, αὐτὸς καὶ νῦν τοῖς τῆς εὐσεβείας ὁμολογηταῖς ἐπάγει τὰ διάφορα παθήματα, μετὰ ὕβρεων πολλῶν καὶ*

εὑρίσκωνται ἔξω καὶ ἀπὸ κάθε κενοδοξία καὶ μετεωρισμὸ καὶ νὰ μπορέσουν νὰ δεχθοῦν, ὅπως εἶπα, μέσα στὶς καρδίες τους, διὰ τῆς πολλῆς ταπεινώσεως, τὴν σφραγῖδα τοῦ θείου κάλλους, σύμφωνα μὲ τὸν Ἅγιο [Δαυΐδ], ὁ ὁποῖος λέγει: «σημειώθηκε ἐπάνω μας, Κύριε, τὸ φῶς τοῦ προσώπου Σου». Πρέπει ἑπομένως, εὐχαριστῶντας, νὰ ὑπομένωμε τὸ θέλημα τοῦ Κυρίου. Διότι τότε θὰ μᾶς λογισθῇ μὲ ἀντιστοιχία δευτέρου μαρτυρίου καὶ τὸ συνεχὲς τῶν νόσων καὶ ἡ μάχη ἐναντίον τῶν δαιμονικῶν λογισμῶν. Διότι ἐκεῖνος ὁ ὁποῖος ἔλεγε στοὺς ἁγίους μάρτυρες τότε, μέσῳ τῶν ἀνόμων ἐκείνων ἀρχόντων, νὰ ἀρνηθοῦν τὸν Χριστὸ καὶ νὰ ποθήσουν τὶς κοσμικὲς δόξες, καὶ σήμερα ἔχει σταθῆ γιὰ νὰ λέγῃ ἀδιαλείπτως τὰ ἴδια, μέσῳ τοῦ ἰδίου τοῦ ἑαυτοῦ του, στοὺς δούλους τοῦ Θεοῦ. Ἐκεῖνος, ποὺ τότε προξενοῦσε πόνο στὰ σώματα τῶν δικαίων καὶ ὕβριζε στὸν ἔσχατο βαθμὸ τοὺς τιμίους διδασκάλους, μέσῳ ἐκείνων οἱ ὁποῖοι ὑποτάσσονταν στὰ διαβολικὰ ἐκεῖνα φρονήματα, αὐτὸς ὁ ἴδιος καὶ τώρα προξενεῖ τὶς διάφορες ἀσθένειες στοὺς ὁμολογητὲς τῆς εὐσεβείας, μαζὶ μὲ πολλὲς περιφρονήσεις καὶ

ἐξουδενώσεων˙ ὅτε μάλιστα πολλῇ δυνάμει τοῖς καταπονουμένοις πένησι διὰ τὴν δόξαν τοῦ Κυρίου βοηθοῦσι. Καὶ διὰ τοῦτο ἐχρῆν μετὰ ἀσφαλείας καὶ ὑπομονῆς τὸ μαρτύριον τῆς συνειδήσεως ἡμῶν κατεργάζεσθαι ἡμᾶς ἐνώπιον τοῦ Θεοῦ. Ὑπομένων γάρ, φησίν, ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι[124].

ϟε΄. Δυσπόριστον πρᾶγμα ἡ ταπεινοφροσύνη. Ὅσῳ γὰρ μέγα ἐστί, τοσούτῳ μετὰ πολλῶν ἀγώνων κατορθοῦται˙ παραγίνεται δὲ τοῖς μετόχοις τῆς ἁγίας γνώσεως κατὰ δύο τρόπους˙ ὅτε μὲν γὰρ ἐν μεσότητί ἐστι τῆς πνευματικῆς πείρας ὁ τῆς εὐσεβείας ἀγωνιστής, δι᾽ ἀσθένειαν σώματος ἢ διὰ τοὺς ἀκαίρως ἐχθραίνοντας τοῖς τοῦ δικαίου φροντίζουσιν, ἢ διὰ τοὺς λογισμοὺς τοὺς πονηρούς, ταπεινότερόν πως ἔχει τὸ φρόνημα˙ ὅτε δὲ ἐν αἰσθήσει πολλῇ καὶ πληροφορίᾳ ὁ νοῦς ὑπὸ τῆς ἁγίας καταυγασθῇ χάριτος, τότε ὥσπερ φυσικὴν ἔχει τὴν ταπεινοφροσύνην ἡ ψυχή. Καταπιαινομένη γὰρ ὑπὸ τῆς θείας χρηστότητος, οὐ δύναται οὐκ

ἐξουδενώσεις· ὅταν μάλιστα μὲ πολλὴ δύναμι, γιὰ τὴν δόξα τοῦ Κυρίου, βοηθοῦν τοὺς καταπονημένους πτωχούς. Καὶ γι᾽ αὐτὸ ἐμεῖς εἶναι ἀνάγκη νὰ κατεργαζώμεθα ἐνώπιον τοῦ Θεοῦ τὴν μαρτυρία τῆς συνειδήσεως, μὲ σταθερότητα καὶ ὑπομονή. Διότι ὑπομένοντας, λέγει [ὁ Ἅγιος Ψαλμωδὸς Δαυΐδ] ὑπέμεινα τὸν Κύριο καὶ μοῦ ἔδωσε προσοχή.

95. Ἡ ταπεινοφροσύνη [εἶναι] πρᾶγμα ποὺ δύσκολα ἀποκτᾶται. Διότι ὅσο μεγάλο εἶναι, τόσο μὲ πολλοὺς ἀγῶνες κατορθώνεται. Κατοικεῖ ὅμως σ᾽ ἐκείνους ποὺ εἶναι μέτοχοι τῆς ἁγίας γνώσεως μὲ δύο τρόπους. [Ὁ ἕνας τρόπος] λοιπόν, ὅταν ὁ ἀγωνιστὴς τῆς εὐσεβείας εἶναι σὲ μέση κατάστασι τῆς πνευματικῆς πείρας, ἔχει κάπως ταπεινότερο τὸ φρόνημά [του], ἐξ αἰτίας ἀσθενείας τοῦ σώματος ἢ ἐξ αἰτίας ἐκείνων οἱ ὁποῖοι γίνονται ἄδικα ἐχθροί, σὲ ὅσους λαμβάνουν μέριμνα γιὰ τὸ δίκαιο [τὴν ἀρετὴ] ἢ ἐξ αἰτίας τῶν πονηρῶν λογισμῶν, [οἱ ὁποῖοι ταπεινώνουν τὸν ἀγωνιστὴ γιὰ τὴν ποιότητά τους]. [Ὁ δεύτερος τρόπος] δὲ [εἶναι], ὅταν ὁ νοῦς καταυγασθῇ ἀπὸ τὴν ἁγία Χάρι, μὲ πολλὴ αἴσθησι καὶ πληροφορία· τότε ἡ ψυχὴ κατέχει τὴν ταπεινοφροσύνη, τρόπον τινὰ ὡς φυσικὴ [κατάστασι]. Διότι, πλουτιζομένη ἀπὸ τὴν θεία ἀγαθότητα, δὲν δύναται πλέον

ἔτι εἰς τὸν ὄγκον τῆς φιλοδοξίας ἐπαίρεσθαι, κἂν ἀπαύστως τὰς ἐντολὰς κατεργάζοιτο τοῦ Θεοῦ· ταπεινοτέραν δὲ μᾶλλον ἑαυτὴν τῶν πάντων διὰ τὴν τῆς θείας ἐπιεικείας ἡγεῖται κοινωνίαν. Ἔχει δὲ ἐκείνη μὲν ἡ ταπεινοφροσύνη, λύπην τὰ πολλὰ καὶ ἀθυμίαν· αὕτη δέ, χαρὰν μετὰ αἰδοῦς πανσόφου· διόπερ ἡ μέν, τοῖς ἐν μέσῳ ὡς ἔφην, τῶν ἀγώνων οὖσι παραγίνεται· ἡ δέ, τοῖς ἐγγίζουσι τῇ τελειότητι καταπέμπεται. Διὰ τοῦτο ἐκείνη μὲν ὑπὸ τῶν βιωτικῶν πολλάκις εὐπραγιῶν ὀνειδίζεται· αὕτη δέ, κἂν ὅλας τὰς βασιλείας τοῦ κόσμου τις αὐτῇ προσάγοι[125], οὔτε πτοεῖται οὔτε ὅλως τῶν δεινῶν βελῶν τῆς ἁμαρτίας αἰσθάνεται. Πνευματικὴ γὰρ ὅλη ὑπάρχουσα, ἀγνοεῖ πάντως τὰς σωματικὰς δόξας· ἐχρῆν δὲ δι᾽ ἐκείνης παντὶ τρόπῳ παρελθόντα τὸν ἀγωνιστήν, ἐπὶ ταύτην ἐλθεῖν· εἰ μὴ γὰρ δι᾽ ἐκείνης τῇ ἐπιφορᾷ τῶν παιδευτικῶν παθῶν, δοκιμαστικῶς τὸ αὐτεξούσιον ἡμῶν προμαλάξοι ἡ χάρις,

νὰ ὑπερηφανεύεται μὲ τὴν ἔπαρσι τῆς φιλοδοξίας, ἀκόμη κι ἂν ἤθελε ἐκτελῇ τὶς ἐντολὲς τοῦ Θεοῦ ἀκατάπαυστα. Μᾶλλον δὲ [ἡ ψυχή], θεωρεῖ τὸν ἑαυτό της εὐτελέστερο ἀπὸ ὅλους, ἐξ αἰτίας τῆς κοινωνίας [της] μὲ τὴν θεία ἐπιείκεια [λόγῳ τοῦ ὅτι προσήγγισε πολὺ τὸν Θεό]. Ἔχει ἐξάλλου, ἐκείνη μὲν ἡ ταπεινοφροσύνη [τῆς μέσης πνευματικῆς καταστάσεως], σὲ μεγάλο βαθμὸ λύπη καὶ ἀθυμία, ἐνῶ αὐτὴ [ἡ ὑψηλή, ἔχει] χαρὰ μὲ πάνσοφη σεμνότητα. Γι᾽ αὐτὸ ἀκριβῶς, ἡ μὲν [πρώτη], ὅπως εἶπα, συμβαίνει σ᾽ ἐκείνους οἱ ὁποῖοι εἶναι στὸ μέσο τῶν ἀγώνων, ἐνῶ ἡ [ἄλλη] ἀποστέλλεται σ᾽ ἐκείνους, ποὺ ἐγγίζουν στὴν τελειότητα. Γι᾽ αὐτὸ μὲν ἐκείνη [ἡ πρώτη] πολλὲς φορὲς ὑποβαθμίζεται, ἐξ αἰτίας τῶν κοσμικῶν ἀνέσεων. Ἐνῶ αὐτὴ [ἡ δεύτερη], ἀκόμα κι ἂν ὅλες τὶς βασιλεῖες τοῦ κόσμου ἤθελε κανεὶς τῆς προσφέρῃ, οὔτε συγκινεῖται οὔτε αἰσθάνεται καθόλου τὰ φοβερὰ βέλη τῆς ἁμαρτίας. Διότι, ἐπειδὴ εἶναι ὅλη πνευματική, ἀγνοεῖ ἐντελῶς τὰ σαρκικὰ φρονήματα. Εἶναι ὅμως ἀνάγκη, ἀφοῦ ὁ ἀγωνιστὴς διέλθῃ μὲ κάθε [ἀσκητικὸ] τρόπο ἐκείνη [τῆς μέσης πνευματικῆς καταστάσεως], νὰ φθάσῃ σ᾽ αὐτὴν [στὴν ταπεινοφροσύνη ἐκείνων ποὺ πλησιάζουν στὴν τελειότητα]. Διότι, ἐὰν δὲν γυμνάσῃ δοκιμαστικὰ ἡ Χάρις τὸ αὐτεξούσιό μας μέσῳ αὐτῆς [τῆς πρώτης], μὲ τὴν ἐπιβολὴ τῶν παιδαγωγικῶν παθημάτων,

οὐκ ἂν τὴν ταύτης ἡμῖν δωρήσηται πολυτέλειαν

ϟς΄. Οἱ τῶν τοῦ παρόντος βίου ἡδονῶν ὄντες φίλοι, ἐκ τῶν λογισμῶν ἐπὶ τὰ πταίσματα ἔρχονται· ἀδιακρίτῳ γὰρ γνώμῃ φερόμενοι, πάσας αὐτῶν σχεδὸν τὰς ἐμπαθεῖς ἐννοίας εἴς τε λόγους ἀνόμους, καὶ ἔργα ἀνόσια ἐπιθυμοῦσι φέρειν· οἱ δὲ τὸν ἀσκητικὸν ἐπιχειροῦντες κατορθοῦν βίον, ἐκ τῶν πταισμάτων εἰς τοὺς πονηροτέρους λογισμούς, ἢ εἰς πονηρά τινα καὶ ἐπιβλαβῆ ἔρχονται ῥήματα. Ἐὰν γὰρ οἱ δαίμονες τοὺς τοιούτους ἢ λοιδορίας ἀνεχομένους ἡδέως, ἢ ἀργά τινα καὶ ἄκαιρα ὁμιλοῦντας, ἢ γελῶντας ὡς οὐ δεῖ, ἢ θυμουμένους ἀμέτρως, ἢ τῆς κενῆς καὶ ματαίας ἐπιθυμοῦντας δόξης ἴδωσι, τότε ὁμοθυμαδὸν κατ᾽ αὐτῶν ἐξοπλίζονται. Τὴν γὰρ φιλοδοξίαν μάλιστα εἰς πρόφασιν τῆς ἑαυτῶν κακίας λαμβάνοντες, δι᾽ ἐκείνης ὥς περ διὰ θυρίδος τινὸς σκοτεινῆς εἰσπηδῶντες τὰς ψυχὰς διαρπάζουσιν. Ἐχρῆν οὖν τοὺς θέλοντας συνδιαιτᾶσθαι τῷ

δὲν θὰ μᾶς δωρήσῃ τὴν πολυτέλεια ἐκείνης [τῆς τῶν τελείων].

96. Ἐκεῖνοι οἱ ὁποῖοι εἶναι φίλοι τῶν ἡδονῶν τοῦ παρόντος βίου, ἀπὸ τοὺς λογισμοὺς φθάνουν στὶς ἁμαρτωλὲς πράξεις· διότι, παρασυρόμενοι ἀπὸ ἀδιάκριτο φρόνημα, ἐπιθυμοῦν ὅλα σχεδὸν τὰ ἐμπαθῆ τους νοήματα, νὰ [τὰ] ὁδηγήσουν καὶ σὲ ἀνόμους λόγους καὶ σὲ ἀνόσια ἔργα. Ἐκεῖνοι ὅμως, οἱ ὁποῖοι ἐπιχειροῦν νὰ ἐπιτύχουν τὸν ἀσκητικὸ βίο, ἀπὸ τὰ σφάλματά [τους] φθάνουν στοὺς πονηρότερους λογισμοὺς ἢ σὲ κάποια πονηρὰ καὶ ἐπιζήμια λόγια. Διότι, ἐὰν οἱ δαίμονες δοῦν αὐτοὺς [οἱ ὁποῖοι ἀκολουθοῦν τὸν ἀσκητικὸ βίο], ἢ νὰ ἀνέχωνται εὐχάριστα κακολογίες [ἐναντίον ἄλλων], ἢ νὰ ὁμιλοῦν κάποια [λόγια] ἀργὰ καὶ ἄτοπα, ἢ νὰ θυμώνουν ἀμέτρως ἢ νὰ γελοῦν ὅπως δὲν πρέπει, ἢ νὰ ἐπιθυμοῦν τὴν κενοδοξία καὶ τὴν ματαιοδοξία, τότε ἐφορμοῦν ὁπλισμένοι ἐναντίον ἐκείνων μαζὶ μὲ ἄλλους πολλούς. Διότι [οἱ δαίμονες τότε], βρίσκοντας κατ᾽ ἐξοχὴν τὴν φιλοδοξία ὡς πρόσχημα τῆς κακίας τους, λεηλατοῦν τὶς ψυχές, ἀφοῦ πηδοῦν ἐντὸς [τῆς ψυχῆς] δι᾽ αὐτῆς, ὅπως ἀκριβῶς μέσα ἀπὸ κάποια σκοτεινὴ θυρίδα. Εἶναι ἑπομένως ἀνάγκη, ἐκεῖνοι οἱ ὁποῖοι θέλουν νὰ ζοῦν μὲ τὸ

πλήθει τῶν ἀρετῶν, μήτε δόξης ἐφίεσθαι, μήτε πολλοῖς συντυγχάνειν, μηδὲ προόδοις συνεχέσι κεχρῆσθαι, ἢ λοιδορεῖν τινας, κἂν οἱ λοιδορούμενοι ὑπάρχωσιν ἄξιοι· μήτε δὲ πολλὰ ὁμιλεῖν, κἂν πάντα καλὰ λέγειν δύναιντο. Ἡ γὰρ πολυλογία ἀμέτρως διαφοροῦσα τὸν νοῦν, οὐ μόνον περὶ τὴν πνευματικὴν αὐτὸν ἐργασίαν ἀργὸν ἀπεργάζεται, ἀλλὰ καὶ τῷ τῆς ἀκηδείας αὐτὸν παραδίδωσι δαίμονι· ὅστις αὐτὸν ὑπεκλύων ἀμέτρως, τῷ τῆς λύπης, λοιπὸν δέ, καὶ τῷ τῆς ὀργῆς παραδίδωσι δαίμονι. Δεῖ οὖν ἀεὶ τῇ τῶν ἁγίων ἐντολῶν τηρήσει ἀπασχολεῖσθαι τὸν νοῦν, καὶ τῇ βαθείᾳ μνήμῃ τοῦ Κυρίου τῆς δόξης. Ὁ γὰρ φυλάσσων, φησίν, ἐντολήν, οὐ γνώσεται ῥῆμα πονηρόν[126], *τουτέστι εἰς φαύλους λογισμούς, ἢ λόγους οὐκ ἐκτραπήσεται.*

ϟζʹ. Ὅταν μετὰ ζεούσης τινὸς ἀλγηδόνος ἡ καρδία δέχηται τὰ τοξεύματα τῶν δαιμόνων, ὡς αὐτὰ οἴεσθαι φέρειν τὰ βέλη τὸν πολε-

πλῆθος τῶν ἀρετῶν, οὔτε νὰ ἐπιθυμοῦν δόξα, οὔτε μὲ πολλοὺς νὰ συναναστρέφωνται, οὔτε νὰ ἔχουν συνεχεῖς ἐξόδους ἢ νὰ κατηγοροῦν κάποιους, ἀκόμα κι ἂν οἱ κατηγορούμενοι εἶναι ἄξιοι τῶν κατηγοριῶν, οὔτε νὰ ὁμιλοῦν πολλά, ἀκόμη κι ἂν θὰ ἦταν δυνατόν, νὰ ὁμιλοῦν πάντοτε καλά. Διότι ἡ πολυλογία, ἐπειδὴ ἄμετρα διασκορπίζει τὸν νοῦ, ὄχι μόνο τὸν κάνει ἀργὸ ὅσον ἀφορᾶ τὴν πνευματικὴ ἐργασία, ἀλλὰ καὶ τὸν παραδίδει στὸν δαίμονα τῆς ἀκηδίας, ὁ ὁποῖος βέβαια, ἀφοῦ βαθμιαῖα τὸν χαλαρώσῃ πέρα ἀπὸ κάθε μέτρο, [τὸν] παραδίδει στὸ δαίμονα τῆς λύπης καὶ τῆς ὀργῆς. Ἑπομένως, πρέπει ὁ νοῦς πάντοτε νὰ ἀπασχολῆται μὲ τὴν τήρησι τῶν ἁγίων ἐντολῶν καὶ μὲ τὴν βαθειὰ [ἐν τῇ καρδίᾳ] μνήμη τοῦ Κυρίου τῆς δόξης. Διότι, λέγει [ἡ Ἁγία Γραφή], ἐκεῖνος ὁ ὁποῖος φυλάσσει τὴν ἐντολὴ [τοῦ Θεοῦ], δὲν θὰ γνωρίσῃ λόγο πονηρό, δηλαδὴ δὲν θὰ παρασυρθῇ σὲ λογισμοὺς ἢ λόγους κακούς.

97. Ὅταν ἡ καρδία, μὲ κάποια πολλὴ ἔντονη ὀδύνη, δέχεται τὰ τοξεύματα τῶν δαιμόνων, ἡ ψυχὴ μισεῖ μὲ πόνο τὰ πάθη, καθὼς εὑρισκομένη στὴν ἀρχὴ τῆς καθάρσεώς [της], [συμβαίνει] πράγματι

μούμενον, μισεῖ μετὰ πόνου ἡ ψυχὴ τὰ πάθη, ὡς ἐν ἀρχῇ οὖσα τοῦ καθαίρεσθαι. Ἐὰν γὰρ μὴ ἀλγήσῃ μεγάλως ἐπὶ τῇ ἀναιδείᾳ τῆς ἁμαρτίας, οὐκ ἂν δυνηθείη πλουσίως χαρῆναι ἐπὶ τῇ τῆς δικαιοσύνης χρηστότητι. Ὁ τοίνυν θέλων τὴν ἑαυτοῦ καθαρίσαι καρδίαν, τῇ μνήμῃ τοῦ Κυρίου Ἰησοῦ διαπαντὸς διαπυρούτω αὐτήν, τοῦτο μόνον μελέτην, καὶ ἔργον ἄπαυστον ἔχων. Οὐ γὰρ ποτὲ μὲν εὔχεσθαι δεῖ, ποτὲ δὲ μή, τοὺς τὴν ἑαυτῶν σαπρίαν ἀποβαλεῖν θέλοντας, ἀλλ᾽ ἀεὶ τῇ προσευχῇ σχολάζειν ἐν τῇ τηρήσει τοῦ νοῦ, κἂν ἔξω που αὐλίζοιντο τῶν εὐκτηρίων δόμων. Ὃν γὰρ τρόπον ὁ θέλων καθαρίσαι χρυσίον, ἐὰν πρὸς βραχὺ τὸ πῦρ ἐάσῃ σχολάσαι ἐκ τοῦ χωνευτηρίου, σκληρίαν πάλιν τῇ καθαιρομένῃ ὕλῃ ἐμποιεῖ· οὕτω καὶ ὁ ποτὲ μὲν μεμνημένος τοῦ Θεοῦ, ποτὲ δὲ μή, ὅπερ δοκεῖ κτᾶσθαι διὰ τῆς εὐχῆς, τοῦτο ἀπόλλυσι διὰ τῆς σχολῆς. Ἀνδρὸς δέ ἐστι φιλαρέτου ἴδιον, τὸ ἀεὶ τῇ μνήμῃ τοῦ Θεοῦ, τὸ

νὰ ἀντιλαμβάνεται, ὅτι τὰ βέλη τὰ ἐπιφέρει ἐκεῖνος ὁ ὁποῖος ἔχει κατασταθῆ ἐχθρός [της- δηλαδὴ ὁ διάβολος]. Διότι, ἐὰν δὲν πονέσῃ πολὺ ἀπὸ τὴν ἀναισχυντία τῆς ἁμαρτίας, δὲν θὰ μπορέσῃ νὰ χαρῇ πλούσια γιὰ τὴν ἀγαθότητα τῆς ἀρετῆς. Ἐκεῖνος λοιπόν, ὁ ὁποῖος θέλει νὰ καθαρίσῃ τὴν καρδία του, ἂς τὴν πυρπολῇ διαρκῶς μὲ τὴν μνήμη τοῦ Κυρίου Ἰησοῦ, ἔχοντας μόνο αὐτὸ μελέτη καὶ ἀδιάλειπτη ἐργασία. Διότι, δὲν πρέπει ἐκεῖνοι οἱ ὁποῖοι θέλουν νὰ ἀποβάλλουν τὴν ἀκαθαρσία ἀπὸ τοὺς ἑαυτούς τους, ἄλλοτε νὰ λένε τὴν εὐχὴ καὶ ἄλλοτε ὄχι, ἀλλὰ πάντοτε νὰ ἀσχολοῦνται μὲ τὴν προσευχή, μέσα στὴν κατάστασι τῆς φυλακῆς τοῦ νοός, ἀκόμη κι ἂν ἤθελε εὑρίσκωνται κάπου ἔξω ἀπὸ τοὺς οἴκους τῆς προσευχῆς. Διότι ὅπως ἐκεῖνος ὁ ὁποῖος θέλει νὰ καθαρίσῃ χρυσό, ἐὰν θὰ ἀφήσῃ νὰ σβήσῃ ἡ φωτιὰ γιὰ λίγο ἀπὸ τὸ χωνευτήριο, επαναφέρει τὴν σκληρότητα στὸ ὑλικὸ τὸ ὁποῖο καθαρίζεται, κατὰ τὸν ἴδιο τρόπο καὶ ἐκεῖνος, ὁ ὁποῖος ἄλλοτε μὲν μνημονεύει τὸν Θεὸ καὶ ἄλλοτε ὄχι, ἐκεῖνο ἀκριβῶς τὸ ὁποῖο νομίζει ὅτι ἀποκτᾶ διὰ τῆς εὐχῆς, αὐτὸ [τὸ] χάνει μὲ τὴν παῦσι [της]. Τὸ διακριτικὸ δὲ γνώρισμα τοῦ ἀνθρώπου ποὺ ἀγαπᾶ τὴν ἀρετή, εἶναι τὸ νὰ ἐξαφανίζῃ πάντοτε τὸ χοϊκὸ τῆς καρδίας

τῆς καρδίας καταναλίσκειν γεῶδες, ἵν᾿ οὕτω κατ᾿ ὀλίγον τοῦ κακοῦ ὑπὸ τοῦ πυρὸς τῆς ἀγαθῆς μνήμης δαπανωμένου, τελείως εἰς τὴν φυσικὴν αὐτῆς ἡ ψυχή, μετά πλείονος δόξης, ἐπανέλθῃ λαμπρότητα.

ϟη΄. Ἀπάθειά ἐστι, οὐ τὸ μὴ πολεμεῖσθαι ὑπὸ τῶν δαιμόνων, ἐπεὶ ἄρα ὀφείλομεν ἐξεληλυθέναι, κατὰ τὸ Ἀπόστολον, ἐκ τοῦ κόσμου[127]*, ἀλλά, τὸ πολεμουμένους ὑπ᾿ αὐτῶν, ἀπολεμήτους μένειν. Καὶ γὰρ οἱ σιδηροφόροι πολεμισταὶ τοξεύονται μὲν παρὰ τῶν ἀντιπάλων, καὶ τοῦ ἤχου τῆς τοξείας ἀκούουσιν, ἀλλὰ καὶ αὐτὰ βλέπουσι τὰ πεμπόμενα βέλη, οὐ πλήττονται δὲ διὰ τὴν τῶν πολεμικῶν ἐνδυμάτων στεῤῥότητα. Ἀλλ᾿ ἐκεῖνοι μὲν σιδήρῳ φραττόμενοι ἐν τῷ πολεμεῖσθαι τὸ ἀπολέμητον ἔχουσι. Ἡμεῖς δὲ τῇ τοῦ φωτὸς τοῦ ἁγίου πανοπλίᾳ, καὶ σωτηρίῳ περικεφαλαίᾳ, διὰ πάντων τῶν καλῶν ἔργων καθωπλισμένοι τὰς σκοτεινὰς τῶν δαιμόνων διακόψωμεν φάλαγγας*[128]*. Οὐ γὰρ τὸ μηκέτι*

μὲ τὴν μνήμη τοῦ Θεοῦ, ὥστε μ᾿ αὐτὸν τὸν τρόπο, καθὼς βαθμηδὸν δαπανᾶται τὸ κακὸ ἀπὸ τὴν φωτιὰ τῆς ἀγαθῆς μνήμης [τοῦ Θεοῦ], νὰ ἐπανέρχεται τελείως ἡ ψυχὴ στὴν φυσική της λαμπρότητα [στὸ κατὰ φύσιν].

98. Ἀπάθεια εἶναι, ὄχι τὸ νὰ μὴν πολεμούμεθα ἀπὸ τοὺς δαίμονες - ἐπειδὴ τότε εἴμεθα ὑποχρεωμένοι νὰ φεύγωμε ἔξω, σύμφωνα μὲ τὸν Ἀπόστολο, ἀπὸ τὸν κόσμο - ἀλλὰ τὸ ἐνῶ πολεμούμεθα ἀπ᾿ αὐτούς, νὰ μένωμε ἄτρωτοι. Διότι καὶ οἱ σιδερόφρακτοι πολεμιστές, τοξεύονται μὲν ἀπὸ τοὺς ἀντιπάλους καὶ ἀκούουν τὸν ἦχο τοῦ τοξεύματος, ἐπιπλέον βλέπουν καὶ αὐτὰ τὰ ἴδια τὰ βέλη ποὺ ρίχνονται, ἀλλὰ δὲν πλήττονται, ἐξ αἰτίας τῆς ἀνθεκτικότητος τῶν πολεμικῶν ἐνδυμάτων. Ἀλλὰ ἐκεῖνοι μὲν διατηροῦν μέσα στὸν πόλεμο τὸ ἄτρωτο, ἀσφαλισμένοι μὲ σίδερο. Ἐμεῖς δέ, πλήρως ὁπλισμένοι μὲ τὴν πανοπλία καὶ σωτήριο περικεφαλαία τοῦ ἁγίου φωτός, θὰ ἐκφύγωμε τὶς σκοτεινὲς παρατάξεις τῶν δαιμόνων, μέσῳ τῶν καλῶν ἔργων. Διότι δὲν ἐπιφέρει καθαρότητα,

πρᾶξαι τὰ κακὰ μόνον καθαρότητα φέρει, ἀλλὰ τό, ἐπιμελείᾳ τῶν καλῶν, κατὰ κράτος ἀθετῆσαι τὰ κακά.

ϟθ΄. Ὅταν σχεδὸν ἅπαντα τὰ πάθη νικήσῃ ὁ τοῦ Θεοῦ ἄνθρωπος, δύο δαίμονες αὐτῷ ἀπομένουσι προσπαλαίοντες. Ὧν ὁ μὲν τῇ ψυχῇ παρενοχλεῖ ἀπὸ πολλῆς θεοφιλίας εἰς ζῆλον αὐτὸν ἄκαιρον φέρων, ὥστε μὴ θέλειν ἄλλον τινὰ κατ᾽ αὐτὴν ἀρέσαι τῷ Θεῷ. Ὁ δὲ τῷ σώματι εἰς ἐπιθυμίαν συνουσίας αὐτῷ ἐμπύρῳ τινὶ κινῶν ἐνεργείᾳ. Τοῦτο δὲ συμβαίνει τῷ σώματι, πρῶτον μὲν διὰ τὸ τῆς φύσεως εἶναι ταύτην τὴν ἡδονὴν ἰδίαν, ὡς διὰ τὴν παιδογονίαν, καὶ διὰ τοῦτο δὲ εὐχερῶς ἡττωμένην, λοιπὸν δὲ καὶ διὰ παρχώρησιν τοῦ Θεοῦ. Ὅταν γὰρ ἴδῃ τινὰ τῶν ἀγωνιστῶν μεγάλως ἀκμάζοντα τῷ πλήθει τῶν ἀρετῶν ὁ Κύριος, παραχωρεῖ αὐτόν ποτε ὑπὸ τοῦ τοιούτου καταῤῥυποῦσθαι δαίμονος, ἵνα πάντων τῶν τοῦ βίου ἀνθρώπων εὐτελέστερον ἑαυτῶν [recte: ἑαυτὸν]

μόνο τὸ νὰ μὴν πράττωμε πλέον τὰ κακά, ἀλλὰ τὸ νὰ ἀναιρέσωμε ὁλοσχερῶς τὰ κακά, μὲ τὴν ἐπιμέλεια τῶν καλῶν.

99. Ὅταν ὁ ἄνθρωπος τοῦ Θεοῦ νικήσῃ σχεδὸν ὅλα τὰ πάθη, ἀπομένουν νὰ παλεύουν μ᾽ αὐτὸν δύο δαίμονες, ἐκ τῶν ὁποίων, ὁ μὲν [ἕνας] ἐνοχλεῖ ἔντονα τὴν ψυχὴ λόγῳ τῆς πολλῆς ἀγάπης πρὸς τὸν Θεό, ὁδηγώντας την σὲ ἄτοπο φθόνο, ὥστε νὰ μὴν θέλῃ κάποιος ἄλλος νὰ ἀρέσῃ στὸν Θεό, ὅπως αὐτή· ὁ δὲ [ἄλλος δαίμονας, ἐνοχλεῖ ἔντονα] τὸ σῶμα, ὑποκινώντας σ᾽ αὐτὸ κάποια διάπυρη ἐνέργεια, γιὰ ἐπιθυμία συνουσίας. Αὐτὸ δὲ συμβαίνει στὸ σῶμα, κατὰ πρῶτον μὲν ἐξ αἰτίας τοῦ ὅτι αὐτὴ ἡ ἡδονή, εἶναι γνώρισμα τῆς φύσεως, λόγῳ βεβαίως τῆς τεκνοποιίας, καὶ γι᾽ αὐτὸ εὔκολα ἐνδίδει, ἔπειτα δέ, [συμβαίνει] καὶ ἀπὸ παραχώρησι τοῦ Θεοῦ. Διότι, ὅταν ὁ Κύριος δῇ κάποιον ἀπὸ τοὺς ἀγωνιστὲς νὰ προκόπτῃ πολὺ ὅσον ἀφορᾶ τὸ πλῆθος τῶν ἀρετῶν, παραχωρεῖ κάποτε νὰ καταμολυνθῇ αὐτὸς ἀπὸ αὐτὸν τὸν δαίμονα, γιὰ νὰ θεωρῇ τὸν ἑαυτό του τὸν πλέον τιποτένιο, ἀπὸ ὅλους τοὺς ἀνθρώπους

ὑπολαμβάνῃ. Ἀμέλει, ἢ ἕπεται ἡ ὄχλησις τοῦ πάθους τοῖς κατορθώμασιν, ἢ καὶ προσλαμβάνει [recte: προλαμβάνει] ταῦτα ποτέ, ἵνα ἢ τῇ προλήψει, ἢ τῇ ἐπιφορᾷ τοῦ πάθους ἀχρεῖαν ποιῇ τὴν ψυχὴν φαίνεσθαι, κἂν ὁποῖα ᾖ μεγάλα αὐτῆς τὰ κατορθώματα. Ἀλλὰ τῷ μέν, ἐν ταπεινοφροσύνῃ πολλῇ, καὶ ἀγάπῃ μαχησώμεθα, τῷ δέ, ἐν ἐγκρατείᾳ, καὶ ἐν ἀοργησίᾳ, καὶ ἐννοίᾳ βαθείᾳ τοῦ θανάτου, ἵνα ἀπαύστως ἐντεῦθεν αἰσθόμενοι τῆς ἐνεργείας τοῦ Ἁγίου Πνεύματος, ἐπάνω καὶ τούτων γενώμεθα, ἐν Κυρίῳ, τῶν παθῶν.

ρʹ. Ὅσοι τῆς ἁγίας γνώσεως γινόμεθα μέτοχοι, καὶ τῶν ἀκουσίων μετεωρισμῶν πάντως ὑφέξομεν λόγον· ἐπεσημηνάμην γάρ, φησὶν ὁ θεῖος Ἰώβ, καὶ εἴ τι ἄκων παρέβην[129]*, καὶ δικαίως. Ἐὰν γὰρ μὴ σχολάσῃ τις τοῦ ἀεὶ μεμνῆσθαι τοῦ Θεοῦ, καὶ τῶν ἁγίων αὐτοῦ μὴ παραμελήσῃ ἐντολῶν, οὐκ ἂν ἀκουσίῳ, ἢ ἑκουσίῳ ὑποπέσῃ πταίσματι. Δεῖ οὖν*

τοῦ κόσμου. Μάλιστα ἡ ἐνόχλησι τοῦ πάθους ἢ ἕπεται τῶν κατορθωμάτων ἢ καὶ κάποτε προτρέχει ἔναντι αὐτῶν, ὥστε ἢ μὲ τὴν ἐκ τῶν προτέρων κατάληψι ἢ μὲ τὴν ἐκ τῶν ὑστέρων προσβολὴ τοῦ πάθους, νὰ κάνῃ τὴν ψυχὴ νὰ φαίνεται ἐλεεινή, ὅ,τι λογῆς μεγάλα κι ἂν εἶναι τὰ κατορθώματά της. Ἀλλὰ στὴν μὲν [πρώτη περίπτωσι τοῦ φθόνου] θὰ πολεμήσωμε μὲ πολλὴ ταπεινοφροσύνη καὶ ἀγάπη, στὴν δὲ [ἄλλη] μὲ ἐγκράτεια καὶ μὲ ἀοργησία καὶ βαθειὰ μελέτη τοῦ θανάτου, ὥστε ἕνεκα τούτου, αἰσθανόμενοι ἀκατάπαυστα τὴν ἐνέργεια τοῦ Ἁγίου Πνεύματος, νὰ φθάσωμε, μὲ τὴν βοήθεια τοῦ Κυρίου, ὑπεράνω καὶ αὐτῶν τῶν παθῶν.

100. Ὅσοι γινόμεθα μέτοχοι τῆς ἁγίας γνώσεως, ὁπωσδήποτε θὰ δώσωμε λόγο καὶ γιὰ τοὺς ἀκουσίους μετεωρισμούς [μας]. Διότι λέγει ὁ θεῖος Ἰώβ, καὶ δικαίως: «ἐπεσήμανα, καὶ ἐὰν κάτι παρέβην, χωρὶς νὰ τὸ θέλω». Διότι, ἐὰν δὲν παύσῃ κανεὶς νὰ μνημονεύῃ τὸν Θεὸ πάντοτε καὶ δὲν παραμελήσῃ τὶς ἁγίες ἐντολές Του, δὲν θὰ ὑποπέσῃ σὲ σφάλμα ἀκούσιο ἢ ἑκούσιο. Πρέπει, ἑπομένως, νὰ

εὐθέως καὶ περὶ τῶν ἀκουσίων πταισμάτων ἐξομολόγησιν σύντονον προσφέρειν τῷ Δεσπότῃ, τουτέστι περιττὴν ἐργασίαν τοῦ συνήθους κανόνος, οὐ γάρ ἐστιν ἄνθρωπον ὄντα μὴ πταίειν ἀνθρώπινα, ἄχρις οὗ πληροφορηθῇ ἡ συνείδησις ἡμῶν ἐν δακρύῳ ἀγάπης περὶ τῆς τούτων ἀφέσεως. Ἐὰν γάρ, φησί, ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστι καὶ δίκαιος ἵνα ἀφῇ ἡμῖν τὰς ἁμαρτίας ἡμῶν, καὶ καθαρίσῃ ἡμᾶς ἀπὸ πάσης ἀδικίας[130]*. Προσέχειν οὖν δεῖ ἀδιαλείπτως τῇ αἰσθήσει τῆς ἐξομολογήσεως, μήπως ἡ συνείδησις ἡμῶν ἑαυτὴν ψεύδηται, ὑπονοήσασα ἀρκετῶς ἐξομολογήσασθαι τῷ Θεῷ. Ὅτι πολὺ κρεῖττόν ἐστι ἡ τοῦ Θεοῦ κρίσις τῆς ἡμετέρας συνειδήσεως, κἂν μηδὲν ἑαυτῷ τις ἐν πάσῃ σύνοιδε πληροφορίᾳ, καθὼς ὁ σοφώτατος ἡμᾶς Παῦλος διδάσκει λέγων· ἀλλ' οὐδὲ ἐμαυτὸν ἀνακρίνω· οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι. Ὁ δὲ ἀνακρίνων με Κύριός ἐστιν*[131]*. Ἐὰν γὰρ μὴ*

προσφέρωμε ἀμέσως στὸν Κύριο πρόθυμη ἐξομολόγησι καὶ γιὰ τὰ ἀκούσια σφάλματά [μας], δηλαδὴ περισσότερη ἐργασία ἀπὸ τὸν συνήθη κανόνα [μας] - διότι δὲν εἶναι δυνατὸν νὰ μὴν ἁμαρτάνῃ ἀνθρωπίνως ἐκεῖνος ποὺ εἶναι ἄνθρωπος - μέχρις ὅτου πληροφορηθῇ ἡ συνείδησί μας, μὲ δάκρυ ἀγάπης, σχετικὰ μὲ τὴν συγχώρησί τους. Διότι λέγει [ἡ Ἁγία Γραφή]: «ἐὰν ὁμολογοῦμε τὶς ἁμαρτίες μας εἶναι ἀληθὴς καὶ δίκαιος, γιὰ νὰ μᾶς συγχωρήσῃ τὶς ἁμαρτίες μας καὶ νὰ μᾶς καθαρίσῃ ἀπὸ κάθε ἀδικία». Πρέπει λοιπόν, νὰ προσέχωμε ἀδιαλείπτως τὴν αἴσθησι τῆς ἐξομολογήσεως, μήπως ἡ συνείδησί μας ἀπατηθῇ, ἐὰν νομίσῃ, ὅτι ἐξομολογήθηκε ἱκανοποιητικὰ στὸν Θεό. Διότι πολὺ ὑψηλοτέρα εἶναι ἡ κρίσι τοῦ Θεοῦ ἀπὸ τὴν δική μας συνείδησι, ἀκόμη κι ἂν κανεὶς μὲ κάθε [ἐσωτερικὴ] πληροφορία δὲν καταμαρτυρῇ στὴν συνείδησί του τίποτα γιὰ τὸν ἑαυτό [του], καθὼς ὁ σοφώτατος Παῦλος μᾶς διδάσκει λέγοντας: « ἀλλὰ οὔτε [ἐγὼ ἔχω τὸ δικαίωμα νὰ] κρίνω τὸν ἑαυτό μου. Καμία βέβαια [ἐνοχὴ] δὲν μοῦ μαρτυρεῖ ἡ συνείδησί [μου], ἀλλὰ μ' αὐτὸ δὲν δικαιώνομαι. Ἐκεῖνος δὲ ὁ ὁποῖος μὲ κρίνει εἶναι ὁ Κύριος». Διότι ἐὰν δὲν

πρεπόντως καὶ περὶ αὐτῶν ἐξομολογησώμεθα, δειλίαν τινὰ ἄδηλον ἐν τῷ καιρῷ τῆς ἐξόδου ἡμῶν εὑρήσομεν ἐν ἑαυτοῖς. Ἐχρῆν δὲ καὶ ἡμᾶς εὔχεσθαι τοὺς ἀγαπῶντας τὸν Κύριον ἐκτὸς παντὸς φόβου τότε εὑρίσκεσθαι. Ὁ μὲν γὰρ ἐν φόβῳ εὑρισκόμενος τότε, ἐλευθερίῳ τρόπῳ τοὺς ταρταρέους οὐ παρελεύσεται ἄρχοντας. Συνήγορον γὰρ ἔχουσιν, ὥσπερ ἐκεῖνοι τὴν τῆς ψυχῆς δειλίαν τῆς ἑαυτῶν κακίας. Ἡ δὲ ἀγαλλιωμένη ψυχὴ ἐν τῇ ἀγάπῃ τοῦ Θεοῦ, ἐν τῇ ὥρᾳ τῆς ἀναλύσεως, ἐπάνω πασῶν τῶν σκοτεινῶν παρατάξεων σὺν τοῖς ἀγγέλοις τῆς εἰρήνης φέρεται· ἐπτέρωται γὰρ ὥσπερ ἐν τῇ πνευματικῇ ἀγάπῃ, ὡς τὸ πλήρωμα ἀνελλιπῶς ἔχουσα τοῦ νόμου, τὴν ἀγάπην[132]. *Διόπερ καὶ ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου, μετὰ πάντων τῶν Ἁγίων, οἱ μετὰ τοιαύτης παῤῥησίας ἐξιόντες τοῦ βίου ἁρπαγήσονται*[133]. *Οἱ δὲ κἂν ἐν βραχεῖ δειλιῶντες ἐν τῷ καιρῷ τοῦ θανάτου, ἐν τῇ πάντων τῶν ἄλλων ἀν-*

ἐξομολογηθοῦμε, ὅπως πρέπει, καὶ γι᾽ αὐτὰ [τὰ ἀκούσια πταίσματα], κατὰ τὸν καιρὸ τῆς ἐξόδου μας, θὰ αἰσθανθοῦμε μέσα μας κάποια ἀκαθόριστη δειλία. Εἶναι λοιπὸν ἀνάγκη, νὰ εὐχώμεθα καὶ ἐμεῖς οἱ ὁποῖοι ἀγαποῦμε τὸν Κύριο, νὰ βρισκώμεθα τότε ἔξω ἀπὸ κάθε φόβο. Διότι, ἐκεῖνος μὲν ὁ ὁποῖος βρίσκεται τότε μέσα στὸν φόβο, δὲν θὰ περάσῃ ἐλεύθερα τοὺς ἄρχοντες τοῦ ταρτάρου [τὰ τελώνια]. Διότι ἐκεῖνοι ἔχουν τρόπον τινὰ συνήγορο τῆς κακίας τους τὴν δειλία τῆς ψυχῆς. Ἐνῶ ἡ ψυχή, ἡ ὁποία δοκιμάζει ὑπέρμετρη χαρὰ μέσα στὴν ἀγάπη τοῦ Θεοῦ, κατὰ τὴν ὥρα τῆς ἀναχωρήσεως μεταφέρεται μὲ τοὺς ἀγγέλους τῆς εἰρήνης ἐπάνω ἀπὸ ὅλες τὶς σκοτεινὲς παρατάξεις. Διότι ἔχει λάβει πτερά, τρόπον τινά, μὲ τὴν πνευματικὴ ἀγάπη, ἐπειδὴ πράγματι κατέχει ἀδιάκοπη τὴν ἐκπλήρωσι τοῦ νόμου, δηλαδὴ τὴν ἀγάπη. Γι᾽ αὐτὸ ἀκριβῶς καὶ κατὰ τὴν [Δευτέρα] Παρουσία τοῦ Κυρίου, μαζὶ μὲ ὅλους τοὺς Ἁγίους, θὰ ἁρπαγοῦν ἐκεῖνοι οἱ ὁποῖοι μὲ αὐτοῦ τοῦ εἴδους τὴν παρρησία φεύγουν ἀπὸ τὴν ζωή. Ἐκεῖνοι ὅμως, οἱ ὁποῖοι δειλιάζουν κατὰ τὴν ὥρα τοῦ θανάτου, ἔστω καὶ λίγο, θὰ κρατηθοῦν μέσα στὸ πλῆθος τῶν ἄλ-

θρώπων καταλειφθήσονται πληθύϊ, ὡς ὑπὸ κρίσιν ὄντες. Ἵνα διὰ τοῦ πυρὸς δοκιμασθέντες τῆς κρίσεως, τοὺς κεχρεωστημένους αὐτοῖς κατὰ τὰς αὐτῶν πράξεις ἀπολάβωσι κλήρους παρὰ τοῦ ἀγαθοῦ ἡμῶν Θεοῦ, καὶ Βασιλέως Ἰησοῦ Χριστοῦ. Ὅτι αὐτός ἐστιν ὁ Θεὸς τῆς δικαιοσύνης, καὶ αὐτοῦ ἐστιν ἐφ' ἡμᾶς τοὺς ἀγαπῶντας αὐτὸν ὁ πλοῦτος τῆς χρηστότητος[134] *τῆς Βασιλείας αὐτοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

λων ἀνθρώπων, ἐπειδὴ εἶναι ὑπὸ κρίσι, ὥστε ἀφοῦ δοκιμασθοῦν μὲ τὴν φωτιὰ τῆς κρίσεως, [γευθοῦν τὴν ἀγωνία ἀπὸ τὸ ἀμφίρροπο τῆς αἰωνίου ἀποφάσεως] νὰ λάβουν σύμφωνα μὲ τὶς πράξεις τους τὰ ὀφειλόμενα μερίδια ἀπὸ τὸν ἀγαθό μας Θεὸ καὶ Βασιλέα Ἰησοῦ Χριστό. Διότι αὐτὸς εἶναι ὁ Θεὸς τῆς δικαιοσύνης καὶ δικός Του εἶναι ὁ πλοῦτος τῆς ἀγαθότητος τῆς Βασιλείας Του, [ποὺ ἔχει] γιὰ μᾶς, οἱ ὁποῖοι Τὸν ἀγαποῦμε, εἰς τὸν αἰῶνα καὶ εἰς ὅλους τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟ ΡΗΤΟΝ ΤΟΥ ΠΑΡΟΝΤΟΣ ΕΚΑΤΟΣΤΟΥ ΚΕΦΑΛΑΙΟΥ ΤΟ ΛΕΓΟΝ· «ΙΝΑ ΔΙΑ ΤΟΥ ΠΥΡΟΣ ΔΟΚΙΜΑΣΘΕΝΤΕΣ ΤΗΣ ΚΡΙΣΕΩΣ», ΟΠΕΡ ΗΡΩΤΗΘΗ ΠΑΡΑ ΤΙΝΩΝ, ΕΡΜΗΝΕΙΑ ΤΟΥ ΑΓΙΟΥ ΜΑΞΙΜΟΥ.

ΣΤΟ ΡΗΤΟ ΤΟΥ ΠΑΡΟΝΤΟΣ ΕΚΑΤΟΣΤΟΥ ΚΕΦΑΛΑΙΟΥ ΤΟ ΟΠΟΙΟ ΛΕΓΕΙ: «ΓΙΑ ΝΑ ΔΟΚΙΜΑΣΘΟΥΜΕ ΜΕ ΤΗΝ ΦΩΤΙΑ ΤΗΣ ΚΡΙΣΕΩΣ», ΓΙΑ ΤΟ ΟΠΟΙΟ ΑΚΡΙΒΩΣ ΑΠΟ ΚΑΠΟΙΟΥΣ ΖΗΤΗΘΗΚΕ ΕΡΜΗΝΕΙΑ ΤΟΥ ΑΓΙΟΥ ΜΑΞΙΜΟΥ.

Οἱ τὸ τέλειον τῆς ἀγάπης κεκτημένοι πρὸς τὸν Θεόν, καὶ τὸ πτερὸν τῆς ψυχῆς διὰ τῶν ἀρετῶν μετεωρίσαντες, κατὰ τὸν Ἀπόστο-

Ἐκεῖνοι, οἱ ὁποῖοι ἔχουν ἀποκτήσει τὴν τελειότητα τῆς ἀγάπης πρὸς τὸν Θεό, καὶ ἀνύψωσαν διὰ τῶν ἀρετῶν τὶς πτέρυγες τῆς ψυχῆς, σύμφωνα μὲ τὸν Ἀπόστολο,

λον ἐν νεφέλαις ἁρπάζονται[135] καὶ εἰς κρίσιν οὐκ ἔρχονται[136]. Οἱ δέ γε μὴ πάντῃ τὸ τέλειον κτησάμενοι, ἀλλ᾽ ἁμαρτήματα καὶ κατορθώματα κεκτημένοι, οὗτοι ἐν τῷ δικαστηρίῳ τῆς κρίσεως ἔρχονται. Κἀκεῖ, διὰ τῆς τῶν ἀγαθῶν καὶ φαύλων πράξεων ἀντεξετάσεως οἱονεὶ πυρούμενοι, εἴπερ ἡ τῶν ἀγαθῶν πλάστιγξ ἐπιβαρήσῃ, καθαίρονται τῆς κολάσεως.

ἁρπάζονται στὰ σύννεφα καὶ δὲν φθάνουν στὴν Κρίσι. Ἐκεῖνοι ὅμως βέβαια, οἱ ὁποῖοι δὲν ἀπέκτησαν ἐξ ὁλοκλήρου τὴν τελειότητα, ἀλλὰ ἔχουν ἀποκτήσει καὶ ἁμαρτήματα, καὶ κατορθώματα, αὐτοὶ ὁδηγοῦνται στὸ δικαστήριο τῆς Κρίσεως. Ἐκεῖ, διὰ τῆς συγκρίσεως μεταξὺ τῶν καλῶν καὶ τῶν κακῶν πράξεων, κατὰ κάποιο τρόπο σὰν νὰ φλογίζωνται, καὶ ἐὰν ἀκριβῶς βαρύνῃ ἡ πλάστιγγα τῶν καλῶν [πράξεων], ἀπαλλάσσονται ἀπὸ τὴν κόλασι.

ΣΗΜΕΙΩΣΕΙΣ - ΣΧΟΛΙΑ

ΣΗΜΕΙΩΣΕΙΣ - ΣΧΟΛΙΑ
ΑΓΙΟΥ ΝΙΚΟΔΗΜΟΥ

α΄ ***Ἐν ἄλλοις ἐννοίαις.***

β΄ ***Ἥλιον.***

γ΄ ***Ἐν ἄλλοις ἔτι πενθοῦντα.***

δ΄ ***Ἐν ἄλλοις θεοφόρον.***

ε΄ ***Ἐν ἄλλοις βρώσεως.***

ϛ΄ ***Ἐν ἄλλοις τῇ μνήμῃ.***

ζ΄ ***Ἐν ἄλλοις ἐνεργόν.***

η΄ ***Ἐν ἄλλοις τοὺς θεῳδοὺς φθόγγους ἡ νυμφαγωγὸς ἐναρμόσῃ ἡ θεία, τρανῶς ᾄδοντας τὰς δυναστείας τοῦ Θεοῦ.***

θ΄ ***Ἐν ἄλλοις τῶν καιρίων.***

ι΄ ***Ἐν ἄλλοις λογισμῶν.***

ια΄ ***Ἐν ἄλλοις ἐπιθυμιῶν.***

ιβ΄ *Ἐν ἄλλοις θεοφιλῆ.*
ιγ΄ *Ἴσως προσβάλλει.*
ιδ΄ *Σχήματι.*

Π Α Ρ Α Π Ο Μ Π Ε Σ

ΣΕ ΧΩΡΙΑ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ

1 Α΄ Κορ. 13, 13.
2 Λουκ. 6, 36.
3 Γένεσ. 1, 27.
4 Πρβ. Α΄ Κορ. 6, 19.
5 Πρβ. Β΄ Κορ. 5, 18.
6 Γαλ. 5, 6.
7 Β΄ Τιμόθ. 2, 6.
8 Α΄ Κορ. 12, 8 κ.ἑ.
9 Πρβ. Ἰω. 7, 18.
10 Ἰω. 3, 30.
11 Πρβ. Δαν. 3, 15.
12 Πρβ. Ἐφεσ. 2, 7.
13 Α΄ Κορ. 8, 3.
14 Β΄ Κορ. 5, 6.
15 Β΄ Κορ. 5, 13.
16 Α΄ Ἰω. 4, 18.
17 Ψαλμ. 33, 10.
18 Ψαλμ. 30, 24.
19 Ψαλμ. 62, 9.
20 Α΄ Ἰω. 4, 18.
21 Ῥωμ. 13, 10.
22 Ἰακ. 2, 21.
23 Γένεσ. 22, 1-19.
24 Γαλ. 5, 6.
25 Ψαλμ. 27, 7.
26 Ψαλμ. 139, 14.
27 Λουκ. 11, 21-22.
28 Πρβ. Α΄ Πέτρ. 4, 14.
29 Α΄ Θεσσ. 5, 19.
30 Πρβ. Πράξ. 9, 31.
31 Ψαλμ. 33, 9.
32 Φιλιππ. 1, 9.
33 Πρβ. Ἰω. 15, 26, Α΄ Τιμόθ. 4, 1.
34 Ψαλμ. 61, 6.
35 Ψαλμ. 18, 10.
36 Β΄ Κορ. 5, 7.
37 Β΄ Κορ. 5, 6.
38 Β΄ Κορ. 11, 14.
39 Ματθ. 22, 37.
40 Γένεσ. 3.
41 Φιλιππ. 2, 8.
42 Πρβ. Α΄ Κορ. 10, 27.
43 Πρβ. Γένεσ. 1, 31, Α΄ Τιμόθ. 4, 4.
44 Ἰω. 19, 29.
45 Α΄ Πέτρ. 2, 21.
46 Ψαλμ. 50, 9.
47 Γένεσ. 3, 7.
48 Ματθ. 4, 23.
49 Ψαλμ. 67, 7.
50 Γένεσ. 3, 6.
51 Ἰώβ 31, 7.
52 Πρβ. Γαλ. 5, 16.
53 Α΄ Κορ. 12, 3.
54 Δευτερ. 4, 24.
55 Ματθ. 13, 46.
56 Ἐκκλησ. 1, 18.
57 Ψαλμ. 38, 12.
58 Ῥωμ. 8, 26.
59 Ῥωμ. 8, 15.
60 Ἰω. 11, 33, Ἰω. 11, 38 κ.ἑ.
61 Γένεσ. 3, 6.
62 Δ΄ Βασ. 2, 11.
63 Α΄ Πέτρ. 2, 23.
64 Ματθ. 27, 28.
65 Πρβ. Ἡσ. 53, 4.
66 Λουκ. 23, 34.
67 Λουκ. 6, 30.
68 Ἑβρ. 10, 34.
69 Ματθ. 19, 21.
70 Ψαλμ. 114, 6.
71 Β΄ Κορ. 8, 12.
72 Λουκ. 14, 26.
73 Ψαλμ. 73, 21.
74 Ψαλμ. 67, 11-12.
75 Πρβ. Ἑβρ. 1, 14.
76 Ψαλμ. 20, 14.

[77] Ψαλμ. 39, 2.
[78] Ψαλμ. 93, 19.
[79] Ψαλμ. 11, 7.
[80] Α′ Κορ. 12, 8.
[81] Ψαλμ. 125, 6.
[82] Ἰεζεκ. 1, 4.
[83] Πρβ. Α′ Ἰω. 4, 6.
[84] Ψαλμ. 65, 12.
[85] Ματθ. 13, 44.
[86] Γένεσ. 1, 27.
[87] Β′ Κορ. 6, 14.
[88] Ἰούδ. 19
[89] Β′ Κορ. 6, 7.
[90] Ψαλμ. 44, 14.
[91] Ῥωμ. 7, 22.
[92] Ἰω. 1, 5.
[93] Ῥωμ. 8, 6.
[94] Ἰω. 1, 9-12.
[95] Φιλιπ. 3, 12.
[96] Ματθ. 12, 44-45.
[97] Ῥωμ. 7, 22-23.
[98] Ῥωμ. 8, 1.
[99] Ἐφεσ. 6, 14-17.
[100] Ῥωμ. 7, 25.
[101] Ῥωμ. 7, 18.
[102] Ματθ. 15, 18-19.
[103] Ματθ. 12, 29.
[104] Ψαλμ. 33, 9.
[105] Γένεσ. 28, 12.
[106] Λουκ. 10, 18.
[107] Πρβ. Ἑβρ. 10, 39.
[108] Ἐφεσ. 4, 13.
[109] Ῥωμ. 13, 10.
[110] Β′ Κορ. 4, 16.
[111] Ῥωμ. 14, 17.
[112] Β′ Κορ. 5, 4.
[113] Ψαλμ. 74, 6.
[114] Α′ Κορ. 13, 13.
[115] Ματθ. 7, 13.
[116] Ματθ. 11, 30
[117] Παροιμ. 8, 35.
[118] Φιλιππ. 2, 13.
[119] Β′ Κορ. 12, 9.
[120] Β′ Κορ. 12, 9.
[121] Παροιμ. 3, 12.
[122] Πρβ. Φιλιππ. 3, 18.
[123] Ψαλμ. 4, 7.
[124] Ψαλμ. 39, 2.
[125] Πρβ. Ματθ. 4, 8 κ.ἑ.
[126] Ἐκκλησ. 8, 5.
[127] Α′ Κορ. 5, 10.
[128] Πρβ. Ἐφεσ. 6, 13 κ.ἑ.
[129] Ἰὼβ 14, 17.
[130] Α′ Ἰω. 1, 9.
[131] Α′ Κορ. 4, 3-4.
[132] Ῥωμ. 13, 10.
[133] Α′ Θεσσ. 4, 17.
[134] Ῥωμ. 2, 4.
[135] Α′ Θεσσ. 4, 17.
[136] Πρβ. Ἰω. 5, 24.

ΣΧΟΛΙΑ

[1] Ἡ «μεσότητα» ἀποτελεῖ φιλοσοφικὸ ὅρο τοῦ Ἀριστοτέλη ποὺ ἀναφέρεται στὴν ἀρετή: «μεσότης ἐστὶν ἡ ἀρετὴ» (Ἠθικὰ Νικομάχεια, 1107Α 7). Ἡ ἀρετή, ὡς μεσότητα βρίσκεται ἀνάμεσα στὴν ἔλλειψι καὶ τὴν ὑπεροχή. Ἔτσι στὴν ἀρετὴ δὲν μπορεῖ νὰ ἀποδοθῇ οὔτε ἔλλειψι οὔτε ὑπεροχή. Περισσότερα βλ. Κ. ΝΙΑΡΧΟΥ, *Ἀρχαία Ἑλληνικὴ Φιλοσοφία μετὰ τῶν θεμελιωδῶν αὐτῆς ἐννοιῶν*, Ἀθῆναι 2008, τόμ. α′, σ.σ. 341-345. Ἡ μεσότητα αὐτὴ ἀφορᾷ τὸ κατ᾿ εἰκόνα καὶ περιορίζεται στὸ ἐπίπεδο τῆς κτιστότητος, ἐνῶ τὸ καθ᾿ ὁμοίωσιν ἐπεκτείνεται στὸ ἄκτιστο, στὴν πολυτελῆ καὶ ὑπερφυᾶ ζωή.
[2] Ἡ κτιστὴ ἀγάπη εἶναι ἐκείνη, ἡ ὁποία ἀπορρέει ἀπὸ τὴν τήρησι τῶν θείων ἐντολῶν, σύμφωνα μὲ τὸν λόγο τοῦ Χριστοῦ: «ὁ ἔχων τὰς ἐντολάς μου καὶ τηρῶν αὐτάς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με» (Ἰω. 14, 21).

[3] Ἡ τελεία ἀγάπη εἶναι ἄκτιστη ἐνέργεια τοῦ Θεοῦ, εἶναι ἐκείνη, ἡ ὁποία πληρεῖ τὴν καρδία καὶ τὴν ὅλη ὕπαρξι τοῦ πιστοῦ, μετὰ τὴν ἔνδοξη, χαρισματικὴ ἐνοίκησι τοῦ Τριαδικοῦ Θεοῦ καὶ τὴν φανέρωσι τοῦ Χριστοῦ σύμφωνα μὲ τὴν ἀψευδῆ μαρτυρία Του: «ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει, καὶ ὁ πατήρ μου ἀγαπήσει αὐτόν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα καὶ μονὴν παρ᾽αὐτῷ ποιήσομεν» (Ἰω. 14, 23), καὶ «ὁ δὲ ἀγαπῶν με ἀγαπηθήσεται ὑπὸ τοῦ πατρός μου, καὶ ἐγὼ ἀγαπήσω αὐτὸν καὶ ἐμφανίσω αὐτῷ ἐμαυτὸν» (Ἰω. 14, 21).

[4] Ἡ ἄκτιστη ἀγάπη εἶναι τὸ πλήρωμα τοῦ νόμου, μὲ τὴν ἔννοια τοῦ περιεχομένου του, ἀφοῦ ὁ σκοπὸς τοῦ Νόμου εἶναι ὁ Χριστός.

[5] Κατὰ τὴν Ἁγία Γραφὴ ἡ πίστι, ὅπως καὶ ἡ ἀγάπη εἶναι καρπὸς τοῦ Ἁγίου Πνεύματος. Ἔτσι, ἡ γνήσια καὶ ἀληθινὴ πίστι, ὡς ζωντανὴ πίστι, δὲν μπορεῖ παρὰ νὰ εἶναι ἄρρηκτα συνδεδεμένη μὲ τὴν ἀγάπη. Στὴν περίπτωσι αὐτὴ λέμε, ὅτι ἡ πίστι ἐνεργεῖται, βιώνεται καὶ φανεροῦται διὰ τῆς ἀγάπης καὶ τῶν ἔργων τῆς ἀγάπης. Κατὰ συνέπεια τὰ ἔργα τῆς ἀγάπης τὰ ἐνεργεῖ ὁ Θεὸς δι᾽ ἡμῶν, ὅταν ὑπάρχῃ ἡ ζωντανὴ πίστι. Οὐσιαστικά, αὐτὰ τὰ ἔργα εἶναι τοῦ Θεοῦ, ἀπὸ τὰ ὁποῖα καὶ δοξάζεται, ἀφοῦ αὐτὰ ἀποτελοῦν φανέρωσι τῆς ἄκτιστης δόξας Του. Τὰ καλὰ ἔργα τῶν Χριστιανῶν, τῶν ἑτεροθρήσκων καὶ τῶν ἀπίστων, τὰ ὁποῖα πηγάζουν ἀπὸ τὴν κτιστὴ δραστηριότητα τοῦ ἀνθρώπου, εἶναι δηλαδὴ ἀνθρώπινα καὶ ἀνθρωποκεντρικά, δὲν μποροῦν νὰ δοξάζουν τὸν ἀληθινὸ Θεό, ὁ ὁποῖος εἶναι ὁ μόνος αὐτοδόξαστος.

[6] Ἡ ἔννοια τῆς δοκιμασίας κατὰ τὴν πρωτογενῆ σημασία τῆς λέξεως εἶναι αὐτὴ τοῦ βασανισμοῦ, τῆς ἔντονης δηλαδὴ καὶ ἐπιμελοῦς ἔρευνας γιὰ τὴν γνήσια ταυτότητα τοῦ πράγματος. Ἔτσι, «ὁ χρυσὸς ἐν πυρὶ δοκιμάζεται», γιὰ τὴν διάγνωσι τῆς γνησιότητός του, ὅπως ἔλεγαν οἱ Ἀρχαῖοι Ἕλληνες. Ἡ δοκιμασία λοιπὸν καὶ κατὰ τὴν βιβλικὴ σημασία της εἶναι ἡ ἀσφαλὴς διάκρισι τῆς γνησιότητος ἑνὸς πράγματος, μετὰ ἀπὸ τὴν ἐπισταμένη ἔρευνά του.

[7] Αὐτὴ ἀκριβῶς ἡ ἐντὸς ἡμῶν βιούμενη ἐνέργεια τοῦ Ἁγίου Πνεύματος εἶναι ἡ ἐνεργοποιημένη Χάρις τοῦ Ἁγίου Πνεύματος ἢ διαφορετικά, ἡ ἐντὸς ἡμῶν Βασιλεία τοῦ Θεοῦ ἐνεργῶς.

[8] Βλ. καὶ Μεγαλου Βασιλειου, «Ὅροι κατὰ πλάτος», *PG* 31, 400B : «καὶ ἰατρὸν εἰσάγοντες, ὅτε λόγος συγχωρεῖ, τῆς πρὸς Θεὸν ἐλπίδος οὐκ ἀφιστάμεθα».

ΑΓΙΟΣ ΙΩΑΝΝΗΣ Ο ΚΑΡΠΑΘΙΟΣ

οὗ ἡ μνήμη ἐν μηνὶ Αὐγούστῳ κε΄

ΣΥΝΤΟΜΟΣ ΒΙΟΓΡΑΦΙΑ ΚΑΙ ΛΟΓΟΙ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΙΩΑΝΝΟΥ ΤΟΥ ΚΑΡΠΑΘΙΟΥ

ΣΥΝΤΟΜΟΣ ΒΙΟΓΡΑΦΙΑ

Τῷ ἐν Ἁγίοις Πατρὶ ἡμῶν Ἰωάννῃ τῷ Καρπαθίῳ, τίς μὲν ἐγένετο ὁ καθ᾽ ὃν ἤκμασε χρόνος, καὶ ποῦ τὰ τῆς ἀσκήσεως διήνυσε σκάμματα, καὶ τὰ κατ᾽ αὐτὸν ἄλλα, ἄδηλα. Ταῦτα δὲ μόνα περὶ αὐτοῦ μαρτυρεῖ ὁ Φώτιος (Ἀναγνώσει σα', σελίδι 266). Κρατεῖ δ᾽ οὖν (ὁ Διάδοχος δηλονότι) πολλῷ καὶ Ἰωάννου τοῦ Καρπαθίου. Ὃς ἐπιγραφὴν αὐτοῦ τῷ πονήματι δίδωσι, πρὸς τοὺς ἀπὸ τῆς Ἰνδίας προτρέψαντας Μοναχοὺς παρακλητικός. Ἑκατὸν δὲ καὶ οὗτος Κεφαλαίοις περαιοῖ αὐτό· ἐν οἷς ὡς τὰ πολλὰ πατρικῶς τοὺς ἀναγινώσκοντας ὑπαλείφει, καρτερεῖν ἐν τοῖς δεινοῖς, καὶ ὑπομονὴν πρὸς τοὺς ἐπερχομένους πειρασμοὺς ἐπιδείκνυσθαι.

Ὅσον ἀφορᾷ τὸν Ἅγιο Πατέρα μας Ἰωάννη τὸν Καρπάθιο, ποιὸς μὲν ἦταν ὁ χρόνος κατὰ τὸν ὁποῖο ἤκμασε καὶ ποῦ πραγματοποίησε τοὺς ἀγῶνες τῆς ἀσκήσεως καὶ τὰ σχετικὰ μ᾽ αὐτὸν ὑπόλοιπα [στοιχεῖα μᾶς εἶναι] ἄγνωστα. Μόνο κάποια [στοιχεῖα] σχετικὰ μ᾽ αὐτὸν ἀναφέρει ὁ Φώτιος (στὴν Ἀνάγνωσι 201, στὴν σελίδα 266). Λοιπὸν ὑπερτερεῖ βέβαια (ὁ Διάδοχος δηλαδὴ) κατὰ πολὺ καὶ τοῦ Ἰωάννου τοῦ Καρπαθίου, ὁ ὁποῖος ἐπιγράφει τὸ ἔργο του «[Λόγος] παρηγορητικὸς πρὸς τοὺς Μοναχοὺς ἀπὸ τὴν Ἰνδία», οἱ ὁποῖοι [τὸν] προέτρεψαν [νὰ τὸν συντάξῃ]. Καὶ αὐτὸς ὁλοκληρώνει αὐτὸ [τὸ ἔργο του] σὲ ἑκατὸ κεφάλαια, στὰ ὁποῖα πράγματι σὲ μεγάλο βαθμὸ ἐμψυχώνει πατρικά, ὅσους [τὸν] διαβάζουν, νὰ δείχνουν καρτερία στὰ δεινὰ καὶ νὰ ὑπομένουν τοὺς ἐπερχόμενους πειρασμούς.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΙΩΑΝΝΟΥ ΤΟΥ ΚΑΡΠΑΘΙΟΥ

ΛΟΓΟΙ

Ι

ΠΡΟΣ ΤΟΥΣ ΕΝ Τῌ ΙΝΔΙᾼ ΜΟΝΑΧΟΥΣ, ΓΡΑΨΑΝΤΑΣ ΑΥΤῼ, ΠΑΡΑΜΥΘΗΤΙΚΑ ΚΕΦΑΛΑΙΑ Ρʹ

ΠΡΟΣ ΤΟΥΣ ΜΟΝΑΧΟΥΣ ΣΤΗΝ ΙΝΔΙΑ, ΟΙ ΟΠΟΙΟΙ ΕΓΡΑΨΑΝ ΕΠΙΣΤΟΛΗ Σ' ΑΥΤΟΝ, 100 ΠΑΡΗΓΟΡΗΤΙΚΑ ΚΕΦΑΛΑΙΑ

Τοῖς ἐπὶ γῆς βασιλεῦσιν ἐαρινὰ ἄνθη προσφέροντές τινες τῶν προσαιτούντων, οὐ μόνον οὐκ ἀπόβλητοι γεγόνασι πολλάκις, ἀλλὰ γὰρ καί τινας ἀντελάβοντο δωρεάς. Κἀγὼ τοίνυν παρ' ὑμῶν ἐπιταχθείς, μίαν ἑκατοντάδα ποθὲν δανεισάμενος, καὶ προσφέρων λογίων καλῶν ἡμῖν τοῖς τὸ πολίτευμα ἐν οὐρανοῖς ἔχουσιν[1]*, εὐπρόσδεκτός τε γένοιμι, καὶ τὴν τῶν εὐχῶν δωρεὰν παρ' ὑμῶν ἀντιλάβοιμι.*

αʹ. Ὅσῳ διηνεκὴς ὁ τῶν ὅλων Βασιλεύς, οὐκ ἀρχήν, οὐ πέρας τῆς Βασιλείας ἔχων τῆς οἰκείας· τοσούτῳ τοῖς ὑπὲρ

Κάποιοι ἀπὸ τοὺς ζητιάνους προσφέροντας ἀνοιξιάτικα ἄνθη στοὺς ἐπὶ γῆς βασιλεῖς, συχνά, ὄχι μόνο δὲν διώχθηκαν, ἀλλὰ μάλιστα πῆραν γιὰ ἀντάλλαγμα καὶ κάποια δῶρα. Κι ἐγὼ λοιπόν, ἐπειδὴ ἔλαβα ἀπὸ ἐσᾶς ἐντολή, ἀφοῦ δανείστηκα ἀπὸ δῶ καὶ ἀπὸ ἐκεῖ μία ἑκατοντάδα καλῶν λόγων, ἰδοὺ [τὴν] προσφέρω σ' ἐσᾶς, οἱ ὁποῖοι ἔχετε τὸ πολίτευμα στοὺς οὐρανούς· καὶ μακάρι νὰ γίνω εὐπρόσδεκτος καὶ νὰ πάρω γιὰ ἀντάλλαγμα ἀπὸ σᾶς τὸ δῶρο τῶν προσευχῶν σας.

1. Ὅσο αἰώνιος [εἶναι] ὁ Βασιλεὺς τῶν πάντων, μὴ ἔχοντας οὔτε ἀρχὴ οὔτε τέλος τῆς Βασιλείας Του, τόσο πολὺ πιὸ ἐπι-

αὐτοῦ τε καὶ ὑπὲρ τῶν ἀρετῶν πονεῖν προαιρουμένοις ἐπικερδεστέραν εἶναι συμβέβηκε τὴν σπουδήν. Αἱ μὲν γὰρ τοῦ παρόντος βίου τιμαί, κἂν ἄγαν ὦσι λαμπραί, τῷ παρόντι βίῳ συγκαταλύονται πάντως· αἱ δὲ παρὰ Θεοῦ νεμόμεναι τοῖς ἀξίοις, ἅτε σὺν ἀφθαρσίᾳ διδόμεναι, εἰς τὸ παντελὲς διαμένουσι.

β'. Ὁ μακάριος Δαβίδ, ὕμνον διὰ πάσης ἐργαζόμενος τῆς κτίσεως τῷ Θεῷ, ἐμνημόνευσε μὲν ἀγγέλων τε, καὶ ἀοράτων δυνάμεων ἁπασῶν, κατελήλυθε δὲ ἄχρι τῆς γῆς. Ὡς μηδὲ θηρίων, μὴ κτηνῶν, μὴ πετεινῶν, μὴ ἑρπετῶν ἀπέχεσθαι[2]*· ἐπειδὴ τῷ πεποιηκότι προσκυνεῖν καὶ τὸν ἐκ τούτου ὕμνον ἡγεῖτο, ὡς βουλόμενος πᾶν τὸ γεγονὸς ὑπ᾽ αὐτοῦ, τὴν ὁμοίαν τελεῖν εἰσφοράν. Καὶ πῶς ἄρα μοναχός, ὁ [addendum: μὴ] συμβασταζόμενος τῷ ἐκ Σουφεὶρ χρυσίῳ*[3]*, ναρκᾷν ποτε, ἢ ὀκνεῖν ἀνάσχοιτο πρὸς ὑμνῳδίαν;*

γ'. Ὥς περ τὴν βάτον πῦρ περιεῖχεν, οὐκ ἔφλεγε δὲ αὐτήν[4]*, οὕτω καὶ τῶν λα-*

κερδὴς συμβαίνει νὰ γίνεται ἡ προθυμία ἐκείνων, ποὺ προτίθενται νὰ κοπιάσουν καὶ χάριν Ἐκείνου καὶ χάριν τῶν ἀρετῶν. Διότι οἱ μὲν τιμὲς τοῦ παρόντος βίου, ἀκόμη κι ἂν εἶναι πολὺ λαμπρές, ὁπωσδήποτε καταλύονται συγχρόνως μὲ τὸν παρόντα βίο. Ἐκεῖνες ὅμως [οἱ τιμές], οἱ ὁποῖες ἀπονέμονται στοὺς ἀξίους, ἐπειδὴ προσφέρονται ἀπὸ τὸν Θεὸ μαζὶ μὲ ἀφθαρσία, παραμένουν αἰώνια.

2. Ὁ μακάριος Δαυῒδ συνθέτοντας ὕμνο στὸν Θεό, διὰ μέσου ὅλης τῆς κτίσεως, μνημόνευσε μὲν καὶ τοὺς ἀγγέλους καὶ ὅλες τὶς ἀόρατες δυνάμεις, καὶ ἔφθασε μέχρις ἐσχάτων τῆς γῆς, ὥστε νὰ μὴν μένουν ἀμέτοχα [στὸν ὕμνο], οὔτε τὰ θηρία, οὔτε τὰ ζῶα, οὔτε τὰ πουλιὰ ἢ τὰ ἑρπετά· ἐπειδὴ πίστευε, ὅτι προσκυνεῖ τὸν Δημιουργὸ κάθε τι, τὸ ὁποῖο ἔχει κτισθῆ ἀπ᾽ Αὐτόν, καὶ ἐπειδὴ ἤθελε [κάθε κτίσμα] νὰ συνεισφέρῃ τὴν ἴδια [δοξολογία] στὸν ὕμνο, ὁ ὁποῖος [συνετέθη] ἀπ᾽ αὐτόν. Καὶ πῶς λοιπὸν ὁ Μοναχός, ὁ ὁποῖος δὲν συγκρίνεται [οὔτε] μὲ τὸ χρυσὸ ἀπὸ τὸ Σουφείρ [α'], [διότι ὑπερέχει κατὰ πολύ], εἶναι δυνατὸν ποτὲ νὰ ἀνεχθῇ νὰ μένῃ ἀναίσθητος, ἢ νὰ ραθυμῇ γιὰ τὴν ψαλμωδία;

3. Ὅπως ἀκριβῶς ἡ φωτιὰ περιέκλειε τὴν βάτο, ἀλλὰ δὲν τὴν ἔφλεγε, κατὰ τὸν ἴδιο τρόπο καὶ

βόντων τὸ χάρισμα τῆς ἀπαθείας, κἂν βαρὺ λίαν, καὶ θερμότατον περιφέρωσι σῶμα, οὐδὲν τὴν σάρκα, ἢ τὸν νοῦν ἐνοχλεῖ, ἢ λυμαίνεται ἡ θερμότης τοῦ σώματος. Φωνὴ γὰρ Κυρίου διέκοψε τὴν φλόγα τῆς φύσεως[5]. Διότι τὸ βούλημα τοῦ Θεοῦ καὶ ὁ λόγος, τὰ κατὰ φύσιν ἡνωμένα διέστησεν.

δ'. Ἡ σελήνη αὐξουμένη, καὶ πάλιν μειουμένη, ἐμφανίζει ἀνθρώπου κατάστασιν, νῦν μὲν καλὰ πράσσοντος, νῦν δὲ ἁμαρτάνοντος˙ εἶτα διὰ τῆς μετανοίας παλινδρομοῦντος εἰς ζωὴν ἐνάρετον˙ οὐκοῦν οὐκ ἀπώλετο ὁ νοῦς τοῦ ἐπταικότος, καθά τινες παρ᾽ ὑμῖν νομίζουσιν˙ ὥς περ τῆς σελήνης τὸ σῶμα οὐκ ἐμειώθη, ἀλλὰ τὸ φῶς. Ἀνακτᾶται οὖν ὁ ἄνθρωπος πάλιν τὴν οἰκείαν λαμπρότητα διὰ μετανοίας, καθάπερ ἡ σελήνη μετὰ τὸ φθινῆσαι οἴκοθεν τὸ φῶς ἀμφιέννυται. Ὁ γὰρ πιστεύων εἰς Χριστόν, κἂν ἀποθάνῃ, ζήσεται[6]˙ καὶ γνώσεται, φησί, ὅτι ἐγὼ Κύριος λελάληκα, καὶ ποιήσω[7].

ε'. Ἐὰν ἐπαναστάντος σοι

ἡ [φυσικὴ] θερμότητα τοῦ σώματος, καθόλου, οὔτε ἐνοχλεῖ οὔτε καταστρέφει τὴν σάρκα ἢ τὸν νοῦ ἐκείνων, οἱ ὁποῖοι ἔλαβαν τὸ χάρισμα τῆς ἀπαθείας, ἔστω κι ἂν κουβαλοῦν πολὺ βαρὺ καὶ θερμότατο σῶμα. Ἡ φωνὴ βέβαια τοῦ Κυρίου συνήθως σταματᾶ τὴν φλόγα τῆς φύσεως. Διότι τὸ θέλημα τοῦ Θεοῦ καὶ ὁ λόγος [Του] διαχωρίζει συνήθως ἐκεῖνα, τὰ ὁποῖα εἶναι κατὰ φύσιν ἑνωμένα.

4. Ἡ σελήνη, ἡ ὁποία αὐξάνεται καὶ πάλι μειώνεται, παρουσιάζει [τὴν] κατάστασι ἀνθρώπου, ὁ ὁποῖος τώρα μὲν πράττει καλά, ἀμέσως δὲ ἁμαρτάνει· ἔπειτα [πάλι] διὰ τῆς μετανοίας ἐπιστρέφει στὴν ἐνάρετη ζωή. Ἑπομένως, δὲν κατεστράφη ὁ νοῦς ἐκείνου, ὁ ὁποῖος ἔχει ἁμαρτήσει, ὅπως κάποιοι ἀπὸ ἐσᾶς νομίζουν, ὅπως ἀκριβῶς δὲν μειώθηκε τὸ σῶμα τῆς σελήνης, ἀλλὰ τὸ φῶς [της]. Ἐπανευρίσκει λοιπὸν ὁ ἄνθρωπος τὴν λαμπρότητά του διὰ τῆς μετανοίας, ὅπως ἀκριβῶς ἡ σελήνη μετὰ τὸ χάσιμό [της] περιβάλλεται τὸ φῶς ἐκ τοῦ ἑαυτοῦ της. Διότι ἐκεῖνος, ὁ ὁποῖος πιστεύει στὸν Χριστό, κι ἂν πεθάνῃ, θὰ ζήσῃ καὶ θὰ γνωρίσῃ, λέγει [ἡ Ἁγία Γραφή], ὅτι ἐγὼ ὁ Κύριος ἔχω μιλήσει καὶ θὰ κάνω [αὐτό, ποὺ εἶπα].

5. Ἐάν, ὅταν στὴν διάνοιά [σου]

κατὰ τὴν διάνοιαν τοῦ σμήνους τῶν ἐχθρῶν σχηματισμῶν [recte: αἰσχρῶν λογισμῶν][α΄] *ὑπενδοὺς ἡττηθῇς, γίνωσκε σεαυτὸν κεχωρίσθαι πρὸς καιρὸν τῆς θείας χάριτος· ὅθεν καὶ παρεδόθης εἰς χεῖρας τῆς πτώσεώς σου*[8], *κατὰ δίκαιον κρῖμα. Διόπερ ἀγωνίζου μηδέποτε διὰ τῆς ἀμελείας ἀπολειφθῆναι τῆς χάριτος, μηδὲ πρὸς στιγμὴν χρόνου. Ἐὰν δὲ δυνηθῇς, κρεῖττον ὀλίσθου γενόμενος, ὑπερβῆναι τὸ τεῖχος τῶν ἐμπαθῶν λογισμῶν, καὶ τὰς ἐπαλλήλους ῥυπαρὰς προσβολὰς τῆς τῶν ἐχθρῶν πολυνοίας, μὴ ἀγνοήσῃς τὸ δῶρον τὸ ἄνωθεν δοθέν σοι. Φησὶ γὰρ ὁ Ἀπόστολος· οὐκ ἐγὼ δέ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοὶ*[9] *τὸ τοιοῦτον εἰργάσατο τρόπαιον· καὶ ἀπὸ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ μιαρῶν ἐνθυμημάτων ὕψωσέ με· καὶ ἀπὸ ἀνδρὸς ἀδίκου, δηλαδὴ τοῦ διαβόλου, καὶ τοῦ παλαιοῦ ἀνθρώπου, ἐρρύσατό με*[10]*· ὅθεν τῷ πτερῷ τοῦ Πνεύματος κουφισθείς, καὶ ἀνεθεὶς [recte: ἀναθεὶς] τοῦ σώμα-*

ἐξεγέρθηκε ἐναντίον σου πλῆθος ἀπὸ αἰσχροὺς λογισμούς, ἡττηθῇς, ἐπειδὴ ἄρχισες νὰ ἐνδίδῃς, γνώριζε, ὅτι ἔχεις χωρισθῇ πρὸς τὸ παρὸν ἀπὸ τὴν θεία Χάρι. Συνεπῶς, καὶ παραδόθηκες στὰ χέρια τῆς πτώσεώς σου, σύμφωνα μὲ δίκαιη κρίσι. Γιὰ τοῦτο, νὰ ἀγωνίζεσαι οὐδέποτε νὰ μὴν ἐγκαταλειφθῇς, ἕνεκα τῆς ἀμελείας σου ἀπὸ τὴν [θεία] Χάρι, οὔτε γιὰ ἐλάχιστο χρόνο. Ἐὰν δὲ μπορέσῃς, ἀφοῦ γίνῃς ἰσχυρότερος τοῦ ὀλισθήματος, νὰ ὑπερβῇς τὸ τεῖχος τῶν ἐμπαθῶν λογισμῶν καὶ τὶς ἀλλεπάλληλες ρυπαρὲς προσβολὲς τῆς πανουργίας τῶν ἐχθρῶν, νὰ μὴν ἀγνοήσῃς τὸ δῶρο [αὐτό], τὸ ὁποῖο σοῦ ἐδόθη ἄνωθεν. Διότι λέγει ὁ Ἀπόστολος: «ὄχι βέβαια ἐγώ, ἀλλὰ ἡ Χάρις τοῦ Θεοῦ, ἡ ὁποία [εἶναι] μαζί μου» προξένησε ἕνα τέτοιο θρίαμβο καὶ μὲ ἀνύψωσε [νικητὴ] ἔναντι τῶν ἀκαθάρτων λογισμῶν, οἱ ὁποῖοι ἐξεγείρονται ἐναντίον μου καὶ μὲ λύτρωσε ἀπὸ ἄνδρα ἄδικο, δηλαδὴ ἀπὸ τὸν διάβολο καὶ τὸν παλαιὸ ἄνθρωπο. Γιὰ τοῦτο, ἀφοῦ ἀνυψώθηκα μὲ τὰ πτερὰ τοῦ [Ἁγίου Πνεύματος] καὶ ἄφησα κατὰ μέρος τὸ σῶ-

τος, ἴσχυσα πετασθῆναι ἐπάνω τῶν θηρευόντων δαιμόνων, τῶν ἰξευόντων τὸν ἀνθρώπινον νοῦν διὰ τῆς ἡδυπαθείας, ἧς κατηναγκασμένως, καὶ βιαίως παρακαλοῦντες προφέρουσιν. Ὁ τοίνυν ἐξαγαγών με ἐκ γῆς Αἰγύπτου[11], τουτέστι τῆς τοῦ κόσμου ψυχαπωλείας, οὗτος κρυφαίᾳ χειρὶ ὑπὲρ ἐμοῦ πολεμῶν ἐπάταξε τὸν Ἀμαλήκ[12], καὶ παρέσχε μοι ἐλπίζειν, ὅτι καὶ τὰ λοιπὰ τῶν ἀνοσίων παθῶν ἔθνη ἐξολοθρεύσει Κύριος ἀπὸ προσώπου ἡμῶν[13]· οὗτος ὁ Θεὸς ἡμῶν δώσει σοφίαν, καὶ δύναμιν[14]· τινὲς γάρ, σοφίαν μὲν ἔλαβον, οὐ μέντοι καὶ δύναμιν Πνεύματος, εἰς τὸ νικῆσαι ἐχθρούς· οὗτος ὑψώσει κεφαλήν σου ἐπ᾽ ἐχθρούς σου[15], καὶ δώσει σοι πτέρυγας ὡσεὶ περιστερᾶς, καὶ πετασθείς, καταπαύσῃ πρὸς Θεόν[16]· θήσει Κύριος τόξον χαλκοῦν τοὺς βραχίονάς σου[17], στεῤῥόν, καὶ ἐντρεχῆ, καὶ εὔτονον δεικνύων σε κατὰ τοῦ ἀντιπάλου· καὶ συμποδίζων ὑποκάτω σου πάντας

μα, κατόρθωσα νὰ πετάξω πάνω ἀπὸ τοὺς δαίμονες, οἱ ὁποῖοι κυνηγοῦν καὶ παγιδεύουν τὸν ἀνθρώπινο νοῦ διὰ τῆς ἡδυπαθείας, τὴν ὁποία παρουσιάζουν προτρέποντας [σ᾽ αὐτὴν] καταναγκαστικὰ καὶ βίαια. Ἐκεῖνος λοιπόν, ὁ ὁποῖος μὲ ὁδήγησε ἔξω ἀπὸ τὴν γῆ τῆς Αἰγύπτου, δηλαδὴ ἀπὸ τὴν ἀπώλεια τῆς ψυχῆς ἕνεκα τοῦ κόσμου, Αὐτὸς μὲ κρυφὸ χέρι ἔπληξε τὸν Ἀμαλὴκ πολεμώντας γιὰ χάρι μου καὶ μοῦ ἔδωσε νὰ ἐλπίζω, ὅτι καὶ τὰ ὑπόλοιπα γένη τῶν ἀνοσίων παθῶν θὰ ἐξολοθρεύσῃ ὁ Κύριος ἀπὸ ἐμπρός μας. Αὐτὸς ὁ Θεός μας θὰ [μᾶς] δώσῃ σοφία καὶ δύναμι. Διότι κάποιοι ἔλαβαν μὲν σοφία, ἀλλὰ ὅμως δὲν [ἔλαβαν] δύναμι [Ἁγίου] Πνεύματος, γιὰ νὰ νικήσουν τοὺς ἐχθρούς. Αὐτὸς θὰ ὑψώσῃ τὴν κεφαλή σου ἔναντι τῶν ἐχθρῶν σου καὶ θὰ σοῦ δώσῃ πτέρυγες σὰν τοῦ περιστεριοῦ, καὶ ἀφοῦ πετάξῃς θὰ καταπαύσῃς στὸν Θεό. Ὁ Κύριος θὰ κάνῃ σὰν χάλκινο τόξο τοὺς βραχίονές σου, ἀναδεικνύοντάς σε ἀδάμαστο καὶ ἐπιδέξιο καὶ ἰσχυρὸ ἐναντίον τοῦ ἀντιπάλου [σου] καὶ συμποδίζοντας κάτω ἀπὸ [τὴν ἐξουσία] σου ὅλους ὅσους

τοὺς ἀνθεστηκότας σου[18]*. Ἀνάθες τοιγαροῦν τῷ Κυρίῳ τὴν χάριν τῆς ἁγνείας, ὅτι οὐ συνέκλεισέ σε εἰς χεῖρας τῶν θελημάτων τῆς σαρκός σου, καὶ τοῦ αἵματος καὶ τῶν προασχολουμένων τούτοις φθοροποιῶν, καὶ ἀκαθάρτων πνευμάτων, ἀλλὰ κατησφαλίσατό σε τῇ ἑαυτοῦ δεξιᾷ*[19]*. Οἰκοδόμησον αὐτῷ θυσιαστήριον, ὥς περ καὶ Μωυσῆς μετὰ τὸ τρέψασθαι τὸν Ἀμαλήκ*[20]*. Διὰ τοῦτο ἐξομολογήσομαι, καὶ αἰνέσω σε Κύριε, καὶ τῷ ὀνόματί σου ψαλῶ, μεγαλύνων τὰς δυναστείας σου*[21]*· ὅτι ἐλυτρώσω ἐκ φθορᾶς τὴν ζωήν μου*[22]*, καὶ ἐξήρπασάς με ἐκ τῶν βρόχων, καὶ σαγηνευμάτων, τῆς εὐπεριστάτου, καὶ πολυμόρφου καὶ τριβακῆς κακίας.*

ς'. Ἀναζωπυροῦσιν ἡμῖν τὰ μιαρὰ πάθη καὶ ἀνακαινίζουσι, καὶ ἀνυψοῦσι, καὶ πολυπλασιάζουσιν οἱ πονηροὶ δαίμονες. Αἱ δὲ ἐπισκέψεις τοῦ θείου λόγου, καὶ μάλιστα αἱ διὰ τῆς τῶν δακρύων χύσεως γινόμεναι, νεκροποιοῦσι τὰ πάθη,

σοῦ ἔχουν ἐναντιωθῆ. Ἑπομένως, ἀπόδωσε στὸν Κύριο τὴν χάρι τῆς ἁγνείας, διότι δὲν σὲ ἄφησε ἀποκλεισμένο στὴν διάθεσι τῶν θελημάτων τῆς σαρκός σου καὶ τοῦ αἵματος καὶ τῶν ὀλεθρίων ἀκαθάρτων πνευμάτων, τὰ ὁποῖα ἀπὸ πρὶν καταγίνονταν μ᾽ αὐτά, ἀλλὰ σὲ φύλαξε ἀπόλυτα ἀσφαλῆ μὲ τὸ δεξί Του χέρι. Οἰκοδόμησε σ᾽ Αὐτὸν θυσιαστήριο, ὅπως ἀκριβῶς καὶ ὁ Μωυσῆς μετὰ τὴν κατατρόπωσι τοῦ Ἀμαλήκ. Γι᾽ αὐτὸ θὰ [Σὲ] δοξολογήσω καὶ θὰ [Σὲ] ὑμνήσω Κύριε καὶ θὰ ψάλω τὸ ὄνομά Σου, μεγαλύνοντας τὰ θαυμάσια τῆς Δυνάμεώς Σου· διότι λύτρωσες ἀπὸ τὴν φθορὰ τὴν ζωή μου, καὶ μὲ ἅρπαξες ἔξω ἀπὸ τὶς παγίδες καὶ τὰ δίχτυα τῆς ἐπιτήδειας στὴν δολιότητα καὶ πολύμορφης καὶ πολύπειρης στὴν πανουργία κακίας, ἡ ὁποία παγιδεύει μὲ εὐκολία.

6. Οἱ πονηροὶ δαίμονες ἀναζωπυρώνουν μέσα μας τὰ μιαρὰ πάθη καὶ [τὰ] ἀνανεώνουν καὶ [τὰ] πολλαπλασιάζουν. Οἱ δὲ ἐπισκέψεις, [οἱ μυστικὲς στὴν ψυχὴ] τοῦ θείου Λόγου καὶ μάλιστα ἐκεῖνες, οἱ ὁποῖες ἐμφανίζονται μὲ τὴν ροὴ τῶν δακρύων, νεκρώνουν τὰ πάθη,

κἂν χρόνια τυγχάνῃ, καὶ λύουσι· καὶ κατὰ μικρὸν εἰς ἀνυπαρξίαν περιϊστῶσι τὰ ὀλέθρια τῆς ψυχῆς, καὶ τοῦ σώματος ἁμαρτητικὰ ἐνεργήματα· μόνον ἡμεῖς μὴ ἀκηδιάσωμεν τοῦ, δι᾽ εὐχῆς καὶ ἐλπίδος ἀνενδότου καὶ ἀναιδοῦς, προσεδρεύειν τῷ Κυρίῳ.

ζ΄. Διατί ἐκ τοῦ στόματος τῶν τῇ κακίᾳ νηπιαζόντων πιστῶν, ὁ Χριστὸς καταρτίζει αἶνον; Ἢ πάντως, ἵνα διὰ τῆς ὑμνῳδίας καταλύσῃ ἐχθρόν, καὶ ἐκδικητὴν[23] *τυραννοῦντα μεγάλως· ἐχθρὸν μὲν τῶν ἀρετῶν, ἐκδικητὴν δὲ κακίας, διάβολον. Οὐκοῦν καὶ ἡμεῖς τὸν Δεσπότην ἁπλότητι καρδίας αἰνοῦντες, συντρίβομέν τε, καὶ καταλύομεν τὰ τοῦ ἐχθροῦ μηχανήματα. Τῷ γὰρ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς πολέμους [recte: πολεμίους], καὶ τοὺς ὑπεναντίους τοὺς πολεμοῦντας ἡμᾶς*[24].

η΄. Εἴ τις ὑπάρχει κατὰ τὸ εἶδος ἔκτρωμα, τὸ ἥμισυ λέγεται νῦν τῶν σαρκικῶν κατεσθίειν[25], *τὸ δὲ ἄλλο ἥμισυ, τῷ αἰῶνι τῷ μέλλοντι· τῆς γὰρ ἑαυτοῦ ὁδοῦ τοὺς*

ἀκόμη κι ἂν τύχῃ νὰ εἶναι χρόνια, καὶ [τὰ] ἀφανίζουν, καὶ βαθμηδὸν ὁδηγοῦν σὲ ἀνυπαρξία τὶς ὀλέθριες γιὰ τὴν ψυχὴ καὶ τὸ σῶμα ἐφάμαρτες ἐνέργειες. Μόνον ἐμεῖς νὰ μὴν ἀκηδιάσωμε ἀπὸ τὸ νὰ πολιορκοῦμε τὸν Κύριο μὲ ἀνυποχώρητη καὶ ἀναιδῆ εὐχὴ [λόγῳ τῆς ἀνένδοτης ἐπιμονῆς μας] καὶ μὲ ἐλπίδα [ὅτι θὰ εἰσακουσθοῦμε].

7. Γιατὶ ὁ Χριστὸς συνθέτει ὕμνο ἀπὸ τὸ στόμα τῶν πιστῶν, οἱ ὁποῖοι εἶναι νήπια, ὡς πρὸς τὴν κακία; Παρὰ [μόνον], γιὰ νὰ ἀφανίσῃ ἐντελῶς διὰ τῆς ψαλμωδίας τὸν ἐχθρὸ καὶ ὑπερασπιστή, ὁ ὁποῖος φρικτὰ καταδυναστεύει, [δηλαδὴ] τὸν διάβολο, τὸν ἐχθρὸ μὲν τῶν ἀρετῶν, ὑπερασπιστὴ δὲ τῆς κακίας. Ἑπομένως, καὶ ἐμεῖς μὲ ἁπλότητα καρδίας, ὑμνώντας τὸν Δεσπότη [Χριστό], συντρίβομε καὶ καταλύομε τὰ τεχνάσματα τοῦ ἐχθροῦ. Διότι μὲ τὸ πλῆθος τῆς δόξης Σου συνέτριψες τοὺς ἐχθροὺς καὶ τοὺς ἀντιπάλους, οἱ ὁποῖοι μᾶς πολεμοῦν.

8. Ἐὰν κάποιος εἶναι σὰν ἔκτρωμα, ὡς πρὸς [τὴν πνευματική του] μορφή, θεωρεῖται, ὅτι κατατρώει τὸ μισὸ ἀπὸ τὰ σαρκικά, τὸ δὲ ἄλλο μισὸ [θὰ τὸ κατατρώῃ] στὸν μέλλοντα αἰῶνα· διότι ὁ καθένας θὰ γνωρίσῃ [θὰ γευθῇ] τοὺς

καρποὺς ἕκαστος γνώσεται.

θ'. Τὴν καλλίστην νηστείαν, καὶ μὴ δολοῦσθαι τοῖς πάθεσιν αἱρεῖσθαι χρεωστεῖ ὁ Μοναχός, καὶ μεγάλην ἡσυχίαν γεωργεῖν διαπαντός.

ι'. Οἱ μισοῦντες τὰς ψυχὰς ἡμῶν δαίμονες, ὑποτίθενταί τισιν, ὥστε ψυχράν τινα εὐφημίαν ἡμῖν χαρίσασθαι· εἶτα πρὸς ταύτην ἡμᾶς διαχυθῆναι προτρέπονται. Ἐὰν τοίνυν, χαυνωθέντες τῇ οἰήσει, δῶμεν τόπον καὶ τῇ κενοδοξίᾳ, οὐ κάμνουσι λοιπὸν οἱ ἐχθροὶ ἡμῶν αἰχμαλωτίσαι ἡμᾶς.

ια'. Ἀποδέχου μᾶλλον τὸν σκώπτοντά σε ἤπερ τὸν ἐπαινοῦντα· ὅστις οὐδὲν διαφέρειν καταρωμένου γέγραπται[26].

ιβ'. Ὅταν, περὶ τὴν νηστεύσιμον σπουδάσας ἀρετήν, διὰ τὴν ἀσθένειαν ἀποτυγχάνῃς αὐτῆς, καὶ συντρίψας τὴν καρδίαν, ἐπ' εὐχαριστίαν τραπῇς τοῦ πάντων προνοητοῦ, καὶ κριτοῦ. Ἐὰν μέντοι τεταπεινωμένον διαπαντὸς δεικνύῃς ἑαυτὸν τῷ Κυρίῳ, καὶ μηδενός ποτε ἀνθρώπου

καρποὺς τοῦ δικοῦ του δρόμου.

9. Ὁ Μοναχὸς ὀφείλει νὰ ἐκλέγῃ τὴν ἀρίστη νηστεία καὶ νὰ μὴν ἐξαπατᾶται ἀπὸ τὰ πάθη καὶ πάντοτε νὰ καλλιεργῇ τὴν μεγάλη ἡσυχία.

10. Οἱ δαίμονες, οἱ ὁποῖοι μισοῦν τὶς ψυχές μας, συμβουλεύουν κάποιους, ὥστε νὰ μᾶς προσφέρουν κάποιο ψυχρὸ [ἐπιπόλαιο] ἔπαινο· κατόπιν μᾶς παροτρύνουν [οἱ ἴδιοι οἱ δαίμονες] νὰ χαροῦμε γι' αὐτόν. Ἐὰν λοιπὸν ἀλαζονευθοῦμε μὲ τὴν οἴησι, καὶ δώσωμε τόπο στὴν κενοδοξία, οἱ ἐχθροί μας εἰς τὸ ἑξῆς δὲν κουράζονται νὰ μᾶς αἰχμαλωτίσουν.

11. Περισσότερο νὰ ἀποδέχεσαι ἐκεῖνον, ποὺ σὲ περιγελᾶ παρὰ ἐκεῖνον, ποὺ [σὲ] ἐπαινεῖ, ὁ ὁποῖος ἔχει γραφῇ, ὅτι δὲν διαφέρει σὲ τίποτα ἀπὸ ἐκεῖνον ποὺ [σὲ] καταρᾶται.

12. Ὅταν, ἂν καὶ ἐπιμελήθηκες τὴν ἀρετὴ τῆς νηστείας, ἀποτυγχάνεις σ' αὐτὴν λόγῳ ἀδυναμίας, τότε, ἀφοῦ συντρίψῃς τὴν καρδία [σου], νὰ στραφῇς στὴν εὐχαριστία τοῦ Προνοητοῦ καὶ Κριτοῦ τῶν πάντων, ἐὰν βέβαια δείχνῃς παντοτινὰ ταπεινωμένο τὸν ἑαυτό σου ἐνώπιον τοῦ Κυρίου καὶ δὲν ἀλαζονευθῇς ποτὲ ἔναντι κανενὸς

κατεπαρθῇς.

ιγ΄. Ἐπιστάμενος ὁ ἐχθρὸς τὴν εὐχὴν ὑπάρχουσαν ἡμῶν μὲν ὑπέρμαχον, αὐτοῦ δὲ ἐπίβουλον, καὶ ἀποσπᾶσαι ταύτης ἡμᾶς σπουδάζων, εἰς ἐπιθυμίαν ἡμᾶς ἐμβάλλει τῶν ἑλληνικῶν λόγων, ἀφ᾽ ὧν καὶ ἀπέστημεν, καὶ περὶ τούτου σχολάζειν παρακαλεῖ· ᾧτινι μὴ πεισθῶμεν· ἵνα μὴ τοὺς τοῦ οἰκείου γεωργίου ἄξονας πλανηθέντες, ἀντὶ σύκων καὶ σταφυλῶν, ἀκάνθας, καὶ τριβόλους τρυγήσωμεν[27]*. Ἡ γὰρ σοφία τοῦ κόσμου τούτου, μωρία παρὰ τῷ Θεῷ λελόγισται*[28]*.*

ιδ΄. Χαράν, φησί, μεγάλην εὐαγγελίζομαι ὑμῖν, ἥτις ἔσται παντὶ τῷ λαῷ[29]*, οὐ μέρει τοῦ λαοῦ· καὶ πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλλάτωσάν σοι*[30]*, οὐ γὰρ δεῖ μέρος τῆς γῆς. Τὸ δὲ ψάλλειν, οὐκ ἔστι ποτνιωμένων, ἀλλὰ διευθυμουμένων. Εἰ τοίνυν ταῦτα οὕτως ἔχει, μηδαμῶς ἀπελπίσωμεν, ἀλλ᾽ εὔθυμοι τὸν παρόντα διοδεύσωμεν βίον, τῆς ἀπ᾽ αὐτοῦ ἐκείνης χαρᾶς, καὶ εὐθυμίας λαμβάνοντες ἔννοιαν· πλὴν τῷ θείῳ φόβῳ τὴν εὐ-*

ἀνθρώπου.

13. Γνωρίζοντας καλὰ ὁ ἐχθρὸς [διάβολος], ὅτι ἡ εὐχὴ εἶναι γιὰ ἐμᾶς μὲν ὑπέρμαχος, γι᾽ αὐτὸν δὲ ἐπίβουλος, καὶ φροντίζοντας νὰ μᾶς ἀπομακρύνῃ ἀπ᾽ αὐτήν, μᾶς ρίχνει στὴν ἐπιθυμία τῶν ἑλληνικῶν λόγων, ἀπὸ τοὺς ὁποίους καὶ ἀπομακρυνθήκαμε καὶ [μᾶς] προτρέπει νὰ ἀσχολούμεθα γύρω ἀπ᾽ αὐτό· στὸν ὁποῖο [ἐχθρὸ] νὰ μὴν πεισθοῦμε, γιὰ νὰ μὴν τρυγήσωμε ἀγκάθια καὶ τριβόλια, ἀντὶ σῦκα καὶ σταφύλια, ἐπειδὴ στρέψαμε ἐδῶ καὶ ἐκεῖ τοὺς ἄξονες τῆς δικῆς μας [πνευματικῆς] καλλιέργειας. Διότι ἡ σοφία τοῦ κόσμου λογαριάζεται κατὰ τὴν κρίσι τοῦ Θεοῦ, ὡς μωρία.

14. Λέγει [ἡ Ἁγία Γραφή]: «εὐαγγελίζομαι σ᾽ ἐσᾶς χαρὰ μεγάλη, ἡ ὁποία θὰ εἶναι γιὰ ὅλο τὸν λαό», ὄχι γιὰ μέρος τοῦ λαοῦ· «καὶ ὁλόκληρη ἡ γῆ ἂς σὲ προσκυνήσουν καὶ ἂς ψάλλουν σὲ Σένα», ἐπειδὴ δὲν ὀφείλει νὰ [τὸ] πράξῃ [μόνο ἕνα] μέρος τῆς γῆς. Ἡ ψαλμωδία ὅμως δὲν ἀνήκει σ᾽ αὐτούς, οἱ ὁποῖοι κλαῖνε ἱκετευτικά, ἀλλὰ σ᾽ ἐκείνους, οἱ ὁποῖοι εἶναι χαρούμενοι. Ἐφόσον, λοιπόν, αὐτὰ ἔτσι ἔχουν, καθόλου δὲν θὰ ἀπελπισθοῦμε, ἀλλὰ θὰ διέλθωμε χαρούμενοι τὴν παροῦσα ζωή, λαμβάνοντας ἀπ᾽ αὐτὴ [τὴν ζωὴ] ἐμπειρία τῆς χαρᾶς καὶ τῆς ἱλαρότητος ἐκείνης [τῆς μελλούσης, ποὺ χαρίζεται] ἀπὸ Αὐτόν. Ἀλλὰ ὅμως τὴν εὐφροσύνη νὰ τὴν ανα-

φροσύνην κεράσωμεν˙ ὥς περ φησίν, ἀγαλλιᾶσθε τῷ Κυρίῳ ἐν τρόμῳ[31]. Καὶ γὰρ αἱ περὶ Μαρίαν μετὰ φόβου καὶ χαρᾶς μεγάλης ἐξέδραμον τοῦ τάφου[32]˙ τάχα καὶ ἡμεῖς ποτέ, σὺν δέει καὶ χαρᾷ, τοῦ νοητοῦ ἐξορμήσομεν τάφου. Θαυμάζω γάρ, εἰ χωρὶς φόβου, διότι οὐδεὶς ἀναμάρτητος, κἂν Μωυσῆς, κἂν Πέτρος ὁ Ἀπόστολος εἴη˙ ἀλλ᾽ ὅμως ἐν τοῖς τοιούτοις ἡ θεία ἀγάπη νικήσασα, ἔξω βάλλει τὸν φόβον[33] ἐν καιρῷ τῆς ἐξόδου.

ιε΄. Ὅτι εἰ ἐμπαθὴς πιστεύσας ὁλοκαρδίως, καὶ τεταπεινωμένως, λαμβάνει χάρισμα ἀπαθείας, ἔχεις μαρτυροῦσαν τὴν Γραφήν˙ σήμερον γάρ, φησίν, μετ᾽ ἐμοῦ ἔσῃ ἐν τῷ Παραδείσῳ[34]˙ καί, ἡ πίστις σου σέσωκέ σε˙ πορεύου εἰς εἰρήνην[35] τῆς μακαριωτάτης ἀπαθείας, καὶ ὅσα τοιουτότροπα˙ καί, ἐν τῷ σπόρῳ περκάσει ἡ σταφυλή[36]˙ καί, κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν[37].

ις΄. Ὁπόταν, ἐπαχθῶς πρὸς τὰ πάθη διακείμενοι, σφοδρότερον τοῖς αἰσχροῖς ἐνθυμήμασιν ὑπὸ τῶν δαιμόνων ὀχλού-

μείξωμε μὲ τὸν θεῖο φόβο, ὅπως ἀκριβῶς λέγει [ἡ Ἁγία Γραφή]: «ἀγαλλιᾶσθε γιὰ τὸν Κύριο μὲ τρόμο». Διότι καὶ οἱ [γυναῖκες] γύρω ἀπὸ τὴν Μαρία βγῆκαν ἔξω ἀπὸ τὸν Τάφο μὲ φόβο καὶ χαρὰ μεγάλη· ἴσως καὶ ἐμεῖς κάποτε, μὲ δέος καὶ χαρά, θὰ ὁρμήσωμε ἔξω ἀπὸ τὸν νοητὸ τάφο. Ἀπορῶ βέβαια, ἐὰν [ὁρμήσωμε ἔξω] χωρὶς φόβο, διότι κανένας δὲν [εἶναι] ἀναμάρτητος, ἀκόμη κι ἂν ἤθελε εἶναι Μωυσῆς ἢ Πέτρος ὁ Ἀπόστολος. Ἀλλ᾽ ὅμως σ᾽ αὐτούς, ἐπειδὴ νίκησε ἡ θεία ἀγάπη, ἔβαλε ἔξω τὸν φόβο κατὰ τὴν ὥρα τῆς ἐξόδου.

15. Ὅτι, ἐὰν [κάποιος] ἐμπαθής, ἔλαβε τὸ χάρισμα τῆς ἀπαθείας, ἀφοῦ πίστευσε μὲ ὅλη [του] τὴν καρδία καὶ μὲ ταπεινὸ φρόνημα, ἔχεις τὴν [Ἁγία Γραφὴ] νὰ [σοῦ τὸ] μαρτυρῇ. Διότι λέγει: «σήμερα θὰ εἶσαι μαζί μου στὸν Παράδεισο» καὶ «ἡ πίστι σου σὲ ἔχει σώσει· προχώρα στὴν εἰρήνη» τῆς μακαριωτάτης ἀπαθείας καὶ ὅσα [ἄλλα] τέτοιου εἴδους· καὶ «τὸ σταφύλι θὰ ὡριμάσῃ τὸν καιρὸ τῆς σπορᾶς» καὶ «ἂς γίνῃ σ᾽ ἐσᾶς σύμφωνα μὲ τὴν πίστι σας».

16. Ὅταν, ἂν καὶ διακείμεθα ἐπιθετικὰ πρὸς τὰ πάθη, ἐνοχλούμεθα ἐντονώτερα μὲ τοὺς αἰσχροὺς λογισμοὺς ἀπὸ τοὺς δαί-

μεθα, τότε μᾶλλον εἰς τὴν τοῦ Κυρίου στηριζόμεθα πίστιν, καὶ βεβαιοτέραν τὴν πρὸς τὰ ἐπηγγελμένα αἰώνια ἀγαθὰ καθιστῶμεν ἐλπίδα· ὧν ἀποστερηθῆναι ἡμᾶς οἱ ἐχθροί, καὶ ἀπαλλοτριωθῆναι διὰ τῆς βασκανίας σπουδάζουσιν. Εἰ μὴ γὰρ λίαν μέγιστα ἦν ἐκεῖνα τὰ ἀγαθά, οὐκ ἂν φθόνῳ τοσούτῳ καθ' ἡμῶν οἱ δαίμονες ἐκκαυθέντες, τοῖς ῥυπαροῖς λογισμοῖς πυκνὰ κατετόξευον, κἂν τούτῳ τὴν ἑαυτῶν μανίαν πληροφορεῖν δοκοῦντες, καὶ πρὸς ἀπόγνωσιν ἡμᾶς συνελαύνειν νομίζοντες, διὰ τῆς ἀφορήτου, καὶ πολλῆς ὀχλήσεως.

ιζ'. Γνῶσιν ἀληθεστάτην τινὲς ὑπάρχειν, τὴν πρᾶξιν ὁρίζονται. Σπουδάσατε τοίνυν μᾶλλον τοῖς ἔργοις, καὶ πίστιν, καὶ γνῶσιν ἐνδείκνυσθαι· ὁ γὰρ δὴ ἐπὶ τῇ γνώσει μόνῃ τετυφωμένος, ἀκούσεται, ὅτι Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται[38].

ιη'. Ὡς ἐπὶ τὸ πλεῖστον τῷ καιρῷ τῶν ἑορτῶν, καὶ τῶν ἁγίων συνάξεων, καὶ μάλισθ' ὅταν μέλλῃ τις τῇ μυστι-

μονες, τότε περισσότερο στηριζόμεθα στὴν πίστι τοῦ Κυρίου, καὶ καθιστοῦμε σταθερώτερη τὴν ἐλπίδα [μας] γιὰ τὰ αἰώνια ἀγαθά, ποὺ [μᾶς] ἔχει ὑποσχεθῆ [ὁ Θεός], ἀπὸ τὰ ὁποῖα οἱ ἐχθροὶ διὰ τῆς βασκανίας [δαιμονικῆς ἐπηρείας] φροντίζουν νὰ ἀποσπασθοῦμε καὶ νὰ ἀποξενωθοῦμε. Διότι, ἐὰν ἐκεῖνα τὰ ἀγαθὰ [τὰ αἰώνια] δὲν ἦταν τὰ μεγαλύτερα, οἱ δαίμονες δὲν θὰ ἐκτόξευαν συνεχῶς τοὺς ῥυπαροὺς λογισμοὺς ἐναντίον μας, φλεγόμενοι συνήθως ἔντονα ἀπὸ τόσο μεγάλο φθόνο, ἀκόμη κι ἂν [συνέβαινε] νὰ θεωροῦν, ὅτι ἱκανοποιοῦν μ' αὐτὸ τὴν μανία τους καὶ νὰ νομίζουν, ὅτι, μὲ τὴν ἀφόρητη καὶ πολλὴ ἐνόχλησι, μᾶς ὠθοῦν στὴν ἀπόγνωσι.

17. Κάποιοι ὁρίζουν, ὅτι ἡ πρᾶξι [ἡ πρακτικὴ ἐργασία] εἶναι ἡ πλέον ἀληθινὴ γνῶσι. Φροντίστε λοιπὸν περισσότερο μὲ τὰ ἔργα νὰ φανερώνετε καὶ τὴν πίστι καὶ τὴν γνῶσι. Διότι ἀληθινὰ ἐκεῖνος, ὁ ὁποῖος εἶναι γεμᾶτος ἔπαρσι μόνο ἀπὸ τὴν γνῶσι, θὰ ἀκούσῃ, ὅτι «ὁμολογοῦν, ὅτι γνωρίζουν τὸν Θεό, ὅμως μὲ τὰ ἔργα [τους Τὸν] ἀρνοῦνται».

18. Ὡς ἐπὶ τὸ πλεῖστον κατὰ τὴν περίοδο τῶν ἑορτῶν καὶ τῶν ἁγίων συνάξεων [κατὰ τὴν Θεία Λειτουργία] καὶ μάλιστα, ὅταν πρόκειται κανεὶς νὰ πλησιάσῃ

κῇ τραπέζῃ προσιέναι, τότε τοῖς αἰσχροῖς φαντάσμασι, καὶ τῇ ῥοῇ τῆς γονῆς τὸν ἀσκητὴν οἱ δαίμονες μολύνειν σπουδάζουσιν· ἀλλ᾽ οὐδὲ ἐν τούτῳ θραύσωσιν ἢ ἐκλύσωσι τὸν πάντα καρτερικῶς καὶ γενναίως φέρειν συνειθισμένον· μὴ δὲ καυχάσθωσαν καθ᾽ ἡμῶν οἱ κυρτοί, ὡς ὀρθοί.

ιθ'. Τὸ ἦθος, καὶ τὴν προθυμίαν οἱ ἐχθροὶ ἀμύνονται, τοῖς ποικίλοις, καὶ ἀφάτοις πειρασμοῖς τὴν ψυχὴν κολαφίζοντες· ἐκ γὰρ τῶν θλίψεών σοι τῶν πολλῶν, καὶ ἀμυθήτων, ὁ στέφανος πλέκεται· καὶ ἐν ταῖς ἀσθενείαις δέ, τελειοῦται ἡ δύναμις τοῦ Χριστοῦ[39]*· καὶ ταῖς σκυθρωποτέραις καταστάσεσι, ἐπανθεῖν εἴωθεν ἡ τοῦ Πνεύματος χάρις. Ἐξανέτειλε γὰρ φῶς ἐν σκότει τοῖς εὐθέσιν*[40]*· ἐάν γε τὴν παῤῥησίαν καὶ τὸ καύχημα τῆς ἐλπίδος, μέχρι τέλους, βεβαίαν κατάσχωμεν*[41]*.*

κ'. Οὐδὲν οὕτως ἐξαφανίζειν τὴν ἀρετὴν πέφυκεν, ὡς ἡ εὐτραπελία, καὶ τὸ

στὴν μυστικὴ Τράπεζα, [καὶ νὰ κοινωνήσῃ τῶν Ἀχράντων Μυστηρίων], τότε οἱ δαίμονες σπεύδουν νὰ μολύνουν τὸν ἀσκητὴ μὲ τὶς αἰσχρὲς φαντασίες καὶ τὴν ρεῦσι τῆς γονῆς. Ἀλλὰ οὔτε καὶ μ᾽ αὐτὸ θὰ συντρίψουν ἢ θὰ παραλύσουν ἐκεῖνον, ποὺ ἔχει συνηθίσει νὰ σηκώνῃ τὰ πάντα μὲ καρτερία καὶ γενναιότητα. Ἂς μὴν καυχῶνται λοιπὸν ἐναντίον μας οἱ διεστραμμένοι σὰν σωστοί.

19. Οἱ ἐχθροὶ [δαίμονες] μάχονται τὸ ἦθος καὶ τὴν προθυμία, ραπίζοντας τὴν ψυχὴ μὲ ποικίλους καὶ ἀνείπωτους πειρασμούς. Διότι τὸ στεφάνι πλέκεται γιὰ σένα, ἀπὸ τὶς πολλὲς καὶ ἀπερίγραπτες θλίψεις· καὶ ἐξάλλου μέσα στὶς ἀδυναμίες ἀναδεικνύεται τέλεια ἡ δύναμι τοῦ Χριστοῦ· καὶ στὶς πιὸ λυπηρὲς καταστάσεις συνηθίζει νὰ ἀνθίζῃ ἡ Χάρις τοῦ [Παναγίου] Πνεύματος. «Διότι ἀνέτειλε γιὰ τοὺς δικαίους φῶς μέσα στὸ σκοτάδι»· «ἐὰν βέβαια μέχρι τέλους κρατήσωμε ἀκλόνητη τὴν παρρησία [πρὸς τὸν Θεὸ] καὶ τὸ καύχημα τῆς ἐλπίδος [μας γιὰ τὴν σωτηρία]».

20. Τίποτα δὲν ἔχει τὴν δύναμι νὰ ἐξαφανίζῃ τόσο τὴν ἀρετή, ὅσο ὁ ἀστεϊσμὸς καὶ τὸ

παίζειν, καὶ ἡ ἀργολογία. Καὶ πάλιν οὐδὲν οὕτως τὴν πεπαλαιωμένην ἀνακαινίζει ψυχήν, καὶ πλησιάζειν τῷ Θεῷ παρασκευάζει, ὡς ὁ φόβος τοῦ Θεοῦ, καὶ ἡ καλὴ προσοχή, καὶ τὸ μελετᾶν ἀπαύστως τὰ λόγια τοῦ Θεοῦ, καὶ τῇ προσευχῇ ἑαυτὸν καθοπλίζειν, καὶ τῆς ἀγρυπνίας τὸ κέρδος ἰχνηλατεῖν.

κα'. Ἐπιτηδειότατον ἅμα, καὶ συμφέρον τῇ ψυχῇ, τὸ στιβαρῶς βαστάζειν πᾶσαν θλῖψιν, εἴτε παρὰ ἀνθρώπων, εἴτε παρὰ δαιμόνων ἐπαγομένην, καὶ εἰδέναι ἀκριβῶς ὅτι περ χρεῶσται ὑπάρχομεν τῆς καταπονήσεως καὶ μηδένα ἕτερον, εἰ μὴ μόνον ἑαυτὸν διηνεκῶς μέμφεσθαι. Ὁ γὰρ ἄλλον ἐπὶ τοῖς ἰδίοις θλιβεροῖς μεμφόμενος, ἐξώλισθεν τῆς δικαίας τοῦ προσήκοντος κρίσεως.

κβ'. Ἔστιν ὅτε τῆς δεξιᾶς ἄνθρωπος ἀποκινεῖται ἕδρας, κἂν σπουδαῖος τυγχάνῃ, πλεονασάντων τῶν πειρασμῶν, ἐξιστάμενος τῆς ἑαυτοῦ τάξεως, διὰ τὸ πᾶσαν αὐτοῦ, καθώς φησιν ἡ Γραφή, κα-

παιγνίδι καὶ ἡ ἀργολογία. Καὶ πάλι τίποτα δὲν ἀνακαινίζει τὴν ἐφθαρμένη ψυχὴ καὶ [δὲν τὴν] προετοιμάζει νὰ προσεγγίζῃ τὸν Θεό, ὅπως ὁ φόβος τοῦ Θεοῦ καὶ ἡ καλὴ προσοχὴ καὶ ἡ ἀδιάκοπη μελέτη τῶν λόγων τοῦ Θεοῦ καὶ τὸ νὰ ὁπλίζεται πλήρως μὲ τὴν προσευχὴ καὶ νὰ ἀναζητᾷ ἐπίμονα τὸ κέρδος ἀπὸ τὴν ἀγρυπνία.

21. Ὠφελιμώτατο καὶ συγχρόνως συμφέρον γιὰ τὴν ψυχὴ [εἶναι] τὸ νὰ ὑπομένωμε κάθε ταλαιπωρία σθεναρῶς, εἴτε ἐπιφέρεται ἀπὸ τοὺς ἀνθρώπους, εἴτε ἀπὸ τοὺς δαίμονες, καὶ νὰ γνωρίζωμε ἀκριβῶς, ὅτι εἴμεθα βέβαια χρεοφειλέτες τῆς δοκιμασίας καὶ κανέναν ἄλλο νὰ μὴν κατηγοροῦμε, παρὰ μόνον τὸν ἑαυτό μας. Διότι ἐκεῖνος, ὁ ὁποῖος θεωρεῖ ἄλλον ὑπαίτιο γιὰ τὶς δικές του δοκιμασίες, σφάλλει συνήθως στὴν σωστὴ κρίσι αὐτοῦ τὸ ὁποῖο ἁρμόζει.

22. Κάποτε ὁ ἄνθρωπος μετατοπίζεται ἀπὸ τὴν σώφρονα θέσι [του], ἀκόμη κι ἂν τυχαίνῃ νὰ εἶναι ἀξιόλογος [πνευματικά], ἐξερχόμενος ἀπὸ τὴν τάξι του, ἐπειδὴ πλεόνασαν οἱ πειρασμοί, ἐξ αἰτίας τοῦ ὅτι, καθὼς λέγει ἡ [Ἁγία] Γραφή, ἔχει

ταπεπόσθαι σοφίαν τε, καὶ τέχνην[42]*· ὅπως μὴ πεποιθότες ὦμεν ἐφ᾽ ἑαυτοῖς*[43] *καὶ ἵνα μὴ καυχήσηται Ἰσραήλ, λέγων· ἡ χείρ μου σέσωκέ με*[44]*. Ἀλλ᾽ ἔλπιζε ἀποκατασταθῆναι εἰς τὴν προτέραν ὡραίαν κατάστασιν, ἀποπεσόντος ἀπὸ σοῦ, θείᾳ κελεύσει, καὶ ἀποδιωχθέντος τοῦ πονηροῦ, ὅστις πάντα μὲν ἐμπαθῶς καὶ βλέπειν, καὶ ἀκούειν παροτρύνει, καὶ πρὸς τὴν ἁμαρτίαν κατασπεύδει, παχύνας δὲ τὸν νοῦν, καθάπερ νέφει πυκνῷ, ποιεῖ καὶ τὸ σαρκίον αἰσθάνεσθαι ἀφάτου βαρύτητός τε, καὶ ὄγκου. Καὶ τὸν ἔμφυτον λογισμόν, ἁπλοῦν τινα καθεστῶτα, καὶ ἄπλαστον, κατὰ τὴν ὁμοίωσιν τῶν ἀρτιγενῶν βρεφῶν*[45]*, ποικίλον ἀποδείκνυσι, καὶ λίαν πολύπειρον παντοίας ἁμαρτίας, φαρμάξας καὶ παρατρέψας τοῦτον διὰ τῆς ἀμαῤῥοπίας [recte: ἀμφιῤῥοπίας]*[β′]*.*

κγ′. Μέγα τι χρῆμα ὁ ἄνθρωπος, αὐξάνων ἔσω, καὶ μεγαλυνόμενος ταῖς ἀρεταῖς. Ἀλλ᾽ ὅμως οὗτος ὁ μέγας φοβεῖται τὴν ἁμαρτίαν, ὡς τὸν μῦν ὁ ἐλέφας, μήπως

ἐξαφανισθῆ καὶ ἡ σοφία καὶ ἡ τέχνη· γιὰ νὰ μὴν ἔχωμε πεποίθησι στοὺς ἑαυτούς μας καὶ γιὰ νὰ μὴν καυχηθῆ ὁ Ἰσραὴλ λέγοντας: «τὸ χέρι μου μ᾽ ἔχει σώσει». Ἀλλὰ ἂς ἐλπίζῃς, ὅτι θὰ ἀποκατασταθῇς στὴν προηγούμενη ὡραία κατάστασι, ἀφοῦ διὰ θείας προσταγῆς ὑποχωρήσῃ ἀπὸ σένα καὶ ἀποδιωχθῇ ὁ πονηρός, ὁ ὁποῖος [μᾶς] παροτρύνει μὲν ὅλα νὰ [τὰ] βλέπωμε καὶ νὰ τὰ ἀκοῦμε μὲ ἐμπάθεια καὶ μᾶς ὁδηγεῖ βίαια πρὸς τὴν ἁμαρτία. Καὶ ἀφοῦ παχύνῃ τὸν νοῦ σὰν μὲ πυκνὸ νέφος, κάνει καὶ τὸ σῶμα νὰ αἰσθάνεται ἀπερίγραπτο καὶ βάρος καὶ ὄγκο. Καὶ τὸν ἔμφυτο λογισμό, ὁ ὁποῖος εἶναι κάπως ἁπλὸς καὶ ἄδολος, ὅμοια μὲ τῶν βρεφῶν, ποὺ μόλις γεννήθηκαν, [τὸν] καθιστᾶ πανοῦργο καὶ ἐξαιρετικὰ πολύπειρο κάθε εἴδους ἁμαρτίας, ἀφοῦ [τὸν] δηλητηρίασε καὶ [τὸν] διέστρεψε διὰ τῆς ἀμφιταλαντεύσεως.

23. Εἶναι ἕνα μέγα γεγονὸς ὁ ἄνθρωπος, ὁ ὁποῖος αὐξάνει ἐσωτερικὰ καὶ ἐξυψώνεται ἀπὸ τὶς ἀρετές. Ἀλλ᾽ ὅμως αὐτὸς ὁ μέγας φοβᾶται τὴν ἁμαρτία, ὅπως τὸν ποντικὸ ὁ ἐλέφαντας, μήπως,

ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένηται[46].

κδʹ. Οὐ μόνον πλησίον τῆς τοῦ κόσμου συντελείας, ὁ διάβολος λόγους λαλήσει πρὸς τὸν ὕψιστον, ὥς φησιν ὁ Δανιήλ[47], *ἀλλὰ γὰρ καὶ νῦν, ἔστιν ὅτε, βαρείας, διὰ τῶν λογισμῶν ἡμῶν, εἰς αὐτὸν τὸν οὐρανὸν ἐκπέμπει βλασφημίας καὶ κατ᾽ αὐτοῦ δὲ δυσφημῶν τοῦ Ὑψίστου, καὶ τῶν κτισμάτων αὐτοῦ, καὶ τῶν ἁγίων τοῦ Χριστοῦ μυστηρίων. Ἀλλ᾽ ἡμεῖς βεβηκότες ἐπὶ τὴν πέτραν τῆς γνώσεως, οὐκ ἂν καταπτήξαιμεν ἐπὶ τούτοις, οὐδὲ μὴ θαυμάσαιμεν τὴν τοῦ ἀλάστορος τόλμαν. Πίστει δέ, καὶ εὐχῇ θερμοτέρᾳ χρώμενοι, τῆς τε ἄνωθεν ἐπικουρίας τυχόντες, ἀμυνόμεθα τὸν ἐχθρόν.*

κεʹ. Μαχόμενος, καὶ ὀνειδίζων μετὰ θράσους ἐπέρχεται ὁ ἐχθρὸς τῇ ψυχῇ ἐξελθούσῃ τοῦ σώματος, κατήγορος γινόμενος πικρός τε, καὶ φοβερὸς ἐπὶ τοῖς ἐπταισμένοις. Ἀλλ᾽ ἔστιν ἰδεῖν τότε τὴν θεοφιλῆ καὶ πιστοτάτην ψυχήν, κἂν πολλάκις τὸ πρὶν ἐτρώθη ἁμαρτί-

ἐνῶ κήρυξε σὲ ἄλλους, ὁ ἴδιος γίνῃ ἀνάξιος.

24. Ὄχι μόνον πλησιάζοντας ἡ συντέλεια τοῦ κόσμου, θὰ πῇ ὁ διάβολος λόγους ἐναντίον τοῦ Ὑψίστου, ὅπως λέγει ὁ Δανιήλ, ἀλλὰ καὶ τώρα, βέβαια, ἐξαποστέλλει ἐνίοτε, διὰ τῶν δικῶν μας λογισμῶν, σ᾽ αὐτὸν τὸν ἴδιο τὸν οὐρανὸ βαρειὲς βλασφημίες καὶ ἀσεβεῖ μάλιστα ἐναντίον αὐτοῦ τοῦ ἰδίου τοῦ Ὑψίστου καὶ τῶν κτισμάτων Του καὶ τῶν Ἁγίων τοῦ Χριστοῦ Μυστηρίων. Ἀλλὰ ἐμεῖς, ἔχοντας στηριχθῆ πάνω στὴν πέτρα τῆς γνώσεως, δὲν θὰ πτοηθοῦμε ἕνεκα αὐτῶν, οὔτε θὰ ἐκπλαγοῦμε γιὰ τὸ θράσος τοῦ στυγεροῦ [διαβόλου]. Ἀλλά, ἐὰν ἔχωμε πίστι καὶ θερμότερη εὐχή, ἀποκρούομε τὸν ἐχθρό, λαμβάνοντας συνήθως καὶ τὴν ἄνωθεν βοήθεια.

25. Ὅταν ἡ ψυχὴ ἐξέλθῃ ἀπὸ τὸ σῶμα, ὁ ἐχθρὸς ἐπιτίθεται ἐναντίον της μὲ θράσος, [τὴν] πολεμᾶ καὶ τὴν ὀνειδίζει, καὶ γίνεται δριμὺς καὶ φοβερός κατήγορος γιὰ τὶς ἁμαρτίες της. Ἀλλὰ συμβαίνει, συνήθως, νὰ βλέπῃ τότε [κανεὶς] τὴν θεοφιλῆ καὶ πιστοτάτη ψυχή, ἀκόμη κι ἂν πολλὲς φορὲς προηγουμένως πληγώθηκε ἀπὸ ἁμαρτί-

αις, οὐ καταπληττομένην τὰς ἐκείνου ὁρμάς τε καὶ ἀπειλάς, ἀλλὰ μᾶλλον νευρουμένην ἐν Κυρίῳ, καὶ πτερουμένην χαρᾷ, θαρσοποιουμένην τε ταῖς ὁδηγούσαις ἁγίαις δυνάμεσιν καὶ περιτειχιζομένην τῷ φωτὶ τῆς πίστεως καὶ ἀντικράζουσαν μετὰ πολλῆς παῤῥησίας τῷ πονηρῷ διαβόλῳ˙ τί σοι, καὶ ἡμῖν[48], ἀλλότριε τοῦ Θεοῦ; Τί σοι, καὶ ἡμῖν, δραπέτα τῶν οὐρανῶν καὶ δοῦλε πονηρέ; Οὐκ ἔχεις σὺ τὴν ἐξουσίαν ἡμῶν. Χριστὸς γὰρ ὁ υἱὸς τοῦ Θεοῦ, ἡμῶν τε, καὶ πάντων τὴν ἐξουσίαν ἔχει˙ αὐτῷ ἡμάρτομεν, αὐτῷ καὶ ἀπολογησόμεθα, ἐνέχυρον ἔχοντες τῆς εἰς ἡμᾶς εὐσπλαχνίας καὶ σωτηρίας τὸν τούτου τίμιον σταυρόν. Σὺ δὲ φεῦγε μακρὰν ἀφ᾽ ἡμῶν, ὀλέθριε. Μηδέν σοι, καὶ τοῖς δούλοις τοῦ Χριστοῦ. Ταῦτα λεγούσης τῆς ψυχῆς μετὰ θάρσους, νῶτα λοιπὸν δίδωσιν ὁ διάβολος, βοαῖς ὀδυρόμενος, μὴ δυνηθεὶς ἀντιστῆναι τῷ Χριστοῦ ὀνόματι. Ὑπεράνω δὲ τυγχάνουσα ἡ ψυχή, καθίπταται τοῦ ἐχθροῦ κολαφίζουσα αὐτόν, ὥς περ ὁ λε-

ες, νὰ μὴν πανικοβάλλεται ἀπὸ τὶς ἐπιθέσεις καὶ τὶς ἀπειλὲς ἐκείνου [τοῦ διαβόλου], ἀλλὰ μᾶλλον νὰ ἐνδυναμώνεται μὲ τὴν Χάρι τοῦ Κυρίου καὶ νὰ νὰ λαμβάνῃ πτερὰ ἀπὸ χαρά, παίρνοντας θάρρος καὶ ἀπὸ τὶς Ἁγίες [Ἀγγελικὲς] Δυνάμεις, οἱ ὁποῖες τὴν ὁδηγοῦν καὶ τειχισμένη ὁλόγυρα μὲ τὸ φῶς τῆς πίστεως καὶ ἀντιλέγοντας δυνατὰ στὸν πονηρὸ διάβολο μὲ παρρησία: «τί [κοινὸ ὑπάρχει] ἀνάμεσα σὲ σένα καὶ σ᾽ἐμᾶς, ἐχθρὲ τοῦ Θεοῦ; Τί [κοινὸ ὑπάρχει] ἀνάμεσα σὲ σένα καὶ σ᾽ἐμᾶς, δραπέτη τῶν οὐρανῶν καὶ δοῦλε πονηρέ; Δὲν κατέχεις ἐσὺ ἐξουσία σ᾽ ἐμᾶς. Διότι ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ, κατέχει τὴν ἐξουσία καὶ σ᾽ ἐμᾶς καὶ στὰ πάντα. Σ᾽ Αὐτὸν ἁμαρτήσαμε, σ᾽ Αὐτὸν καὶ θὰ ἀπολογηθοῦμε, ἔχοντας ἐγγύησι τῆς εὐσπλαχνίας [Του] γιὰ μᾶς καὶ τὴν σωτηρία μας τὸν Τίμιο Σταυρό Του. Ἐσὺ λοιπὸν φῦγε μακριὰ ἀπὸ μᾶς, ἄθλιε. Τίποτα [κοινὸ δὲν ὑπάρχει] ἀνάμεσα σὲ σένα καὶ στοὺς δούλους τοῦ Χριστοῦ». Καθὼς λέγει αὐτὰ ἡ ψυχὴ μὲ θάρρος, ὁ διάβολος λοιπὸν τρέπεται σὲ φυγή, θρηνώντας μὲ βοές, ἐπειδὴ δὲν μπόρεσε νὰ ἀντισταθῇ στὸ ὄνομα τοῦ Χριστοῦ. Εὑρισκομένη λοιπὸν ἡ ψυχὴ ὑπεράνω, [σὲ πλεονεκτικὴ θέσι], πετᾶ ἐναντίον τοῦ ἐχθροῦ ραπίζοντάς τον, ὅπως ἀκριβῶς ὁ λε-

γόμενος Ὀξυπτέρυξ τὸν Κόρακα. Καὶ μετὰ ταῦτα ὑπὸ τῶν θείων ἀγγέλων διακομίζεται ἀγαλλιωμένη εἰς τοὺς τόπους τοὺς ὡρισμένους αὐτῇ κατὰ τὴν κατάστασιν αὐτῆς.

κς'. Ὅτι καὶ μικρῷ τινι πειρασμῷ κατὰ συγχώρησιν ἐμποδίζεταί ποτε προκόψαι ὁ σπουδαῖος, πειθέτω σε ἡ Ἐχενηΐς, τὸ βραχύτατον ἰχθύδιον, μυριοφόρον ὁλκάδα τῇ προσψαύσει καὶ μόνῃ καταριοῦσα [recte: καταργοῦσα][γ'] *καὶ προβῆναι τὸ ἐμποδισθέν· καὶ μέμνησαι πάντως τοῦ λέγοντος· ὅτι ἐγὼ ὁ τηλικοῦτος Παῦλος, καὶ ἅπαξ καὶ δὶς τεθέληκα ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ἐνέκοψεν ἡμᾶς ὁ σατανᾶς*[49]*. Ἀλλὰ μὴ διὰ τοῦτο θορυβηθῇς· ἀνταγωνίζου δὲ μᾶλλον διὰ τῆς ὑπομονῆς, καὶ τεύξῃ τῆς χάριτος.*

κζ'. Ὁ ταῖς ἀρεταῖς ἄγαν εὐθηνούμενος, ἐὰν διὰ ῥαθυμίαν ἀπονεύσῃ τοῦ πρέποντος, ἀνέρχονται πρὸς αὐτὸν οἱ υἱοὶ τῶν κακῶν ἀνατολῶν ἀπὸ Ἀμαλήκ, καὶ μάλιστα Μαδιάμ, ἡ φιλόπορνος δύναμις[50]*, σὺν ταῖς*

γόμενος ὀξυπτέρυξ [τὸ γεράκι, ῥαπίζει] τὸν κόρακα. Καὶ μετὰ ἀπ᾽ αὐτὰ μεταφέρεται γεμάτη χαρὰ [ἡ ψυχὴ] στοὺς καθορισμένους γι᾽ αὐτὴν τόπους, σύμφωνα μὲ τὴν κατάστασί της.

26. Ὅτι κάποτε, κατὰ παραχώρησι [Θεοῦ], ἐμποδίζεται καὶ ὁ δίκαιος ἀπὸ κάποιον μικρὸ πειρασμὸ νὰ προκόψῃ, ἂς σὲ πείθῃ ἡ ἐχενηίδα [β'], τὸ μικρότατο ψαράκι, τὸ ὁποῖο μὲ μόνο τὸ ἄγγιγμα ἀκινητοποιεῖ πλοῖο φορτηγὸ μὲ δέκα χιλιάδες ἄνδρες καὶ [εἶναι δύσκολο] νὰ προχωρήσῃ τὸ [πλοῖο], ποὺ ἐμποδίστηκε. Καὶ νὰ μνημονεύῃς πάντοτε ἐκεῖνον, ὁ ὁποῖος λέγει, ὅτι ἐγώ, ὁ τόσο μέγας Παῦλος, καὶ μία καὶ δύο φορὲς θέλησα νὰ ἔρθω σ᾽ ἐσᾶς καὶ μᾶς ἐμπόδισε ὁ σατανᾶς. Ἀλλὰ νὰ μὴν θορυβηθῇς γι᾽ αὐτό· μᾶλλον δὲ ἀγωνίσου μὲ ὑπομονὴ καὶ θὰ ἀπολαύσῃς τὴν Χάρι.

27. Ἐκεῖνος, ὁ ὁποῖος πολὺ εὐδοκιμεῖ, ὡς πρὸς τὶς ἀρετές, ἐὰν δὲν ἀπομακρυνθῇ ἀπὸ τὸ πρέπον, ἕνεκα ῥαθυμίας, ἀνεβαίνουν πρὸς αὐτὸν οἱ υἱοὶ τῆς κακῆς Ἀνατολῆς, ἀπὸ Ἀμαλὴκ καὶ μάλιστα Μαδιάμ, ἡ φιλόπορνη δύναμι μαζὶ μὲ

καμήλοις αὐτῶν, δηλαδὴ ταῖς ἐμπαθέσι μνήμαις, αἷς οὐκ ἔστιν ἀριθμός, καὶ διαφθείρουσι πάντα τὰ ἐκφόρια τῆς γῆς[51]*, τουτέστι τῆς ἀρίστης πράξεώς τε, καὶ ἕξεως. Καὶ τότε λοιπὸν πτωχεύει ὁ Ἰσραήλ, καὶ πάνυ ὀλιγοψυχεῖ, καὶ ἀναγκάζεται βοῆσαι πρὸς Κύριον. Καὶ οὕτως ἀποστέλλεται οὐρανόθεν λογισμὸς ἀγαθός, τὸν Γεδεὼν μιμούμενος, διὰ πολλῆς πίστεως καὶ ταπεινοφροσύνης. Ἡ γὰρ χιλιάς μου, φησί, ταπεινοτέρα ἐν Μανασσῇ, ὥστε ἀντιπαρατάξασθαι τοῖς τοσούτοις πλήθεσιν, ἐν τοῖς τριακοσίοις ἀσθενέσιν ἀνθρώποις, καὶ τρόπαια παραδόξως στῆσαι, κατὰ τῶν ἐναντίων, τῇ συμμαχίᾳ τῆς χάριτος*[52].

κη΄. Οὐκ ἂν δυνηθῇς ἐπὶ Ἀσπίδα καὶ Βασιλίσκον ἐπιβῆναι[53]*, καὶ τὰ ἑξῆς, εἰμὴ διὰ πολλῆς ἱκεσίας τὸν Θεὸν δυσωπήσας, λάβῃς ὑπερμάχους ἀγγέλους, ἀνακουφίζοντάς σε ταῖς οἰκείαις χερσί, καὶ ἄνω σε ποιοῦντας τῆς ἰλυώδους γνώμης.*

κθ΄. Ὅταν τις πυκτεύων ἰσχυρῶς ἡττηθείη, μηδαμῶς

τὶς καμῆλες τους, δηλαδὴ μὲ τὶς ἐμπαθεῖς μνῆμες, στὶς ὁποῖες δὲν ὑπάρχει ἀριθμὸς καὶ ἀφανίζουν ὅλους τοὺς καρποὺς τῆς γῆς, δηλαδὴ [τοὺς καρποὺς] τῆς ἀρίστης καὶ πράξεως καὶ συνηθείας. Καὶ τότε λοιπόν, ὁ Ἰσραὴλ γίνεται πτωχὸς καὶ ὀλιγοψυχεῖ τελείως καὶ ἀναγκάζεται νὰ φωνάξῃ δυνατὰ πρὸς τὸν Κύριο. Καὶ κατ᾽ αὐτὸν τὸν τρόπο ἀποστέλλεται ἀπὸ τὸν οὐρανὸ ἀγαθὸς λογισμός, ὁ ὁποῖος μιμεῖται τὸν Γεδεὼν μὲ μεγάλη πίστι καὶ ταπεινοφροσύνη. Διότι λέγει, ἡ δύναμί μου σὲ ἀνθρώπινο δυναμικὸ [εἶναι] ἡ πλέον ἀδύνατη μέσα [στὴν φυλὴ] τοῦ Μανασσῆ, ὥστε νὰ ἀντιπαραταχθῇ ἀπέναντι σὲ τόσα μεγάλα πλήθη μὲ τοὺς τριακόσιους ἀδύνατους ἀνθρώπους καὶ κατὰ παράδοξο τρόπο νὰ στήσῃ τρόπαια [νίκης] ἐναντίον τῶν ἐχθρῶν Υ, [παρὰ μόνον εἶναι δυνατὸν] μὲ τὴν συμμαχία τῆς Χάριτος.

28. Δὲν θὰ μπορέσῃς νὰ πατήσῃς πάνω [στὰ δηλητηριώδη φίδια], ἀσπίδα καὶ βασιλίσκο καὶ τὰ ὑπόλοιπα, παρὰ μόνον, ἀφοῦ παρακαλέσῃς μὲ πολλὴ προσευχὴ τὸν Θεό, [καὶ] λάβῃς ὑπερασπιστές [σου] ἀγγέλους νὰ σὲ ἀνυψώσουν μὲ τὰ δικά τους χέρια καὶ νὰ [σὲ] ἀπαλλάξουν ἀπὸ τὸ βορβορῶδες φρόνημα.

29. Ὅταν κάποιος ἤθελε ἡττηθῇ, ἐνῶ ἀγωνίζεται δυνατά, καθόλου

δυσθυμείτω, μηδὲ ἀποκαμνέτω, ἀλλὰ τοῖς τοῦ Ἡσαΐου ῥήμασιν ἀνορθωθεὶς εὐθυμείτω, τοιαῦτα κατεπᾴδων· ἰσχυκότες ἡττᾶσθε, ὦ πονηροὶ δαίμονες. Ἐὰν γὰρ καὶ πάλιν ἰσχύσητε, πάλιν ἡττηθήσεσθε. Καὶ ἣν ἂν βουλὴν βουλεύσησθε, διασκεδάσει Κύριος, ὅτι μεθ' ἡμῶν ὁ Θεός ἐστιν[54]. Ὁ Θεὸς ὁ τοὺς κατερραγμένους ἐξανιστῶν[55], καὶ παρασκευάζων τοὺς ἐχθροὺς ἡμῶν κόπτεσθαι, ἡνίκα ἂν μετανοῶμεν.

λ'. Ἀμήχανον χωρὶς λύπης παρελθεῖν τὸν ἐμπαιδευόμενον τοῖς πειρασμοῖς. Ἀλλὰ μετὰ ταῦτα πολλῆς χαρᾶς πληροῦνται οἱ τοιοῦτοι καὶ δακρύων γλυκέων καὶ νοημάτων θείων, ὅσοι ἐγεώργησαν τὸν πόνον, καὶ τὴν θλῖψιν ἐν ταῖς καρδίας αὐτῶν.

λα'. Εἰ θέλων ὁ Ἰσαάκ, καὶ τρέχων ποτὲ ὁ Ἠσαῦ πρὸς τὴν ἐπιθυμίαν τῆς εὐλογίας, ἀποτετυχήκασιν[56]· ἐλεοῦντος τοῦ Θεοῦ, καὶ εὐλογοῦντος, καὶ τῷ πνεύματι χρίοντος, οὐχ ὅνπερ ἡμεῖς πάντως τεθελήκαμεν, ἀλλ' ὅνπερ

ἂς μὴν δυσθυμῇ, οὔτε νὰ ἀποκάνῃ, ἀλλά, ἀφοῦ ἀνορθωθῇ, ἂς εὐθυμῇ μὲ τὰ λόγια τοῦ Ἡσαΐου, ψάλλοντας συνεχῶς αὐτά: «Ἂν καὶ ἔχετε ἰσχύ, νικηθεῖτε, ὦ πονηροὶ δαίμονες. Καὶ ἂν μάλιστα πάλι λάβετε ἰσχύ, πάλι θὰ ἡττηθῆτε. Καὶ ὅποια τυχὸν πανουργία θὰ σχεδιάσετε, θὰ [τὴν] διαλύσῃ ὁ Κύριος, διότι ὁ Θεὸς εἶναι μαζί μας»· ὁ Θεός, ὁ ὁποῖος ἀνορθώνει τοὺς συντετριμμένους καὶ κάνει οἱ ἐχθροί μας, [οἱ δαίμονες], νὰ ὀδύρωνται, ὁσάκις τυχὸν μετανοοῦμε.

30. Εἶναι ἀδύνατο νὰ περάσῃ χωρὶς λύπη ἐκεῖνος, ὁ ὁποῖος παιδαγωγεῖται μὲ τοὺς πειρασμούς. Ἀλλὰ ὕστερα αὐτοί, [ποὺ παιδαγωγοῦνται ἀπὸ τοὺς πειρασμούς], ὅσοι καλλιέργησαν τὸν πόνο καὶ τὴν θλῖψι μέσα στὶς καρδίες τους, γεμίζουν μὲ πολλὴ χαρὰ καὶ γλυκὰ δάκρυα καὶ θεῖα νοήματα.

31. Ἐὰν κάποτε, ἐνῶ ὁ Ἰσαὰκ ἤθελε, καὶ ὁ Ἠσαῦ ἔτρεχε πρὸς τὴν ἐπιθυμία τῆς εὐλογίας, [ὅμως καὶ οἱ δύο] ἀπέτυχαν, ἐπειδὴ ὁ Θεὸς ἐλεεῖ καὶ εὐλογεῖ καὶ χρίει μὲ τὸ [Πανάγιο] Πνεῦμα, ὄχι βέβαια ἐκεῖνον, τὸν ὁποῖο ἐμεῖς ἔχομε θελήσει

ὁ Θεός, πρὶν πλάσαι, προώρισεν εἰς τὸ διακονῆσαι· μηδαμῶς θορυβηθῶμεν, μήτε μὴν φθονήσωμεν, ὅταν θεωρήσωμεν ἀδελφούς τινας οἰκτρούς, καὶ ἐλαχίστους ἐπὶ τὴν ἀρετὴν προκόψαντας. Ἤκουσας καὶ τοῦ Κυρίου λέγοντος· δὸς τούτῳ τόπον, ὥστε κατακλιθῆναι ἀνώτερον[57]*. Θαυμάζωμεν δὲ μᾶλλον ἐπὶ τούτοις τὸν δικαστήν, σοφῶς καὶ ἀπορρήτως κεκρικότα· ἐκεῖνον μὲν τὸν ἐλάχιστον καὶ ὕστερον, πρωτεύειν καὶ καθηγεῖσθαι· ἡμᾶς δὲ ἐσχατίζειν τοὺς τῇ ἀσκήσει, καὶ τῷ χρόνῳ ἐκείνου πρωτεύοντας. Ἑκάστῳ γὰρ ἀνθρώπῳ καθὼς μεμέρικεν ὁ Κύριος*[58]*, οὕτω καὶ στοιχήσομεν· εἴπερ Πνεύματι ζῶμεν, καὶ Πνεύματι στοιχῶμεν, κατὰ τὸ γεγραμμένον*[59].

λβ΄. Μηδέποτε ἀποδέχου τὸν ἐν ὑποταγῇ σου, παράσχου μοι, λέγοντά σοι, ἐξουσίαν χρόνου πρὸς ἀρετήν, τόδε, ἢ τόδε τὸ πρᾶγμα δοκιμάσαι, καὶ οὕτω κατορθῶσαι. Ὁ γὰρ δὴ οὕτω λέγων, δῆλον ὅτι τὸ ἴδιον ἀποτελεῖ θέλημα καὶ τῆς βελ-

ὁπωσδήποτε, ἀλλὰ ἐκεῖνον, τὸν ὁποῖον ὁ Θεός προόρισε γιὰ τὴν διακονία, πρὶν νὰ [τὸν] πλάσῃ. [Ἑπομένως], καθόλου νὰ μὴν θορυβηθοῦμε, οὔτε βεβαίως νὰ φθονήσωμε, ὅταν θὰ δοῦμε κάποιους ἀδελφοὺς ἀξιολύπητους καὶ ἐλαχίστους, ὅτι προέκοψαν στὴν ἀρετή. Ἄκουσες καὶ τὸν Κύριο νὰ λέγῃ: «δῶσε σ᾽ αὐτὸν τόπο, γιὰ νὰ καθήσῃ σὲ ἀνώτερη θέσι». Γι᾽ αὐτὸ βέβαια, ἂς θαυμάζωμε μᾶλλον τὸν δικαστή, ὁ ὁποῖος κρίνει μὲ σοφία καὶ μὲ ἀνεξερεύνητο τρόπο· ὥστε ἐκεῖνον μέν, τὸν ἀσήμαντο καὶ τελευταῖο [κρίνει νὰ γίνεται πρῶτος καὶ νὰ προηγῆται]· ἐμεῖς δέ, οἱ ὁποῖοι προηγούμεθα ἐκείνου, ὡς πρὸς [τὰ χρόνια] τῆς ἀσκήσεως καὶ τὴν ἡλικία, [κρίνει] νὰ γινώμεθα τελευταῖοι. Κατ᾽ αὐτὸ τὸν τρόπο λοιπόν, ἂς ρυθμίσωμε τὴν ζωή μας, ὅπως ἔχει ὁρίσει ὁ Κύριος γιὰ κάθε ἄνθρωπο, ἐὰν βέβαια ζοῦμε ἐν Πνεύματι καὶ συστοιχούμεθα μὲ τὸ Ἅγιο Πνεῦμα, σύμφωνα μὲ ἐκεῖνο, τὸ ὁποῖο ἔχει γραφῆ.

32. Ποτὲ νὰ μὴν συμφωνήσῃς μ᾽ ἐκεῖνον, [ποὺ βρίσκεται] στὴν ὑπακοή [σου], ἐὰν σοῦ λέγῃ: «δῶσε μου περιθώριο χρόνου, ὡς πρὸς τὴν ἀρετή, ὥστε νὰ δοκιμάσω αὐτὸ ἢ ἐκεῖνο τὸ πρᾶγμα καὶ κατ᾽ αὐτὸν τὸν τρόπο θὰ [τὴν] κατορθώσω». Διότι ἐκεῖνος βέβαια, ὁ ὁποῖος ἔτσι λέγει, εἶναι φανερό, ὅτι ἐκπληρώνει τὸ δικό του θέλημα καὶ ἀθε-

τίστης ὑποταγῆς τὰς συνθήκας ἀθετεῖ.

λγ΄. Τὰ μὲν τῆς σαρκός, καὶ τῆς ψυχῆς παθήματα, καθὼς ὄψη, τῷ χρόνῳ, καὶ τῷ θείῳ νεύματι ἐξαφανισθήσεται καίτοι ἐπαυξηθέντα˙ τὸ δὲ τοῦ Χριστοῦ ἔλεος οὐδαμῶς φθαρήσεται˙ τὸ γὰρ Κυρίου ἔλεος, ἀπὸ τοῦ αἰῶνος τούτου, καὶ ἕως τοῦ αἰῶνος τοῦ μέλλοντος ἐπὶ τοὺς φοβουμένους αὐτόν[60].

λδ΄. Θησαυροὶ βασιλικοὶ πλησθήσονται χρυσίου[61] *καὶ οἱ νόες τῶν ἀληθῶς Μοναχῶν πληρωθήσονται γνώσεως.*

λε΄. Ἔστιν ὅτε διδάσκαλος εἰς ἀτιμίαν ἐκδίδοται, ὑπὲρ τῶν πνευματικῶς ὠφεληθέντων τοὺς πειρασμοὺς ὑφιστάμενος. Ἡμεῖς γάρ, φησίν, ἄτιμοι, καὶ ἀτιμαζόμενοι τῷ σκόλοπι, καὶ ἀσθενοῦντες˙ ὑμεῖς δὲ ἔνδοξοι καὶ ἰσχυροὶ ἐν Χριστῷ καθεστήκατε[62].

λς΄. Πηγὴ καὶ ὑπόθεσις τῆς διὰ σαρκὸς φθορᾶς, ὁ ἐμπαθὴς λογισμός˙ ὃν διὰ μετανοίας ἐξορίζει τῆς ψυχῆς ὁ νήψας μετὰ τὸ πταῖσμα˙ καλῶς γὰρ ἐπενθήσατε μᾶλλον, ἵνα ἐξαρθῇ

τεῖ τοὺς ὅρους τῆς ἁγίας ὑπακοῆς.

33. Ὅπως θὰ δῆς, οἱ μὲν κακοπάθειες καὶ τοῦ σώματος καὶ τῆς ψυχῆς, μὲ τὸν καιρὸ καὶ τὴν θεία συγκατάνευσι, θὰ ἐξαφανισθοῦν, μολονότι ἐπληθύνθησαν. Τὸ δὲ ἔλεος τοῦ Χριστοῦ καθόλου δὲν θὰ ἐλαττωθῇ, διότι τὸ ἔλεος τοῦ Κυρίου, ἀπὸ τὸν αἰῶνα αὐτὸ καὶ ἕως τὸν μέλλοντα αἰῶνα, [εἶναι πάνω] σ᾽ ἐκείνους, οἱ ὁποῖοι Τὸν φοβοῦνται.

34. Τὰ βασιλικὰ θησαυροφυλάκια θὰ γεμίσουν ἀπὸ χρυσάφι καὶ οἱ νόες τῶν ἀληθινῶν Μοναχῶν θὰ γεμίσουν [θεία] γνῶσι.

35. Κάποτε ὁ [ἐν Χριστῷ] διδάσκαλος, [δηλαδὴ ὁ Γέροντας], παραδίδεται στὴν ἀτιμία, ὑφιστάμενος τοὺς πειρασμούς, γιὰ χάρι ἐκείνων, οἱ ὁποῖοι ὠφελήθηκαν πνευματικὰ [ἀπ᾽ αὐτόν]. Διότι λέγει [ὁ Ἀπόστολος Παῦλος]: «Ἐμεῖς [γίναμε] ἄτιμοι καὶ ἀτιμαζόμεθα μὲ ἀσθένεια καὶ εἴμεθα ἀδύναμοι· ἐσεῖς δὲ γίνατε ἔνδοξοι καὶ ἐν Χριστῷ ἰσχυροί».

36. Ἡ πηγὴ καὶ ἡ [ὅλη] ὑπόθεσι τῆς σαρκικῆς καταπτώσεως [εἶναι] ὁ ἐμπαθὴς λογισμός, τὸν ὁποῖο ἐξορίζει ἀπὸ τὴν ψυχὴ διὰ τῆς μετανοίας ἐκεῖνος, ὁ ὁποῖος τήρησε τὴν ζωὴ τῆς νήψεως μετὰ τὴν ἁμαρτία. Καλῶς λοιπὸν ἐπενθήσατε περισσότερο, γιὰ νὰ ἀφανισθῇ

ἐκ μέσου ὑμῶν[63] *ὁ τὸ ἔργον τοῦτο πρᾶξαι προτρέψας πονηρός, καὶ ἀνόσιος λογισμός˙ οὐκοῦν τὸ πένθος ἀντίκειται τῷ πνεύματι τῆς φθορᾶς.*

λζ΄. Τίς ἀναγγελεῖ τῷ ἐκπεπιεσμένῳ ἐν τῇ ἀδοξίᾳ, καὶ τῇ ἀδυναμίᾳ τῶν ἀρετῶν, ὅτι ὄψεται τὸν Ἰησοῦν, οὐ μόνον κατὰ τὸ μέλλον, ἀλλὰ καὶ ἐντεῦθεν ἤδη μετὰ δυνάμεως, καὶ δόξης μεγάλης ἐρχόμενον[64] *πρὸς αὐτὸν διὰ τῆς ἀπαθείας; Ὥστε εἰπεῖν κατὰ τὴν Σάῤῥαν, ψυχὴν τὴν ἐν τῇ στειρώσει γηράσασαν, καὶ παρὰ προσδοκίαν τετοκυῖαν υἱὸν δικαιοσύνης, ὅτι γέλωτά μοι ἐποίησεν ὁ Θεός*[65]*, τουτέστι μεγίστην χαρὰν δεδώρηται, τῷ πλείστοις ἔτεσι καταλελυπημένῳ τῇ πολυπαθείᾳ˙ ἢ ὥς περ ἄλλος ἑρμηνεὺς ἐξέδωκε, τρυφερίαν μοι ἐποίησεν ὁ Θεός, τουτέστιν ἀνεκαινίσθη ὡς ἀετοῦ ἡ νεότης μου*[66]*. Παλαιωθεῖσα γὰρ τὸ πρὶν ἐν ἁμαρτίαις καὶ πάθεσιν ἀτιμίας, νῦν ἀναγεγέννημαι, καὶ ἀνηβῶ καὶ ἁπαλύνομαι ὁ πρῴην τετραχυμένος τῇ ὕλῃ· καὶ λείως βλέ-*

ἀπὸ ἀνάμεσά σας ἐκεῖνος ὁ πονηρὸς καὶ βέβηλος λογισμός, ὁ ὁποῖος [σᾶς] προέτρεψε νὰ πράξετε αὐτὸ τὸ ἔργο. Ἀναμφιβόλως τὸ πένθος ἀντίκειται στὸ πνεῦμα τῆς φθορᾶς.

37. Ποιὸς θὰ ἀναγγείλῃ σ᾽ ἐκεῖνον, ὁ ὁποῖος εἶναι συμπιεσμένος ἀπὸ τὴν ἀπουσία τῆς ἐμπειρίας τῆς δόξης [τοῦ Θεοῦ] καὶ ἀπὸ τὴν ἀδυναμία [γιὰ τὴν τέλεσι] τῶν ἀρετῶν, ὅτι θὰ δῇ τὸν Ἰησοῦ, ὄχι μόνο στὴν μέλλουσα ζωή, ἀλλὰ ἤδη καὶ ἀπὸ ἐδῶ νὰ ἔρχεται μὲ μεγάλη δύναμι καὶ δόξα πρὸς αὐτόν, μέσῳ τῆς ἀπαθείας· ὥστε ἡ ψυχή, ἡ ὁποία ἐγήρασε μέσα στὴν στειρότητα, καὶ ἀπροσδόκητα ἔχει γεννήσει υἱὸ δικαιοσύνης, νὰ πῇ, ὅμοια μὲ τὴν Σάρρα, ὅτι μοῦ προσέφερε ὁ Θεὸς γέλιο, δηλαδὴ ἔχει χαρίσει τὴν μεγαλύτερη χαρὰ σ᾽ ἐμένα, ποὺ τὰ περισσότερα χρόνια ἤμουν καταπικραμένη ἀπὸ τὸ πλῆθος τῶν παθῶν· ἢ ὅπως ἀκριβῶς ἄλλος ἑρμηνευτὴς ἀπέδωσε: «ὁ Θεὸς μοῦ δώρισε τρυφερὴ ἡλικία», δηλαδὴ «ἀνακαινίσθηκε ἡ νεότητά μου, ὅπως τοῦ ἀετοῦ». Διότι, ἐνῶ προηγουμένως ἐπαλαιώθη [ἡ νεότητά μου] μὲ ἁμαρτίες καὶ πάθη ἀτιμίας, [ἐγὼ] τώρα, ὁ πρὶν σκληρυμένος ἀπὸ τὴν ὕλη, ἔχω ἀναγεννηθῆ καὶ ξανανιώνω καὶ ἀποκτῶ τὴν ἁπαλότητα [τῆς νεότητος]· καὶ τώρα λοι-

πω νῦν λοιπὸν τὰ ἐν κόσμῳ πράγματα˙ ἀπειληφὼς τὸ κατὰ φύσιν ἁπλοῦν, καὶ ἀποίκιλον, ὑγιασθέντος τοῦ νοῦ τῇ τοῦ Θεοῦ πολυσπλαχνίᾳ˙ καὶ γέγονεν ἡ σάρξ μου, ὥσπερ τοῦ Σύρου Νεεμάν[67]*, καθάπερ ἡ τῶν νηπίων, διὰ τὸ λελοῦσθαί με τῷ Ἰορδάνῃ τῆς γνώσεως˙ καί εἰμι μονότροπος, τῇ τοῦ Θεοῦ χάριτι, ἀπηλλαγμένος τῆς τοῦ ὄφεως γνώμης καὶ τοῦ στίφους, ὧνπερ παρὰ τὴν φύσιν ἐκτησάμην τὸ πρότερον, πολυπείρων τε καὶ πολυΰλων λογισμῶν τῆς κακίας.*

λη΄. Ὑπόθου πρὸς σὲ λέγειν τὸν Κύριον, ὅτι καιρῷ τινι ἀφειλόμην σου τόδε, καὶ τόδε χάρισμα, ἐφ᾽ οἷς ἐδόκεις τὸν νοῦν σου πληροφορεῖν, καὶ διαναπαύεσθαι˙ δέδωκα δέ σοι ἀντ᾽ αὐτῶν ἕτερον ἀντίσταθμον χάρισμα τόδε, καὶ τόδε˙ σὺ δέ, τὰ μὲν ἀφαιρεθέντα ἐννοῶν, τὰ δὲ δοθέντα ὑπὲρ ἐκείνων μὴ συνορῶν, στυγνάζεις, καὶ ἀλγεῖς, καὶ τῇ λύπῃ τιτρώσκῃ, ἀλλ᾽ εὐφραίνεις με λυπούμενος ἐξ ἐμοῦ[68]*. Λυπῶ γὰρ ἐγὼ πρὸς τὸ συμφέρον, σῶσαι μᾶλλον,*

πὸν βλέπω ἀπαθῶς τὰ πράγματα τοῦ κόσμου· καθὼς ἔχω ξαναλάβει τὸ κατὰ φύσιν ἁπλὸ καὶ ἀποίκιλο, ἐπειδὴ ὁ νοῦς [μου] ἐξυγιάνθη ἀπὸ τὴν πολυευσπλαχνία τοῦ Θεοῦ. Καὶ ἔγινε ἡ σάρκα μου, ὅπως ἀκριβῶς τοῦ Σύρου Νεεμάν [δ΄], καθὼς ἡ [σάρκα] τῶν νηπίων, ἕνεκα τοῦ ὅτι ἔχω λουσθῆ στὸν Ἰορδάνη τῆς [θείας] γνώσεως· καὶ εἶμαι μὲ τὴν Χάρι τοῦ Θεοῦ μονότροπος [ἁπλοῦς, μὲ μία μόνη κίνησι τοῦ νοός μου, αὐτὴ πρὸς τὸν Θεό], ἀπαλλαγμένος ἀπὸ τὴν γνώμη τοῦ ὄφεως καὶ τοῦ σμήνους τῶν πολυπείρων καὶ πολυΰλων λογισμῶν τῆς κακίας, τοὺς ὁποίους προηγουμένως ἀπέκτησα παρὰ φύσιν.

38. Ὑπόθεσε, ὅτι ὁ Κύριος σοῦ λέγει, ὅτι κάποιο καιρὸ σοῦ ἀφήρεσα αὐτὸ κι αὐτὸ τὸ χάρισμα, τὰ ὁποῖα ἐνόμιζες, ὅτι ἱκανοποιοῦν τὸν νοῦ σου καὶ [σὲ] ἀναπαύουν. Σοῦ ἔχω δώσει δέ, ἀντὶ γι᾽ αὐτά, ἄλλο ἀντιστάθμισμα, αὐτὸ κι ἐκεῖνο τὸ χάρισμα. Ἐσὺ ὅμως, ἐπειδὴ σκέπτεσαι ἐκεῖνα μέν, τὰ ὁποῖα ἀφαιρέθηκαν, ἐκεῖνα ὅμως, τὰ ὁποῖα δόθηκαν ἀντὶ γιὰ ἐκεῖνα, δὲν τὰ παίρνεις εἴδησι, σκυθρωπάζεις καὶ πονᾶς καὶ πληγώνεσαι ἀπὸ τὴν λύπη, ὅμως μὲ εὐφραίνεις, ἐπειδὴ δέχεσαι ἀπὸ Ἐμένα τὴν λύπη. Διότι ἐγὼ [σὲ] λυπῶ γιὰ τὸ συμφέρον [σου], ἐπιχειρώντας νὰ σώσω μᾶλλον,

οὐκ ἀπολέσαι πραγματευόμενος τὸν λελογισμένον μοι υἱόν[δ'].

λθ'. Ἐπιτάξαι σεαυτῷ μὴ φαγεῖν νόμισον ἰχθῦν, καὶ ἐπιθεώρει μετὰ ταῦτα ὅτι πρὸς τὴν ἐπιθυμίαν τοῦ ἰχθύος ἀνενδότως ὁ ἐχθρὸς κατελαύνει σε˙ καὶ σὺ πάλιν ὁμοίως, πρὸς τὴν ἀπόλαυσιν τοῦ ἀβουλήτου σοι ἐμμανῶς κατεπείγῃ, ὅπως ἂν μανθάνῃς τὰ τοῦ Ἀδὰμ τυπικῶς συμβεβηκότα˙ ἀκούσας γὰρ ἐκεῖνος, μὴ φάγῃς ἐκ τούτου μόνου τοῦ πράγματος[69]*, εἰς τοῦτο μάλιστα μετὰ πολλῆς ἐπιθυμίας καὶ μόνον τὸ ἀπηγορευμένον δεδράμηκεν.*

μ'. Ἄλλον γὰρ διὰ τῆς γνώσεως ὁ Θεὸς σῴζει καὶ ἄλλον διὰ τῆς ἀκεραιότητος, καὶ ἀκακίας. Εἰδέναι γὰρ ὀφείλεις, ὅτι οὐ μὴ ἀποποιήσεται ὁ Θεὸς τὸν ἄκακον[70].

μα'. Ὅσοι τῇ εὐχῇ σφοδρότερον κέχρηνται, οὗτοι ὑπὸ τῶν φοβερῶν, καὶ ἀγρίων πειρασμῶν ἐκπορθοῦνται.

μβ'. Εἴπερ τὴν ἀπάθειαν προείλου ἀμφιάσασθαι, μὴ ἀμερίμνως διάκεισο, ἀλλ᾽ ὅση δύναμις σπούδασαι ταύτης

[καὶ] ὄχι νὰ καταστρέψω ἐκεῖνον, τὸν ὁποῖο λογαριάζω υἱό μου.

39. Δῶσε ἐντολὴ στὸν ἑαυτὸν σου νὰ μὴν φάῃ, ὑπέθεσε [παραδείγματος χάριν] ψάρι, καὶ παρατήρησε προσεκτικὰ ἔπειτα, ὅτι ὁ ἐχθρὸς σὲ ὠθεῖ μετ᾽ ἐπιμονῆς πρὸς τὴν ἐπιθυμία τοῦ ψαριοῦ· καὶ ἐσὺ σπεύδεις μὲ μανία πάλι πρὸς τὴν ἀπόλαυσι ἐκείνου, τὸ ὁποῖο δὲν εἶναι σύμφωνο μὲ τὴν θέλησί σου· γιὰ νὰ δύνασαι [ἀπὸ τὴν ἐμπειρία σου] νὰ κατανοῇς ἐκεῖνα, τὰ ὁποῖα ὑπὸ τὴν ἰδία μορφὴ ἔχουν συμβῆ στὸν Ἀδάμ. Διότι ἐκεῖνος, ὅταν ἄκουσε: «νὰ μὴν φᾷς μόνο ἀπὸ αὐτὸ τὸ πρᾶγμα», σ᾽ αὐτὸ κατ᾽ ἐξοχὴν μόνο, τὸ ἀπαγορευμένο, ἔτρεξε μὲ πολλὴ ἐπιθυμία.

40. Ἄλλον βέβαια ὁ Θεὸς σώζει διὰ τῆς γνώσεως καὶ ἄλλον διὰ τῆς ἀκεραιότητος καὶ τῆς ἀκακίας. Διότι ὀφείλεις νὰ γνωρίζῃς, ὅτι ὁ Θεὸς δὲν θὰ ἀποδοκιμάσῃ τὸν ἄκακο.

41. Ὅσοι χρησιμοποιοῦν τὴν εὐχὴ ἐντονώτερα, αὐτοὶ δέχονται ἰσχυρὲς ἐπιθέσεις ἀπὸ τοὺς φοβεροὺς καὶ ἀγρίους πειρασμούς.

42. Ἂν πράγματι προτίμησες νὰ ἐνδυθῇς τὴν ἀπάθεια, νὰ μὴν ἀ-

ἐπιτυχεῖν. Στενάζομεν γάρ, τὸ οἰκητήριον ἡμῶν τὸ ἐξ οὐρανοῦ ἐπενδύσασθαι ἐπιποθοῦντες[71]*· ἵνα καταποθῇ, οὐ μόνον σωματικῶς μετὰ τὴν συντέλειαν τοῦ αἰῶνος, ἀλλὰ καὶ ἐντεῦθεν ἤδη νοητῶς κατὰ τὸν ἀῤῥαβῶνα, τὸ θνητὸν ὑπὸ τῆς ζωῆς*[72]*. Κατεπόθη γὰρ ὁ θάνατος εἰς νῖκος*[73] *καὶ καταποθήσονται πάντες Αἰγύπτιοι οἱ ἐκθλίβοντες ἡμᾶς*[74]*, καταδιώκοντες ὀπίσω ἡμῶν, ἐν τοῖς κύμασι*[75] *τῆς ἐξ οὐρανοῦ ἡμῖν καταπεμφθείσης δυνάμεως.*

μγ΄. Ἐὰν ἐπιλάθῃ τοῦ εἰπόντος, ὅτι δέδοικα, μήπως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι[76]*· καί, ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ*[77]*, καὶ σὺ ὁ πνευματικὸς σκοπῶν σεαυτὸν μή καὶ σὺ πειρασθῇς*[78]*, καὶ ἐὰν ἀλησμονήσῃς τῆς τοῦ Σολομῶντος, μετὰ τοσαύτην χάριν, ἐκτροπῆς καὶ ἀνομίας*[79]*, καὶ ἐὰν λήθῃ παραδῷς τὴν τοῦ μεγάλου Πέτρου ἀπροσδόκητον ἄρνησιν*[80]*, θάρσησον τῇ γνώσει σου, καὶ μεγαλαύχει ἐπὶ τῇ πολιτείᾳ, καὶ τῷ χρόνῳ τῆς πολλῆς σου ἀσκήσεως ἐναμβρύνου, καὶ*

μελῆς, ἀλλὰ φρόντισε μὲ ὅλη σου τὴν δύναμι νὰ τὴν ἐπιτύχῃς. Διότι στενάζομε, ἐπειδὴ ἐπιθυμοῦμε μὲ πόθο νὰ ἐνδυθοῦμε τὴν κατοικία, [τὸ καινὸ σῶμα, τὸ ὁποῖο μέλλει νὰ χαρισθῇ] ἀπὸ τὸν οὐρανό, γιὰ νὰ καταποθῇ ἡ θνητότητα ἀπὸ τὴν Ζωή, ὄχι μόνο, ὡς πρὸς τὸ σῶμα, μετὰ τὴν συντέλεια τοῦ αἰῶνος [τούτου], ἀλλὰ ἤδη καὶ ἀπὸ ἐδῶ νοητῶς σύμφωνα μὲ τὸν ἀρραβῶνα [τὴν ὑπόσχεσι τοῦ Θεοῦ]. Ἐπειδὴ καταποντίσθηκε ὁ θάνατος νικημένος, θὰ καταποντισθοῦν μέσα στὰ κύματα τῆς δυνάμεως, ἡ ὁποία ἀπεστάλη σ᾽ ἐμᾶς ἀπὸ τὸν οὐρανὸ καὶ ὅλοι οἱ Αἰγύπτιοι [οἱ δαίμονες], οἱ ὁποῖοι μᾶς συνθλίβουν καταδιώκοντάς μας κατὰ πόδας.

43. Ἐὰν λησμονήσῃς ἐκεῖνον, ὁ ὁποῖος εἶπε, ὅτι φοβοῦμαι μήπως, ἐνῶ κήρυξα σὲ ἄλλους, ἐγὼ ὁ ἴδιος γίνω ἀνάξιος· καὶ [τὸ] «ἐκεῖνος, ποὺ νομίζει ὅτι στέκεται, ἂς προσέχῃ μήπως πέσῃ» καὶ «ἐσύ, ποὺ ζῇς πνευματικά, νὰ προσέχῃς τὸν ἑαυτόν σου, μήπως καὶ ἐσὺ πέσῃς σὲ πειρασμό»· καὶ ἐὰν λησμονήσῃς τὴν πτῶσι καὶ τὴν ἀνομία τοῦ Σολομῶντος, μετὰ ἀπὸ τόση Χάρι, καὶ ἐὰν παραδώσῃς στὴν λήθη τὴν ἀπροσδόκητη ἄρνησι τοῦ μεγάλου Πέτρου, [τότε] ἔχε πεποίθησι στὴν γνώμη σου καὶ καυχῆσου γιὰ τὴν πολιτεία [σου] καὶ καμάρωσε γιὰ τὸν χρόνον τῆς πολλῆς σου ἀσκήσεως καὶ

δώσῃς τόπον τῇ ὑπερηφανίᾳ. Ἀλλὰ μηδαμῶς ὑπτιωθῇς, ὦ ἀδελφέ· φοβοῦ δὲ μᾶλλον, μέχρις ὅτε ἐμπνέεις, κἂν εἰς τὸν ἀριθμὸν ἔφθασας τῶν Μωσέως ἐτῶν[81], καὶ εὔχου λέγων· Κύριε, μὴ ἀποῤῥίψῃς με εἰς καιρὸν γήρως μου· ἐν τῷ ἐκλείπειν τὴν ἰσχύν μου, μὴ ἐγκαταλίπῃς με[82]· ὁ Θεὸς ὁ Σωτήρ μου, ἐν σοὶ ἡ ὕμνησίς μου διαπαντός[83].

μδʹ. Φησί σοι ὁ Κύριος, ὡς τῷ Ματθαίῳ, ἀκολούθει μοι[84]. Σὺ οὖν τὸν σὸν πολυπόθητον τῇ προθυμίᾳ καταδιώκων Δεσπότην, ἐὰν κατὰ τὴν ὁδὸν τοῦ βίου προσκόψῃς πρὸς λίθον ἐμπαθῆ τὸν πόδα σου[85], καὶ πέσῃς πρὸς ἁμαρτίαν ἀδοκήτως, ἤ, καὶ πολλάκις, ἰλυωδῶν εὑρισκομένων τόπων, ὡς οὐκ ἤθελες ὠλίσθησας καὶ ἐπτωματίσθης, ὁσάκις ἂν συμβῇ πεσεῖν τε, καὶ βασανίσαι τὸ σῶμα, τοσαυτάκις ἀναστὰς τῇ αὐτῇ προθυμίᾳ, καταδίωκε τὸν σαυτοῦ Κύριον, ἕως ἂν φθάσῃς αὐτόν. Οὕτως ἐν τῷ Ἁγίῳ ἐνθυμήματι ὤφθην σοι, τοῦ ἰδεῖν τὴν σῴζουσάν με δύναμιν καὶ δόξαν[86], καὶ

θὰ δώσῃς, [μ᾽ αὐτὸν τὸν τρόπο], χῶρο στὴν ὑπερηφάνια. Ἀλλά, ἀδελφέ! καθόλου νὰ μὴν ἀμελήσῃς· ἀλλὰ μᾶλλον νὰ φοβᾶσαι, ἕως ὅτου ἀναπνέῃς, ἀκόμη κι ἂν ἔφθασες στὸν ἀριθμὸ τῶν ἐτῶν τοῦ Μωυσέως· καὶ νὰ προσεύχεσαι, λέγοντας: «Κύριε, μὴν μὲ ἀπορρίψῃς τὸν καιρὸ τῶν γηρατειῶν μου, ὅταν χάνεται ἡ δύναμί μου, μὴν μὲ ἐγκαταλείψῃς ὁ Θεός, ὁ Σωτήρας μου· σὲ Σένα πάντοτε ἡ ὕμνησί μου».

44. Σοῦ λέγει ὁ Κύριος, ὅπως στὸν Ματθαῖο: «ἀκολούθησέ με». Ἐσὺ λοιπόν, καθὼς καταδιώκεις μὲ τὴν προθυμία τὸν πολυπόθητό σου Δεσπότη [Χριστό], ἐάν, κατὰ τὴν πορεία τῆς ζωῆς, σκοντάψῃς τὸ πόδι σου σὲ πέτρα ἐμπαθῆ, [σὲ κάποιο πάθος] καὶ πέσῃς ἀπροσδόκητα στὴν ἁμαρτία ἢ πολλὲς φορές, ἐὰν ὑπάρχουν καὶ βορβορώδεις τόποι, γλιστρήσῃς καὶ πέσῃς κάτω, ὅπως δὲν θὰ ἤθελες, καὶ ὅσες φορὲς τυχὸν συμβῇ νὰ πέσῃς καὶ βασανίσῃς τὸ σῶμα [σου], τόσες φορὲς νὰ σηκωθῇς μὲ τὴν ἴδια προθυμία, [καὶ] νὰ κυνηγήσῃς τὸν Κύριό σου μέχρι νὰ μπορέσῃς νὰ Τὸν φθάσῃς [λέγοντάς Του]: «Κατ᾽ αὐτὸν τὸν τρόπο παρουσιάστηκα σ᾽ Ἐσένα μέσα στὸν Ἅγιο [Ναὸ] τοῦ νοός, γιὰ νὰ δῶ τὴν δύναμι καὶ τὴν δόξα, ἡ ὁποία μὲ σώζει,

ἐν τῷ ὀνόματί σου Κύριε, ἀρῶ τὰς χεῖράς μου, καὶ ὑπολήψομαι. Καὶ νομίσομαι στέατος, καὶ πιότητος πιμπλᾶσθαι, καὶ χαρήσεται τὰ χείλη μου ψάλλοντά σοι[87]. *Μέγα γάρ μοι ὅτι ἐπωνομάσθην Χριστιανός, ὥς περ λέγει μοι Κύριος διὰ τοῦ Ἡσαΐου· ὅτι μέγα σοί ἐστιν τὸ κληθῆναί σοι παῖδά μου*[88].

με΄. Πῆ μέν, φησίν, ὅτι δώσει ἀγαθὰ ὁ πατὴρ τοῖς αἰτοῦσιν αὐτόν[89]*· πῆ δέ, ὅτι δώσει Πνεῦμα Ἅγιον τοῖς δεομένοις*[90]. *Δι᾽ ὧν ῥημάτων νοοῦμεν, μὴ μόνον πλημμελημάτων ἄφεσιν, ἀλλὰ καὶ οὐρανίων χαρισμάτων χορηγίας τυγχάνειν τοὺς τοῦ Θεοῦ ἱκέτας ἰσχυροποιουμένους τοιαύτῃ διανοίᾳ. Ὅτι οὐχὶ δικαίοις, ἀλλὰ ἁμαρτωλοῖς τοιαῦτα ἀγαθὰ ὑπισχνεῖται ὁ Κύριος. Εἰ γὰρ ὑμεῖς, φησί, πονηροὶ ὑπάρχοντες, οἴδατε δώματα [recte: δόματα] ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος δώσει τοῖς αἰτοῦσιν αὐτὸν Πνεῦμα Ἅγιον*[91]*; Αἴτησον τοιγαροῦν ἀνενδότως, καὶ ἀδιστάκτῳ τῇ γνώμῃ, κἂν*

καὶ θὰ ὑψώσω τὰ χέρια μου στὸ ὄνομά Σου Κύριε καὶ θὰ εἰσακουσθῶ. Καὶ θὰ νομίσω, ὅτι χορταίνω ἀπὸ λίπος καὶ πάχος [ἀπὸ ἀκόρεστο θεῖο πλουτισμό], καὶ θὰ χαροῦν τὰ χείλη μου νὰ Σὲ ὑμνοῦν». Διότι [θεωρῶ], ὅτι εἶναι μεγάλο γιὰ μένα, ὅτι ὀνομάστηκα Χριστιανὸς, ὅπως ἀκριβῶς μοῦ λέγει ὁ Κύριος μέσῳ τοῦ Ἡσαΐου, ὅτι εἶναι γιὰ σένα μεγάλο τὸ νὰ ὀνομασθῇς παιδί Μου.

45. Κάπου μὲν λέγει [ἡ Ἁγία Γραφή], ὅτι ὁ Πατέρας θὰ δώσῃ ἀγαθὰ σ᾽ ἐκείνους, οἱ ὁποῖοι Τὸν ἐπιζητοῦν. Κάπου δὲ [λέγει], ὅτι θὰ δώσῃ τὸ Ἅγιο Πνεῦμα σ᾽ ἐκείνους, οἱ ὁποῖοι παρακαλοῦν. Μὲ αὐτὰ τὰ λόγια ἀντιλαμβανόμεθα, ὅτι οἱ ἱκέτες τοῦ Θεοῦ, οἱ ὁποῖοι καθίστανται ἰσχυροὶ μὲ αὐτοῦ τοῦ εἴδους τὴν σκέψι [τὴν προσευχή], ἀξιώνονται ὄχι μόνο τὴν ἄφεσι τῶν ἁμαρτιῶν, ἀλλὰ καὶ δωρεὲς οὐρανίων χαρισμάτων. Διότι ὁ Κύριος ὑπόσχεται τέτοια ἀγαθά, ὄχι [μόνον] στοὺς δικαίους, ἀλλὰ [καὶ] στοὺς ἁμαρτωλούς. Διότι λέγει: «ἐὰν ἐσεῖς, ἐνῷ εἶστε πονηροί, γνωρίζετε νὰ δίνετε ἀγαθὲς δωρεὲς στὰ παιδιά σας, πόσο περισσότερο ὁ οὐράνιος Πατέρας σας θὰ δώσῃ σ᾽ ἐκείνους, οἱ ὁποῖοι [Τοῦ] ζητοῦν, τὸ Ἅγιο Πνεῦμα;». Ζήτησε λοιπὸν μὲ ἐπιμονὴ καὶ μὲ φρόνημα χωρὶς δισταγμό, ἀκόμη κι

εὐτελὴς ὑπάρχῃς κατὰ τὴν ἐνάρετον πολιτείαν, καὶ πάνυ ἀδύναμος, καὶ ὑπὲρ τὴν ἀξίαν, καὶ λήψῃ τά μεγάλα.

μς΄. Πῶς ἂν πεισθείη ὁ ἄπιστος, ἢ ὁ ὀλιγόπιστος, ὅτι μύρμηξ πτεροῦται, καὶ σκώληξ τις πάλιν πετεινὸν γίνεται, καὶ ὅτι ἄλλα πλεῖστα παραδόξως γίνεται ἐν τῇ κτίσει, ἵνα κἂν οὕτως ἀποθέμενος τῆς ἀπιστίας τὴν νόσον, καὶ τῆς ἀνελπιστίας, πτεροφυήσῃ λοιπόν, καὶ ἀναθάλῃ ὡς δένδρον τὴν πανεύφημον γνῶσιν; Ἐγὼ γάρ εἰμι, φησίν, ὁ τὸ ξύλον τὸ ξηρὸν ἀναθάλλων, καὶ ζωοποιῶν τὰ ξηρανθέντα ὀστᾶ[92].

μζ΄. Μηδαμῶς, ἕνεκεν τῆς χρείας τοῦ σώματος, ταῖς μερίμναις θελήσωμεν τήκεσθαι. Ὅλῃ δὲ τῇ ψυχῇ πιστεύσωμεν τῷ Θεῷ, ὥσπερ τίς ποτε ἔλεγεν ἀνὴρ ἀγαθός˙ ἐμπιστεύσατε τῷ Κυρίῳ, καὶ ἐμπιστευθήσεσθε. Καί, ὡς γράφει ὁ μακάριος Πέτρος ὁ Ἀπόστολος, σωφρονήσατε, καὶ νήψατε ἐν προσευχαῖς, καὶ πᾶσαν ὑμῶν τὴν μέριμναν πρὸς Θεὸν ἐπιῤῥίψαντες,

ἂν εἶσαι ἀσήμαντος, ὡς πρὸς τὴν ἐνάρετη πολιτεία καὶ πάρα πολὺ ἀδύναμος, [ἀκόμη καὶ ἐὰν τὸ αἴτημά σου εἶναι] πάνω ἀπὸ τὴν ἀξία [σου] καὶ θὰ λάβῃς τὰ μεγάλα [ἀγαθὰ καὶ χαρίσματα].

46. Πῶς εἶναι δυνατὸν νὰ πεισθῇ ὁ ἄπιστος ἢ ὁ ὀλιγόπιστος, ὅτι τὸ μυρμήγκι βγάζει πτερὰ καὶ κάποιο σκουλήκι ἐπίσης γίνεται πεταλούδα, καὶ ὅτι πάρα πολλὰ ἄλλα γίνονται στὴν κτίσι, κατὰ παράδοξο τρόπο, ὥστε ἀκόμη καὶ ἔτσι [ἀπὸ ὅλα αὐτὰ], ἀφοῦ ἀποβάλλῃ τὴν νόσο τῆς ἀπιστίας καὶ τῆς ἀπουσίας τῆς ἐλπίδος, νὰ βγάλῃ ἔπειτα πτερὰ καὶ νὰ ξαναβλαστήσῃ σὰν δένδρο τὴν πανένδοξη [θεία] γνῶσι; Διότι ἐγὼ εἶμαι, λέγει [ὁ Κύριος], ἐκεῖνος, ὁ ὁποῖος κάνω νὰ ἀναβλαστήσῃ τὸ ξερὸ δένδρο καὶ δίνω ζωὴ στὰ ξερὰ ὀστᾶ.

47. Μὲ κανένα τρόπο νὰ μὴν θελήσωμε, ἕνεκα τῶν ἀναγκῶν τοῦ σώματος, νὰ διαλυώμεθα ἀπὸ τὶς μέριμνες. Ἀλλὰ μὲ ὅλη μας τὴν ψυχὴ νὰ πιστεύσωμε στὸν Θεό, ὅπως ἀκριβῶς ἔλεγε κάποτε κάποιος ἐνάρετος ἄνθρωπος: «ἐμπιστευθῆτε τὸν Κύριο καὶ θὰ ἀπολαύσετε τὴν ἐμπιστοσύνη σας σ᾽ Αὐτόν· [ὁ Κύριος θὰ μεριμνήσῃ γιὰ σᾶς]». Καὶ ὅπως γράφει ὁ μακάριος Πέτρος ὁ Ἀπόστολος: «ζῆστε μὲ σωφροσύνη καὶ προσευχηθεῖτε μὲ νῆψι, ἐπιρρίψατε στὸν Θεὸ ὅλη σας τὴν μέριμνα,

ὅτι αὐτῷ μέλει περὶ ὑμῶν[93]. *Εἰδὲ ἔτι διστάζεις, καὶ ἀπιστεῖς, ὅτι ὅλως μέλει αὐτῷ περὶ σοῦ πρὸς τὸ διαθρέψαι σε, βλέψον εἰς τὴν ἀράχνην, καὶ σύνοιδε πόσον ἄνθρωπος ἀράχνης διαφέρει. Ἀράχνης φημί, ἧς οὐδὲν ἀσθενέστερον, οὐδὲ ἀδυναμώτερον. Αὕτη γὰρ μήτε κτήματα ἔχουσα, μήτε διαποντίους ἀποδημίας ποιουμένη, μήτε δικαζομένη, μήτε ὀργιζομένη, μήτε ἀποθήκας κεκτημένη, ἐν παντελεῖ πρᾳότητι, καὶ σωφροσύνῃ, καὶ τῇ ἄκρᾳ ἡσυχίᾳ τὸν ἑαυτῆς ὑπεξάγουσα βίον, μήτε ὅλως τὰ τῶν πέλας περιεργασαμένη, μόνα δὲ τὰ ἴδια πράσσουσα, τῷ ἔργῳ τῷ οἰκείῳ ἠρεμείᾳ τινί, καὶ ἀταράχῳ κέχρηται καταστάσει, μονονουχὶ φωνὴν ἀφιεῖσα τοῖς φιλοτίμοις τῆς ἀργίας, ὅτι πᾶς ἄνθρωπος ὁ ἀργεῖν βουλόμενος, μηδὲν ἐσθίειν βουλέσθω*[94]. *Τοσοῦτον δὲ σιωπᾷ, ὥστε Πυθαγόραν ὑπερβαλλόντως νικῆσαι, ὅνπερ Ἕλληνες ὑπὲρ πάντας τοὺς φιλοσόφους θαυμάζουσιν, διὰ τὸ τὴν ἐγκράτειαν τῆς γλώσσης ἐξασκῆσαι. Πυθαγόρας μὲν οὖν,*

διότι Αὐτὸς φροντίζει γιὰ σᾶς». Ἐὰν ὅμως ἀκόμη διστάζῃς καὶ ἀπιστῇς, ὅτι Ἐκεῖνος κατὰ πάντα φροντίζει γιὰ σένα, γιὰ τὴν συντήρησί σου, παρατήρησε τὴν ἀράχνη καὶ ἐννόησε πόσο ὁ ἄνθρωπος διαφέρει ἀπὸ τὴν ἀράχνη. Λέγω ἀπὸ τὴν ἀράχνη, ἀπὸ τὴν ὁποία τίποτα δὲν [εἶναι] πιὸ ἀσήμαντο καὶ πιὸ ἀδύνατο. Διότι αὐτὴ δὲν ἔχει οὔτε κτήματα, οὔτε κάνει ὑπερπόντιες ἀποδημίες, οὔτε διεξάγει δίκες, οὔτε ὀργίζεται, οὔτε ἔχει ἀποκτήσει ἀποθῆκες, [ἀλλὰ] μὲ ἀπόλυτη πραότητα καὶ σωφροσύνη διάγει μὲ ἄκρα ἡσυχία τὴν ζωή [της], χωρὶς καθόλου νὰ περιεργάζεται, ὅσα ἀφοροῦν τοὺς πλησίον [της], ἀλλὰ κάνοντας μόνο τὰ δικά της, ἐφαρμόζει γιὰ χάρι τῆς ἐργασίας της κάποια ἡσυχία καὶ ἤρεμη κατάστασι, ἀφήνοντας σχεδὸν λόγο σ᾽ ἐκείνους, ποὺ ἀγαποῦν τὴν ἀργία, ὅτι κάθε ἄνθρωπος, ὁ ὁποῖος θέλῃ νὰ μένει ἀργός, ἂς μὴν θέλῃ οὔτε νὰ τρώῃ. Τόσο δὲ πολὺ σιωπᾶ, ὥστε νὰ νικήσῃ σὲ ὑπερβολικὸ βαθμὸ τὸν Πυθαγόρα, τὸν ὁποῖο βέβαια οἱ Ἕλληνες θαυμάζουν περισσότερο ἀπ᾽ ὅλους τοὺς φιλοσόφους, γιὰ τὸ ὅτι ἐξήσκησε τὴν ἐγκράτεια τῆς γλώσσας. Ὁ Πυθαγόρας μὲν λοιπόν,

κἂν μὴ πρὸς πάντας ἐλάλει, ἀλλά γε τοῖς προσφιλεστάτοις αὐτῷ ἀνθρώποις διελέγετο λαθραίως διὰ χρόνου. Καὶ βουσὶ δὲ πολλάκις, καὶ ἀετοῖς ἐφθέγξατο φιλοτίμως ληρήματά τινα καὶ παραφρονήματα. Οἴνου δὲ παντελῶς ἀπεχόμενος, τῷ ὕδατι ἐκέχρητο. Αὕτη δὲ τῇ ὑπερεχούσῃ, καὶ ἄκρᾳ ἀφωνίᾳ ὑπερέβη τὴν Πυθαγόρου τῆς γλώττης ἐγκράτειαν. Διέπτυσε δὲ σὺν τῇ οἰνοποσίᾳ, καὶ τὴν ὑδροποσίαν. Ἐν τοιαύτῃ τοιγαροῦν καταστάσει ἡσύχῳ διατριβούσῃ τῇ ἀδρανεῖ, καὶ ταπεινῇ ἀράχνῃ, καὶ μηδαμοῦ ἔξω ἀνεχομένῃ περιπατεῖν, μηδὲ περιπλανᾶσθαι τῇδε κἀκεῖσε φανταστικῶς, μηδὲ πονεῖν, καὶ μοχθεῖν ἀπέραντα, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν Κύριος[95] *(οὐδὲν γὰρ τῆς ἀράχνης ἐστι ταπεινότερον) καὶ μέχρις αὐτῆς ἐκτείνων τὴν πρόνοιαν, πέμπει ταύτῃ τὸ καθ᾽ ἡμέραν βρωμάτιον, πλησίον τοῦ σκηνιδίου αὐτῆς παρασκευάζων ἐμπίπτειν εἰς τὰ δίκτυα ταύτης τὰ πρὸς τὴν*

κι ἂν δὲν μιλοῦσε πρὸς ὅλους, ἀλλὰ ὅμως μὲ τοὺς πλέον προσφιλεῖς σ᾽ αὐτὸν ἀνθρώπους, μυστικὰ κατὰ τὴν διάρκεια τοῦ χρόνου, συνομιλοῦσε. Καὶ πολλὲς φορὲς δὲ μὲ ζῆλο ὁμίλησε σὲ βόδια καὶ σὲ ἀητοὺς κάποιες ἀνοησίες καὶ παραφροσύνες. Ἐνῶ ἐγκρατευόταν ἐντελῶς ἀπὸ τὸ κρασί, χρησιμοποιοῦσε τὸ νερό. Αὐτὴ ὅμως [ἡ ἀράχνη] μὲ τὴν ὑπερβολικὴ καὶ ἄκρα ἀφωνία [της], ὑπερέβη τὴν ἐγκράτεια τῆς γλώσσας τοῦ Πυθαγόρα. Ἀπεστράφη μάλιστα μαζὶ μὲ τὴν οἰνοποσία καὶ τὴν ὑδροποσία. Σ᾽ ἐκείνη λοιπόν, στὴν ἀκίνητη καὶ ταπεινὴ ἀράχνη, ἡ ὁποία ζῇ σὲ μιὰ τέτοια ἥσυχη κατάστασι, καὶ ἡ ὁποία δὲν ἀνέχεται καθόλου νὰ πηγαίνῃ ἔξω, οὔτε νὰ περιφέρεται ἐδῶ καὶ ἐκεῖ μὲ τὴν φαντασία [της], οὔτε νὰ κοπιάζῃ καὶ νὰ μοχθῇ χωρὶς τέλος, ὁ Κύριος, ὁ ὁποῖος κατοικεῖ στὰ ὑψηλὰ καὶ ἐπιβλέπει τὰ ταπεινά, (διότι τίποτα δὲν εἶναι τῆς ἀράχνης ταπεινότερο), ἐκτείνοντας τὴν πρόνοιά [Του] καὶ ἕως ἐκείνη, τῆς στέλνει τὸ καθημερινὸ [της] ἐλάχιστο φαγητό, διευθετώντας, κοντὰ στὴ σκηνούλα της, νὰ πέφτουν στὰ δίκτυά της τὰ ζωΰφια,

χρείαν ζωΰφια.

μη΄. Ἀλλ᾽ ἴσως ἐρεῖ τις τῶν τῇ λαιμαργίᾳ καταδεδουλωμένων, ὅτι ἐγὼ πάνυ πολλὰ ἐσθίω, καὶ ἐπειδὴ πολυδάπανός εἰμι, ἀνάγκη μοι ταῖς μυρίαις τοῦ βίου πραγματείαις ἐμπλέκεσθαι[96]*. Ἀλλὰ καὶ οὗτος σκοπείτω τὰ κήτη τὰ μεγάλα, τὰ ἐν τῷ Ἀτλαντικῷ βοσκόμενα πελάγει, παρὰ τοῦ Θεοῦ ἀφθόνως τρεφόμενα, καὶ μηδέποτε λιμοῦ πεῖραν λαβόντα. Τοσοῦτον γὰρ ἕκαστος αὐτῶν θὴρ καταπίνει τὸ ὄψον, ὅσον μηδέ τις πόλις πολυάνθρωπος τὸ καθ᾽ ἡμέραν δαπανῆσαι δύναται. Πάντα γάρ, φησί, πρὸς σὲ προσδοκῶσι δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον*[97]*. Οὐκοῦν καὶ τὸν πολλὰ τρώγοντα, καὶ τὸν βραχυδίαιτον, ὁ Θεός ἐστιν ὁ τρέφων. Ταῦτα ἀκούσας καὶ αὐτὸς ὁ τὴν πλατεῖαν, καὶ εὐρύχωρον κεκτημένος κοιλίαν, τῷ Θεῷ, καὶ τῇ πίστει λοιπὸν ὅλον σεαυτὸν ἀνάθες· παντοῖον ἀποταξάμενος τοῦ κόσμου περισπασμόν, καὶ νοῦν πολυφρόντιδα, καὶ μηκέτι γίνου ἄπιστος, ἀλλὰ πιστός*[98].

γιὰ τὴν ἀνάγκη [τῆς τροφῆς της].

48. Ἀλλὰ ἴσως θὰ πῇ κάποιος ἀπὸ ἐκείνους, οἱ ὁποῖοι ἔχουν ὑποδουλωθῆ στὴν λαιμαργία, ὅτι ἐγὼ τρώγω πάρα πολλὰ καὶ ἐπειδὴ εἶμαι πολυδάπανος, ἔχω ἀνάγκη νὰ ἐμπλέκωμαι στὶς ἀναρίθμητες ὑποθέσεις τοῦ βίου. Ἀλλὰ καὶ αὐτὸς ἂς παρατηρῇ τὰ μεγάλα κήτη, τὰ ὁποῖα τρώγουν μέσα στὸν Ἀτλαντικὸ ὠκεανό, ὅτι τρέφονται ἄφθονα ἀπὸ τὸν Θεὸ καὶ ὅτι οὐδέποτε πείνασαν. Τόσο πολὺ φαγητὸ μάλιστα τρώγει κάθε θηρίο ἀπ᾽ αὐτά, ὅσο δὲν δύναται νὰ δαπανήσῃ καθημερινὰ μία πολυάνθρωπη πόλι. Διότι λέγει [ἡ Ἁγία Γραφή]: «ὅλα προσδοκοῦν σὲ Σένα νὰ [τοὺς] δώσῃς τὴν τροφή τους στὸν ἁρμόδιο χρόνο». Ἑπομένως, ὁ Θεὸς εἶναι ἐκεῖνος, ὁ ὁποῖος τρέφει καὶ αὐτόν, ποὺ τρώει πολλὰ καὶ τὸν ὀλιγοδίαιτο. Ἀφοῦ ἄκουσες αὐτά, καὶ [ἐσὺ] ὁ ἴδιος, ὁ ὁποῖος ἔχεις τὴν πλατιὰ καὶ εὐρύχωρη κοιλία, ἀνάθεσε λοιπόν μὲ ἐμπιστοσύνη καὶ ὁλόκληρο τὸν ἑαυτό σου στὸν Θεό, ἀφοῦ ἀπαρνηθῇς κάθε εἴδους περισπασμὸ τοῦ κόσμου καὶ πολυμέριμνο νοῦ καὶ ἂς μὴν γίνεσαι πλέον ἄπιστος, ἀλλὰ πιστός.

μθ'. Ἐὰν θέλωμεν τῷ ὄντι εὐαρεστῆσαι Θεῷ, καὶ τὴν μακαριωτάτην φιλιωθῆναι φιλίαν, γυμνὸν τὸν νοῦν ἡμῶν τῷ Θεῷ παραστήσωμεν· μηδὲν ἐπισυρόμενον τοῦ παρόντος αἰῶνος, μὴ τέχνην, μὴ νόημα, μὴ σόφισμα, μὴ δικαιολογίαν, κἂν πᾶσαν πεπαιδευμένοι ὦμεν τὴν τοῦ κόσμου σοφίαν. Ἀποστρέφεται γὰρ τὸ Θεῖον τοὺς μετὰ οἰηματικοῦ τοῦ τρόπου προσερχομένους αὐτῷ, καὶ τῇ κενοδοξίᾳ σιτιζομένους, καὶ πεφυσιωμένους. Καλῶς γάρ τινες τῶν ἑρμηνευτῶν, σιτιστήριον καὶ φῦσαν, τὸ μάταιον ἐκδεδώκασιν οἴημα.

ν'. Πῶς ἂν δυνηθείημεν καταπαλαῖσαι τὴν προκεκρατηκυῖαν ἁμαρτίαν; Βίας χρεία. Ἀνὴρ γάρ, φησίν, ἐν πόνοις πονεῖ, καὶ ἐκβιάζεται ἑαυτοῦ τὴν ἀπώλειαν[99]*, φιλονεικῶν πάντοτε ἀνωθεῖν πρὸς τὴν ἁγιωσύνην τῶν οἰκείων λογισμῶν. Τῇ δὲ βίᾳ τὴν βίαν λύειν, οὐκ ἀπείρηται τοῖς νόμοις. Εἰ μὲν οὖν εἰσφέρομεν βίαν τινὸς σπουδάσματος, εἰ καὶ ἀσθενεστάτην, περιμένομεν*

49. Ἐὰν θέλωμε πράγματι νὰ εὐαρεστήσωμε τὸν Θεὸ καὶ νὰ συνάψωμε φιλία [μαζί Του], τὴν μακαριωτάτη φιλία, νὰ παρουσιάσωμε τὸν νοῦ μας γυμνὸ στὸ Θεό, χωρὶς νὰ σέρνωμε μαζί μας τίποτα ἀπὸ τὴν παροῦσα ζωή, οὔτε τέχνη, οὔτε νόημα, οὔτε ἐπινόησι, οὔτε δικαιολογία, ἀκόμη κι ἂν ἔχωμε ἐκπαιδευθῆ σὲ ὅλη τὴν σοφία τοῦ κόσμου. Διότι ὁ Θεὸς ἀποστρέφεται ἐκείνους, οἱ ὁποῖοι προσέρχονται σ᾽ Αὐτὸν μὲ ἐπηρμένο τρόπο καὶ τρέφονται ἀπὸ τὴν κενοδοξία καὶ ἔχουν φουσκώσει ἀπὸ τὴν ὑπερηφάνια. Καλῶς λοιπὸν κάποιοι ἀπὸ τοὺς ἑρμηνευτὲς ἔχουν ἐξηγήσει τὴν μάταιη ἔπαρσι, ὡς τροφοδοσία καὶ φούσκωμα.

50. Πῶς εἶναι δυνατὸν νὰ μπορέσωμε νὰ καταπολεμήσωμε τὴν ἁμαρτία, ἡ ὁποία [μᾶς] ἔχει ἐκ τῶν προτέρων ὑπὸ τὴν ἐξουσία [της]; Χρειάζεται βία. Διότι λέγει [ἡ Ἁγία Γραφή]: «Ὁ ἄνθρωπος κουράζεται μέσα στοὺς μόχθους καὶ ἀποτρέπει, μὲ τὴν βία, τὴν ἀπώλεια τοῦ ἑαυτοῦ του», ἀντιμαχόμενος πάντοτε [μὲ τοὺς δαίμονες], γιὰ νὰ ἀνεβαίνῃ πρὸς τὴν ἁγιωσύνη τῶν λογισμῶν του. Τὸ δὲ νὰ καταλύῃ [κανεὶς] τὴν βία μὲ τὴν βία δὲν ἀπαγορεύεται ἀπὸ τοὺς νόμους. Ἐὰν λοιπὸν γιὰ κάποιο μὲν ἔργο καταβάλλωμε βία, ἔστω καὶ ἀσθενεστάτη, περιμένομε

δὲ λοιπὸν ἐπελευσομένην ἡμῖν ἐξ ὕψους δύναμιν, καθήμενοι ἐν τοῖς Ἱεροσολύμοις[100], *τουτέστιν ἐν τῇ ἀλήκτῳ εὐχῇ, καὶ ταῖς ἄλλαις ἀρεταῖς, πότε ἥξει πρὸς ἡμᾶς βίαν κραταιάν, οὐδὲ γὰρ δὴ ἀσθενεστάτην κατὰ τὴν ἡμετέραν βίαν ἐργαζομένην [recte: ἐργαζομένη]. Ἀλλὰ βίαν τινά, φρασθῆναι μὴ δυναμένην διὰ σαρκικῶν χειλέων˙ νικῶσαν, πολλῷ τῷ κράτει, καὶ καταγωνιζομένην, τό τε κάκιστον ἦθος, καὶ τὴν τῶν δαιμόνων κακότητα˙ νικῶσαν δὲ καὶ τὴν πρὸς τὸ χεῖρον ῥοπὴν τῶν ἡμετέρων ψυχῶν, νικῶσαν δὲ καὶ τὰς ἀπρεπεῖς τοῦ σώματος κινήσεις˙ ἐγένετο γάρ, φησίν, ἦχος ἐκ τοῦ οὐρανοῦ ὥς περ φερομένης πνοῆς βιαίας*[101]*˙ ἵνα ἐκβιάσηται τὴν κακίαν, τὴν ἀεὶ πρὸς τὸ χεῖρον βιαζομένην ἡμᾶς.*

να΄. Ἐνεδρεύει ὁ ἐχθρὸς ὡς λέων ἐν τῇ μάνδρᾳ αὐτοῦ[102]*, καὶ κρύπτει ἡμῖν παγίδας καὶ θήρατρα, λογισμῶν ἀκαθάρτων, καὶ ἀσεβῶν˙ ἀλλὰ καὶ ἡμεῖς, ἐὰν μὴ ὑπνώττωμεν, δυνησόμεθα μείζονάς τε καὶ*

λοιπὸν ὕστερα, ἀφοῦ καθήσωμε στὰ Ἱεροσόλυμα, δηλαδὴ στὴν ἀδιάλειπτη εὐχὴ καὶ στὶς ἄλλες ἀρετές, νὰ ἐπέλθῃ σ᾽ ἐμᾶς ἡ ἐξ ὕψους Δύναμι. [Περιμένομε] πότε θὰ ἔρθῃ πρὸς ἐμᾶς [ἡ ἐξ ὕψους Δύναμι], γιὰ νὰ ἐπιφέρῃ [μία] δυνατὴ βία, καὶ ὄχι βέβαια ἀσθενεστάτη, ὅμοια μὲ τὴν δική μας βία. Ἀλλὰ κάποια βία, ἡ ὁποία δὲν δύναται νὰ ἐκφρασθῇ μὲ σάρκινα χείλη· ἡ ὁποία νικᾶ μὲ μεγάλη δύναμι καὶ καταπολεμᾶ καὶ τὴν κακίστη συνήθεια καὶ τὴν κακότητα τῶν δαιμόνων· ἡ ὁποία νικᾶ μάλιστα καὶ τὴν ροπὴ τῶν ψυχῶν μας πρὸς τὰ χειρότερα, ἡ ὁποία νικᾶ ἐξ ἄλλου καὶ τὶς ἀπρεπεῖς κινήσεις τοῦ σώματος. Διότι λέγει [ἡ Ἁγία Γραφή]: «Ἦρθε ἀπὸ τὸν οὐρανὸ ἕνας ἦχος, ὅπως ἀκριβῶς, ὅταν μεταφέρεται βίαιος ἄνεμος»· γιὰ νὰ διώξῃ μακριὰ μὲ τὴν βία τὴν κακία, ἡ ὁποία πάντοτε μᾶς βιάζει πρὸς τὰ χειρότερα.

51. Ἐνεδρεύει ὁ ἐχθρὸς [διάβολος], ὅπως τὸ λιοντάρι στὴν φωλιά του, καὶ κρύβει γιὰ τὸ κακό μας παγίδες καὶ δίχτυα ἀκαθάρτων καὶ ἀσεβῶν λογισμῶν. Ἀλλὰ καὶ ἐμεῖς, ἐὰν δὲν κοιμώμαστε, θὰ μπορέσωμε νὰ στήνωμε μεγαλύτερες καὶ

χαλεπωτέρας, αὐτῷ ἱστάνειν παγίδας, καὶ θήρατρα, καὶ λόχους. Εὐχὴ γὰρ καὶ ψαλμός, ἀγρυπνία τε, καὶ ταπεινοφροσύνη, καὶ ἡ πρὸς τοὺς πλησίον διακονία, καὶ ὁ ἔλεος, καὶ ἡ εὐχαριστία, καὶ ἡ τῶν θείων λογίων ἀκρόασις, λόχος τῷ ἐχθρῷ, καὶ παγίς, καὶ βόθρος, καὶ μάστιγες, καὶ ἀγχόνη, καὶ θήρατρα γίνεται.

νβ'. Ἐπὶ πολὺ πάνυ τῆς ἡλικίας προκόψας ὁ θεσπέσιος Δαβίδ, εὐχαριστῶν τῷ ἐκλεξαμένῳ αὐτὸν Θεῷ, φησὶ περὶ τὰ τελευταῖα τῆς εὐλογίας˙ ὅτι νῦν εὗρεν ὁ δοῦλός σου τὴν καρδίαν ἑαυτοῦ εὔξασθαι τὴν προσευχὴν ταύτην[103]*. Τοῦτο δὲ εἴρηται, ἵνα ἡμεῖς μάθωμεν, ὅτι πολλοῦ ἀγῶνος, καὶ χρόνου χρεία ἐν ταῖς προσευχαῖς, ὅπως μόλις εὕρωμεν τὴν ἀπαρενόχλητον τῆς διανοίας κατάστασιν, ἕτερόν τινα ἐγκάρδιον οὐρανὸν ἔνθα οἰκεῖ ὁ Χριστός, ὥς φησιν ὁ Ἀπόστολος˙ ἢ οὐκ ἐπιγινώσκετε ὅτι Ἰησοῦς Χριστὸς οἰκεῖ ἐν ὑμῖν*[104]*;*

νγ'. Εἰ Χριστὸς ἡμῖν γέγονε δικαιοσύνη, καὶ σοφία καὶ

φοβερώτερες ἐναντίον του παγίδες καὶ δίχτυα καὶ ἐνέδρες. Διότι ἡ εὐχὴ καὶ ὁ ψαλμὸς καὶ ἡ ἀγρυπνία καὶ ἡ ταπεινοφροσύνη καὶ ἡ διακονία πρὸς τὸν πλησίον καὶ τὸ ἔλεος καὶ ἡ εὐχαριστία καὶ ἡ ἀκρόασι τῶν θείων λόγων γίνονται γιὰ τὸν ἐχθρὸ ἐνέδρα καὶ παγίδα καὶ λάκκος καὶ μάστιγες καὶ ἀγχόνη καὶ δίχτυα.

52. Ὅταν ὁ θεσπέσιος Δαυῒδ προχώρησε πάρα πολὺ στὴν ἡλικία, εὐχαριστώντας τὸν Θεό, ὁ ὁποῖος τὸν ἐξέλεξε, λέγει περίπου στὸ τέλος τῆς πρὸς τὸν Θεὸ εὐχαριστίας [του], ὅτι τώρα βρῆκε ὁ δοῦλος σου τὸν τόπο τῆς καρδίας του, γιὰ νὰ εὐχηθῇ αὐτὴν τὴν προσευχή. Αὐτὸ δὲ ἔχει εἰπωθῆ, γιὰ νὰ μάθωμε ἐμεῖς, ὅτι χρειάζεται πολὺς ἀγώνας καὶ χρόνος στὶς προσευχές, γιὰ νὰ βροῦμε μὲ κόπο τὴν ἀδιατάρακτη κατάστασι τοῦ νοός, [δηλαδὴ] κάποιον ἄλλον οὐρανὸ ἐντὸς τῆς καρδίας, ὅπου ἐκεῖ κατοικεῖ ὁ Χριστός, ὅπως λέγει ὁ Ἀπόστολος: «ἢ δὲν γνωρίζετε, ὅτι ὁ Ἰησοῦς Χριστὸς κατοικεῖ μέσα σας;».

53. Ἐὰν ὁ Χριστὸς ἔγινε γιὰ ἐμᾶς δικαιοσύνη καὶ σοφία καὶ

τὰ ἑξῆς[105]*, εὔδηλον, ὅτι καὶ ἀνάπαυσις. Δεῦτε γάρ, φησί, πρός με πάντες οἱ κοπιῶντες, καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς*[106]*. Καλῶς τοίνυν εἴρηται, ὅτι περ τὸ Σάββατον, τουτέστιν ἡ ἀνάπαυσις, διὰ τὸν ἄνθρωπον γέγονεν*[107]*. Ἐν αὐτῷ γὰρ μόνῳ τῷ Χριστῷ, ἀναπαύσεως τεύξεται τὸ ἀνθρώπινον γένος.*

νδʹ. Ὥς περ ἐστὶ ποτήριον πτώσεως καὶ κόνδυ θυμοῦ[108]*, οὕτως ἐστὶ καὶ ἀσθενείας ποτήριον· ὅπερ λαβὼν ἀφ᾽ ἡμῶν ὁ Κύριος, τῷ προσήκοντι καιρῷ, δίδωσιν εἰς χεῖρας τῶν ἐχθρῶν ἡμῶν, ἵνα λοιπὸν μηκέτι ἡμεῖς, ἀλλ᾽ οἱ δαίμονες ἀσθενῶσι καὶ πίπτωσι.*

νεʹ. Ὥς περ ἐπὶ τῶν ἔξωθεν πραγμάτων εἰσὶ κολλυβισταί, ὑφανταί, ἰξευταί, πολεμισταί, κατασκευασταί· οὕτω καὶ ἐπὶ τῶν ἔνδον διανοοῦ, ὅτι εἰσὶν καὶ ἐν τοῖς διαλογισμοῖς, κυβευταί, φαρμακευταί, πειραταί, θηρευταί, κοινωταί, φονευταί, καὶ τὰ ἑξῆς. Οὕστινας χρὴ συντόμως προαποκλείειν δι᾽ εὐσεβοῦς ἀντιλογίας καὶ

τὰ ἀκόλουθα, [εἶναι] καταφανές, ὅτι [ἔγινε] καὶ ἀνάπαυσι. Διότι λέγει: «ἐλᾶτε σ᾽ Ἐμένα ὅλοι, ὅσοι εἶστε κουρασμένοι καὶ βαρυφορτωμένοι κι ἐγὼ θὰ σᾶς ἀναπαύσω». Καλῶς ἑπομένως ἔχει λεχθῆ, ὅτι πράγματι τὸ Σάββατο, δηλαδὴ ἡ ἀνάπαυσι ἔχει γίνει γιὰ τὸν ἄνθρωπο. Διότι μόνον σ᾽ Αὐτόν, στὸν Χριστό, θὰ ἐπιτύχῃ τὴν ἀνάπαυσι τὸ ἀνθρώπινο γένος.

54. Ὅπως ἀκριβῶς ὑπάρχει ποτήριο πτώσεως καὶ κύπελλο θυμοῦ, κατὰ τὸν ἴδιο τρόπο ὑπάρχει καὶ ποτήριο ἀδυναμίας. Αὐτὸ ἀκριβῶς, ἀφοῦ πάρῃ ἀπὸ ἐμᾶς ὁ Κύριος στὸν κατάλληλο καιρό, [τὸ] δίδει στὰ χέρια τῶν ἐχθρῶν μας, ὥστε εἰς τὸ ἑξῆς, ὄχι πλέον ἐμεῖς, ἀλλὰ οἱ δαίμονες γίνονται ἀδύναμοι καὶ νικῶνται.

55. Ὅπως ἀκριβῶς γιὰ τὰ ἐξωτερικὰ πράγματα ὑπάρχουν ἀργυραμοιβοί, ὑφαντουργοί, κυνηγοί, στρατιωτικοί, κατασκευαστές· κατὰ τὸν ἴδιο τρόπο νὰ σκέπτεσαι καὶ γιὰ τὰ ἐσωτερικά, ὅτι ὑπάρχουν καὶ μεταξὺ τῶν λογισμῶν, [λογισμοὶ] παῖκτες ζαριῶν, δηλητηριαστές, πειρατές, κηνυγοί, μιαροί, φονεῖς καὶ τὰ ἀκόλουθα· τοὺς ὁποίους πρέπει γρήγορα ἀπὸ πρὶν νὰ [τοὺς] κλείνωμε ἔξω [ἀπὸ τὸν νοῦ] μὲ εὐσεβῆ ἀντιλογία

προσευχῆς, καὶ μάλιστα τοὺς κοινωτάς, ἵνα μὴ κοινώσωσι τὸν ἅγιον τόπον[109], καὶ βεβηλώσωσι τὸν ἄνθρωπον τοῦ Θεοῦ.

νς΄. Οὐ μόνον γλώσσῃ ληστεύεται Κύριος πρὸς τὸ σῷσαι, καθάπερ ἐπὶ τοῦ ληστοῦ βοῶντος ἀπὸ τοῦ σταυροῦ[110], ἀλλὰ καὶ λογισμῷ. Ἔλεγε γάρ, φησίν, ἐν ἑαυτῇ ἡ αἱμόῤῥους· κἂν ἅψωμαι τὰ κράσπεδα τῶν ἱματίων αὐτοῦ, σωθήσομαι[111]· καὶ ὁ παῖς τοῦ Ἀβραὰμ περὶ Ῥεβέκκας λαλῶν τῷ Θεῷ κατὰ διάνοιαν[112].

νζ΄. Σχεδὸν αὕτη ἡ ἁμαρτία πρὸς Θεὸν ἐλαύνει τὸν μεταμελούμενον, αἴσθησιν λαμβάνοντα τῆς δυσωδίας, καὶ τοῦ βάρους· καὶ τῆς μανίας αὐτῆς· τὸν δὲ μὴ βουλόμενον εἰς μετάνοιαν ῥέψαι, οὐκ ἐλαύνει πρὸς Θεόν. Παρ᾽ ἑαυτῇ δὲ μᾶλλον κρατοῦσα, δεσμοῖς ἀλύτοις καταδεσμεῖ, συντονωτέρους καὶ δριμυτέρους λοιπὸν τοὺς πόθους τῆς ἀπωλείας ἐργαζομένη.

νη΄. Πρόσεχε σεαυτῷ ἀπὸ τῶν φαρμάκων τῆς Ἰεζάβελ[113], ὧν μάλιστά εἰσιν οἱ

καὶ προσευχὴ καὶ μάλιστα τοὺς μιαρούς, γιὰ νὰ μὴν μιάνουν τὸν ἅγιο τόπο [τῆς καρδίας] καὶ βεβηλώσουν τὸν ἄνθρωπο τοῦ Θεοῦ.

56. Ὁ Κύριος, [ὁ ὄντως θησαυρὸς] δὲν δέχεται νὰ συληθῇ μόνο μὲ τὴν γλῶσσα, γιὰ νὰ σώσῃ [τὸν ἄνθρωπο], καθὼς πράγματι [ἔγινε] μὲ τὸν ληστή, ὅταν φώναξε ἀπὸ τὸν σταυρό, ἀλλὰ [δέχεται νὰ συληθῇ] καὶ μὲ τὸν λογισμό. Διότι ἡ αἱμορροοῦσα ἀπὸ μέσα της ἔλεγε: «καὶ μόνον τὶς ἄκρες τῶν ἐνδυμάτων Του, ἂν ἀγγίξω, θὰ σωθῶ». Καὶ ὁ ὑπηρέτης τοῦ Ἀβραὰμ [ἀναφέρεται], ὅτι μιλᾶ μὲ τὸν νοῦ [του] στὸν Θεὸ [ε΄] σχετικὰ μὲ τὴν Ρεβέκκα.

57. Σχεδὸν αὐτὴ ἡ ἴδια ἡ ἁμαρτία σπρώχνει πρὸς τὸν Θεὸ ἐκεῖνον, ὁ ὁποῖος μετανοεῖ, ἐπειδὴ αἰσθάνεται τὴν δυσωδία καὶ τὸ βάρος καὶ τὴν μανία αὐτῆς [τῆς ἁμαρτίας]. Ἐκεῖνον ὅμως, ὁ ὁποῖος δὲν ἐπιθυμεῖ νὰ στραφῇ στὴν μετάνοια, δὲν τὸν ὁδηγεῖ πρὸς τὸν Θεό. Ἀλλὰ μᾶλλον, ἀφοῦ τὸν κρατᾶ κοντά της, [τὸν] δένει σφικτὰ μὲ ἄλυτα δεσμά, καλλιεργώντας εἰς τὸ ἑξῆς ἰσχυρότερους καὶ σφοδρότερους τοὺς πόθους τῆς ἀπωλείας.

58. Πρόσεχε τὸν ἑαυτό σου ἀπὸ τὰ δηλητήρια τῆς Ἰεζάβελ [ς΄], ἀπὸ τὰ ὁποῖα τὰ μεγαλύτερα εἶναι οἱ

λογισμοὶ τοῦ τύφου, καὶ ματαίας δόξης. Δυνήσῃ δὲ τούτων περιγενέσθαι, τῇ χάριτι τοῦ Θεοῦ, ἐξουδενῶν τὴν ψυχὴν καὶ εὐτελίζων αὐτήν, καὶ ῥίπτων σεαυτὸν ἐνώπιον Κυρίου, καὶ ἐπικαλούμενος αὐτὸν εἰς τὸ βοηθῆσαί σοι, καὶ γινώσκων ὅτι οὐράνιά ἐστι τὰ χαρίσματα, διὸ λέγει· οὐδεὶς δύναται λαμβάνειν οὐδέν, εἰ μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ[114].

νθ'. Φησὶν ὁ νόμος· ἐὰν δὲ ὦσι μεμαρτυρημένοι αὐτῷ καὶ μὴ ἀφανίσῃ αὐτόν, ἀποτίσει[115]. *Ἔστιν ὅτε ἐν συμποσίῳ προπηδᾷ ὁ κενόδοξος λογισμός, λαλῆσαι βουλόμενος παρὰ τὸν καιρόν. Διαμαρτύρονται δέ σοι οἱ ἀγγελικοὶ λογισμοί, ἀφανίσαι τὸν φιλοφλύαρον καὶ ἄκαιρον λογισμόν. Ἐὰν τοίνυν μὴ ἀφανίσῃς αὐτὸν τῇ ἀγαθῇ σιωπῇ, ἀλλὰ παραχωρήσῃς αὐτῷ προελθεῖν εἰς τὸ ἔξω, ὑποχαυνωθεὶς τῷ τύφῳ, τότε λοιπὸν ἀποτίσεις τὸ ὄφλημα, ἢ ἁμαρτίᾳ μεγάλῃ ὑπὸ τῆς δίκης παραδοθείς, ἢ βαρείαις τισὶν ὀδύναις σωματικαῖς, ἢ*

λογισμοὶ τῆς ὑπερηφανίας καὶ τῆς ματαιοδοξίας. Ἀλλὰ θὰ μπορέσῃς νὰ τοὺς ὑπερνικήσῃς μὲ τὴν Χάρι τοῦ Θεοῦ, ἐὰν ἐξουδενώνῃς τὴν ψυχή [σου] καὶ τὴν ἐξευτελίζῃς καὶ ρίχνῃς τὸν ἑαυτό σου ἐνώπιον τοῦ Κυρίου καὶ ἐπικαλῆσαι Ἐκεῖνον, γιὰ νὰ σὲ βοηθήσῃ καὶ [ἐὰν] γνωρίζῃς, ὅτι τὰ χαρίσματα εἶναι οὐράνια. Γι' αὐτὸ λέγει [ἡ Ἁγία Γραφή]: «κανένας δὲν δύναται νὰ λαμβάνῃ τίποτα, παρὰ μόνον, ἐὰν ἔχῃ δοθῆ σ' αὐτὸν ἀπὸ τὸν οὐρανό».

59. Λέγει ὁ Νόμος: «ἐὰν εἶχαν διαμαρτυρηθῆ σ' αὐτὸν καὶ δὲν τὸν ἐξαφάνισε, θὰ καταβάλλῃ ἀποζημίωσι» [ϛ']. Κάποτε σὲ σύναξι ξεπηδᾶ μπροστὰ ὁ κενόδοξος λογισμὸς ἐπιθυμώντας νὰ μιλήσῃ παράκαιρα. Σοῦ διαμαρτύρονται δὲ οἱ ἀγγελικοὶ λογισμοὶ νὰ ἐξαφανίσῃς τὸν πολύλογο καὶ ἄκαιρο λογισμό. Ἐὰν λοιπὸν δὲν τὸν ἐξαφανίσῃς μὲ τὴν ἀγαθὴ σιωπή, ἀλλὰ ἐπιτρέψῃς σ' αὐτὸν νὰ ἐξέλθῃ πρὸς τὰ ἔξω, φουσκωμένος λίγο ἀπὸ τὴν ὑπερηφάνια, τότε λοιπὸν θὰ καταβάλλῃς τὴν ὀφειλή, μὲ τὸ νὰ παραδοθῇς ἀπὸ τὴν [θεία] δίκη ἢ σὲ μεγάλη ἁμαρτία ἢ σὲ κάποιους βαρεῖς σωματικοὺς πόνους ἢ

στιβαραῖς ἀδελφῶν προσκρούσεσιν, ἢ τῇ κατὰ τὸν μέλλοντα αἰῶνα τιμωρίᾳ. Καὶ γὰρ ὑπὲρ ἀργοῦ, καὶ κενόδοξου λόγου, λόγον ἀποτίσομεν[116] *διὰ τὴν τῆς γλώσσης ἀπαιδευσίαν. Διὸ δεῖ τὴν γλῶτταν ἡμῶν νηφόντως φυλάττειν.*

ξ΄. Ὅσοι ἐν ἡδοναῖς τε πειράζονται, καὶ θυμοῖς, καὶ φιλοδοξίᾳ καὶ τοῖς ἑξῆς, οὗτοι λέγονται τῷ μὲν ἡλίῳ ἡμέρας συγκαίεσθαι, νύκτωρ δὲ τῇ σελήνῃ[117]*. Εὖξαι τοίνυν τῇ θείᾳ σκεπασθῆναι δροσοβόλῳ νεφέλῃ*[118]*, ὅπως ἂν τὸν φλογμὸν τῶν ἐχθρῶν διαφύγῃς.*

ξα΄. Μηδαμῶς πρὸς σὲ παῤῥησίαν δῷς τοῖς τῆς οἰνοφλυγίας ὑπασπισταῖς, καὶ δούλοις τῆς ἀτάκτου τραπέζης. Μηδὲ τοῖς μετὰ ἀναισχυντίας λαλεῖν σοι βουλομένοις, κἂν πολιοὶ τὸ πρόσωπον ὑπάρχοιεν, κἂν πολὺν χρόνον ἔχοιεν ἐν τῷ μονήρει βίῳ, ἵνα μή, κατὰ τὴν Γραφήν, σαπρία καλύψῃ σε[119]*, καὶ τοῖς ἀκαθάρτοις, καὶ τὴν καρδίαν ἀπεριτμήτοις συναπαχθῇς.*

ξβ΄. Πρῶτον ἐγχειρίζεται

σὲ ἔντονες συγκρούσεις μὲ τοὺς ἀδελφοὺς ἢ στὴν τιμωρία κατὰ τὸν μέλλοντα αἰῶνα. Διότι καὶ γιὰ ἀργὸ καὶ κενόδοξο λόγο θὰ ἀποδώσωμε λόγο, ἐξ αἰτίας τῆς ἀπαιδευσίας τῆς γλώσσας. Γι᾽ αὐτὸ πρέπει νὰ φυλάττωμε τὴν γλῶσσα μας μὲ νῆψι.

60. Ὅσοι πειράζονται καὶ μὲ ἡδονὲς καὶ μὲ θυμοὺς καὶ φιλοδοξία καὶ τὰ ἀκόλουθα, αὐτοὶ θεωροῦνται, ὅτι κατακαίονται ἀπὸ τὸν μὲν ἥλιο τὴν ἡμέρα, ἀπὸ δὲ τὴν σελήνη κατὰ τὴν νύκτα. Νὰ προσεύχεσαι λοιπόν, νὰ σκεπασθῇς ἀπὸ τὴν θεία δροσοβόλο νεφέλη[η΄], γιὰ νὰ μπορέσῃς νὰ διαφύγῃς τὴν φλόγωσι ἀπὸ τοὺς ἐχθρούς.

61. Καθόλου νὰ μὴν ἐπιτρέψῃς παρρησία μὲ σένα στοὺς ἀκολούθους τῆς μέθης καὶ στοὺς δούλους τῆς ἀτάκτου τραπέζης [στοὺς λαθροφάγους]. Οὔτε [νὰ ἐπιτρέψῃς παρρησία μὲ σένα] σ᾽ ἐκείνους, οἱ ὁποῖοι ἐπιθυμοῦν νὰ σοῦ μιλοῦν μὲ ἀναισχυντία, ἀκόμη κι ἂν ἤθελε εἶναι γέροντες κατὰ τὴν μορφή, ἀκόμη κι ἂν πολὺ χρόνο ἤθελε ἔχουν στὸν μοναχικὸ βίο, γιὰ νὰ μὴν σὲ καλύψῃ σαπίλα, ὅπως λέγει ἡ [Ἁγία] Γραφή, καὶ καταδικασθῇς μαζὶ μὲ τοὺς ἀκαθάρτους καὶ τοὺς ἀπεριτμήτους κατὰ τὴν καρδία.

62. Πρῶτα λαμβάνει στὰ χέρια

Πέτρος τὰς κλεῖς[120]*, εἶτα συγχωρεῖται πεσεῖν πρὸς τὴν ἄρνησιν*[121]*, ὥστε σωφρονισθῆναι τῇ πτώσει τὸ φρόνημα. Καὶ σὺ τοίνυν ἂν τῆς γνώσεως τὴν κλεῖδα δεξάμενος, ποικίλοις λογισμοῖς περιπίπτῃς, μὴ ξενίζου. Δόξαζε δὲ τὸν μόνον σοφὸν ἡμῶν Κύριον, τὸν ταῖς περιπτώσεσι χαλινοῦντα τὴν οἴησιν τὴν ἐπαναβαίνουσαν τῇ θειοτέρᾳ γνώσει. Οἱ γὰρ πειρασμοὶ χαλινὸς ὑπάρχουσι, χαλινοῦν δυνάμενοι τὸ ἀνθρώπινον φύσημα, τῇ τοῦ Θεοῦ προνοίᾳ.*

ξγ΄. Εἰ τὰ καλὰ πολλάκις ἐξ ἡμῶν ἀφαιρεῖται ὁ Κύριος, ὥς περ τὸν πλοῦτον τοῦ Ἰώβ. Κύριος γὰρ ἔδωκε, Κύριος ἔλαβε[122]*· πάντως που καὶ τὰ κακά, ἅπερ ἡμῖν ἐπήγαγεν ὁ αἰώνιος, ἐκ χειρὸς ἡμῶν λήψεται. Ἀγαθὰ γάρ, φησί, καὶ κακὰ παρὰ Κυρίου*[123]*· καὶ ὁ ἐπαγαγὼν ἡμῖν τὰ κακά, αὐτὸς ἐπάξει ἡμῖν τὴν αἰώνιον εὐφροσύνην μετὰ δόξης αἰωνίου. Ὥς περ γὰρ ἐγρηγόρουν, φησὶ Κύριος, εἰς τὸ καταστρέφειν καὶ κακοποιεῖν ὑμᾶς, καὶ ἀνοικοδο-*

ὁ Πέτρος τὰ κλειδιὰ [τῆς Βασιλείας τῶν Οὐρανῶν, καὶ] ἔπειτα παραχωρεῖται νὰ πέσῃ στὴν ἄρνησι, ὥστε νὰ σωφρονισθῇ κατὰ τὸ φρόνημα μὲ τὴν πτῶσι. Καὶ σὺ λοιπόν, ἐάν, ἐνῷ δέχθηκες τὸ κλειδὶ τῆς [θείας] γνώσεως, πέφτῃς σὲ ποικίλους λογισμούς, ἂς μὴν παραξενεύεσαι. Ἀλλὰ δόξαζε τὸν μόνο σοφὸ Κύριό μας, ὁ ὁποῖος μὲ [διάφορες] εὐκαιρίες θέτει χαλινάρι στὴν οἴησι, ἡ ὁποία βαθμηδὸν αὐξάνεται ἐξ αἰτίας τῆς βαθυτέρας θείας γνώσεως. Διότι οἱ πειρασμοὶ εἶναι χαλινάρι, οἱ ὁποῖοι μποροῦν νὰ χαλιναγωγήσουν τὴν ἀνθρώπινη ἔπαρσι μὲ τὴν πρόνοια τοῦ Θεοῦ.

63. Ἐὰν ὁ Κύριος πολλὲς φορὲς ἀφαιρῇ ἀπὸ ἐμᾶς τὰ καλά, ὅπως ἀκριβῶς τὸν πλοῦτο τοῦ Ἰὼβ – διότι ὁ Κύριος ἔδωσε, ὁ Κύριος [καὶ] πῆρε– σχεδὸν ἐξάπαντος καὶ τὰ κακά, τὰ ὁποῖα ἀκριβῶς μᾶς ἐπέφερε ὁ Αἰώνιος, θὰ τὰ πάρῃ ἀπὸ τὰ χέρια μας. Διότι λέγει [ἡ Ἁγία Γραφή]: «τὰ καλὰ καὶ τὰ κακὰ ἀπὸ τὸν Κύριο». Καὶ Ἐκεῖνος, ὁ ὁποῖος ἐπέφερε σ᾽ ἐμᾶς τὰ κακά, Αὐτὸς θὰ ἐπιφέρῃ σ᾽ ἐμᾶς τὴν αἰώνια εὐφροσύνη μαζὶ μὲ αἰώνια δόξα. Διότι λέγει ὁ Κύριος: «ὅπως ἀκριβῶς φρόντιζα μὲ προσοχὴ στὸ νὰ σᾶς καταβάλλω καὶ νὰ [σᾶς] προξενῶ κακό, [ἐπίσης] καὶ θὰ ξανακτί-

μήσω, καὶ οὐ μὴ καθαιρήσω, καὶ φυτεύσω, καὶ οὐ μὴ ἐκτίλω[124]. *Σιγάτω τοίνυν ἡ δημώδης λέγουσα παροιμία˙ ἐφ᾽ ᾧ κακῶς, οὐκ ἔστι καλῶς˙ ὁ γὰρ ἐπὶ τὸ χεῖρον ἀλλοιώσας τὰ πράγματα Κύριος, δύναται πάντως ταῦτα πάλιν ἐπὶ τὸ λαμπρότερον ἀπροσδοκήτως μεταβάλλειν.*

ξδ΄. Ὁ τοῖς δαίμοσιν, εἴτε δι᾽ ἐγκρατείας εἴτε δι᾽ εὐχῆς, εἴτε διὰ πάσης ἀρετῆς σφοδρότερον καὶ φιλονεικότερον ἐπεμβαίνων, βαθυτέρας παρ᾽ αὐτῶν τὰς πληγὰς ἀντιλήψεται˙ μέχρις οὗ καὶ εἰς ἀπευδοκίαν καταστῆναι, ἀπόκριμα τοῦ νοητοῦ θανάτου[125] *κατοπτεύων ἐν τῇ ἑαυτοῦ ψυχῇ, ὡς παρεῖναι λέγειν αὐτόν˙ τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου*[126]*; Καταναγκάζομαι γὰρ ἀβουλήτως ὑποκύπτειν τοῖς νόμοις τοῦ ἀντιπάλου.*

ξε΄. Οὐχ ἁπλῶς προεγράφη ὅτι τινὲς πρὸς ἑαυτοὺς ἔλεγον, ἀνάστητε, καὶ ἤξομεν πρὸς λαὸν πεποιθότα ἐπ᾽ ἐλπίδι, καὶ ἡσυχάζοντα[127]. *Καὶ πάλιν˙ δεῦτε*

σω καὶ δὲν θὰ κατεδαφίσω καὶ θὰ φυτεύσω καὶ δὲν θὰ ξεριζώσω». Ἂς σωπάσῃ λοιπὸν ἡ δημώδης παροιμία, ἡ ὁποία λέγει: «σ᾽ ὅποιον [τὰ πράγματα βαίνουν] κακῶς, δὲν εἶναι δυνατὸν [νὰ βαίνουν] καλῶς»· διότι ὁ Κύριος, ὁ ὁποῖος μετέβαλε τὰ πράγματα πρὸς τὸ χειρότερο, ὁπωσδήποτε ἔχει τὴν δύναμι πάλι νὰ τὰ μεταβάλλῃ ἀπροσδόκητα πρὸς τὸ λαμπρότερο.

64. Ἐκεῖνος, ὁ ὁποῖος ἐπιτίθεται στοὺς δαίμονες πιὸ ὁρμητικὰ καὶ ἐπίμονα, εἴτε μὲ τὴν ἐγκράτεια, εἴτε μὲ τὴν εὐχή, εἴτε μὲ κάθε ἀρετή, θὰ λάβῃ, ὡς ἀνταπόδοσι, ἀπ᾽ αὐτοὺς βαθύτερες τὶς πληγές· μέχρις ὅτου νὰ φθάσῃ [ἀκόμη] καὶ στὴν ἀπόγνωσι, [ἐξ αἰτίας τῶν δαιμόνων], ἐπειδὴ ἐξετάζει μέσα στὴν ψυχή του τὴν [ἐνδεχόμενη] καταδίκη στὸν νοητὸ θάνατο, ὥστε νὰ φθάνῃ νὰ πῇ: «ποιὸς θὰ μὲ σώσῃ ἀπὸ αὐτὸ τὸ σῶμα τοῦ θανάτου;». Διότι ἐξαναγκάζομαι χωρὶς νὰ θέλω νὰ ὑποκύπτω στοὺς νόμους τοῦ ἀντιπάλου.

65. Δὲν ἐγράφη [ἔτσι] ἁπλᾶ ἐκ τῶν προτέρων [στὴν Ἁγία Γραφή], ὅτι κάποιοι ἔλεγαν στοὺς ἑαυτούς τους: «Σηκωθῆτε καὶ θὰ ἐπιτεθοῦμε ἐναντίον λαοῦ, ὁ ὁποῖος ἔχει πίστι μὲ ἐλπίδα [στὸν Θεὸ] καὶ ἡσυχάζει». Καὶ πάλι: «ἐλᾶτε,

ἀναβάντες συλλαλήσωμεν αὐτοῖς γλώσσῃ νοερᾷ δολίᾳ, καὶ ἀποστρέψωμεν αὐτοὺς πρὸς ἡμᾶς[128] *ἀπὸ τῆς ἀληθείας. Οἱ γὰρ δεινοὶ δαίμονες εἰώθασι παρὰ πᾶσαν τὴν ζωὴν κατὰ τῶν τὸν ἡσύχιον προελομένων βίον, ἀκονᾷν τὰ ξίφη τῶν πειρασμῶν˙ καὶ μανικώτερον μᾶλλον τοῖς εὐλαβεστέροις τε, καὶ θεοσεβεστέροις ἐπιστρατεύειν εἰς τήν κατ᾽ αὐτὸ τὸ ἔργον ἁμαρτίαν ὠθοῦντες τούτους, πολέμοις ἀφορήτοις˙ τάχα κᾂν οὕτω δυνηθῶσι τῆς εἰς Χριστὸν πίστεως, καὶ τῆς εὐχῆς, καὶ εὐελπιστίας ἀποστῆσαι τοὺς πεπολεμημένους. Ἀλλ᾽ ἡμεῖς ὥς φησι Δαβίδ, οὐ μὴ ἀποστῶμεν ἀπὸ σοῦ, ἕως οὗ οἰκτειρήσεις ἡμᾶς*[129], *καὶ μακρυνθῶσιν ἀφ᾽ ἡμῶν οἱ καταπίνοντες ἡμᾶς*[130]. *Οὐ μὴ ἀποστῶμεν ἀπὸ σοῦ, μέχρις ἂν προστάξῃς ἀφ᾽ ἡμῶν ἀπελθεῖν τοὺς πειράζοντας ἡμᾶς, καὶ ζωοποιηθῶμεν δι᾽ ὑπομονῆς, καὶ στεῤῥᾶς ἀπαθείας. Διότι πειρατήριόν ἐστιν ὁ βίος τοῦ ἀνθρώπου*[131]. *Καὶ χρόνον τακτὸν πολλάκις ὑπὸ*

νὰ ἀνεβοῦμε νὰ συνομιλήσωμε μ᾽ αὐτοὺς μὲ δολία νοερὰ γλῶσσα καὶ νὰ τοὺς μεταστρέψωμε ἀπὸ τὴν ἀλήθεια πρὸς τὸ μέρος μας». Διότι οἱ φρικτοὶ δαίμονες συνηθίζουν νὰ ἀκονίζουν τὰ ξίφη τῶν πειρασμῶν ἐναντίον ἐκείνων, οἱ ὁποῖοι ἐξέλεξαν τὴν πολιτεία τῆς ἡσυχίας, σὲ ὅλη [τους] τὴν ζωή· καὶ νὰ ἐκστρατεύουν μᾶλλον πιὸ μανιασμένα ἐναντίον τῶν πλέον εὐλαβῶν καὶ θεοσεβῶν, πιέζοντας αὐτοὺς στὴν ἔμπρακτη ἁμαρτία μὲ ἀφορήτους πολέμους, μήπως μ᾽ αὐτὸν τὸν τρόπο μπορέσουν τουλάχιστον νὰ ἀπομακρύνουν ἀπὸ τὴν πίστι στὸν Χριστὸ καὶ ἀπὸ τὴν εὐχὴ καὶ τὴν καλὴ ἐλπίδα, ἐκείνους, οἱ ὁποῖοι ἔχουν ὑποστῆ τὴν ἐπίθεσί [τους]. Ἀλλὰ ἐμεῖς, ὅπως λέγει ὁ Δαυΐδ, δὲν θὰ ἀπομακρυνθοῦμε ἀπὸ Σένα, μέχρις ὅτου μᾶς ἐλεήσῃς, καὶ ἂς ἀπομακρυνθοῦν ἀπὸ ἐμᾶς ἐκεῖνοι, οἱ ὁποῖοι μᾶς καταπίνουν. Δὲν θὰ ἀπομακρυνθοῦμε ἀπὸ Ἐσένα, ἕως ὅτου προστάξῃς νὰ φύγουν ἀπὸ μᾶς ἐκεῖνοι, ποὺ μᾶς πειράζουν, καὶ θὰ ζωογονηθοῦμε μὲ τὴν ὑπομονὴ καὶ τὴν ἀκλόνητη ἀπάθεια. Διότι πεδίο πειρασμῶν εἶναι ἡ ζωὴ τοῦ ἀνθρώπου. Καὶ πολλὲς φορές, γιὰ ὁρισμένο διάστημα,

τοὺς πόδας τῶν ἀλλοτρίων πίπτειν ἑτοιμάζεται παρὰ τοῦ ἀγωνοθέτου. Μεγαλοφυοῦς δὲ ψυχῆς καὶ γενναίας ἴδιον τὸ μὴ ἀπογινώσκειν ἐν συμφοραῖς.

ξς΄. Εἰ τοσοῦτον ἰσχύει δαίμων, ὥστε καὶ μὴ θέλοντος τοῦ ἀνθρώπου μετασκευάζειν τοῦτον καὶ μεταφέρειν πρὸς τὴν οἰκείαν φοράν, τῆς κατὰ φύσιν ἐκστάντα ἀγαθῆς καταστάσεως, πόσον ἰσχύει Ἄγγελος τῷ ὡρισμένῳ καιρῷ τὸ κέλευσμα τοῦ Θεοῦ δεξάμενος, πᾶσαν ἐπὶ τὸ κρεῖττον μεταγαγεῖν τὴν τοῦ ἀνθρώπου διάθεσιν; Καὶ ὁ πάμψυχρος βορρᾶς τοσοῦτον ἐξίσχυσεν, ὥστε πρὸς τὴν τῶν λίθων σκληρότητα μεταποιῆσαι τὴν τοῦ ὕδατος ἁπαλωτάτην φύσιν, τί ἂν ποιήσῃ ὁ θερμότατος νότος; Εἰ ὁ ἀὴρ λίαν κατεψυγμένος, τὰ πάντα αὐτῷ ὑπεῖξαι καὶ κατασκευάζει· τίς γὰρ ὑποστήσεται κατὰ πρόσωπον ψύχους[132]; Πῶς οὐκ ἂν πρὸς ἑαυτὴν ἡ θέρμη τὰ πάντα μεταβάλῃ; Τί γὰρ ὑποστήσεται κατὰ πρόσωπον θέρμης[133]; Πιστεύσωμεν οὖν

παραχωρεῖται ἀπὸ τὸν ἀγωνοθέτη [Κύριο] νὰ συντριβώμεθα κάτω ἀπὸ τὰ πόδια τῶν ἐχθρῶν. Εἶναι δὲ γνώρισμα ἐξαιρετικῆς καὶ γενναίας ψυχῆς τὸ νὰ μὴν ἀπελπίζεται στὶς συμφορές.

66. Ἐὰν τόσο πολὺ ἔχῃ δύναμι ὁ δαίμονας, ὥστε καὶ χωρὶς νὰ θέλῃ ὁ ἄνθρωπος, νὰ τὸν μεταβάλλῃ καὶ νὰ [τὸν] μεταφέρῃ πρὸς τὴν δική του πορεία, ἀφοῦ [τὸν] ἐξέτρεψε ἀπὸ τὴν κατὰ φύσιν ἀγαθὴ κατάστασι, πόσο [μεγαλύτερη] δύναμι ἔχει ὁ Ἄγγελος νὰ μεταστρέψῃ τὴν διάθεσι τοῦ ἀνθρώπου, ὅταν δεχθῇ, στὸν ὁρισμένο χρόνο, τὴν προσταγὴ τοῦ Θεοῦ; Καὶ [ἐὰν] ὁ ὑπερβολικὰ ψυχρὸς βοριᾶς ἔχει τόσο πολὺ ἰσχυρὴ δύναμι, ὥστε νὰ μεταποιήσῃ τὴν ἁπαλώτατη φύσι τοῦ νεροῦ, ὅμοια μὲ τὴν σκληρότητα τῶν λίθων, τί εἶναι δυνατὸν νὰ προξενήσῃ ὁ θερμότατος νοτιᾶς; Καὶ ἐὰν ὁ πολὺ παγωμένος ἀέρας κατορθώνῃ τὰ πάντα νὰ ὑποταχθοῦν σ᾽ αὐτὸν -διότι ποιὸς θὰ ἀντέξῃ ἀντιμέτωπος μὲ τὸ ψῦχος- πῶς ἡ θερμότητα δὲν θὰ μεταμορφώσῃ τὰ πάντα, ὅμοια μὲ τὸν ἑαυτό της; Διότι ποιὸς θὰ ἀντέξῃ ἀντιμέτωπος μὲ τὴν θερμότητα; Ἂς πιστεύσωμε λοιπόν,

τὸν ψυχρόν τε, καὶ μέλανα ἄνθρακα τῆς διανοίας ἡμῶν ὀψέποτε, ἢ θᾶττον, θερμόν τε, καὶ φωτοειδῆ ἔσεσθαι τῇ προσβολῇ τοῦ θειοτάτου πυρός.

ξζʹ. Ἔστι τις καὶ ἐπὶ τοῦ παρόντος κατάστασις, μαρτύριον καὶ σημεῖον τῷ ἡμετέρῳ ἐν τῷ κρυπτῷ Ἰωσὴφ τιθεμένη ἀπαθείας ἕν ἐσμεν˙ καθ᾽ ἣν ὁ νοῦς ἐξελθὼν ἐξ Αἰγύπτου, ἀφίσταται μὲν τῶν ἐμπαθῶν ἄρσεων, καὶ τῆς ἐν τῷ κοφίνῳ αἰσχροτάτης δουλείας, γλῶσσαν δέ, ἣν οὐκ ἔγνω, ἀκούει[134]*, οὐκ ἔτι γλῶσσαν δαιμόνων ῥυπαράν, καὶ φθαρτικὴν τῆς ὀρθῆς διανοίας, ἀλλὰ γλῶσσαν ἁγίαν φωτοφόρων Ἀγγέλων, μετατυπούντων τὸν νοῦν ἀπὸ τοῦ σώματος ἐπὶ τὸ ἀσώματον˙ γλῶσσαν φωτιστικὴν τῆς δεχομένης ψυχῆς.*

ξηʹ. Ἤκουσά τινων ἀδελφῶν ἀῤῥωστούντων τὸ σῶμα ἀνενδότως, καὶ μὴ δυναμένων κεχρῆσθαι τῇ νηστείᾳ, εἰρηκότων πρός με˙ πῶς δυνάμεθα χωρὶς νηστείας ἀπαλλαγῆναι τοῦ διαβόλου καὶ τῶν παθῶν;

ὅτι τὸ ψυχρὸ καὶ μαῦρο κάρβουνο τῆς διανοίας μας, κάποτε, μετὰ ἀπὸ πολὺ καιρὸ ἢ [καὶ] πιὸ γρήγορα, θὰ γίνῃ καὶ θερμὸ καὶ ὅμοιο μὲ τὸ φῶς, διὰ τῆς κοινωνίας μὲ τὸ ὑπέρτιμο θεῖο πῦρ.

67. Παραχωρεῖται κάποια κατάστασι ἀπαθείας καὶ στὴν παροῦσα [ζωή], ὡς ἀπόδειξι καὶ σημεῖο γιὰ τὸν δικό μας Ἰωσήφ, τὸν ἐν τῷ κρυπτῷ, [τὴν ἐνάρετο ψυχή], [ἡ ὁποία κατάστασι], ὅταν δίδεται, ὑπάρχομε ὡς ἕνα, [δηλαδὴ ἑνοποιοῦνται οἱ δυνάμεις τῆς ψυχῆς]· κατὰ τὴν ὁποία ὁ νοῦς, ἀφοῦ ἔφυγε ἀπὸ τὴν Αἴγυπτο [τῶν παθῶν], ἀπομακρύνεται μὲν ἀπὸ τὰ ἐμπαθῆ φορτία καὶ τὴν αἰσχροτάτη δουλεία [στὰ καταναγκαστικὰ ἔργα] μὲ τὸ κοφίνι,[θʹ] καὶ ἀκούει γλῶσσα, τὴν ὁποία δὲν γνώρισε, ὄχι πλέον τὴν ρυπαρὴ τῶν δαιμόνων καὶ καταστρεπτικὴ τῆς ὀρθῆς σκέψεως, ἀλλὰ ἁγία γλῶσσα φωτοφόρων Ἀγγέλων, οἱ ὁποῖοι μεταμορφώνουν τὸν νοῦ ἀπὸ τὸ ὑλικὸ πρὸς τὸ πνευματικό· γλῶσσα, ἡ ὁποία φωτίζει τὴν ψυχή, ἡ ὁποία [τὴν] δέχεται.

68. Ἄκουσα ἀπὸ κάποιους ἀδελφούς, οἱ ὁποῖοι συνεχῶς εἶναι ἀσθενεῖς στὸ σῶμα καὶ δὲν μποροῦν νὰ κάνουν νηστεία, νὰ λένε σὲ μένα: «πῶς μποροῦμε, χωρὶς νηστεία, νὰ ἀπαλλαγοῦμε ἀπὸ τὸν διάβολο καὶ τὰ πάθη;»·

πρὸς οὓς λεκτέον˙ ὅτι οὐ μόνον διὰ τῆς ἀποχῆς τῶν ἐδωδίμων, ἀλλὰ καὶ διὰ κραυγῆς καρδίας ἐκτρῖψαι καὶ ἐξοστρακίσαι δυνήσεσθε, τά τε φαῦλα καὶ τοὺς τῶν φαύλων ὑποβολεῖς. Ἐκέκραξαν γάρ, φησί, πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτούς, καὶ ἐρρύσατο αὐτούς[135]*· Καὶ πάλιν γέγραπται˙ ἐκ κοιλίας ᾅδου κραυγῆς μου ἤκουσας φωνῆς μου˙ καὶ ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου*[136]*. Διόπερ μέχρις ὅτου παρέλθῃ ἡ ἀνομία, τουτέστιν ἡ ἐνόχλησις τῆς ἁμαρτίας, κεκράξομαι, φησί, πρὸς τὸν Θεὸν τὸν ὕψιστον*[137]*, ὅπως μεγίστην εὐεργεσίαν δωρούμενος, αὐτήν τε τὴν προσβολὴν τῆς ἁμαρτίας ἐξαφανίσῃ τῇ ἑαυτοῦ ἐξουσίᾳ, καὶ τὰ τῆς ἐμπαθοῦς διανοίας εἴδωλα ἐξαλείψῃ, καὶ ἀνειδώλους δείξῃ τὰς παρ᾽ ἡμῶν κατειδώλους ἀσθενείας [recte: τὰς παρ᾽ ἡμῖν κατειδώλους Ἀθήνας]*[ε']*. Εἰ τοίνυν μὴ εἴληφας χάρισμα ἐγκρατείας, γίνωσκε ὅτι δι᾽ εὐχῆς, καὶ ἐλπίδος θέλει σε ὁ Κύριος εἰσακουσθῆναι δεόμενον˙ ἐγνωκὼς*

πρὸς τοὺς ὁποίους πρέπει νὰ λεχθῇ, ὅτι ὄχι μόνο μὲ τὴν ἀποχὴ ἀπὸ τὰ φαγητά, ἀλλὰ καὶ μὲ τὴν κραυγὴ τῆς καρδίας θὰ μπορέσετε νὰ ἐξολοθρεύσετε καὶ νὰ ἐξορίσετε καὶ τὰ πονηρὰ καὶ τοὺς πονηρούς, ποὺ τὰ ὑποβάλλουν. Διότι λέγει [ἡ Ἁγία Γραφή]: «φώναξαν πρὸς τὸν Κύριο κατὰ τὴν θλῖψι τους καὶ τοὺς λύτρωσε». Καὶ πάλι ἔχει γραφῆ: «Ἐκ τῆς κοιλίας τοῦ Ἅδου ἡ κραυγή μου, [ἀλλὰ Ἐσὺ] ἄκουσες τὴν φωνή μου· καὶ ἀπὸ τὴν φθορά, ἂς σηκωθῇ ψηλὰ ἡ ζωή μου». Γι᾽ αὐτό, ἕως ὅτου παρέλθῃ ἡ ἀνομία, δηλαδὴ ἡ ἐνόχλησι τῆς ἁμαρτίας, θὰ φωνάζω δυνατά, λέει [ὁ Δαυῒδ] πρὸς τὸν Θεό, τὸν Ὕψιστο, ὥστε δωρίζοντας τὴν πιὸ μεγάλη εὐεργεσία, [τὴν ἀπάθεια], νὰ ἐξαφανίσῃ μὲ τὴν δική του ἐξουσία καὶ αὐτὴ τὴν ἴδια τὴν προσβολὴ τῆς ἁμαρτίας καὶ νὰ ἐξαλείψῃ τὰ εἴδωλα τῆς ἐμπαθοῦς διανοίας καὶ νὰ ἐμφανίσῃ, χωρὶς εἴδωλα τὴν δική μας Ἀθήνα, [δηλαδὴ τὸν νοῦ]. Ἐὰν λοιπὸν δὲν ἔχῃς λάβει χάρισμα ἐγκρατείας, γνώριζε, ὅτι ὁ Κύριος θέλει μὲ τὴν εὐχὴ καὶ τὴν ἐλπίδα [στὸν Θεό], νὰ εἰσακουσθῇς ἐσύ, ὅταν προσεύχεσαι. Ἐπομένως, ἔχοντας γνω-

οὖν τὸ δεσποτικὸν κρῖμα, μὴ ἀθύμει ἐπὶ τῇ τῆς ἀσκήσεως ἀδυναμίᾳ· μᾶλλον δὲ δὸς ἐργασίαν ἀπηλλάχθαι τοῦ ἐχθροῦ, δι᾿ εὐχῆς, καὶ ὑπομονῆς εὐχαρίστου· ἐὰν οὖν διώκωσιν ὑμᾶς οἱ λογισμοὶ τῆς ἀσθενείας, καὶ τῆς ταλαιπωρίας ἀπὸ τῆς πόλεως τῆς νηστευτρίας, φεύγετε εἰς τὴν ἄλλην[138]*· τουτέστιν εἰς τὴν εὐχήν, καὶ εἰς τὴν εὐχαριστίαν.*

ξθ΄. Φησὶν ὁ Φαραὼ ἱκετεύων· περιελέτω ὁ Θεὸς ἀπ᾿ ἐμοῦ τὸν θάνατον τοῦτον, καὶ εἰσηκούσθη[139]*· ὁμοίως δὲ καὶ οἱ δαίμονες, παρακαλέσαντες τὸν Κύριον, ἵνα μὴ τῇ ἀβύσσῳ παραπεμφθῶσιν, ἔτυχον τοῦ αἰτήματος*[140]*. Πόσῳ μᾶλλον εἰσακουσθήσεται Χριστιανὸς ἄνθρωπος, δεόμενος ἐλευθερίας τυχεῖν τοῦ νοητοῦ θανάτου;*

ο΄. Ὁ χρόνον τινὰ ὑπὸ τῆς θείας φωτιζόμενος καὶ ἀναπαυόμενος χάριτος, μετὰ δὲ τὴν ταύτης ὑποστολὴν ῥεμβασμοῖς περιπίπτων, καὶ γογγύζων διὰ τοῦτο, καὶ μὴ ἀνδριζόμενος διὰ τῆς ἱκεσίας πάλιν ἐπανακαλέσασθαι

ρίσει τὴν ἀπόφασι τοῦ Κυρίου, μὴν ἀποκαρδιώνεσαι λόγῳ τῆς ἀδυναμίας τῆς ἀσκήσεως· μᾶλλον δὲ προσέφερε κόπο, γιὰ νὰ ἀπαλλαγῆς ἀπὸ τὸν ἐχθρὸ διὰ τῆς εὐχῆς καὶ τῆς εὐγνώμονος ὑπομονῆς. Ἐὰν λοιπὸν οἱ λογισμοὶ τῆς ἀσθενείας καὶ τῆς ταλαιπωρίας σᾶς διώχνουν ἀπὸ τὴν πόλι τῆς νηστείας, φεύγετε στὴν ἄλλη [πόλι], δηλαδὴ στὴν εὐχὴ καὶ τὴν δοξολογία.

69. Ὁ Φαραὼ εἶπε ἱκετεύοντας: «ἂς ἀφαιρέσῃ ἀπὸ ἐμένα ὁ Θεὸς τὸν θάνατο αὐτό», καὶ εἰσακούσθηκε. Κατὰ τὸν ἴδιο τρόπο καὶ οἱ δαίμονες, ὅταν παρεκάλεσαν τὸν Κύριο, γιὰ νὰ μὴν ἀποσταλοῦν πάλι στὴν ἄβυσσο, πέτυχαν τὸ αἴτημά [τους]. Πόσο περισσότερο θὰ εἰσακουσθῇ ὁ Χριστιανὸς ἄνθρωπος, ὁ ὁποῖος παρακαλεῖ νὰ ἐπιτύχῃ τὴν ἐλευθερία ἀπὸ τὸν νοητὸ θάνατο;

70. Ἐκεῖνος, ὁ ὁποῖος γιὰ κάποιο διάστημα φωτίζεται καὶ ἀναπαύεται ἀπὸ τὴν θεία Χάρι, μετὰ δὲ ἀπὸ τὴν ὑποχώρησί Της [συμβαίνει] νὰ πέφτῃ σὲ μετεωρισμοὺς καὶ γογγύζει γι᾿ αὐτὸ καὶ δὲν ἐπιδεικνύει ἀνδρεία, ὥστε μὲ τὴν προσευχὴ νὰ ἐπαναπροσκαλέσῃ πάλι

τὴν σωτήριον ἐκείνην πληροφορίαν, ἀλλ᾽ ἀποδυσπετῶν, ὅμοιός ἐστι πτωχῷ λαβόντι ἐλεημοσύνην ἀπὸ τοῦ παλατίου, καὶ δυσανασχετοῦντι, διότι οὐκ εἰσῆλθεν ἔσω συναριστῆσαι τῷ βασιλεῖ.

οα'. Μακάριοι οἱ μὴ ἰδόντες με καὶ πιστεύσαντες[141]*, ὡς μακάριοι οἱ καθ᾽ ὑποστολὴν τῆς χάριτος μὴ εὑρίσκοντες παράκλησιν ἐν ἑαυτοῖς˙ μᾶλλον δὲ παράτασιν βλέποντες τῶν θλιβερῶν, καὶ σκότος βαθύ, καὶ μὴ ἀπογινώσκοντες˙ ἀλλὰ πίστει ῥωννύμενοι, ἐν τῷ νομίζειν ὁρᾷν τὸν ἀόρατον καὶ καρτερεῖν γενναίως*[142]*.*

οβ'. Ἡ κατὰ χάριν Θεοῦ καιρῷ ἰδίῳ μετὰ πολλοὺς ἀγῶνας, καὶ λύπην, καὶ δάκρυα διδομένη οὐρανόθεν τοῖς ταύτην ζητοῦσι ταπεινοφροσύνη, ἰσχυροτέρα καθ᾽ ὑπερβολὴν καὶ μείζων ὑπάρχει τῆς ταπεινώσεως τῆς ἐπιγινομένης τοῖς ἀποπεπτωκόσι τῆς ἀρετῆς, ἧς οἱ καταξιωθέντες τέλειοι ἀληθῶς ἄνδρες, καὶ ἀνεπηρέαστοι.

ογ'. Ὅτε ἀφῆκεν ὁ διάβολος τὸν

τὴν σωτήριο ἐκείνη [θεία] πληροφορία, ἀλλὰ μὲ τὸ νὰ δυσφορῇ εἶναι ὅμοιος μὲ πτωχό, ὁ ὁποῖος ἔλαβε ἐλεημοσύνη ἀπὸ τὸ παλάτι καὶ δυσανασχετεῖ, διότι δὲν εἰσῆλθε μέσα νὰ γευματίσῃ μαζὶ μὲ τὸν βασιλιά.

71. Μακάριοι ἐκεῖνοι, οἱ ὁποῖοι δὲν εἶδαν καὶ ἐπίστευσαν, ὅπως μακάριοι ἐκεῖνοι, οἱ ὁποῖοι, κατὰ τὴν ὑποχώρησι τῆς Χάριτος, δὲν βρίσκουν μέσα τους παρηγορία· ἀλλὰ μᾶλλον, παρότι βλέπουν παράτασι τῶν θλίψεων καὶ βαθὺ σκοτάδι, ἐντούτοις δὲν ἀπελπίζονται· ἀλλὰ ἐνισχύονται μὲ τὴν πίστι στὸ νὰ θεωροῦν, ὅτι βλέπουν τὸν Ἀόρατο καὶ ὑπομένουν μὲ γενναιότητα.

72. Ἡ κατὰ Χάριν Θεοῦ ταπεινοφροσύνη, ἡ ὁποία δίδεται σ᾽ ἐκείνους, ποὺ τὴν ζητοῦν, στὸν κατάλληλο χρόνο, ἀπὸ τὸν οὐρανό, μετὰ ἀπὸ πολλοὺς ἀγῶνες καὶ λύπη καὶ δάκρυα, εἶναι ὑπερβολικὰ πιὸ ἰσχυρὴ καὶ μεγαλύτερη ἀπὸ τὴν ταπείνωσι ἐκείνη, ἡ ὁποία ἐπέρχεται σ᾽ ἐκείνους, ποὺ ἔχουν ἐκπέσει ἀπὸ τὴν ἀρετή, τῆς ὁποίας [τῆς κατὰ Χάριν Θεοῦ ταπεινοφροσύνης], ὅσοι θεωρήθηκαν ἄξιοι, [εἶναι] ἀληθινὰ τέλειοι ἄνθρωποι καὶ ἀπρόσβλητοι.

73. Ὅταν ὁ διάβολος ἄφησε τὸν

Κύριον, τότε ἦλθον οἱ Ἄγγελοι καὶ διηκόνουν αὐτῷ[143]*· ἰστέον τοίνυν, ὅτι ὥς περ οὐ γέγραπται ἐν τῷ πειράζεσθαι αὐτὸν ὅτι παρῆσαν οἱ Ἄγγελοι, οὕτω καὶ ἡμῶν πειραζομένων, καιρῷ τινι, ὑποχωροῦσιν οὐ μακρὰν οἱ Ἄγγελοι τοῦ Θεοῦ. Εἶτα, μετὰ τὴν ἀναχώρησιν τῶν πειραζόντων, ἔρχονται πρὸς ἡμᾶς διακονοῦντες θεῖα νοήματα, στηρίγματα, φωτισμόν, κατάνυξιν, παρηγορίαν, ὑπομονήν, γλυκασμόν, καὶ ὅσα σῴζει, καὶ ἐνισχύει, καὶ ἀνακτᾶται ψυχὴν κοπιάσασαν. Εἴρηται γὰρ τῷ Ναθαναὴλ· ὅτι ὄψη τοὺς Ἀγγέλους ἀναβαίνοντας, καὶ καταβαίνοντας ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου*[144]*, τουτέστιν ἐπὶ τὸ γένος τῶν ἀνθρώπων ἡ τῶν Ἀγγέλων διακονία καὶ βοήθεια πλουσίως ἐκχυθήσεται.*

οδʹ. Μέμνησο τοῦ ἀρχιερέως ἐκείνου, οὗ ἐκ δεξιῶν ἐστάθη ὁ διάβολος ἀντικεῖσθαι αὐτῷ[145] *παντὶ δεξιῷ νοήματι, καὶ λόγῳ, καὶ πράγματι, ὅπως ἂν μὴ θαμβηθῇς ἐπὶ τοῖς συμβαίνουσιν.*

Κύριο, τότε ἦρθαν οἱ Ἄγγελοι καὶ Τὸν διακονοῦσαν. Πρέπει λοιπὸν νὰ γνωρίζωμε, ὅτι, ὅπως ἀκριβῶς δὲν ἔχει γραφῆ, ὅτι κατὰ τοὺς πειρασμοὺς Ἐκείνου παρευρίσκοντο Ἄγγελοι, κατὰ τὸν ἴδιο τρόπο καὶ ὅταν ἐμεῖς πειραζώμεθα, ὑποχωροῦν γιὰ κάποιο διάστημα οἱ Ἄγγελοι τοῦ Θεοῦ, ὄχι [ὅμως] μακριά. Ἔπειτα, μετὰ τὴν ἀναχώρησι ἐκείνων ποὺ [μᾶς] πειράζουν, ἔρχονται πρὸς ἐμᾶς [οἱ Ἄγγελοι], διακονώντας θεῖα νοήματα, ὑποστήριξι, φωτισμό, κατάνυξι, παρηγορία, ὑπομονή, γλυκασμὸ καὶ ὅσα σώζουν καὶ ἐνισχύουν καὶ ἐπανορθώνουν τὴν ψυχή, ἡ ὁποία κοπίασε. Διότι ἔχει λεχθῆ στὸν Ναθαναήλ, ὅτι θὰ δῇς τοὺς Ἀγγέλους νὰ ἀνεβαίνουν καὶ νὰ κατεβαίνουν στὸν υἱὸ τοῦ ἀνθρώπου, δηλαδὴ ἡ διακονία καὶ ἡ βοήθεια τῶν Ἀγγέλων στὸ γένος τῶν ἀνθρώπων θὰ ξεχυθῇ πλούσια.

74. Θυμήσου ἐκεῖνον τὸν ἀρχιερέα, στὰ δεξιά, τοῦ ὁποίου στάθηκε ὁ διάβολος ', γιὰ νὰ τὸν ἀντιμάχεται σὲ κάθε ἀγαθὸ νόημα καὶ λόγο καὶ ἔργο, γιὰ νὰ μὴν τυχὸν ἐκπλαγῇς, γιὰ ὅσα συμβαίνουν.

οε΄. Ἐπίστασθαι προσήκει τὸν Μοναχόν, τί μὲν ὑπάρχει ἀσθένεια; Κατὰ τὸ ἐλέησόν με ὅτι ἀσθενής εἰμι[146]˙ τί δὲ ἀποστασία ἀπὸ τοῦ Θεοῦ, ὅπερ νόσημά ἐστι τῷ διαβόλῳ, καὶ τοῖς Ἀγγέλοις αὐτοῦ.

ος΄. Ὃν τρόπον τὸν σίδηρον ἀψηλάφητον ποιεῖ τοῦ πυρὸς ἡ συνάφεια, οὕτως αἱ πυκναὶ προσευχαὶ ἐῤῥωμενέστερον παρασκευάζουσι τὸν νοῦν εἰς τὸν πόλεμον τοῦ ἐχθροῦ˙ διὸ πάσῃ δυνάμει ὄκνον ἡμῖν ἐμποιεῖν σπουδάζουσιν εἰς τὴν τῆς προσευχῆς προσεδρίαν, εἰδότες ταύτην ἑαυτῶν μὲν ἐπίβουλον, τοῦ δὲ νοῦ ὑπέρμαχον.

οζ΄. Ἀπεδέξατο Δαβίδ τὴν προθυμίαν τῶν ἀπὸ τῆς Σικελὰκ συνεξεληλυθότων αὐτῷ ἐπὶ τοὺς ἀλλοφύλλους, εἰ καὶ ἀτονήσαντες ἀπέμειναν εἰς τὸν χειμάῤῥουν Βοσόρ[147]. Ἀναστρέψας γὰρ πρὸς αὐτοὺς μετὰ νίκης τῆς κατὰ τῶν βαρβάρων, καὶ ἀκούσας τῶν λεγόντων μὴ δεῖν δοθῆναι μερίδα ἐκ τῶν λαφύρων τοῖς ἀπὸ ἐκλύσεως καθεσθεῖσιν εἰς τὸν χει-

75. Πρέπει ὁ Μοναχὸς νὰ γνωρίζῃ καλά, τί εἶναι ἡ ἀσθένεια, σύμφωνα μὲ τὸ ἐλέησόν με, διότι εἶμαι ἀσθενής· τί δὲ [εἶναι] ἡ ἀποστασία ἀπὸ τὸν Θεό, τὸ ὁποῖο ἀκριβῶς εἶναι νόσημα ἀπὸ τὸν διάβολο καὶ τοὺς ἀγγέλους του.

76. Μὲ ὅποιο τρόπο ἡ ἕνωσι μὲ τὴν φωτιὰ κάνει τὸν σίδερο ἀνέγγιχτο, κατὰ τὸν ἴδιο τρόπο οἱ πυκνὲς προσευχὲς καθιστοῦν τὸν νοῦ πιὸ ρωμαλέο στὸν πόλεμο τοῦ ἐχθροῦ. Γι᾽ αὐτό, μὲ ὅλη [τους] τὴν δύναμι, [οἱ δαίμονες] φροντίζουν νὰ μᾶς προξενήσουν νωθρότητα γιὰ τὴν ἐνασχόλησι μὲ τὴν προσευχή, διότι γνωρίζουν, ὅτι αὐτὴ [ἡ προσευχὴ εἶναι] μὲν γι᾽ αὐτοὺς ἐπίβουλος [ἐχθρός], ἐνῶ [εἶναι] τοῦ νοὸς ὑπερασπιστής.

77. Ὁ Δαυῒδ ἀποδέχθηκε τὴν προθυμία τῶν [ἀνθρώπων] ἀπὸ τὴν [πόλι] Σικελάκ, οἱ ὁποῖοι ἐξῆλθαν μαζὶ μ᾽ αὐτὸν ἐναντίον τῶν ἀλλογενῶν, ἂν καὶ ἀπέμειναν στὸν χείμαρρο Βοσόρ, ἐπειδὴ ἐξαντλήθησαν [ἀπὸ τὸν κόπο τῆς ὁδοιπορίας]. Διότι, ὅταν ἐπέστρεψε σ᾽ αὐτοὺς νικητής, ἐναντίον τῶν βαρβάρων, καὶ ἄκουσε [κάποιους], ποὺ ἔλεγαν, ὅτι δὲν πρέπει νὰ δοθῇ μερίδα ἀπὸ τὰ λάφυρα σ᾽ ἐκείνους, οἱ ὁποῖοι, ἐξ αἰτίας τῆς ἐξασθενήσεως τοῦ σώματος, κάθησαν στὸν χεί-

μάῤῥουν, κἀκείνων αἰσχυνομένων, καὶ μηδὲν λαλησάντων, ὑπεραπολογεῖται αὐτῶν ὁ χρηστότατος Δαβίδ λέγων˙ ὅτι ἐπὶ τῶν σκευῶν ἐκαθέσθησαν τηροῦντες˙ διόπερ καὶ τὴν ἴσην αὐτοῖς ἀπένειμεν μερίδα τῆς δοθείσης [recte: τῇ δοθείσῃ][ϛ'] τοῖς ἀνδρείοις καὶ εὐψύχοις πολεμισταῖς. Σκόπησον τοίνυν εἴπερ καὶ ἐπὶ ἀδελφοῦ τινος, τὴν μὲν ἀρχὴν θέρμην ἐπιδειξαμένου, ὕστερον δὲ πρὸς μικρὸν ὀκλάσαντος, σκεύη τῆς σωτηρίας νοηθεῖεν, ἡ πίστις, καὶ ἡ μεταμέλεια, ἡ ταπείνωσις, καὶ ὁ κλαυθμός˙ ἡ ὑπομονή, καὶ ἡ ἐλπίς, καὶ ἡ μακροθυμία, καὶ τὰ ἑξῆς˙ ἐφ᾽ ὧν τις ἀδρανὴς τὸν τρόπον παρακαθεσθεὶς καὶ προσκαρτερήσας τῇ εἰς Χριστὸν προσδοκίᾳ, ὡς εἰκὸς τυγχάνει τινὸς αἰωνίου δωρεᾶς.

οη'. Λευῖται μὲν καὶ Ἱερεῖς κέκληνται[148], οἱ ὅλους [recte: ὅλως] δι᾽ ὅλου ἑαυτοὺς τῷ Θεῷ ἀναθέμενοι, καὶ πράξει, καὶ θεωρίᾳ˙ κτήνη δὲ Λευϊτῶν λέγονται[149], οἱ μὴ ἰσχύοντες μὲν κατ᾽ ἴχνος βαίνειν τῶν παθῶν, γλιχό-

μαρρο· καί, ἂν καὶ ἐκεῖνοι, ἐπειδὴ ἦταν ντροπιασμένοι, δὲν εἶπαν τίποτα, ὁ ἀγαθότατος Δαυῒδ τοὺς ὑπερασπίζεται λέγοντας, ὅτι κάθησαν, γιὰ νὰ φυλάξουν τὰ σχετικὰ μὲ τὸν ἀναγκαῖο ἐξοπλισμὸ τοῦ στρατεύματος. Γι᾽ αὐτὸ ἀκριβῶς μοίρασε καὶ σ᾽ αὐτοὺς τὸ ἴδιο μερίδιο μ᾽ ἐκεῖνο, τὸ ὁποῖο δόθηκε στοὺς ἀνδρείους καὶ γενναιόκαρδους πολεμιστές. Ἐρεύνησε μήπως, ἐὰν ὁμοίως καὶ γιὰ κάποιον ἀδελφό, ὁ ὁποῖος στὴν μὲν ἀρχὴ ἐπέδειξε ζῆλο, ὕστερα ἀπὸ λίγο ὅμως κουράσθηκε, ἤθελε θεωρηθῇ, ὡς ἀναγκαῖος ἐξοπλισμὸς γιὰ τὴν σωτηρία [του], ἡ πίστι καὶ ἡ μετάνοια, ἡ ταπείνωσι καὶ ὁ κλαυθμός, ἡ ὑπομονὴ καὶ ἡ ἐλπίδα καὶ ἡ μακροθυμία καὶ τὰ ἀκόλουθα, στὰ ὁποῖα, ἂν κάποιος παραμείνῃ, [ἂν τὰ τηρήσῃ], καὶ ἐπιμείνῃ καρτερικὰ μὲ τὴν ἐλπίδα [του] στὸν Χριστό, [ἔστω κι ἂν εἶναι] ἀδύνατος κατὰ τὸν τρόπο, ὅπως εἶναι φυσικὸ [ἀπὸ αὐτά, ποὺ ἐλέχθησαν], θὰ τύχῃ κάποιας αἰωνίου δωρεᾶς.

78. Λευίτες μὲν καὶ Ἱερεῖς ἔχουν κληθῇ ἐκεῖνοι, οἱ ὁποῖοι ἐναντίον ἀφιέρωσαν ἐξ ὁλοκλήρου τοὺς ἑαυτούς τους στὸν Θεό, καὶ ὡς πρὸς τὴν πρᾶξι καὶ ὡς πρὸς τὴν θεωρία. «Κτήνη Λευϊτῶν» δὲ [στὴν Ἁγία Γραφή], ὀνομάζονται ἐκεῖνοι, οἱ ὁποῖοι δὲν ἔχουν μὲν τὴν δύναμι νὰ ἐφορμοῦν κατὰ πόδας τῶν παθῶν, ὅμως ορέ-

μενοι δὲ τῆς ἀρετῆς καὶ περὶ ταύτην κατὰ τὸ ἐγχωροῦν προθυμούμενοι, καὶ ταύτης ἐπιθυμοῦντες διηνεκῶς, κἂν ἀποτυγχάνουσι πολλάκις, διὰ τὸ ὑπὸ τῆς κακίας ἐκνευρισθῆναι˙ εἰκὸς δὲ καιρῷ τῷ προσήκοντι καὶ τούτους τὸ χάρισμα δέξασθαι τῆς ἀπαθείας, μόνῃ φιλανθρωπίᾳ Θεοῦ˙ τὴν γὰρ ἐπιθυμίαν τῶν πενήτων εἰσήκουσε Κύριος[150].

οθ΄. Τοὺς αἰκισμούς, οὓς ἐπιφέρει ἡμῖν ὁ ἐχθρός, εἴτε φανερῶς εἴτε ἀοράτως, πολλάκις νοοῦμεν, καὶ βλέπομεν˙ τὰς δὲ βασάνους, καὶ ἀλγηδόνας, ἃς παρ᾽ ἡμῶν ὑφίσταται, κατορθούντων ἡμῶν ἐσθ᾽ ὅτε τὰς ἀρετάς, ἢ μεταμελομένων ἐπὶ πλημμελήμασιν, ἢ μακροθυμούντων καὶ καρτερούντων ἐπὶ τοῖς συμπτώμασιν, ἢ εὐχομένων καὶ τὰ λοιπὰ ἐπιτηδευόντων, ἐφ᾽ οἷς αὐτὸς διαπρίεται, καὶ τιμωρεῖται, καὶ θρηνεῖ, καὶ κόπτεται, ταῦτα πάντα ἡμεῖς κατ᾽ οἰκονομίαν οὐ βλέπομεν, ἵνα μὴ χαυνωθῶμεν. Δίκαιον γάρ, φησί, παρὰ τῷ Θεῷ, ἀν-

γονται τὴν ἀρετὴ καὶ γύρω ἀπ᾽ αὐτήν, κατὰ τὸ δυνατόν, προθυμοποιοῦνται καὶ συνεχῶς ἐπιθυμοῦν αὐτήν, ἀκόμη κι ἂν πολλὲς φορὲς ἀποτυγχάνουν, ἕνεκα τοῦ ὅτι ἀποστερήθηκαν τὶς δυνάμεις [τους] ἀπὸ τὴν κακία· εὔλογο δὲ στὸν κατάλληλο καιρὸ καὶ αὐτοὶ νὰ δεχθοῦν τὸ χάρισμα τῆς ἀπαθείας, μόνο ἀπὸ τὴν φιλανθρωπία τοῦ Θεοῦ· διότι ὁ Κύριος εἰσήκουσε τὴν ἐπιθυμία τῶν πτωχῶν.

ρίῳ πλῦναί σε ἀπὸ παντὸς μώμου, κἂν καθ᾽ ἑκάστην ὡς εἰκὸς ἐγγίνηται ἐξ ἀνάγκης πειρασμός. Ἐν γὰρ τῷ λέγειν σε ἥμαρτον τῷ Κυρίῳ, ἀπόκρισις δίδοται ἀφέωνταί σου αἱ ἁμαρτίαι[15]. Ἐγώ εἰμι ὁ ἐξαλείφων, καὶ οὐ μὴ μνησθῶ[16]. Καθ᾽ ὅσον γὰρ ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνα ἀπὸ σοῦ τὰς ἁμαρτίας σου· καὶ καθὼς οἰκτείρει πατὴρ υἱούς, ἐγὼ κατοικτείρω σε[17]. Μόνον σὺ μὴ ἀποστῇς μὴ δὲ ἀποπηδήσῃς τοῦ ἐκλεξαμένου σε εἰς τὸ ψάλλειν, καὶ εὔχεσθαι. Ἀλλὰ κολλήθητι αὐτῷ ἐν πᾶσι τῇ ζωῇ σου, εἴτε διὰ παῤῥησίας καθαρᾶς, εἴτε δι᾽ ἀναισχυντίας θεοσεβοῦς, καὶ στεῤῥᾶς αὐτῷ ἐξομολογήσεως. Καὶ αὐτός σε καθαρίζει τῷ ἰδίῳ νεύματι. Ἃ γὰρ ὁ Θεὸς τῇ ἑαυτοῦ βουλήσει καθαρίζει, οὐδὲ αὐτὸς ὁ Πέτρος ὁ μέγας Ἀπόστολος κοινῶσαι δυνήσεται, ἢ καταδικάσασθαι[β']. Εἴρηται γὰρ πρὸς αὐτόν. Ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου[18]. Οὐ γὰρ ὁ Θεὸς ἐστὶν ὁ τῇ οἰκείᾳ φιλανθρωπίᾳ δικαιώσας ἡμᾶς, τίς ἔσται ὁ κατακρίνων ἡμᾶς[19]; Ἐπικα-

ριο νὰ σὲ πλύνῃ ἀπὸ κάθε κατηγορία, ἀκόμα κι ἂν καθημερινά, ὅπως εἶναι φυσικό, ἀναγκαστικὰ γίνεται πειρασμός. Διότι μὲ τὸ νὰ λέγῃς: «ἥμαρτον» στὸν Κύριο, δίδεται ἀπόκρισι: «συγχωροῦνται οἱ ἁμαρτίες σου». Ἐγὼ εἶμαι ἐκεῖνος, ὁ ὁποῖος τὶς ἐξαλείφω καὶ δὲν θὰ τὶς θυμηθῶ. Ὅσο ἀπέχει λοιπὸν ἡ Ἀνατολὴ ἀπὸ τὴν Δύσι, ἀπομάκρυνα ἀπὸ σένα τὶς ἁμαρτίες σου καὶ ὅπως συμπονᾶ ὁ πατέρας τοὺς γιούς του, ἔτσι ἐγὼ σὲ ὑπερευσπλαχνίζομαι. Μόνον ἐσὺ μὴν ἀποχωρισθῇς, οὔτε νὰ ἀποσκιρτήσῃς ἀπὸ Ἐκεῖνον, ποὺ σὲ διάλεξε γιὰ νὰ ψάλλῃς καὶ νὰ προσεύχεσαι. Ἀλλὰ προσκολλήσου σ᾽ Αὐτὸν σχετικὰ μὲ ὅλα στὴν ζωή σου, εἴτε μὲ τὴν παρρησία τῆς καθαρότητος, εἴτε μὲ θεοσεβῆ ἀναίδεια [ἐπίμονη προσευχὴ] καὶ σταθερὴ πρὸς ἐκεῖνον ἐξομολόγησι. Κι Αὐτὸς μὲ τὸ νεῦμα Του σὲ καθαρίζει. Γιατὶ ὅσα ὁ Θεὸς μὲ τὴν δική του θέλησι καθαρίζει, οὔτε αὐτὸς ὁ Πέτρος, ὁ μέγας Ἀπόστολος, δὲν θὰ μπορέσῃ νὰ τὰ θεωρήσῃ ἀκάθαρτα ἢ νὰ τὰ καταδικάσῃ. Διότι εἰπώθηκε πρὸς αὐτόν: «ἐκεῖνα τὰ ὁποῖα ὁ Θεὸς ἐκαθάρισε, ἐσὺ μὴν τὰ θεωρήσῃς μολυσμένα». Δὲν εἶναι λοιπὸν ὁ Θεός, ἐκεῖνος ὁ ὁποῖος μᾶς δικαίωσε μὲ τὴν δική Του φιλανθρωπία; Ποιὸς εἶναι αὐτὸς ποὺ θὰ μᾶς κατακρίνῃ; Διότι, ὅταν

λουμένων γὰρ ἡμῶν τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εὐμαρῶς καθαρίζεται ἡ συνείδησις ἡμῶν. Καὶ οὐδὲν διακρίνει ἀναμέσον ἡμῶντε, καὶ προφητῶν, καὶ τῶν ἄλλων ἁγίων. Οὐ γὰρ ἔθετο ἡμᾶς ὁ Θεὸς εἰς ὀργήν, ἀλλ' εἰς περιποίησιν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀποθανόντος ὑπὲρ ἡμῶν[20]*. Ἵνα εἴτε γρηγορῶμεν [recte: γρηγοροῦμεν] ἐν ἀρεταῖς, εἴτε καθεύδομεν κατάτινα περίστασιν, ὡς εἰκός, ἔντισιν ἐλαττώμασιν, ἅμα σὺν Χριστῷ ζήσωμεν*[21]*. Πρὸς αὐτὸν ἀναβλέποντες μετὰ μεγάλων στεναγμῶν καὶ ἀποδυρόμενοι ἀκαταπαύστως, καὶ αὐτὸν ἀναπνέοντες. Ἐνδυσώμεθα οὖν τὸν τῆς πίστεως θώρακα, καὶ σχῶμεν περικεφαλαίαν ἐλπίδα σωτηρίας*[22]*, ἵνα μὴ εὕρῃ παρείσδυσιν τὰ βέλη τῆς ἀπογνώσεως, καὶ τῆς ἀνελπιστίας. Ἀλλ' αὐτὸς λέγεις ὅτι ὀργίζομαι ὅταν βλέπω μηδὲν πειραζομένους τοὺς κοσμικούς, καὶ δεινῶς διαπρίομαι. Ἀλλ' ἴσθι ἀγαπητέ, ὅτι οὐ χρείαν ἔχει ὁ σατανᾶς*

ἐμεῖς ἐπικαλούμεθα τὸ ὄνομα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, εὔκολα καθαρίζεται ἡ συνείδησί μας. Καὶ τίποτα δὲν συνιστᾶ διαφορὰ ἀνάμεσα σὲ μᾶς καὶ τοὺς προφῆτες καὶ τοὺς ἄλλους ἁγίους. Γιατὶ ὁ Θεὸς δὲν μᾶς δημιούργησε γιὰ τὴν ὀργή του, ἀλλὰ γιὰ τὴν σωτηρία μέσῳ τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, ὁ ὁποῖος πέθανε γιὰ μᾶς. Ὥστε, εἴτε βρισκόμεθα σὲ ἐγρήγορσι διὰ μέσου τῶν ἀρετῶν εἴτε ραθυμοῦμε σὲ κάποια περίστασι, ὅπως εἶναι φυσικό, ἕνεκα κάποιων ἀδυναμιῶν, ἐξίσου νὰ ζήσωμε μὲ τὸν Χριστό, σηκώνοντας τὸ βλέμμα μας πρὸς Αὐτὸν μαζὶ μὲ μεγάλους στεναγμούς, ἀκατάπαυστα θρηνώντας πικρὰ καὶ Αὐτὸν ἀναπνέοντας. Ἂς ἐνδυθοῦμε λοιπὸν τὸν θώρακα τῆς πίστεως καὶ ἂς ἔχωμε γιὰ περικεφαλαία τὴν ἐλπίδα τῆς σωτηρίας, γιὰ νὰ μὴν βροῦν δυνατότητα πλάγιας εἰσόδου τὰ βέλη τῆς ἀπογνώσεως καὶ τῆς ἀπελπισίας. Ἀλλὰ ἐσὺ ὁ ἴδιος λέγεις, ὅτι ὀργίζομαι, ὅταν βλέπω κοσμικοὺς νὰ μὴν πειράζωνται καθόλου καὶ πάρα πολὺ ἀντιδρῶ. Ἀλλά, γνώριζε ἀγαπητέ, ὅτι δὲν ἔχει ἀνάγκη ὁ σατανᾶς

πειράζειν τοὺς αὐτοπειράστους, καὶ ἀεὶ εἰς τὰ χαμαὶ συρομένους διὰ τῶν βιωτικῶν πραγμάτων. Γίνωσκε δὲ καὶ τοῦτο· ὅτι τοῖς πειραζομένοις, τὰ βραβεῖα ἀπόκεινται, καὶ οἱ στέφανοι· οὐ γὰρ τοῖς μὴ μεριμνῶσι περὶ Θεοῦ, οὐδὲ τοῖς ὑπτίως κειμένοις καὶ ῥέγχουσι κοσμικοῖς. Ἀλλ᾽ ἐγώ, φησὶ πολλὰ πάνυ πειράζομαι. Καὶ αἱ ψόαι μου πιμπλῶνται ἐμπαιγμάτων, καθὼς λέγει ὁ προφήτης[23], καὶ ταλαιπωρία, καὶ κατάκαμψις, καὶ οὐκ ἔστι ταῖς σαρξὶν ἴασις, καὶ ἐπιμέλεια τοῖς ὀστέοις[24]. Καὶ μὴν ἐγγύθεν ὁ μέγας τῶν καμνόντων ἰατρὸς πάρεστιν, ὁ βαστάσας τὰς ἀσθενείας ἡμῶν, καὶ τῷ μώλωπι αὐτοῦ ἰασάμενος ἡμᾶς[25] καὶ ἰώμενος. Πάρεστι καὶ νῦν ἐπιτιθεὶς τὰ σωτήρια φάρμακα. Ἐγὼ γάρ, φησίν, ἐπάταξα δι᾽ ἐγκαταλείψεως, ἐγὼ καὶ ἰάσομαι[26]. Μὴ οὖν φοβηθῇς· ὅταν γὰρ ἡ ὀργὴ τοῦ θυμοῦ μου στάξῃ, πάλιν ἰάσομαι[27]. Ὡς γὰρ οὐκ ἐπιλήσεται γυνὴ τοῦ ἐλεῆσαι τὰ ἔγγονα τῆς κοιλίας αὐτῆς, οὕτως οὐδὲ

νὰ πειράζῃ ἐκείνους, ποὺ πειράζονται ἀπὸ μόνοι τους καὶ οἱ ὁποῖοι πάντοτε σύρονται στὰ μικρὰ καὶ χαμερπῆ χάριν τῶν ὑποθέσεων τοῦ βίου. Καὶ νὰ γνωρίζῃς κι αὐτό· ὅτι τὰ βραβεῖα καὶ οἱ στέφανοι ἐπιφυλάσσονται σ᾽ ἐκείνους οἱ ὁποῖοι ὑπομένουν πειρασμοὺς καὶ ὄχι σ᾽ ἐκείνους ποὺ δὲν συλλογίζονται περὶ Θεοῦ, οὔτε σ᾽ ἐκείνους τοὺς κοσμικούς, ποὺ βρίσκονται ξαπλωμένοι ἀνάσκελα καὶ ροχαλίζουν. Ἀλλά, ἐγὼ λέγει, συχνὰ πειράζομαι πολὺ καὶ τὰ νῶτα μου γέμισαν μὲ ἐξευτελισμούς, καθὼς ὁ προφήτης λέγει, καὶ ὑποφέρω ταλαιπωρία καὶ ἐξουδένωσι καὶ θεραπεία δὲν ὑπάρχει γιὰ τὸ σῶμα μου οὔτε φροντίδα γιὰ τὰ ὀστᾶ μου. Κι ὅμως ἐκεῖ πλησίον ὁ μέγας τῶν ἀσθενούντων ἰατρὸς στέκεται παρών, ἐκεῖνος ὁ ὁποῖος σήκωσε τὶς ἀσθένειές μας, καὶ μὲ τὴν πληγή του μᾶς θεράπευσε καὶ μᾶς θεραπεύει. Βρίσκεται δίπλα μας καὶ τώρα, ἐπιθέτοντας τὰ σωτήρια φάρμακα. Γιατὶ λέγει, ἐγὼ ἔπληξα μὲ ἐγκατάλειψι, ἐγὼ καὶ θὰ θεραπεύσω. Μὴν λοιπὸν φοβηθῇς· διότι, ὅταν σταματήσῃ ἡ ὀργὴ τοῦ θυμοῦ μου, πάλι θὰ θεραπεύσω. Διότι ὅπως, δὲν θὰ λησμονήσῃ ἡ γυναῖκα νὰ ἐλεήσῃ τὰ τέκνα τῆς κοιλίας της, κατὰ τὸν ἴδιο τρόπο οὔτε ἐγὼ δὲν θὰ

ἐγὼ ἐπιλήσομαί σου λέγει Κύριος[28]. Εἰ γὰρ τοῦ πετεινοῦ τὰ σπλάχνα κέχυται ἐπὶ τοὺς νεοσσοὺς αὐτοῦ, καὶ καθ' ὥραν ἐπισκέπτεται αὐτούς, καὶ προσφωνεῖ αὐτοῖς, καὶ τροφὴν τῷ στόματι αὐτῶν ἐπιδίδωσι, πολλῷ μᾶλλον οἱ οἰκτιρμοί μου χέονται ἐπὶ τὰ κτίσματά μου. Πολὺ δὲ πλέον τὰ ἐμὰ σπλάχνα ἐπὶ σὲ κέχυνται, καὶ ἐπισκέπτομαίσε λεληθότως καὶ προσομιλῶσοι κατὰ νοῦν. Καὶ τροφὴν τῇ διανοίᾳ ἐνίημι κεχηνυίᾳ ὡς μικρᾷ χελιδόνι. Τροφὴν γάρ σοι χορηγῶ τοῦ φόβου τοῦ κρείττονος, καὶ τροφὴν πόθου ἐπουρανίου, καὶ τροφὴν στεναγμῶν παρηγορίας, καὶ τροφὴν κατανύξεως, καὶ τροφὴν μελωδίας, καὶ τροφὴν γνώσεως βαθυτέρας, καὶ τροφὴν θείων τινῶν μυστηρίων. Ἐὰν δὲ ψεύδωμαι ταῦτα λαλῶν σοι ὁ σὸς Δεσπότης, καὶ Πατήρ, ἔλεγξόν μοι, καὶ ἀνέχομαι. Ταῦτα μὲν ὁ Κύριος ἡμῖν ἀεὶ διαλέγεται τοῖς διανοήμασιν. Ἐγὼ δὲ ἐπίσταμαι ὅτι ὑπερέβην τὸ μέτρον, πολλὰ γράψας· ἀλλ' ὑμεῖς προετρέψασθέ με τοῦ-

σὲ λησμονήσω, λέγει Κύριος. Διότι ἐὰν τὰ σπλάχνα [ἡ βαθεῖα ἀγάπη] τοῦ πουλιοῦ χύνωνται στὰ μικρά του πουλάκια καὶ κάθε ὥρα τὰ ἐπισκέπτεται καὶ τοὺς μιλᾷ καὶ δίδη τροφὴ στὸ στόμα τους, πολλῷ μᾶλλον οἱ οἰκτιρμοί μου χύνονται στὰ πλάσματά μου. Πολὺ δὲ περισσότερο τὰ δικά μου σπλάχνα [ἡ βαθεῖα ἀγάπη], χύνονται σὲ σένα καὶ σὲ ἐπισκέπτομαι μυστικὰ καὶ συνομιλῶ μαζί σου νοερά. Καὶ ἀφήνω τροφὴ μέσα στὴν διάνοιά σου, ἡ ὁποία ἀνοίγει τὸ στόμα της σὰν μικρὸ χελιδονάκι. Σοῦ χορηγῶ τροφὴ τοῦ θείου φόβου καὶ τροφὴ πόθου ἐπουρανίου καὶ τροφὴ στεναγμῶν παρηγορίας καὶ τροφὴ κατανύξεως καὶ τροφὴ μελωδίας καὶ τροφὴ βαθύτερης γνώσεως καὶ τροφὴ κάποιων θείων μυστηρίων. Ἐὰν δὲ λέγοντάς σου αὐτὰ ψεύδωμαι, ἐγὼ ὁ Κύριός σου καὶ Πατέρας σου, ἔλεγξέ με καὶ τὸ ἀνέχομαι. Αὐτὰ λοιπὸν πάντοτε ὁ Κύριος συνδιαλέγεται μαζί μας νοερά. Ἐγὼ δὲ γνωρίζω καλά, ὅτι ξεπέρασα τὸ μέτρο, διότι ἔγραψα πολλά. Ἀλλὰ ἐσεῖς μὲ προτρέψατε νὰ

το ποιῆσαι. Ἐπλατύναμεν δὲ τὸν λόγον, διὰ στηριγμὸν τῶν κινδυνευόντων ἀπὸ ὀλιγωρίας πεσεῖν. Διότι εὑρέθησαν καθὼς ἐγράψατέ μοι, παρ᾽ ὑμῖν τοῖς ἐν τῇ Ἰνδίᾳ, τινὲς τῶν ἀδελφῶν, παρὰ τὴν προσδοκίαν, λίαν καταβεβαρημένοι τοῖς πειρασμοῖς, καὶ ἀπολεγόμενοι καὶ τὸν βίον, καὶ τὴν διαγωγὴν τῶν Μοναχῶν, λέγοντες ὑπάρχειν αὐτὴν καταπεπνιγμένην, καὶ μυριοκίνδυνον. Καὶ ὅτι φανερῶς τοὺς μὲν κοσμικοὺς ἐμακάρισαν, ἐμέμψαντο δὲ τὴν ἡμέραν, ἐν ᾗ τὸ σχῆμα εἰλήφασι. Δια τοῦτο κἀγὼ ἠναγκάσθην μακρότερον ποιῆσαι τὸν παρόντα λόγον, καὶ διὰ λείων ρημάτων, ὥστε δύνασθαι καὶ τὸν ἰδιώτην καὶ ἀγράμματον τὰ λεγόμενα νοῆσαι. Διὰ τοῦτο πολλὰ γέγραφα, ἵνα τοῦ λοιποῦ μηκέτι κοσμικόν, ἀλλ᾽ ἑαυτοὺς μόνους μακαρίζωσιν οἱ Μοναχοί, οἵτινες χωρὶς πάσης ἀντιλογίας κρείττονες ὑπάρχουσι τῶν τὰ διαδήματα ἐπὶ τῆς κεφαλῆς φορούντων βασιλέων, καὶ λαμπρότεροι, καὶ ἐπιδοξότεροι, ὡς τῷ Θεῷ ἀεὶ

τὸ κάνω. Ἐμακρύναμε δὲ τὸν λόγο, γιὰ τὸν στηριγμὸ ἐκείνων, οἱ ὁποῖοι κινδυνεύουν νὰ πέσουν ἀπὸ ἀμέλεια. Διότι βρέθηκαν, ὅπως μοῦ γράψατε, ἀπὸ σᾶς ποὺ βρίσκεστε στὴν Ἰνδία, κάποιοι ἀπὸ τοὺς ἀδελφούς, οἱ ὁποῖοι ἀπροσδόκητα εἶναι πολὺ ἀποκαμωμένοι ἀπὸ τοὺς πειρασμοὺς καὶ οἱ ὁποῖοι ἀποποιοῦνται καὶ τὴν ζωὴ καὶ τὴν διαγωγὴ τῶν Μοναχῶν, λέγοντας σχετικὰ μὲ αὐτήν, ὅτι εἶναι ὑπερβολικὰ ἀσφυκτικὴ καὶ ἐξαιρετικὰ ἐπικίνδυνη. Καὶ ὅτι φανερὰ τοὺς μὲν κοσμικοὺς τοὺς καλοτύχισαν, καταράστηκαν δὲ τὴν ἡμέρα, κατὰ τὴν ὁποῖα ἔχουν λάβει τὸ σχῆμα. Γι᾽ αὐτὸ κι ἐγώ, ἀναγκάστηκα νὰ κάνω τὸν παρόντα λόγο μακρύτερο καὶ μὲ εὔκολα λόγια, ὥστε νὰ μπορῇ καὶ ὁ ἀμαθὴς καὶ ὁ ἀγράμματος νὰ κατανοήσῃ τὰ λεγόμενα. Γι᾽αὐτὸ ἔγραψα πολλά, ὥστε εἰς τὸ ἑξῆς, ὄχι πλέον κοσμικό, ἀλλὰ μόνο τοὺς ἑαυτούς τους νὰ μακαρίζουν οἱ Μοναχοί, οἱ ὁποῖοι χωρὶς καμία ἀντίρρησι, εἶναι σπουδαιότεροι ἀπὸ τοὺς βασιλεῖς ποὺ φοροῦν στὰ κεφάλια τους διαδήματα καὶ λαμπρότεροι καὶ ἐνδοξότεροι, ἐπειδὴ πάντοτε παραμένουν δίπλα

προσεδρεύοντες. Ἐγὼ δὲ ταῦτα γράψας, ἱκετεύω τὴν ὑμετέραν ἀγάπην, μνήμην μου ἐν ταῖς εὐχαῖς διηνεκῶς ποιεῖσθαι, ὥστε καταξιωθῆναί με τὸν ἐλεεινὸν τῆς τοῦ Κυρίου χάριτος, ἐν τῷ βελτίστῳ καὶ ἀγαθῷ τέλει, περιγραφῆναι τὴν παροῦσαν ζωήν. Ὁ δὲ Πατὴρ τῶν οἰκτιρμῶν, καὶ Θεὸς πάσης παρακλήσεως[29]*, χορηγήσοι ὑμῖν παράκλησιν αἰωνίαν, καὶ ἐλπίδα ἀγαθήν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ὑμῶν, ᾧ ἡ δόξα, καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

στὸν Θεό. Ἐγὼ δέ, ἀφοῦ ἔγραψα αὐτά, ἱκετεύω τὴν ἀγάπη σας, νὰ μὲ θυμᾶστε συνεχῶς στὶς προσευχές σας, ὥστε νὰ καταξιωθῶ, ὁ ἐλεεινός, τῆς Χάριτος τοῦ Κυρίου καὶ νὰ ὁλοκληρώσω τὴν παροῦσα ζωὴ μὲ τὸ ἄριστο καὶ ἀγαθὸ τέλος. Ὁ δὲ Πατὴρ τῶν οἰκτιρμῶν καὶ Θεὸς πάσης παρακλήσεως, ἂς σᾶς χορηγήση παράκλησι αἰώνια καὶ ἀγαθὴ ἐλπίδα ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμι στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΣΗΜΕΙΩΣΕΙΣ - ΣΧΟΛΙΑ

ΣΗΜΕΙΩΣΕΙΣ - ΣΧΟΛΙΑ

ΑΓΙΟΥ ΝΙΚΟΔΗΜΟΥ

α' **Ἐν ἄλλοις πατήρ, ἢ πάνθηρ.**

β' **Ἐν ἄλλοις κατακρῖναι.**

γ' **Ἐν ἄλλοις πλείστων.**

ΠΑΡΑΠΟΜΠΕΣ

ΣΕ ΧΩΡΙΑ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ

[1] Μαλαχ. 3, 14.
[2] Μαλαχ. 3, 15-16.
[3] Ἰω. 16, 20.
[4] Ἰω. 16, 22.
[5] Α' Πέτρ. 5, 4.
[6] Ψαλμ. 83, 11.
[7] Ὠσηὲ 5, 2.
[8] Ὠσηὲ 2, 8.
[9] Πρβ. Ἰὼβ 38, 8.
[10] Πρβ. Ὠσηὲ 13, 7, Ὠσηὲ 5, 12.
[11] Δευτερ. 8, 3.
[12] Μαλαχ. 4, 2.
[13] Μαλαχ. 4, 3.
[14] Λουκ. 17, 10.
[15] Πρβ. Ματθ. 9, 2.
[16] Ἡσ. 43, 25.
[17] Ψαλμ. 102, 12, 102, 13.
[18] Πράξ. 10, 15.
[19] Ῥωμ. 8, 33 κ.ἑ.
[20] Α' Θεσσ. 5, 9.
[21] Α' Θεσσ. 5, 9-10.
[22] Α' Θεσσ. 5, 8.
[23] Ψαλμ. 37, 8.
[24] Πρβ. Παροιμ. 3, 8.
[25] Ἡσ. 53, 5, Ματθ. 8, 17.
[26] Δευτερ. 32, 39.
[27] Ἡσ. 7, 4.
[28] Ἡσ. 49, 15.
[29] Β' Κορ. 1, 3.



ΑΓΙΟΣ ΘΕΟΔΩΡΟΣ
Ο ΜΕΓΑΛΟΣ ΑΣΚΗΤΗΣ
ΚΑΙ
ΕΠΙΣΚΟΠΟΣ ΕΔΕΣΣΗΣ

οὗ ἡ μνήμη ἐν μηνὶ Ἰουλίῳ ιθ΄

ΣΥΝΤΟΜΟΣ ΒΙΟΓΡΑΦΙΑ ΚΑΙ ΛΟΓΟΙ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΘΕΟΔΩΡΟΥ ΕΠΙΣΚΟΠΟΥ ΕΔΕΣΣΗΣ

ΣΥΝΤΟΜΟΣ ΒΙΟΓΡΑΦΙΑ

Θεόδωρος ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν, ἦν μὲν ἐπὶ τῆς βασιλείας Ἡρακλείου, καὶ Κωνσταντίνου τοῦ Πωγωνάτου, περίπου τὸ ἑξακοσιοστὸν ἑξηκοστὸν ἔτος, πρότερον δὲ τὸν ἀσκητικὸν βίον ἀγωνισάμενος κατὰ τὴν τοῦ Ἁγίου Σάββα μονήν˙ ὕστερον ψήφῳ θείᾳ ἐπὶ τὸν τῆς πόλεως Ἐδέσσης Ἐπισκοπικὸν θρόνον ἀνάγεται, καὶ πολλῶν θαυμάτων αὐτουργὸς γεγονὼς ζῶν ἔτι, καὶ μετὰ θάνατον, καὶ ταῖς θείαις αὐτοῦ διδασκαλίαις πολλοὺς μάρτυρας, καὶ σῳζομένους ἀναδείξας, κατὰ τὴν δεκάτην ἐνάτην Ἰουλίου πρὸς τὰς αἰωνίους μετέστη μονάς, ὡς ἐν τῇ βίβλῳ τῇ καλουμένῃ Καλοκαιρινῇ ὁ βίος αὐτοῦ συνεγράφη. Συγγράματα δὲ εἴ τινα μὲν καὶ ἀλ-

Ὁ Ἅγιος Πατέρας μας Θεόδωρος, ἔζησε μὲν ἐπὶ τῆς βασιλείας Ἡρακλείου καὶ Κωνσταντίνου τοῦ Πωγωνάτου, γύρω στὸ ἔτος ἑξακοσιοστὸ ἑξηκοστό, ἀγωνίστηκε δὲ τὴν ἀσκητικὴ πολιτεία πρῶτα στὴν Μονὴ τοῦ Ἁγίου Σάββα· ὕστερα ἀνέρχεται μὲ θεία ἐκλογὴ στὸν Ἐπισκοπικὸ θρόνο τῆς πόλεως Ἐδέσσης, καὶ ἐνήργησε πολλὰ θαύματα, ἐνῶ ἀκόμα ζοῦσε καὶ μετὰ τὸν θάνατό [του], καὶ ἀφοῦ ἀνέδειξε μὲ τὶς θεῖες διδασκαλίες του πολλοὺς μάρτυρες καὶ πολλοὺς σεσωσμένους, μετέστη στὶς αἰώνιες μονὲς στὶς 19 Ἰουλίου, καθὼς γράφει ὁ βίος του στὸ βιβλίο, τὸ ὁποῖο ὀνομάζεται «Καλοκαιρινή». Ἐὰν δὲ ἔχῃ ἀφήσει καὶ ἄλλα συγγράμματα, δὲν ἔχομε νὰ ποῦμε γι᾽ αὐτὰ [κάτι]

λα καταλέλοιπε, σαφὲς περὶ τούτων λέγειν οὐκ ἔχομεν. Τὰ δὲ παρόντα ἑκατὸν κεφάλαια, αὐτῷ φιλοπονηθέντα τῷ καταλόγῳ τῶν λοιπῶν νηπτικῶν ἐνεκρίθησαν˙ πολύχουν γὰρ ταῦτα τὸν τῆς Ἱερᾶς Νήψεως καὶ πνευματικῆς ὠφελείας καρπὸν προβάλλονται τοῖς μετ᾽ ἀκριβείας ἀναγινώσκουσι˙ καὶ οἱ τῆς ἑαυτῶν σωτηρίας ἐφιέμενοι, δεῦτε καὶ δαψιλέστατα δρέψασθε.

Ἐν δὲ τῷ τέλει τῶν παρόντων τουτωνὶ κεφαλαίων καὶ τὸ τοῦ Θεοδώρου ἐπιφερόμενον ὄνομα τουτὶ Θεωρητικὸν προσετέθη˙ ὃ δὴ τῆς αὐτῆς τοῖς κεφαλαίοις νηπτικῆς ἰδέας καθορῶντες ἐχόμενον, καὶ τῷ αὐτῷ χαρακτῆρι τοῦ λόγου ἑπόμενον, ὡς ἀπό τινων εἰκότων καὶ σημείων, γνήσιον εἶναι γόνον τοῦ αὐτοῦ Θεοδώρου συνεπεράναμεν.

συγκεκριμένο. Τὰ δὲ παρόντα ἑκατὸ κεφάλαια, τὰ ὁποῖα φιλοπονήθηκαν ἀπ᾽ αὐτὸν ἐνεκρίθηκαν [νὰ συμπεριληφθοῦν] στὴν συλλογὴ μεταξὺ τῶν ὑπολοίπων νηπτικῶν [κειμένων]· διότι αὐτὰ προσφέρουν πολύφορο τὸν καρπὸ τῆς Ἱερᾶς νήψεως καὶ πνευματικῆς ὠφελείας σ᾽ ἐκείνους ποὺ [τὰ] διαβάζουν μὲ προσοχή. Καὶ ὅσοι ἐπιθυμεῖτε τὴν σωτηρία σας, ἐλᾶτε καὶ συλλέξτε πλουσιοπάροχα.

Στὸ τέλος δὲ τῶν παρόντων αὐτῶν κεφαλαίων, προσετέθη καὶ τὸ «Θεωρητικό», τὸ ὁποῖο ἐπιγράφεται μὲ τὸ ὄνομα τοῦ Θεοδώρου, τὸ ὁποῖο βλέποντας ὅτι ἔχει πράγματι τὸ ἴδιο νηπτικὸ νόημα μὲ τὰ κεφάλαια καὶ ὅτι ἀκολουθεῖ τὸν ἴδιο χαρακτῆρα τοῦ λόγου καθὼς [φαίνεται] ἀπὸ κάποιες ὁμοιότητες καὶ σημεῖα, συμπεράναμε ὅτι εἶναι γνήσιο ἔργο αὐτοῦ τοῦ ἰδίου τοῦ Θεοδώρου.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΘΕΟΔΩΡΟΥ ΕΠΙΣΚΟΠΟΥ ΕΔΕΣΣΗΣ

ΛΟΓΟΙ

I

ΚΕΦΑΛΑΙΑ ΠΑΝΥ ΨΥΧΩΦΕΛΗ Ρ΄

100 ΠΟΛΥ ΨΥΧΩΦΕΛΗ ΚΕΦΑΛΑΙΑ

α΄. Ἐπειδήπερ, Θεοῦ τοῦ ἀγαθοῦ χάριτι, ἀποταξάμενοι τῷ σατανᾷ, καὶ τοῖς ἔργοις αὐτοῦ, τῷ Χριστῷ συνεταξάμεθα ἔν τε τῷ λουτρῷ τῆς παλιγγενεσίας, καὶ νῦν αὖθις διὰ τοῦ μοναχικοῦ ἐπαγγέλματος, τηρήσωμεν αὐτοῦ τὰς ἐντολάς. Τοῦτο γὰρ ἡμᾶς ἀπαιτεῖ, οὐ μόνον τὸ διπλοῦν ἐπάγγελμα, ἀλλὰ καὶ ἡ φυσικὴ ὀφειλή, καθ' ἣν κτισθέντες ὑπὸ τοῦ Θεοῦ πρώτως καλοὶ λίαν[1], τοῦτο εἶναι ὀφείλομεν. Κἂν γὰρ ἡ ἁμαρτία ὑπεισελθοῦσα ἐξ ἀπροσεξίας ἡμετέρας τὸ παρὰ φύσιν παρεισήγαγεν, ἀλλὰ πάλιν ἀνεκλήθημεν διὰ πλήθους ἐλέους Θεοῦ ἡμῶν, καὶ ἀνεκαινίσθημεν τῷ πάθει τοῦ ἀπαθοῦς. Τιμῆς τε ἠγοράσθημεν τῷ αἵμα-

1. Ἐπειδὴ ἀκριβῶς, μὲ τὸ νὰ ἀπαρνηθοῦμε τὸν σατανᾶ καὶ τὰ ἔργα του, μὲ τὴν Χάρι τοῦ ἀγαθοῦ Θεοῦ, συνταχθήκαμε μὲ τὸν Χριστὸ καὶ διὰ τοῦ λουτροῦ τῆς παλιγγενεσίας *καὶ τώρα πάλι* διὰ τῆς μοναχικῆς ἐπαγγελίας, ἂς τηρήσωμε τὶς ἐντολές Του. Διότι αὐτὸ ἀπαιτεῖ ἀπὸ ἐμᾶς, ὄχι μόνον ἡ διπλῆ ἐπαγγελία [μας- τοῦ Ἁγίου Βαπτίσματος καὶ τῆς Μοναχικῆς Κουρᾶς], *ἀλλὰ* καὶ ἡ φυσικὴ ὀφειλή, σύμφωνα μὲ τὴν ὁποία, ἀφοῦ δημιουργηθήκαμε ἀπὸ τὸν Θεὸ κατ᾽ ἀρχὰς πολὺ καλοί, αὐτὸ ὀφείλομε νὰ εἴμαστε. Διότι ἂν καὶ ἡ ἁμαρτία, ἡ ὁποία εἰσῆλθε κρυφὰ *ἀπὸ* δική μας ἀπροσεξία, εἰσήγαγε μαζὶ τὸ παρὰ φύσιν, ἀλλὰ ἕνεκα τοῦ πλήθους τοῦ ἐλέους τοῦ Θεοῦ μας, *πάλι* κληθήκαμε σὲ ἐπιστροφὴ καὶ ἀνακαινισθήκαμε μὲ τὸ Πάθος τοῦ Ἀπαθοῦς. Καὶ ἀγορασθήκαμε μὲ τιμή, τὸ [ἀτίμητο] αἷ-

τι τοῦ Χριστοῦ[2], λυτρωθέντες τῆς ἀρχαίας παραβάσεως πατροπαραδότου. Λοιπὸν εἰ γενώμεθα δίκαιοι, οὐδὲν μέγα˙ ἀλλὰ μᾶλλον τὸ ἐκπεσεῖν δικαιοσύνης ἐλεεινόν, καὶ καταγνώσεως ἄξιον.

β΄. Ὥς περ ἔργον ἀγαθόν, χωρὶς ὀρθῆς πίστεως γινόμενον, νεκρόν ἐστι πάμπαν, καὶ ἀνενέργητον˙ οὕτω δὴ καὶ πίστις μόνη[3], χωρὶς ἔργων δικαιοσύνης, οὐ ῥύεται ἡμᾶς τοῦ αἰωνίου πυρός. Ὁ γὰρ ἀγαπῶν με, φησὶν ὁ Κύριος, τὰς ἐντολάς μου τηρήσει[4]. Εἰ οὖν ἀγαπῶμεν τὸν Κύριον, καὶ πιστεύωμεν εἰς αὐτόν, ἀντιποιώμεθα τῆς τῶν ἐντολῶν αὐτοῦ ἐργασίας, ἵνα τευξώμεθα ζωῆς αἰωνίου. Εἰ δὲ παροπτέα ἡμῖν ἡ τῶν προσταγμάτων αὐτοῦ τήρησις, οἷς ἡ κτίσις ἅπασα πειθαρχεῖ, πῶς πιστοὺς ἑαυτοὺς καλέσωμεν, τετιμημένοι ὑπὲρ πᾶσαν τὴν κτίσιν, μόνοι δὲ ἐκ πάντων ἀπειθεῖς τοῖς τοῦ πεποιηκότος προστάγμασι, καὶ ἀχάριστοι περὶ τὸν εὐεργέτην δεικνύμενοι;

μα τοῦ Χριστοῦ, ἀφοῦ λυτρωθήκαμε ἀπὸ τὴν ἀρχαία πατρογονικὴ παράβασι [τὴν πτῶσι τῶν Πρωτοπλάστων]. Ἐὰν ἑπομένως γίνωμε ἐνάρετοι, δὲν [εἶναι] τίποτα τὸ σπουδαῖο· ἀλλὰ μᾶλλον τὸ νὰ ἐκπέσωμε τῆς ἀρετῆς [εἶναι] ἐλεεινὸ καὶ ἄξιο καταδίκης.

2. Ὅπως ἀκριβῶς τὸ ἀγαθὸ ἔργο, ὅταν γίνεται χωρὶς τὴν ὀρθὴ πίστι, εἶναι ἐντελῶς νεκρὸ καὶ τελείως ἀνενεργό, κατὰ τὸν ἴδιο τρόπο καὶ μόνη ἡ πίστι, χωρὶς τὰ ἔργα τῆς ἀρετῆς, δὲν μᾶς ἀπαλλάσσει ἀπὸ τὸ αἰώνιο πῦρ. Διότι λέγει ὁ Κύριος: «ἐκεῖνος ποὺ μὲ ἀγαπᾶ θὰ τηρήσῃ τὶς ἐντολές μου». Ἐὰν ἑπομένως ἀγαποῦμε τὸν Κύριο καὶ πιστεύωμε σ᾽ Αὐτόν, νὰ ἐπιδιώκωμε τὴν ἐργασία τῶν ἐντολῶν Του, γιὰ νὰ ἐπιτύχωμε τὴν αἰώνιο ζωή. Ἐὰν ὅμως [εἶναι] καταφρονητέα ἀπὸ ἐμᾶς ἡ τήρησι τῶν προσταγῶν Του, στὶς ὁποῖες ὁλόκληρη ἡ κτίσι πειθαρχεῖ, μὲ ποιὸν τρόπο νὰ ἀποκαλέσωμε τοὺς ἑαυτούς μας πιστούς, ὅταν, ἂν καὶ ἔχομε τιμηθῆ πάνω ἀπὸ ὁλόκληρη τὴν κτίσι, μόνοι λοιπὸν ἀπ᾽ ὅλους, ἀποδεικνυώμεθα ἀπειθεῖς στὰ προστάγματα Ἐκείνου, ὁ ὁποῖος [μᾶς] δημιούργησε, καὶ ἀχάριστοι πρὸς τὸν Εὐεργέτη;

γ΄. Τὰς ἐντολὰς τοῦ Χριστοῦ τηροῦντες, οὐδὲν ἐκείνῳ παρέχομεν, ἀνενδεεῖ τε ὄντι, καὶ πάντων τῶν ἀγαθῶν δοτῆρι. Ἀλλ' ἑαυτοὺς εὐεργετοῦμεν τὴν αἰώνιον ἑαυτοῖς προξενοῦντες ζωήν, καὶ ἀπόλαυσιν τῶν ἀνεκλαλήτων ἀγαθῶν.

δ΄. Πᾶς ὁ ἐναντιούμενος ἡμῖν πρὸς κατόρθωσιν τῶν ἐντολῶν τοῦ Θεοῦ, κἂν πατὴρ εἴη, κἂν μήτηρ, κἂν ὁστισοῦν, βδελυκτὸς ἡμῖν ἔστω, καὶ μισητός· ἵνα μὴ ἀκούσωμεν, ὅτι ὁ φιλῶν πατέρα, ἢ μητέρα ὑπὲρ ἐμέ, ἢ ἕτερόν τινα τῶν ἁπάντων, οὐκ ἔστι μου ἄξιος[5].

ε΄. Καὶ δὴ πάσῃ δυνάμει σφίγξωμεν ἑαυτοὺς πρὸς ἐργασίαν τῶν ἐντολῶν τοῦ Κυρίου, ἵνα μὴ σειραῖς δυσλύτοις ἐπιθυμιῶν πονηρῶν, καὶ ἡδονῶν ψυχοφθόρων συσφιγχθῶμεν[6]*· καὶ λεχθήσεται καὶ περὶ ἡμῶν ἡ τῆς ἀκάρπου συκῆς ἀπόφασις· ἔκκοψον αὐτήν, λέγουσα, ἵνα μὴ καὶ τὸν τόπον καταργῇ*[7]*· πᾶς γάρ, φησίν, ὁ μὴ ποιῶν καρπὸν καλόν, ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται*[8].

3. Ἐὰν τηροῦμε τὶς ἐντολὲς τοῦ Χριστοῦ, σ' Ἐκεῖνον δὲν προσφέρομε τίποτα, ἐπειδὴ καὶ δὲν ἔχει ἀνάγκη ἀπὸ τίποτα, καὶ εἶναι ὁ δωρεοδότης ὅλων τῶν ἀγαθῶν. Ἀλλὰ τοὺς ἑαυτούς μας εὐεργετοῦμε, ἐπειδὴ προξενοῦμε τὴν αἰώνιο ζωὴ καὶ ἀπόλαυσι τῶν ἀνεκλαλήτων ἀγαθῶν στοὺς ἑαυτούς μας.

4. Καθένας ὁ ὁποῖος στρέφεται ἐναντίον μας, ὡς πρὸς τὴν ἐπιτέλεσι τῶν ἐντολῶν τοῦ Θεοῦ, ἀκόμη κι ἂν ἤθελε εἶναι πατέρας [μας] ἢ μητέρα ἢ ὁποιοσδήποτε, ἂς μᾶς εἶναι βδελυκτὸς καὶ μισητὸς γιὰ νὰ μὴν ἀκούσωμε, ὅτι ἐκεῖνος ποὺ ἀγαπᾶ πατέρα ἢ μητέρα ἢ κάποιον ἄλλον ἀπὸ ὅλους, περισσότερο ἀπὸ Ἐμένα, δὲν εἶναι ἄξιός Μου.

5. Καὶ νὰ πιέσωμε μάλιστα τοὺς ἑαυτούς μας μὲ κάθε δύναμι γιὰ τὴν ἐργασία τῶν ἐντολῶν τοῦ Κυρίου, γιὰ νὰ μὴν περισφιχθοῦμε ἀπὸ δεσμὰ πονηρῶν ἐπιθυμιῶν καὶ ψυχοφθόρων ἡδονῶν, τὰ ὁποῖα δύσκολα λύνονται· καὶ ἀπαγγελθῇ καὶ γιὰ μᾶς ἡ ἀπόφασι τῆς ἄκαρπης συκῆς, ἡ ὁποία προστάζει: «κόψε την τελείως, γιὰ νὰ μὴν καταργῇ καὶ τὸν τόπο». Διότι λέγει [ἡ Ἁγία Γραφή]: «καθένας, ὁ ὁποῖος δὲν κάνει καλὸ καρπό, κόβεται καὶ ρίχνεται στὴν φωτιά».

ς΄. Ὁ ἐπιθυμίαις, καὶ ἡδοναῖς ἡττώμενος, καὶ ἐν τῷ κόσμῳ ἀναστρεφόμενος, ταχέως τοῖς τῆς ἁμαρτίας ἐμπεσεῖται δικτύοις˙ ἡ δὲ ἁμαρτία ἅπαξ πραχθεῖσα, πῦρ ἐστι κατὰ καλάμης, λίθος κατὰ πρανοῦς, χαράδρα τὰς διεξόδους εὐρύνουσα˙ ταῦτα δὴ τὰ ᾀδόμενα, καὶ παντὶ τρόπῳ τοῦ κεκτημένου αὐτὴν κατεργάζεται τὴν ἀπώλειαν.

6. Ἐκεῖνος, ὁ ὁποῖος ἡττᾶται ἀπὸ ἐπιθυμίες καὶ ἡδονὲς καὶ παραμένει μέσα στὸν κόσμο, γρήγορα θὰ πέσῃ στὰ δίκτυα τῆς ἁμαρτίας. Ἡ δὲ ἁμαρτία, ἐὰν διαπραχθῇ μιὰ φορά, εἶναι φωτιὰ κάτω ἀπὸ τὶς καλαμιές, πέτρα [ποὺ κυλάει] στὸν κατήφορο, ρῆγμα ποὺ ἀνοίγει τὸ στόμα του· αὐτοὶ λοιπὸν [εἶναι] οἱ ἐπαναλαμβανόμενοι [παραλληλισμοί]· καὶ [ἡ ἁμαρτία], μὲ κάθε τρόπο ἐπιδιώκει τὴν ἀπώλεια ἐκείνου ὁ ὁποῖος τὴν κατέχει [τοῦ ἁμαρτωλοῦ].

ζ΄. Ἡ ψυχὴ ἐφ᾽ ὅσον μὲν εἰς τὸ παρὰ φύσιν ἐστίν, ἐξηγριωμένη καὶ ἐξηκανθωμένη ταῖς ἡδοναῖς, οἰκητήριόν ἐστι τῶν ἀλλοκότων θηρίων, κατὰ τὸ εἰρημένον˙ ὅτι ἐκεῖ ἀναπαύσονται ὀνοκένταυροι, ἐκεῖ ἐνόσσευσεν ἐχῖνος καὶ συναντήσουσι δαιμόνια ὀνοκενταύροις[9] ἅτινά εἰσι τὰ ποικίλα πάθη τῆς ἀτιμίας˙ ἐπὰν δὲ εἰς τό κατὰ φύσιν ἑαυτὴν ἀνακαλέσηται, (δύναται γὰρ ἡνίκα θελήσῃ, ἕως τῷ σαρκίῳ συνέζευκται), καὶ ἡμερώσῃ ἑαυτὴν δι᾽ ἐπιμελοῦς φιλεργίας, καὶ τῷ τοῦ Θεοῦ νόμῳ πολιτεύσηται, τὰ μὲν πρῴην ἐμφωλεύοντα θηρία δραπετεύσουσιν˙ οἱ δὲ τῆς ζω-

7. Ἡ ψυχὴ μέν, ἐφ᾽ ὅσον βρίσκεται στὸ παρὰ φύσιν, ἐξαγριωμένη καὶ γεμάτη ἀγκάθια ἀπὸ τὶς ἡδονές, εἶναι κατοικητήριο τῶν τερατωδῶν θηρίων, σύμφωνα μ᾽ αὐτὸ ποὺ ἔχει λεχθῇ· ὅτι ἐκεῖ θὰ ἀναπαυθοῦν οἱ ὀνοκένταυροι, ἐκεῖ ὁ ἀκανθόχοιρος θὰ ἐπωάσῃ τοὺς νεοσσούς του καὶ θὰ συναντήσουν τὰ δαιμόνια τοὺς ὀνοκενταύρους, τὰ ὁποῖα εἶναι τὰ ποικίλα πάθη τῆς ἀτιμίας. Ὅταν δὲ ἐπαναφέρῃ τὸν ἑαυτόν της στὸ κατὰ φύσιν, (διότι μπορεῖ ὁσάκις θελήσῃ, ἐν ὅσῳ εἶναι συνδεδεμένη μὲ τὸ σῶμα), καὶ ἐξημερώσῃ τὸν ἑαυτό της μὲ ἐπιμελῆ φιλοπονία καὶ πολιτευθῇ σύμφωνα μὲ τὸν νόμο τοῦ Θεοῦ, τὰ μὲν θηρία τὰ ὁποῖα πρὸ ὀλίγου κρύβονταν μέσα της, θὰ δραπετεύσουν· οἱ δὲ φύλακες τῆς ζω-

ἧς ἡμῶν φύλακες Ἄγγελοι παραγίνονται, ἡμέραν εὐφροσύνης ποιούμενοι τὴν αὐτῆς ἐπιστροφήν[10]*· καὶ ἡ τοῦ Παναγίου Πνεύματος χάρις ἐπιδημεῖ ἐν αὐτῇ διδάσκουσα γνῶσιν, ὅπως ἂν διαφυλαχθῇ ἐν τῷ ἀγαθῷ, καὶ ἐπὶ μείζονα προέλθῃ.*

η΄. Ὅπλον οἱ πατέρες πνευματικὸν τὴν προσευχήν ὁρίζονται, καὶ οὐκ ἔστιν ἄνευ τούτου εἰς πόλεμον ἐξιέναι, ἵνα μὴ δορυάλωτοι ἐν τῇ τῶν ἐχθρῶν ἀπαχθῶμεν χώρᾳ· προσευχὴν δὲ καθαρὰν οὐκ ἔστι κτήσεσθαι μὴ προσκαρτερήσαντα τῷ Θεῷ ἐν εὐθείᾳ καρδίᾳ· αὐτὸς γάρ ἐστιν ὁ διδοὺς εὐχὴν τῷ εὐχομένῳ[11]*, καὶ διδάσκων ἄνθρωπον γνῶσιν*[12]*.*

θ΄. Τὸ μὲν παρενοχλεῖν τά πάθη τὴν ψυχήν, καὶ προσβάλλειν εἰς μάχην, τῶν οὐκ ἐφ᾽ ἡμῖν ἐστι· τὸ δὲ χρονίζειν ἐν ἡμῖν τὰς αὐτῶν ἐννοίας, καὶ τὰ πάθη κινεῖν, τῶν ἐφ᾽ ἡμῖν ὑπάρχει· τὸ μὲν οὖν πρῶτον ἀναμάρτητόν ἐστι, καθὸ καὶ οὐκ ἐφ᾽ ἡμῖν· τὸ δὲ δεύτερον, εἰ μὲν ἀνδρείως ἀντιμαχησάμενοι νικήσομεν, στεφάνων· εἰ δὲ

ἧς μας, οἱ Ἄγγελοι παρευρίσκονται εὐφραινόμενοι κατὰ τὴν ἡμέρα τῆς ἐπιστροφῆς της. Καὶ ἡ Χάρις τοῦ Παναγίου Πνεύματος ἐπιδημεῖ σ᾽ αὐτήν, διδάσκοντας τὴν γνῶσι, μὲ ποιὸν τρόπο μπορεῖ νὰ διαφυλαχθῇ στὸ ἀγαθὸ καὶ νὰ προχωρήσῃ στὰ μεγαλύτερα.

8. Οἱ Πατέρες, ὡς ὅπλο πνευματικό, ὁρίζουν τὴν προσευχὴ καὶ δὲν εἶναι δυνατὸν χωρὶς αὐτὸ νὰ ἐξορμοῦμε στὸν πόλεμο, γιὰ νὰ μὴν συρθοῦμε αἰχμάλωτοι στὴν χώρα τῶν ἐχθρῶν. Προσευχὴ δὲ καθαρή, δὲν εἶναι δυνατὸν νὰ ἀποκτήσῃ [κανείς], ἐὰν δὲν ἀφοσιωθῇ στὸν Θεὸ μὲ εἰλικρινῆ καρδία· διότι Αὐτὸς εἶναι ἐκεῖνος ποὺ δίνει προσευχὴ στὸν προσευχόμενο καὶ διδάσκει στὸν ἄνθρωπο τὴν γνῶσι.

9. Τὸ νὰ παρενοχλοῦν μὲν τὰ πάθη τὴν ψυχὴ καὶ νὰ ἐπιτίθενται σὲ μάχη, δὲν εἶναι ἀπὸ ἐκεῖνα ποὺ ἐξαρτῶνται ἀπὸ ἐμᾶς. Τὸ νὰ χρονίζουν ὅμως μέσα μας οἱ δικοί τους λογισμοὶ καὶ νὰ ὑποκινοῦν τὰ πάθη, εἶναι ἀπὸ ἐκεῖνα ποὺ ἐξαρτῶνται ἀπὸ ἐμᾶς. Καὶ τὸ μὲν πρῶτο λοιπὸν εἶναι ἀναμάρτητο, καθόσον καὶ δὲν ἐξαρτᾶται ἀπὸ ἐμᾶς. Τὸ δὲ δεύτερο, ἐὰν βέβαια ἀντισταθοῦμε μὲ ἀνδρεία καὶ νικήσωμε, [εἶναι ἄξιο] στεφάνων· ἐὰν ὅμως

χαυνώσει καὶ δειλίᾳ ἡττηθῶμεν, τιμωριῶν πρόξενον.

ι΄. Τρία μέν εἰσι τὰ γενικώτατα πάθη, δι᾽ ὧν γεννῶνται πάντα˙ φιληδονία, φιλαργυρία, καὶ φιλοδοξία˙ οἷς ἐπακολουθοῦσιν ἕτερα πέντε πονηρίας πνεύματα˙ καὶ λοιπὸν ἐξ ἐκείνων πολὺς γεννᾶται ἑσμὸς παθῶν, καὶ εἴδη ποικιλομόρφου κακίας˙ ὁ οὖν τοὺς τρεῖς ἀρχηγοὺς καὶ ἡγεμόνας νικήσας, συγκαθεῖλε καὶ τοὺς πέντε, εἶτα καὶ πάντα ὑπέταξε τὰ πάθη.

ια΄. Ὅσαπερ ἐμπαθῶς διεπράξαμεν, τούτων καὶ αἱ μνῆμαι τὴν ψυχὴν ἐμπαθῶς τυραννοῦσιν˙ ὅταν δὲ τὰ ἐμπαθῆ ἐνθυμήματα πάντῃ τῆς καρδίας ἐξαλειφθῇ, ὡς μηδὲ προσβάλλειν αὐτῇ, τότε σημεῖον φαίνεται τῆς συγχωρήσεως τῶν προτέρων ἁμαρτημάτων˙ ἕως γὰρ ἐμπαθῶς ἡ ψυχὴ κινεῖται, καὶ ἡ τῆς ἁμαρτίας ἐπικράτεια ἐν αὐτῇ γνωρίζεται.

ιβ΄. Τὰ μὲν σωματικά, καὶ ἔνυλα πάθη, διὰ τῶν τοῦ σώματος κακοπαθειῶν ἐλαττοῦσθαι καὶ ἀπομαραίνε-

ἀπὸ χαύνωσι καὶ δειλία ἡττηθοῦμε, [εἶναι] πρόξενο τιμωριῶν.

10. Τρία βέβαια εἶναι τὰ πλέον γενικὰ πάθη, ἀπὸ τὰ ὁποῖα γεννῶνται ὅλα [τὰ ἄλλα πάθη]· ἡ φιληδονία, ἡ φιλαργυρία καὶ ἡ φιλοδοξία, στὰ ὁποῖα ἐπακολουθοῦν ἄλλα πέντε πνεύματα πονηρίας· καὶ ἔπειτα ἀπό ἐκεῖνα, γεννᾶται μεγάλο πλῆθος ἀπὸ πάθη καὶ εἴδη ποικιλόμορφης κακίας. Ἐκεῖνος ἑπομένως, ὁ ὁποῖος νίκησε τοὺς τρεῖς ἀρχηγοὺς καὶ ἡγεμόνες, φόνευσε μαζὶ καὶ τοὺς πέντε [ἄλλους] καὶ ἔπειτα ὑπέταξε ὅλα τὰ πάθη.

11. Σύμφωνα μὲ ὅλα ὅσα διαπράξαμε ἐμπαθῶς, καὶ οἱ μνῆμες αὐτῶν κυριεύουν τὴν ψυχὴ ἐμπαθῶς. Ὅταν ὅμως ἐξαλειφθοῦν ἐντελῶς τὰ ἐμπαθῆ νοήματα ἀπὸ τὴν καρδία, ὥστε οὔτε νὰ τὴν πλησιάζουν, τότε ἐμφανίζεται τὸ σημεῖο τῆς συγχωρήσεως τῶν προηγουμένων ἁμαρτημάτων [ποὺ παρέχει ὁ Θεός]. Διότι ἕως ὅτου ἡ ψυχὴ κινῆται ἐμπαθῶς, διακρίνεται μέσα της καὶ ἡ κυριαρχία τῆς ἁμαρτίας.

12. Τὰ μὲν σωματικὰ καὶ ὑλικὰ πάθη ἔχουν τὴν ἰδιότητα ἀπὸ τὴν φύσι τους νὰ ἐλαττώνωνται καὶ νὰ φθίνουν μέσῳ τῶν κακοπα-

σθαι πέφυκε˙ τὰ δὲ ψυχικά, καὶ ἀφανῆ, διὰ τῆς ταπεινοφροσύνης, καὶ πραότητος, καὶ ἀγάπης ἀφανίζονται.

ιγ΄. Ἐπιθυμίαν μὲν ἐμπαθῆ, μαραίνει ἐγκράτεια σὺν ταπεινοφροσύνῃ˙ θυμὸν δὲ φλεγμαίνοντα, πραΰνει ἀγάπη˙ λογισμὸν δὲ ῥεμβόμενον, συνάγει προσευχὴ ἐπιτεταμένη μετὰ μνήμης Θεοῦ˙ καὶ οὕτω τὸ τριμερὲς τῆς ψυχῆς καθαρίζεται˙ τοῦτο γὰρ διορθούμενος ὁ θεῖος Ἀπόστολος, ἔλεγεν˙ εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμόν, οὗ χωρίς, οὐδεὶς ὄψεται τὸν Κύριον[13].

ιδ΄. Τινὲς μὲν ἠπόρησαν εἰπόντες, πότερον, ἡ ἔννοια τὰ πάθη κινεῖ, ἢ τὰ πάθη τὴν ἔννοιαν˙ ὥς τινων μὲν τοῦτο λεγόντων, τινῶν δὲ ἐκεῖνο˙ ἐγὼ δὲ φημὶ ἐκ τῶν παθῶν τὰς ἐννοίας κινεῖσθαι. Εἰ γὰρ οὐκ ἦν ἐν τῇ ψυχῇ τὰ πάθη, οὐκ ἂν αἱ τούτων ἔννοιαι ὤχλησαν αὐτήν.

ιε΄. Ἔθος ἐστὶ τοῖς ἀεὶ πολεμοῦσιν ἡμᾶς δαίμοσιν, ὡς τὰ μὲν δυνατὰ καὶ ἐπιτήδεια ἡμῖν τῶν ἀρετῶν κω-

θειῶν τοῦ σώματος. Τὰ δὲ ψυχικὰ καὶ κρυφὰ [πάθη] ἀφανίζονται, διὰ τῆς ταπεινοφροσύνης καὶ τῆς πραότητος καὶ τῆς ἀγάπης.

13. Τὴν ἐμπαθῆ μὲν ἐπιθυμία ἀφανίζει ἡ ἐγκράτεια μαζὶ μὲ τὴν ταπεινοφροσύνη. Τὸν δὲ θυμό, ὅταν εἶναι σὲ ἔξαψι, καταπραΰνει ἡ ἀγάπη· ἐνῶ τὸν λογισμό, ποὺ περιπλανᾶται, συμμαζεύει ἡ ἔντονη προσευχή, μαζὶ μὲ τὴν μνήμη τοῦ Θεοῦ. Καὶ κατ᾽ αὐτὸν τὸν τρόπο τὸ τριμερὲς τῆς ψυχῆς καθαρίζεται. Αὐτὸ βέβαια ἐκφράζοντας σωστὰ ὁ θεῖος Ἀπόστολος [Παῦλος] ἔλεγε: «Νὰ ἐπιδιώκετε τὴν εἰρήνη μὲ ὅλους καὶ τὸν ἁγιασμό, χωρὶς τὸν ὁποῖο κανεὶς δὲν θὰ δῇ τὸν Κύριο».

14. Κάποιοι βέβαια βρέθηκαν σὲ ἀπορία, ὥστε νὰ ρωτήσουν: ποιὸ ἀπὸ τὰ δύο, ὁ λογισμὸς κινεῖ τὰ πάθη ἢ τὰ πάθη τὸν λογισμό· πράγματι κάποιοι μὲν λέγουν αὐτὸ καὶ ἄλλοι ἐκεῖνο. Ἐγὼ δὲ εἶμαι τῆς γνώμης, ὅτι ἕνεκα τῶν παθῶν κινοῦνται οἱ λογισμοί. Διότι ἐὰν δὲν ὑπῆρχαν μέσα στὴν ψυχὴ τὰ πάθη, δὲν θὰ τὴν ἐνοχλοῦσαν οἱ λογισμοὶ ἐκείνων [τῶν παθῶν].

15. Ὑπάρχει συνήθεια στοὺς δαίμονες, οἱ ὁποῖοι πάντοτε μᾶς πολεμοῦν, ὥστε ἀφ᾽ ἑνὸς μὲν νὰ

λύειν, τῶν δὲ ἀδυνάτων καὶ ἀκαίρων πόθον ἡμῖν ἰσχυρὸν ἐμβάλλειν· τοῖς μὲν ἐν ὑποταγῇ προκόπτουσι, τὰ τῶν ἡσυχαστῶν ἔργα πράττειν καταναγκάζουσι· ἡσυχασταῖς δὲ πάλιν καὶ ἀναχωρηταῖς, τοῦ κοινοβιακοῦ κανόνος ἐπιθυμίαν ἐμβάλλουσι· ταύτη δὲ τῇ μεθόδῳ καὶ ἐφ᾽ ἑκάστη ἀρετῇ χρῶνται. Ἀλλ᾽ ἡμεῖς τὰ νοήματα αὐτῶν μὴ ἀγνοήσωμεν, πάντα καλὰ εἰδότες καιρῷ αὐτῶν, καὶ μέτρῳ· ἔμπαλιν δὲ βλαβερὰ τά τε ἄμετρα, καὶ ἄκαιρα πάντα.

ις΄. Τοῖς μὲν τῷ κόσμῳ ἀναστρεφομένοις, καὶ πλησιάζουσι ταῖς ὕλαις τῶν παθῶν, διὰ τοῦ κατὰ τὴν πρᾶξιν πολέμου οἱ δαίμονες πολεμοῦσι, καὶ παλαίουσι· τοῖς δὲ ἐν ἐρήμοις, διὰ τὴν τῶν πραγμάτων σπάνιν, τοῖς λογισμοῖς ἐνοχλοῦσι· πάνυ δὲ χαλεπώτερος ὁ δεύτερος τοῦ προτέρου καθέστηκε πόλεμος· ὁ μὲν γὰρ διὰ τῶν πραγμάτων, χρόνου δεῖται, καὶ τόπου, καὶ ἐπιτηδειότητος· ὁ δὲ τοῦ νοὸς εὐκίνητός πως, καὶ δυσκάθεκτος· ταύτης δὲ τῆς

μᾶς ἐμποδίζουν ἀπ᾽ τὶς κατορθωτὲς καὶ κατάλληλες ἀρετές, ἀφ᾽ ἑτέρου δέ, νὰ θέσουν μέσα μας ἰσχυρὸ πόθο γιὰ τὶς ἀκατόρθωτες καὶ παράκαιρες. Ὅσον ἀφορᾶ ἐκείνους μὲν οἱ ὁποῖοι ἀγωνίζονται γιὰ τὴν προκοπή [τους] στὴν ὑπακοή, [τοὺς] ἐξωθοῦν νὰ πράττουν τὰ ἔργα τῶν ἡσυχαστῶν. Στοὺς δὲ ἡσυχαστὲς καὶ τοὺς ἀναχωρητὲς θέτουν ἀντίθετα τὴν ἐπιθυμία τοῦ κοινοβιακοῦ κανόνος. Αὐτὴν ἐξάλλου τὴν μέθοδο χρησιμοποιοῦν καὶ γιὰ κάθε ἀρετή. Ἀλλὰ ἐμεῖς νὰ μὴν ἀγνοήσωμε τὰ νοήματά τους, γνωρίζοντας [ὅτι εἶναι] ὅλα καλὰ στὸν καιρό τους καὶ μὲ μέτρο· τανάπαλιν δέ, [γνωρίζοντας ὅτι εἶναι] ὅλα βλαβερά, καὶ τὰ ὑπέρμετρα καὶ τὰ πρόωρα.

16. Οἱ δαίμονες πολεμοῦν μὲν καὶ παλεύουν ἐναντίον ἐκείνων ποὺ διαβιοῦν στὸν κόσμο καὶ πλησιάζουν τὶς ὑλικὲς ἀφορμὲς τῶν παθῶν, μέσῳ τοῦ πολέμου μὲ τὴν πρᾶξι. Ὅσον ἀφορᾶ δὲ [ἐκείνους ποὺ βρίσκονται] στὶς ἐρήμους, ἕνεκα τῆς σπανιότητος τῶν [ὑλικῶν] πραγμάτων, [τοὺς] πειράζουν μὲ τοὺς λογισμούς. Πολὺ δὲ δυσκολώτερος καθίσταται ὁ δεύτερος πόλεμος ἀπὸ τὸν προηγούμενο· διότι ὁ μὲν [πόλεμος] μέσῳ τῶν [ὑλικῶν] πραγμάτων, χρειάζεται χρόνο τόπο καὶ εὐνοϊκὲς συνθῆκες· ὁ δὲ [πόλεμος] τοῦ νοὸς [εἶναι] κάπως εὐέλικτος [ὡς πρὸς τὶς προϋποθέσεις του] καὶ δύσκολα ἀναχαιτίζεται. Ὑπέρμαχος σ᾽ αὐτὴν

ἀσωμάτου πάλης ἀντίπαλος ἡμῖν ἡ καθαρὰ προσευχὴ δέδοται, διὸ καὶ ἀδιαλείπτως αὕτη νενομοθέτηται[14]*· ἐρρωμένον οὖν τὸν νοῦν πρὸς τὸν ἀγῶνα παρασκευάζει, ὡς δυναμένη καὶ δίχα τοῦ σώματος ἐπιτελεῖσθαι.*

ιζ΄. Τὴν τελείαν τῶν παθῶν νέκρωσιν ὁ θεῖος δηλῶν Ἀπόστολος, οἱ δὲ τοῦ Χριστοῦ, φησί, τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις[15]*. Ὅταν γὰρ τὰ πάθη νεκρῶσωμεν, καὶ τὰς ἐπιθυμίας ἐξαφανίσωμεν, καὶ τὸ τῆς σαρκὸς φρόνημα ὑποτάξωμεν τῷ Πνεύματι, τότε λαμβάνομεν τὸν σταυρόν, καὶ ἀκολουθοῦμεν τῷ Χριστῷ*[16]*· οὐδὲν γὰρ ἄλλο ἡ ἀναχώρησις πέφυκε, ἀλλ᾽ ἢ νέκρωσις τῶν παθῶν, καὶ φανέρωσις τῆς ἐν Χριστῷ κρυπτομένης ζωῆς*[17]*.*

ιη΄. Οἱ ἀπὸ τῆς ἐπαναστάσεως τοῦ σώματος τοῦ θανάτου τούτου ταλαιπωρούμενοι, καὶ πρὸς τὸν καθ᾽ ὥραν αὐτοῦ πόλεμον ἀπαγορεύοντες, μὴ τὴν σάρκα, ἀλλ᾽ ἑαυτοὺς καταμεμφέ-

τὴν ἀσώματη πάλη μᾶς ἔχει δοθῆ ἡ καθαρὴ προσευχή, γι᾽ αὐτὸ καὶ ἔχει νομοθετηθῆ [νὰ γίνεται] ἀδιαλείπτως. Πράγματι, καθιστᾶ τὸν νοῦ ἰσχυρὸ πρὸς τὸν ἀγῶνα, καθὼς δύναται νὰ ἐπιτελῆται καὶ χωρὶς τὸ σῶμα.

17. Γιὰ νὰ φανερώση τὴν τελεία νέκρωσι τῶν παθῶν ὁ Ἅγιος Ἀπόστολος [Παῦλος], λέγει: «Οἱ δὲ [μαθητὲς] τοῦ Χριστοῦ ἐσταύρωσαν τὴν σάρκα [τὸν σαρκικὸ ἄνθρωπο] μαζὶ μὲ τὰ πάθη καὶ τὶς ἐπιθυμίες». Διότι ὅταν νεκρώσωμε τὰ πάθη καὶ ἐξαφανίσωμε τὶς ἐπιθυμίες καὶ ὑποτάξωμε στὸ [Πανάγιο] Πνεῦμα τὸ φρόνημα τῆς σαρκός, τότε λαμβάνομε τὸν σταυρὸ καὶ ἀκολουθοῦμε τὸν Χριστό. Διότι ἡ ἀναχώρησι [ἀπὸ τὸν κόσμο] δὲν εἶναι τίποτα ἄλλο, παρὰ μόνο νέκρωσι τῶν παθῶν καὶ φανέρωσι τῆς ζωῆς, ποὺ εἶναι κρυμμένη στὸν Χριστό.

18. Ἐκεῖνοι οἱ ὁποῖοι ταλαιπωροῦνται ἕνεκα τῆς ἐπαναστάσεως τοῦ σώματος, «τοῦ θανάτου τούτου», [τοῦ θνητοῦ σώματος], καὶ ἀποκάνουν μὲ τὸν κατὰ πᾶσα στιγμὴ πόλεμό του, ἂς μὴν κατηγοροῦν τὴν σάρκα, ἀλλὰ τοὺς ἑαυ-

σθωσαν· εἰ γὰρ μὴ αὐτοὶ δεδώκασιν αὐτῇ τὴν ἰσχύν, πρόνοιαν αὐτῆς εἰς ἐπιθυμίαν ποιούμενοι[18], *οὐκ ἂν τοσοῦτον ὑπ᾽ αὐτῆς τεταλαιπωρήκεσαν· ἢ οὐχ ὁρῶσι τοὺς σταυρώσαντας ἑαυτοὺς σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις*[19], *καὶ τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῇ θνητῇ αὐτῶν σαρκὶ περιφέροντας*[20], *ὅπως αὐτὴν συνεργὸν μᾶλλον πρὸς τὰ καλά, καὶ οὐκ ἀντίπαλον κέκτηνται, ἀλλ᾽ εἴκουσαν, καὶ ἀγομένην τῷ τοῦ Θεοῦ νόμῳ· καὶ αὐτοὶ τοίνυν οὕτω ποιείτωσαν, καὶ τῆς ὁμοίας ἀπολαύσουσιν ἀναπαύσεως.*

ιθ΄. Πᾶσα συγκατάθεσις λογισμοῦ πρός τινα ἀπηγορευμένην ἐπιθυμίαν, ἤγουν νεῦσις ἐνήδονος, ἁμαρτία ἐστὶ Μοναχῷ· πρότερον μὲν γὰρ ὁ λογισμὸς ἄρχεται διὰ τοῦ παθητικοῦ μέρους τὸν νοῦν σκοτίζειν, εἶτα νεύει ἡ ψυχὴ πρὸς τὴν ἡδονήν, μὴ ἀντέχουσα τῆς πάλης. Καὶ λοιπὸν συγκατάθεσις λέγεται, ἥτις, ὡς εἴρηται, ἁμαρτία ἐστί. Χρονίζουσα δέ, κινεῖ τὸ λεγόμενον πάθος·

τούς τους. Διότι, ἐὰν δὲν εἶχαν δώσει οἱ ἴδιοι τὴν δύναμι σ᾽ αὐτὴν [τὴν σάρκα], φροντίζοντάς την ἐν σχέσει πρὸς τὴν ἐπιθυμία, δὲν θὰ εἶχαν ταλαιπωρηθῆ τόσο πολὺ ἀπ᾽ αὐτήν. Ἢ δὲν βλέπουν ἐκείνους, οἱ ὁποῖοι σταύρωσαν τοὺς ἑαυτούς τους μαζὶ μὲ τὰ πάθη καὶ τὶς ἐπιθυμίες καὶ φέρουν τὴν νέκρωσι τοῦ Ἰησοῦ στὴν θνητή τους σάρκα, πῶς τὴν ἔχουν περισσότερο συνεργάτη [τους] γιὰ τὰ καλὰ καὶ ὄχι ἀντίπαλο, ἀλλὰ νὰ συγκαταβαίνῃ καὶ νὰ ὁδηγῆται ἀπὸ τὸν νόμο τοῦ Θεοῦ; Ἂς κάνουν καὶ αὐτοὶ λοιπὸν κατὰ τὸν ἴδιο τρόπο καὶ θὰ ἀπολαύσουν τὴν ἴδια ἀνάπαυσι.

19. Κάθε συγκατάθεσι τοῦ λογισμοῦ πρὸς κάποια ἀπαγορευμένη ἐπιθυμία, δηλαδὴ συγκατάνευσι γεμάτη ἡδονή, εἶναι ἁμαρτία γιὰ τὸν Μοναχό. Διότι ἀπὸ πρὶν μὲν ὁ λογισμὸς ἀρχίζει διὰ τοῦ παθητικοῦ μέρους νὰ σκοτίζῃ τὸν νοῦ, ἔπειτα [δὲ] συγκατανεύει ἡ ψυχὴ στὴν ἡδονή, διότι δὲν δύναται νὰ ἀντιστέκεται στὴν πάλη. Καὶ [αὐτὸ] λοιπὸν ὀνομάζεται συγκατάθεσι, ἡ ὁποία, ὅπως ἔχει λεχθῆ, εἶναι ἁμαρτία. Ὅταν δὲ χρονίζῃ, ὑποκινεῖ ἐκεῖνο τὸ ὁποῖο ὀνομάζεται πάθος.

ἔπειτα κατὰ μικρὸν ἔρχεται καὶ εἰς τὴν κατ᾽ ἐνέργειαν πρᾶξιν τῆς ἁμαρτίας· διὰ τοῦτο μακαρίζει ὁ προφήτης τοὺς τὰ Βαβυλώνεια νήπια προσαῤῥάσσοντας τῇ πέτρᾳ[21]· δήλη δέ ἐστιν ἡ ὑπόθεσις τοῖς συνετοῖς καὶ ἐχέφροσιν.

κʹ. Ἀγάπης μὲν καὶ εἰρήνης οἱ Ἄγγελοι θεράποντες ὄντες, χαίρουσιν ἐπὶ τῇ ἡμετέρᾳ μετανοίᾳ[22], καὶ προκοπῇ τῇ πρὸς ἀρετήν· ἐντεῦθεν σπουδάζουσι πνευματικῶν ἡμᾶς ἐμπιπλᾶν θεωριῶν, καὶ συνεργοῦσι πρὸς πᾶν ἀγαθόν. Ἔμπαλιν δὲ οἱ δαίμονες ὀργῆς καὶ κακίας ὄντες δημιουργοί, χαίρουσι μειουμένης τῆς ἀρετῆς, καὶ ἔργον τίθενται εἰς αἰσχρὰς φαντασίας τὰς ψυχὰς ἡμῶν ἐκκλίνειν.

καʹ. Πίστις ἐστὶν εὐδιάθετον ἀγαθόν· αὕτη γεννᾷ ἐν ἡμῖν τὸν φόβον τοῦ Θεοῦ· ὁ δὲ φόβος τοῦ Θεοῦ διδάσκει τὴν τῶν ἐντολῶν τήρησιν, ἥτις λέγεται πρακτική· ἐκ δὲ τῆς πρακτικῆς, βλαστάνει ἡ τιμία ἀπάθεια. Ἀπαθείας δὲ ἔκγονον, ἀγάπη, πλήρωμα οὖσα πασῶν τῶν ἐντο-

Ἔπειτα λίγο –λίγο φθάνει καὶ στὴν ἐνεργὸ πρᾶξι τῆς ἁμαρτίας. Γι᾽ αὐτὸ μακαρίζει ὁ Προφήτης ἐκείνους ποὺ χτυποῦν πάνω στὴν πέτρα τὰ νήπια τῶν Βαβυλωνίων. Εἶναι βέβαια ἡ ὑπόθεσι φανερὴ γιὰ τοὺς συνετοὺς καὶ τοὺς σώφρονες.

20. Ἐπειδὴ βέβαια οἱ Ἄγγελοι εἶναι ὑπηρέτες τῆς ἀγάπης καὶ τῆς εἰρήνης, χαίρονται ἀπὸ τὴν δική μας μετάνοια καὶ τὴν πρόοδο στὴν ἀρετή. Ἕνεκα τούτου, φροντίζουν νὰ μᾶς γεμίζουν μὲ πνευματικὲς θεωρίες καὶ συνεργοῦν γιὰ κάθε ἀγαθό. Ἀντίθετα δὲ οἱ δαίμονες, ἐπειδὴ εἶναι δημιουργοὶ τῆς ὀργῆς καὶ τῆς κακίας, χαίρονται ὅταν μειώνεται ἡ ἀρετὴ καὶ ἐνεργοῦν, ὥστε οἱ ψυχές μας νὰ ἐκτρέπωνται σὲ αἰσχρὲς φαντασίες.

21. Πίστι εἶναι ἀγαθό, τὸ ὁποῖο ἐνεργεῖ εὐεργετικὰ στὴν κατάστασι τῆς ψυχῆς. Αὐτὴ γεννᾶ μέσα μας τὸν φόβο τοῦ Θεοῦ· ὁ δὲ φόβος τοῦ Θεοῦ διδάσκει τὴν τήρησι τῶν ἐντολῶν, ἡ ὁποία λέγεται πρακτικὴ [ἀρετή]. Ἀπὸ δὲ τὴν πρακτικὴ [ἀρετὴ] βλαστάνει ἡ τιμία ἀπάθεια. Τέκνο δὲ τῆς ἀπαθείας [εἶναι] ἡ ἀγάπη, ἡ ὁποία εἶναι ἡ πλήρωσι ὅλων τῶν ἐντο-

λῶν[23], καὶ πάσας συσφίγγουσα καὶ διακρατοῦσα.

κβ΄. Ὥς περ ἡ τοῦ σώματος αἴσθησις ὑγιαίνουσα, αἰσθάνεται τίς ἡ κατέχουσα αὐτὸ ἀῤῥωστία, ὁ δὲ μὴ νοῶν, ἀναισθησίαν νοσεῖ˙ οὕτω δὴ καὶ ὁ νοῦς, ἐφ᾿ ὅσον τὴν οἰκείαν ἐνέργειαν σῳζομένην κέκτηται, ἐπιγινώσκει τὰς ἑαυτοῦ δυνάμεις, καὶ οἶδε πόθεν αὐτῷ τὰ πάθη τυραννικώτερον ἐπεισέρχονται, καὶ πρὸς ἐκεῖνο τὸ μέρος τὴν ἰσχυρὰν συνίστησι μάχην˙ χαλεπὸν δέ, εἰ ἀναισθητῶν ἀναλίσκει τὰς ἡμέρας, τῷ νυκτομαχοῦντι ἐοικώς, καὶ μὴ θεωρῶν τοὺς λογισμοὺς τῶν πολέμων.

κγ΄. Ὅτε τὸ λογιστικὸν ἡμῶν ἀνενδότως ἐπιβάλλει τῇ θεωρίᾳ τῶν ἀρετῶν, καὶ τὸ ἐπιθυμητικὸν πρὸς ταύτην μόνην τέταται καὶ τὸν αὐτῆς δοτῆρα Χριστόν, τὸ δὲ θυμικὸν κατὰ τῶν δαιμόνων ὁπλίζεται, τότε κατὰ φύσιν αἱ δυνάμεις ἡμῶν ἐνεργοῦσιν.

κδ΄. Τριμερής ἐστι πᾶσα λογικὴ ψυχὴ κατὰ τὸν Θεολόγον Γρηγόριον˙ τὴν μὲν οὖν ἐν τῷ λογιστικῷ συνι-

λῶν καὶ ἡ ὁποία τὶς συνδέει ὅλες σφιγκτὰ μεταξύ τους καὶ τὶς διατηρεῖ.

22. Ὅπως ἀκριβῶς ἡ αἴσθησι τοῦ σώματος, ὅταν εἶναι ὑγιής, αἰσθάνεται ποιὰ [εἶναι] ἡ ἀσθένεια ἡ ὁποία τὸ καταλαμβάνει, καὶ ἐκεῖνος ὁ ὁποῖος δὲν ἀντιλαμβάνεται, πάσχει ἀπὸ ἀναισθησία· κατὰ τὸν ἴδιο τρόπο λοιπὸν καὶ ὁ νοῦς, ἐφ᾿ ὅσον κρατᾶ ἀκεραία τὴν ἐνέργειά του, παρατηρεῖ τὶς δυνάμεις του καὶ γνωρίζει ἀπὸ ποῦ εἰσέρχονται πιὸ δυναστικὰ μέσα σ᾿ αὐτὸν τὰ πάθη, καὶ πρὸς ἐκεῖνο τὸ μέρος συνάπτει τὴν σφοδρὴ μάχη. Εἶναι δὲ φοβερό, ἐὰν καταδαπανᾷ τὶς ἡμέρες [του] μὲ ἀναισθησία καὶ δὲν παρατηρῇ τοὺς λογισμοὺς τῶν πολέμων [μὲ τοὺς δαίμονες], μοιάζοντας μ᾿ ἐκεῖνον ποὺ πολεμᾶ μέσα στὴ νύκτα.

23. Ὅταν τὸ λογιστικὸ [τῆς ψυχῆς] μας ἐπιμόνως ἀφιερώνεται στὴν θεωρία τῶν ἀρετῶν, καὶ τὸ ἐπιθυμητικὸ ἔχῃ στραφῆ ἀποκλειστικὰ πρὸς αὐτὴν καὶ στὸν Χριστό, ὁ ὁποῖος τὴν δωρίζει, τὸ δὲ θυμικὸ ὁπλίζεται ἐναντίον τῶν δαιμόνων, τότε οἱ δυνάμεις [τῆς ψυχῆς] μας ἐνεργοῦν κατὰ φύσιν.

24. Σύμφωνα μὲ τὸν [Ἅγιο] Γρηγόριο τὸν Θεολόγο κάθε λογικὴ ψυχὴ εἶναι τριμερής. Τὴν μὲν λοιπὸν περιεκτικὴ ἀρετὴ στὸ λογι-

σταμένην ἀρετήν, φρόνησιν ἐκάλεσε, καὶ σύνεσιν, καὶ σοφίαν˙ τὴν δὲ ἐν τῷ θυμικῷ, ἀνδρείαν, καὶ ὑπομονήν˙ τὴν δὲ ἐν τῷ ἐπιθυμητικῷ, ἀγάπην, καὶ σωφροσύνην, καὶ ἐγκράτειαν˙ ἡ δὲ δικαιοσύνη ἐν πᾶσι τούτοις ἐγκατέσπαρται, ἁρμοδίως ἐνεργεῖν παρασκευάζουσα˙ καὶ διὰ μὲν τῆς φρονήσεως, ταῖς ἀντικειμέναις πολεμοῦσα δυνάμεσι, καὶ ὑπερμαχοῦσα τῶν ἀρετῶν˙ διὰ δὲ τῆς σωφροσύνης, ἀπαθῶς βλέπουσα τὰ πράγματα˙ διὰ δὲ τῆς ἀγάπης πάντας ἀνθρώπους ὡς ἑαυτὸν φιλεῖν πείθουσα˙ διὰ δὲ τῆς ἐγκρατείας, πᾶσαν ἡδονὴν περικόπτουσα˙ διὰ δὲ τῆς ἀνδρείας καὶ ὑπομονῆς, πρὸς τοὺς ἀοράτους ὁπλίζεται πολέμους˙ αὕτη ἡ ἁρμονία τοῦ εὐήχου τῆς ψυχῆς ὀργάνου.

κε΄. Ὁ σωφροσύνης ἐπιμελούμενος, καὶ τὴν μακαρίαν ποθῶν ἁγνείαν, ἣν οὐκ ἄν τις ἁμάρτῃ καλέσας ἀπάθειαν, ὑπωπιαζέτω καὶ δουλαγωγείτω τὴν σάρκα[24], σὺν ταπεινόφρονι λογισμῷ, τὴν θείαν ἐπικαλούμενος χάριν, καὶ

στικὸ [μέρος τῆς ψυχῆς, τὴν] ὀνόμασε φρόνησι καὶ σύνεσι καὶ σοφία· τὴν δὲ [περιεκτικὴ ἀρετὴ] στὸ θυμικό, ἀνδρεία καὶ ὑπομονή· ἐνῶ στὸ ἐπιθυμητικό, ἀγάπη καὶ σωφροσύνη καὶ ἐγκράτεια. Ἡ δὲ δικαιοσύνη, [ὡς γενικὴ ἀρετὴ] ἔχει ἐγκατασπαρῇ σὲ ὅλες αὐτές, προετοιμάζοντάς [τες] νὰ ἐνεργοῦν καταλλήλως· καὶ διὰ μέσου μὲν τῆς φρονήσεως νὰ πολεμᾷ τὶς ἀντίπαλες δυνάμεις καὶ νὰ ὑπερασπίζεται τὶς ἀρετές· διὰ δὲ τῆς σωφροσύνης νὰ βλέπῃ τὰ πράγματα ἀπαθῶς· διὰ δὲ τῆς ἀγάπης νὰ πείθῃ [τὴν ψυχὴ] νὰ ἀγαπᾷ ὅλους τοὺς ἀνθρώπους ὅπως τὸν ἑαυτό της. Διὰ τῆς ἐγκρατείας, ἐξάλλου, νὰ περικόπτῃ κάθε ἡδονή· ἐνῶ διὰ τῆς ἀνδρείας καὶ τῆς ὑπομονῆς ἐξοπλίζεται γιὰ τοὺς ἀόρατους πολέμους. Αὐτὴ εἶναι ἡ ἁρμονία τοῦ μελωδικοῦ ὀργάνου τῆς ψυχῆς.

25. Ἐκεῖνος ὁ ὁποῖος ἀσκεῖ τὴν σωφροσύνη καὶ ποθεῖ τὴν μακαρία ἁγνεία, τὴν ὁποία δὲν θὰ κάνῃ κανεὶς λάθος ἐὰν τὴν ἀποκαλέσῃ ἀπάθεια, ἂς σκληραγωγῇ καὶ ἂς ὑποτάσσῃ τὴν σάρκα μὲ ταπεινόφρονα λογισμό, ἐπικαλούμενος τὴν θεία Χάρι, καὶ θὰ

τεύξεται τοῦ ποθουμένου· ὁ δὲ ἐκτρέφων τὸ σῶμα ἐν ἀκρασίαις βρωμάτων, πνεύματι πορνείας ὀδυνηθήσεται· ὃν τρόπον γὰρ ὕδωρ πολὺ σβέννυσι φλόγα, οὕτω πύρωσιν σαρκός, καὶ φαντασίας αἰσχρὰς ἀφανίζει πεῖνα, ἢ ἐγκράτεια σὺν ταπεινώσει ψυχῆς.

κϛ΄. Τὸ τῆς μνησικακίας πάθος πάντῃ σου τῆς ψυχῆς ἀπέστω, φιλόχριστε· μηδόλως δώσῃς τόπον τῇ ἔχθρᾳ· ὡς πῦρ γὰρ κεκρυμμένον ἐν λινοκαλάμῳ, οὕτω μνησικακία ἐμφωλεύουσα ἐν καρδίᾳ. Μᾶλλον δὲ προσεύχου ὑπὲρ τοῦ λελυπηκότος σε θερμῶς, καὶ εὐεργέτει αὐτόν, εἴ τι ἂν ἡ χείρ σου εὐπορῇ[25]*, ὅπως ῥύσῃ ψυχήν σου ἐκ θανάτου*[26]*, καὶ μὴ ἀπαῤῥησίαστος ἔσῃ ἐν καιρῷ προσευχῆς σου.*

κζ΄. Ἐν ψυχαῖς ταπεινῶν, ἀναπαύσεται Κύριος· ἐν καρδίᾳ δὲ ὑπερηφάνων, τὰ πάθη τῆς ἀτιμίας· οὐδὲν γὰρ οὕτως ἐνισχύει ταῦτα καθ᾽ ἡμῶν, ὡς μεγαλόφρονες λογισμοί· καὶ οὐδὲν οὕτως ἐκριζοῖ τὰς πονηρὰς βοτάνας τῆς ψυχῆς, ὡς ἡ μακαρία τα-

ἐπιτύχῃ τὸ ποθούμενο. Ἐκεῖνος ὅμως, ὁ ὁποῖος ἐκτρέφει τὸ σῶμα [του] μὲ ὑπερβολικὰ φαγητά, θὰ ὑποφέρῃ ἀπὸ τὸ πνεῦμα τῆς πορνείας· διότι μὲ τὸν τρόπο ἐκεῖνο μὲ τὸν ὁποῖο τὸ πολὺ νερὸ σβήνει τὴν φωτιά, κατὰ τὸν ἴδιο τρόπο ἡ πεῖνα ἢ ἡ ἐγκράτεια μαζὶ μὲ τὴν ταπείνωσι τῆς ψυχῆς ἀφανίζει τὴν πύρωσι τῆς σαρκὸς καὶ τὶς αἰσχρὲς φαντασίες.

26. Ἂς ἀπουσιάζῃ ἐντελῶς ἀπὸ τὴν ψυχή σου, φιλόχριστε, τὸ πάθος τῆς μνησικακίας. Ἂς μὴν δώσῃς τόπο καθόλου στὴν ἔχθρα, διότι ὅπως ἡ φωτιὰ ὅταν ἔχῃ φυλαχθῆ μέσα στὰ ἄχυρα τοῦ λιναριοῦ, ἔτσι ἡ μνησικακία ὅταν ἐμφωλεύῃ μέσα στὴν καρδία. Μᾶλλον δὲ προσευχήσου θερμῶς γιὰ ἐκεῖνον ποὺ σ᾽ ἔχει λυπήσει καὶ ἂς τὸν εὐεργετήσῃς, ἐὰν ἴσως κάτι περνᾷ ἀπὸ τὸ χέρι σου, γιὰ νὰ σώσῃ [ἡ ἐλεημοσύνη] τὴν ψυχή σου ἀπὸ τὸν θάνατο καὶ νὰ μὴν εἶσαι χωρὶς παρρησία κατὰ τὴν ὥρα τῆς προσευχῆς σου.

27. Ὁ Κύριος θὰ ἀναπαυθῆ στὶς ψυχὲς τῶν ταπεινῶν· ἐνῶ στὴν καρδία τῶν ὑπερηφάνων [ἀναπαύονται] τὰ πάθη τῆς ἀτιμίας· διότι τίποτα δὲν ἐνισχύει τόσο αὐτὰ ἐναντίον μας, ὅπως οἱ λογισμοὶ ὑπερηφανίας· καὶ τίποτα δὲν εἶναι δυνατὸν νὰ ἐκριζώσῃ τὰ πονηρὰ βλαστήματα τῆς ψυχῆς, ὅπως ἡ μακαρία τα-

πείνωσις˙ διὸ καὶ παθοκτόνος εἰκότως κέκληται.

κη΄. Ἐνθυμήσεων πονηρῶν ἡ ψυχή σου καθαρευέτω καὶ ἀρίσταις ἐννοίαις φωταγωγείσθω, ἔχων ἐπὶ νοῦν ἀεὶ τὸ εἰρημένον, ὅτι φιλήδονος καρδίᾳ εἱρκτὴ καὶ ἅλυσις ἐν καιρῷ ἐξόδου. Ἡ δὲ φιλόπονος, θύρα ἠνεῳγμένη. Τῷ ὄντι γὰρ ψυχὰς καθαρὰς ἐξερχομένας τοῦ σώματος, Ἄγγελοι ὁδηγοῦσι, πρὸς τὴν μακαρίαν χειραγωγοῦντες ζωήν˙ τὰς δὲ ῥερυπωμένας, καὶ ἀμετανοήτους, δαίμονες, οἴμοι, παραλήψονται.

κθ΄. Ὡραία μὲν κεφαλὴ κεκοσμημένη διαδήματι πολυτίμῳ, λίθοις ἰνδικοῖς καὶ μαργάροις ἀποστίλβουσιν. Ὡραιοτέρα δὲ ἀσυγκρίτως ψυχὴ πλουτοῦσα γνῶσιν Θεοῦ, καὶ φανωτάταις θεωρίαις πεφωτισμένη, ἔνοικον ἔχουσα τὸ Πανάγιον Πνεῦμα˙ καὶ τίς διηγήσεται ἀξίως τὸ κάλλος ἐκείνης τῆς μακαρίας ψυχῆς;

λ΄. Θυμὸν καὶ ὀργὴν αὐλίζεσθαι μὴ ἐάσῃς ἐν σοί˙ ἀνὴρ γάρ, φησί, θυμώδης οὐκ εὐσχήμων[27]˙ ἐν καρδίᾳ δὲ πραέων ἀναπαύσεται σοφία[28]˙

πείνωσι· γι᾽ αὐτὸ καὶ ταιριαστὰ ἀποκαλεῖται παθοκτόνος.

28. Ἂς διατηρῆται καθαρὴ ἡ ψυχή σου ἀπὸ πονηρὲς ἐνθυμήσεις καὶ ἂς φωταγωγῆται ἀπὸ ἄριστα νοήματα, ἔχοντας στὸν νοῦ [σου] πάντοτε ἐκεῖνο τὸ ὁποῖο ἔχει λεχθῆ, ὅτι ἡ φιλήδονη καρδία [εἶναι] δεσμωτήριο καὶ ἁλυσίδα κατὰ τὴν ὥρα τῆς ἐξόδου. Ἡ δὲ φιλόπονη [εἶναι] ἀνεωγμένη θύρα. Διότι πράγματι, Ἄγγελοι ὁδηγοῦν τὶς καθαρὲς ψυχές, ὅταν ἐξέρχωνται ἀπὸ τὸ σῶμα, γιὰ νὰ [τὶς] χειραγωγήσουν πρὸς τὴν μακαρία ζωή· τὶς δὲ ἀκάθαρτες καὶ ἀμετανόητες, ἀλλοίμονο, δαίμονες θὰ [τὶς] παραλάβουν.

29. [Εἶναι] μὲν ὡραῖο τὸ κεφάλι τὸ ὁποῖο ἔχει στολισθῆ μὲ στέμμα πολύτιμο, μὲ ἰνδικοὺς πολυτίμους λίθους καὶ λαμπερὰ μαργαριτάρια. Ἀσυγκρίτως ὅμως ὡραιότερη [εἶναι] ἡ ψυχὴ ἐκείνη, ἡ ὁποία εἶναι πλούσια ἀπὸ τὴν γνῶσι τοῦ Θεοῦ καὶ ἔχει φωτισθῆ μὲ ὁλόφωτες θεωρίες, καθὼς ἔχει ἔνοικο τὸ Πανάγιο Πνεῦμα· καὶ ποιὸς θὰ περιγράψῃ ἐπάξια τὸ κάλλος τῆς μακαρίας ἐκείνης ψυχῆς;

30. Μὴν ἐπιτρέψῃς νὰ διαμείνῃ μέσα σου ὁ θυμὸς καὶ ἡ ὀργή. Διότι, λέγει [ἡ Ἁγία Γραφή], ὅτι ὁ ἄνθρωπος [ποὺ εἶναι] θυμώδης δὲν [εἶναι] κόσμιος· καὶ στὴν καρδία τῶν πραέων θὰ ἀναπαυθῇ ἡ σοφία·

εἰ δὲ τὸ τῆς ὀργῆς πάθος κυριεύσει [recte: κυριεύσῃ] τῆς ψυχῆς σου, κρείσσους σου εὑρεθήσονται οἱ ἐν κόσμῳ ἀναστρεφόμενοι, καὶ αἰσχυνθήσῃ, ἀδόκιμος μονάδος γενόμενος.

λα΄. Ἐν παντὶ πειρασμῷ, καὶ παντὶ πολέμῳ, τὴν προσευχὴν κέκτησο ἀήττητον ὅπλον, καὶ νικήσεις τῇ τοῦ Χριστοῦ χάριτι. Καθαρὰ δὲ αὕτη ἔστω, καθὼς ὁ σοφὸς ἡμῖν Διδάσκαλος ὑποτίθησι· βούλομαι γάρ, φησί, προσεύχεσθαι τοὺς ἄνδρας ἐν παντὶ τόπῳ ἐπαίροντας ὁσίους χεῖρας, χωρὶς ὀργῆς, καὶ διαλογισμῶν[29]*· ὁ μέντοι τοιαύτης ἀμελῶν εὐχῆς, ἔκδοτος ἔσται πειρασμοῖς καὶ πάθεσιν.*

λβ΄. Οἶνος μὲν εὐφραίνειν καρδίαν ἀνθρώπου γέγραπται[30]*· σὺ δὲ ὁ πενθεῖν καὶ κλαίειν ἐπαγγειλάμενος, τὴν τοιαύτην ἔκκλινον εὐφροσύνην, καὶ εὐφρανθήσῃ χαρίσμασι πνευματικοῖς· εὐφραινόμενος δὲ οἴνῳ αἰσχροῖς συμβιωτεύσεις λογισμοῖς, καὶ πολλαῖς περιπατήσῃ λύπαις.*

λγ΄. Τὰς ἑορτὰς μὴ οἰνοποσί-

ἐὰν ὅμως κυριεύσῃ τὴν ψυχή σου τὸ πάθος τῆς ὀργῆς, θὰ βρεθοῦν καλλίτεροί σου ἐκεῖνοι ποὺ διαβιοῦν στὸν κόσμο καὶ θὰ ντροπιασθῇς, διότι ἔγινες ἀνάξιος τοῦ μονήρους [βίου].

31. Σὲ κάθε πειρασμὸ καὶ σὲ κάθε πόλεμο ἂς κατέχῃς τὴν προσευχὴ ὡς ἀκαταμάχητο ὅπλο, καὶ θὰ νικήσῃς μὲ τὴν Χάρι τοῦ Χριστοῦ. Ἂς εἶναι δὲ αὐτὴ καθαρή, ὅπως μᾶς παραγγέλλει ὁ σοφὸς Διδάσκαλος [ὁ Ἀπόστολος Παῦλος]. Διότι λέγει: «Θέλω οἱ ἄνδρες νὰ προσεύχωνται σὲ κάθε τόπο, ὑψώνοντας [πρὸς τὸν Θεὸ] ὅσια χέρια χωρὶς ὀργὴ καὶ διαλογισμούς». Ἐκεῖνος λοιπόν, ὁ ὁποῖος ἀμελεῖ αὐτὴ τὴν προσευχή, θὰ παραδοθῇ σὲ πειρασμοὺς καὶ πάθη.

32. Ἔχει μὲν γραφῆ ὅτι τὸ κρασὶ εὐφραίνει τὴν καρδία τοῦ ἀνθρώπου. Ἐσὺ ὅμως, ὁ ὁποῖος ὑποσχέθηκες νὰ πενθῇς καὶ νὰ κλαίῃς, ἀπέφυγε αὐτοῦ τοῦ εἴδους τὴν εὐφροσύνη καὶ θὰ εὐφρανθῇς ἀπὸ τὰ πνευματικὰ χαρίσματα. Ἐὰν ὅμως εὐφραίνεσαι μὲ κρασί, θὰ συμβιώσῃς μαζὶ μὲ τοὺς αἰσχροὺς λογισμοὺς καὶ θὰ βαδίσῃς [τὴν ζωή σου] μὲ πολλὲς λύπες.

33. Ἂς μὴν σκέπτεσαι νὰ πραγμα-

αις ἐκτελεῖν ἐννοοῦ, ἀλλ' ἀνακαινίσει νοός, καὶ ψυχῆς καθαρότητι. Γαστριζόμενος δέ, καὶ οἰνοποτῶν, παροργήσεις μᾶλλον τὸν προεξάρχοντα τῆς πανηγύρεως.

λδ'. Ἀγρυπνεῖν ἐν ψαλμῳδίαις, καὶ προσευχαῖς, καὶ ἀναγνώσεσι, πάντοτε μέν, ἐν ἑορταῖς δὲ μάλιστα προστετάγμεθα. Ἄγρυπνος γὰρ Μοναχός, λεπτύνει διάνοιαν αὐτοῦ πρὸς θεωρίας ψυχωφελεῖς˙ ὕπνος δὲ πολύς, νοῦν παχύνει. Ἀλλ' ὅρα μὴ δῷς σεαυτὸν ἐν ἀγρυπνίᾳ διηγήμασι κενοῖς, ἢ λογισμοῖς πονηροῖς. Κρεῖσσον γὰρ καθεύδειν, ἢ περὶ λόγους τε καὶ λογισμοὺς ἀγρυπνεῖν ματαίους.

λε'. Ὄφιν ὁ τρέφων ἐν κόλπῳ, καὶ λογισμὸν πονηρὸν ἐν καρδίᾳ, θανατωθήσεται. Ὁ μέν, τὸ σῶμα πληγεὶς κέντρῳ ἰοβόλῳ, ὁ δέ, τῇ ψυχῇ ἀποθέμενος ἰὸν θανατηφόρον. Ἀλλὰ γεννήματα ἐχιδνῶν ταχέως ἀποκτείνωμεν, καὶ λογισμοὺς πονηροὺς ἐν καρδίᾳ μὴ ὠδίνωμεν, ἵνα μὴ πικρῶς ὀδυνηθῶμεν.

τοποιῆς τὶς ἑορτὲς μὲ οἰνοποσίες, ἀλλὰ μὲ ἀνακαίνισι τοῦ νοὸς καὶ καθαρότητα τῆς ψυχῆς. Ἄλλωστε τρώγοντας καλὰ καὶ πίνοντας κρασί, μᾶλλον θὰ παροργίσῃς Ἐκεῖνον ποὺ προεξάρχει στὴν πανήγυρι.

34. Ἔχομε λάβει ἐντολὴ πάντοτε μὲν νὰ ἀγρυπνοῦμε μὲ ψαλμωδίες καὶ προσευχὲς καὶ ἀναγνώσεις, περισσότερο δὲ στὶς ἑορτές. Διότι ὁ ἄγρυπνος Μοναχός, λεπτύνει τὴν διάνοιά του γιὰ ψυχωφελεῖς θεωρίες· ἐνῶ ὁ πολὺς ὕπνος παχαίνει τὸν νοῦ. Ἀλλὰ πρόσεχε, νὰ μὴν παραδώσῃς, κατὰ τὴν ἀγρυπνία, τὸν ἑαυτό σου σὲ μάταιες διηγήσεις ἢ σὲ πονηροὺς λογισμούς. Διότι εἶναι καλλίτερο νὰ κοιμᾶσαι, παρὰ νὰ ἀγρυπνῇς γιὰ ματαίους λόγους καὶ λογισμούς.

35. Ἐκεῖνος, ὁ ὁποῖος ἐκτρέφει μέσα στὴν ἀγκαλιά [του] φίδι καὶ μέσα στὴν καρδία [του] πονηρὸ λογισμό, θὰ θανατωθῇ. Ὁ μὲν [ἕνας] γιατὶ πληγώθηκε ἀπὸ δηλητηριῶδες κεντρί, ὁ δὲ [ἄλλος] ἐπειδὴ ἐναπέθεσε στὴν ψυχή [του] θανατηφόρο δηλητήριο. Ἀλλὰ γρήγορα νὰ σκοτώνωμε τὰ γεννήματα τῶν ἐχιδνῶν, καὶ νὰ μὴν κυοφοροῦμε μέσα στὴν καρδία πονηροὺς λογισμούς, γιὰ νὰ μὴν πονέσωμε πικρά.

λς΄. Ψυχὴ καθαρά, σκεῦος ἐκλογῆς εἰκότως ἂν κληθείη, κῆπός τε κεκλεισμένος, καὶ πηγὴ ἐσφραγισμένη[31], καὶ θρόνος αἰσθήσεως[32]. Ἡ δὲ μολυσμοῖς ἀκαθάρτοις μολυνομένη, βορβόρου δυσωδίας πεπλήρωται.

λζ΄. Καλλωπισμῷ ἱματίων, καὶ πλησμονῇ γαστρός, καὶ ἐντεύξεσι βλαβεραῖς τοὺς πονηροὺς γεννᾶσθαι λογισμοὺς ἐν τῇ ψυχῇ, τῶν ἐμπείρων καὶ πρακτικῶν γερόντων ἀκήκοα.

λη΄. Ἐπιθυμία χρημάτων ἐν ψυχαῖς ἀσκητῶν μὴ αὐλιζέσθω. Πολυκτήμων γὰρ Μοναχός, ναῦς ἐστι ὕπαντλος, κύμασι φροντίδων χειμαζομένη, καὶ λύπης βυθῷ καταδυομένη. Πολλῶν παθῶν τὸ τῆς φιλαργυρίας κακὸν γεννήτωρ τυγχάνει, ῥίζα πάντων τῶν κακῶν προσηκόντως κληθέν[33].

λθ΄. Ἀκτημοσύνη, καὶ σιωπή, θησαυρός ἐστι κεκρυμμένος ἐν ἀγρῷ τῆς μοναδικῆς πολιτείας. Ἀπελθὼν οὖν πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς[34], καὶ τουτονὶ κτῆσαι τὸν ἀγρόν,

36. Ἡ καθαρὴ ψυχὴ ἤθελε ὀνομασθῇ δικαίως, σκεῦος ἐκλογῆς καὶ κῆπος κλεισμένος καὶ σφραγισμένη πηγὴ καὶ θρόνος τῆς αἰσθήσεως. Ἡ δὲ [ψυχή], ἡ ὁποία μολύνεται ἀπὸ ἀκαθάρτους μολυσμούς, εἶναι πλήρης ἀπὸ βόρβορο γεμάτο δυσωδία.

37. Ἔχω ἀκούσει, ἀπὸ ἐμπείρους καὶ πρακτικοὺς Γέροντες, ὅτι οἱ πονηροὶ λογισμοὶ γεννῶνται μέσα στὴν ψυχὴ ἀπὸ τὸν στολισμὸ τῶν ἐνδυμάτων καὶ τὸν χορτασμὸ τῆς γαστρός, καὶ μὲ βλαβερὲς συναναστροφές.

38. Ἡ ἐπιθυμία τῶν χρημάτων ἂς μὴν παραμένῃ στὶς ψυχὲς τῶν ἀσκητῶν. Διότι ὁ Μοναχὸς ποὺ ἔχει μεγάλη ἰδιοκτησία εἶναι πλοῖο, ποὺ βάζει νερό, τὸ ὁποῖο δοκιμάζεται ἀπὸ τὰ κύματα τῶν μεριμνῶν καὶ βυθίζεται στὸν βυθὸ τῆς λύπης. Τὸ κακὸ τῆς φιλαργυρίας συμβαίνει νὰ εἶναι ὁ γεννήτορας πολλῶν παθῶν, ὥστε δικαίως ὀνομάστηκε ῥίζα ὅλων τῶν κακῶν.

39. Ἡ ἀκτημοσύνη καὶ ἡ σιωπὴ εἶναι κρυμμένος θησαυρὸς μέσα στὸν ἀγρὸ τῆς μοναδικῆς πολιτείας. Ἀφοῦ ἀναχωρήσῃς λοιπὸν [ἀπὸ τὸν κόσμο], πώλησε τὰ ὑπάρχοντά σου καὶ δῶσε [τα] στοὺς πτωχοὺς καὶ ἀπόκτησε αὐτὸν ἐδῶ τὸν ἀγρὸ

καὶ τὸν θησαυρὸν ἀνορύξας, ἄσυλον σεαυτῷ περιφύλαξον, ἵνα πλουτήσῃς πλοῦτον μὴ κενούμενον.

μ΄. Πατρὶ συνοικήσας πνευματικῷ, καὶ ὠφελείας αἰσθανθεὶς παρ᾽ αὐτοῦ, μηδείς σε χωριζέτω τῆς ἀγάπης αὐτοῦ καὶ συναυλίας. Μὴ κρίνῃς αὐτὸν ἔν τινι, μὴ κακολογήσῃς ἐλεγχόμενος, ἢ τυπτόμενος, μὴ δῷς ἀκοήν σού τινι καταλαλοῦντι, μὴ συνδυάσῃς τῷ λοιδοροῦντι τοῦτον, ἵνα μὴ ὀργισθῇ Κύριος ἐπὶ σοί, καὶ ἐξαλείψει σε ἐκ βίβλου ζώντων[35].

μα΄. Τὸ τῆς ὑποταγῆς ἆθλον διὰ τῆς ἀποταγῆς τελειοῦται, καθὼς μεμαθήκαμεν. Ὁ δὲ ταύτην μετερχόμενος, τοῖς τρισὶ περιφραχθήτω ὅπλοις˙ πίστει, φημί, καὶ ἐλπίδι, καὶ ἀγάπῃ[36] *τῇ πανσέπτῳ, καὶ θείᾳ, ἵνα δι᾽ αὐτῶν τετειχισμένος, τὸν καλὸν ἀγωνιᾶται ἀγῶνα, καὶ τοὺς τῆς δικαιοσύνης λάβῃ στεφάνους*[37].

μβ΄. Μὴ τῶν ἔργων τοῦ πατρός σου ἔσο δικαστής, ἀλλὰ τῶν ἐντολῶν ἐκπληρωτής. Ἔθος γὰρ τοῖς δαίμοσιν τὰς

καί, ἀφοῦ ἐξορύξῃς τὸν θησαυρό, προφύλαξέ [τον] γιὰ τὸν ἑαυτόν σου, νὰ μὴν σοῦ τὸν κλέψουν, ὥστε νὰ ἀποκτήσῃς πλοῦτο ἀκένωτο.

40. Ἐὰν κοινοβιάσῃς μὲ πνευματικὸ Πατέρα καὶ αἰσθανθῇς ὠφέλεια ἀπὸ αὐτόν, κανεὶς ἂς μὴν σὲ χωρίσῃ τῆς ἀγάπης αὐτοῦ καὶ τῆς ὁμοψυχίας. Νὰ μὴν κρίνῃς αὐτὸν σὲ τίποτα, ἐὰν ἐλέγχεσαι ἢ δέρεσαι νὰ μὴν μιλήσῃς ἄσχημα, νὰ μὴν δώσῃς τὴν ἀκοή σου σὲ κάποιον ὁ ὁποῖος [τὸν] καταλαλεῖ, νὰ μὴν συμφωνήσῃς μ᾽ ἐκεῖνον ποὺ τὸν κακολογεῖ, γιὰ νὰ μὴν ὀργισθῇ ὁ Κύριος μὲ σένα καὶ σὲ ἐξαλείψει ἀπὸ τὴν βίβλο τῶν ζώντων.

41. Καθὼς ἔχομε μάθει, ὁ ἀγώνας τῆς ὑποταγῆς ὁλοκληρώνεται μὲ τὴν ἀποταγὴ [τοῦ κόσμου]. Ἐκεῖνος δὲ ὁ ὁποῖος τὴν μετέρχεται, ἂς περιφραχθῇ μὲ τὰ τρία ὅπλα: μὲ τὴν πίστι, λέγω, καὶ τὴν ἐλπίδα καὶ μὲ τὴν θεία καὶ πάνσεπτη ἀγάπη, ὥστε ἔχοντας περιτειχισθῇ μ᾽ αὐτές, θὰ ἀγωνισθῇ τὸν καλὸ ἀγῶνα καὶ θὰ λάβῃ τοὺς στεφάνους τῆς δικαιοσύνης.

42. Ἂς μὴν εἶσαι δικαστὴς τῶν πράξεων τοῦ [πνευματικοῦ] σου Πατρός, ἀλλὰ ἐκπληρωτὴς τῶν ἐντολῶν [του]. Διότι [ὑπάρχει] συνήθεια στοὺς δαίμονες, νὰ ἐπι-

αὐτοῦ δεικνύειν σοι ἐλλείψεις, ἵνα σοι τὰ ὦτα κωφεύσωσι πρὸς τὰς ῥήσεις καὶ ἢ τῆς παλαίστρας, ὡς ἀναλκῆ σε καὶ δειλόν, ἀποστήσωσι στρατιώτην, ἢ μόνοις ἀπιστίας ἐκλύσωσι λογισμοῖς, καὶ χαῦνον ἀπεργάσωνται πρὸς πᾶσαν ἀρετῆς ἰδέαν.

μγ'. Ὁ πατρικῶν παρακούων ἐντολῶν, τῶν ἐξαιρέτων ἐπαγγελίας συνθηκῶν παραβάτης εὑρίσκεται. Ὁ δὲ τὴν ὑπακοὴν ἐγκολπωσάμενος, τὸ ἴδιον θέλημα μαχαίρᾳ ταπεινοφροσύνης ἀποσφάξας, οὗτος ἐξεπλήρωσε, τό γε εἰς αὐτὸν ἧκον, ἅπερ ἐπὶ πολλῶν μαρτύρων Χριστῷ ἐπηγγείλατο.

μδ'. Ἐπισημηνάμενοι διέγνωμεν, καὶ τρανῶς μεμαθήκαμεν, ὅτι τοὺς ἐν ὑποταγῇ πατέρων ἀσκοῦντας πάνυ ζηλοῦσιν οἱ ἐχθροὶ τῆς ζωῆς ἡμῶν δαίμονες, τρίζοντες κατ᾽ αὐτῶν τοὺς ὀδόντας αὐτῶν, καὶ παντοίας ἐπινοούμενοι μηχανάς. Τί μὲν οὐ ποιοῦντες, τί δὲ οὐχ ὑποβάλλοντες; ὥστε χωρίσαι αὐτοὺς τῶν πατρικῶν ἀγκαλῶν. Προφάσεις δεικνύουσιν ὡς δῆθεν εὐλόγους,

δεικνύουν σὲ σένα τὶς ἐλλείψεις ἐκείνου, γιὰ νὰ σοῦ κάνουν τὰ αὐτιὰ κουφὰ στὰ λόγια [του] καί, ἢ νὰ σὲ ἀπομακρύνουν ἀπὸ τὴν παλαίστρα ὡς ἀπειροπόλεμο καὶ δειλὸ στρατιώτη, ἢ νὰ [σὲ] παραλύσουν μὲ μόνον λογισμοὺς ἀπιστίας [στὸ πρόσωπό του] καὶ νὰ σὲ καταστήσουν νωθρὸ γιὰ κάθε εἶδος ἀρετῆς.

43. Ἐκεῖνος ὁ ὁποῖος παρακούει τὶς ἐντολὲς τοῦ [πνευματικοῦ του] Πατρός, θεωρεῖται παραβάτης τῶν ὑψηλότερων ὅρων τοῦ [μοναχικοῦ του] ἐπαγγέλματος. Ἐκεῖνος ὅμως ὁ ὁποῖος ἐγκολπώθηκε τὴν ὑπακοή, ἀφοῦ φόνευσε μὲ τὴν μάχαιρα τῆς ταπεινοφροσύνης τὸ δικό του θέλημα, αὐτὸς ἐξεπλήρωσε, ὅσο βέβαια ἐξαρτᾶτο ἀπὸ αὐτόν, ἐκεῖνα ἀκριβῶς τὰ ὁποῖα ὑποσχέθηκε στὸν Χριστὸ [κατὰ τὴν μοναχική του κουρά], ἐνώπιον πολλῶν μαρτύρων.

44. Ἔχοντας κατάδηλα τὰ σημεῖα τῆς ἐμπειρίας μας, γνωρίσαμε ἀκριβῶς καὶ ἔχομε ξεκάθαρα μάθει, ὅτι οἱ ἐχθροὶ τῆς ζωῆς μας, οἱ δαίμονες, πολὺ φθονοῦν ἐκείνους ποὺ ἀσκοῦνται διὰ τῆς ὑποταγῆς σὲ [πνευματικοὺς] Πατέρες, τρίζοντας ἐναντίον τους τὰ δόντιά τους καὶ ἐπινοώντας κάθε εἴδους τεχνάσματα. Τί πράγματι δὲν κάνουν καὶ τί δὲν [τοὺς] ὑποβάλλουν, γιὰ νὰ τοὺς χωρίσουν ἀπὸ τὶς πατρικὲς ἀγκάλες; Παρουσιάζουν ὡς δῆθεν εὔλογες τὶς προφάσεις,

παροξυσμοὺς μεθοδεύουσι, μῖσος πρὸς τὸν πατέρα ἐγείρουσι, τὰς αὐτοῦ νουθεσίας ὡς ἐπιπλήξεις δεικνύουσι, τοὺς δὲ ἐλέγχους ὡς βέλη ἠκονημένα πηγνύουσι. Καὶ τί, φησίν [recte: φασίν], ἐλεύθερος ὢν δοῦλος γέγονας, καὶ δοῦλος ἀνηλεοῦς δεσπότου; Ἕως πότε δὲ τῷ ζυγῷ τῆς δουλείας ἐκτριβήσῃ, καὶ ἐλεύθερον φῶς οὐ θεάσῃ; Ἔπειτα ξενοδοχίας, καὶ ἀῤῥώστων ἐπισκέψεις, καὶ πενήτων ἐπιμελείας ἐπιβάλλουσιν. Εἶτα καὶ τῆς ἄκρας ἡσυχίας καὶ μονώσεως τὸ ἆθλον ὑπερεπαινοῦσι, καὶ πᾶν εἶδος πονηρῶν ζιζανίων ἐνσπείρουσιν ἐν τῇ καρδίᾳ τοῦ στρατιώτου τῆς εὐσεβείας, ἵνα μόνον τῆς πνευματικῆς αὐτῶν μάνδρας ἐκβάλωσι, καὶ τοῦ ἀκυμάντου λιμένος αὐτὸν ἐκλύσαντες, πρὸς τὴν μαινομένην ψυχοφθόρῳ κλύδωνι θάλασσαν ἀποῤῥίψωσιν. Ἔπειτα, ὡς αἰχμάλωτον εἰς τὴν ἰδίαν ἐξουσίαν λαβόντες, κατὰ τὰ πονηρὰ αὐτῶν θελήματα χρήσωνται.

με΄. Σοὶ δὲ τῷ ἐν ὑποταγῇ

μεθοδεύουν παροξυσμούς, ἐξεγείρουν τὸ μῖσος ἐναντίον τοῦ [πνευματικοῦ] Πατρός, παρουσιάζουν τὶς νουθεσίες του σὰν ἐπιπλήξεις, μπήγουν δὲ [μέσα στὴν ψυχὴ] τοὺς ἐλέγχους σὰν βέλη ἀκονισμένα. Καὶ τί λέγουν: ἐνῶ εἶσαι ἐλεύθερος, ἔχεις γίνει δοῦλος καὶ [μάλιστα] δοῦλος σὲ ἀδυσώπητο ἀφέντη; Ἕως πότε λοιπὸν θὰ καταπιέζεσαι ἀπὸ τὸν ζυγὸ τῆς δουλείας καὶ δὲν θὰ βλέπῃς ἐλεύθερο φῶς; Ὕστερα ἐπιβάλλουν [νὰ παραθέτωμε] φιλοξενίες καὶ [νὰ κάνωμε] ἐπισκέψεις σὲ ἀσθενεῖς καὶ φροντίδες γιὰ τοὺς πτωχούς. Ἔπειτα, ἐπαινοῦν ὑπερβολικὰ τὸν ἀγῶνα τῆς ἄκρας ἡσυχίας καὶ τῆς μονώσεως, καὶ σπείρουν μέσα στὴν καρδία τοῦ στρατιώτη τῆς εὐσεβείας κάθε εἶδος ἀπὸ πονηρὰ ζιζάνια, μόνον γιὰ νὰ τὸν βγάλουν ἔξω ἀπὸ τὴν πνευματική του μάνδρα [δηλαδὴ ἀπὸ τὸ μοναστήρι του], καὶ ἀφοῦ συνήθως τὸν ἐξαπολύουν ἀπὸ τὸ ὑπήνεμο λιμάνι, τὸν ρίχνουν στὴν θάλασσα, ποὺ λυσσομανᾶ ἀπὸ τὴν ψυχοφθόρο τρικυμία. Ἔπειτα, ἀφοῦ τὸν συλλάβουν ὡς αἰχμάλωτο στὴν ἐξουσία τους, [τὸν] μεταχειρίζονται σύμφωνα μὲ τὰ πονηρά τους θελήματα.

45. Ἂς μὴν διαφύγῃ ἀπὸ σένα ποὺ βρίσκεσαι στὴν ὑπακοὴ

ὄντι πατρός, ὁ τῶν ἐχθρῶν καὶ πολεμίων δόλος μὴ λανθανέτω. Μηδὲ τῆς ἐπαγγελίας σου καὶ πρὸς Θεὸν ὑποσχέσεως ἐπιλανθάνου, μὴ ὕβρεσιν ἡττηθῇς, μὴ τοὺς ἐλέγχους, καὶ χλευασμούς, ἢ μυκτηρισμοὺς δειλιάσῃς, μὴ ταῖς ὑπερβολαῖς τῶν πονηρῶν λογισμῶν εἴξῃς, μὴ αὐστηρότητα πατρικὴν ἐκφύγῃς, μὴ αὐταρεσκείας καὶ αὐθαδείας θρασύτητι, ταπεινώσεως χρηστὸν ἀτιμάσῃς ζυγόν· ἀλλὰ τὸ δεσποτικὸν ἐν καρδίᾳ θέμενος λόγιον, ὅτι ὁ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται[38], μεθ' ὑπομονῆς τρέχε τὸν προκείμενόν σοι ἀγῶνα, ἀφορῶν εἰς τὸν τῆς πίστεως ἀρχηγόν, καὶ τελειωτὴν Ἰησοῦν[39].

μς΄. Χρυσοχόος μὲν χρυσὸν ἐν χωνευτηρίῳ βαλών, καθαρώτερον ἀπεργάζεται. Καὶ νέηλυς μοναχός, ὑποταγῆς ἄθλοις ἑαυτὸν ἐκδούς, καὶ πᾶσι τοῖς λυπηροῖς τοῦ κατὰ Θεὸν βίου πυρούμενος, μετὰ κόπου δὲ καὶ ὑπομονῆς πολλῆς τὴν ὑπακοὴν ἐκμανθάνων, τὰ ἤθη ἀναχωνευθείς, τὴν ταπείνωσιν ἐκμανθάνει, καὶ

Γέροντος, ἡ δολιότητα τῶν ἐχθρῶν καὶ ἀντιπάλων. Οὔτε νὰ λησμονήσῃς τὴν ἀφιέρωσι καὶ τὴν ὑπόσχεσί σου πρὸς τὸν Θεό, νὰ μὴν ἡττηθῇς ἀπὸ τὶς ὕβρεις, οὔτε νὰ δειλιάσῃς τοὺς ἐλέγχους καὶ τοὺς ἐξευτελισμοὺς ἢ τὶς εἰρωνεῖες, οὔτε νὰ ἐνδώσῃς στὶς ὑπέρμετρες ἐπιθέσεις τῶν πονηρῶν λογισμῶν, μήτε νὰ ἀποφύγῃς τὴν πατρικὴ αὐστηρότητα, μὴν ἀτιμάσῃς τὸν ἀγαθὸ ζυγὸ τῆς ταπεινώσεως μὲ τὴν θρασύτητα τῆς αὐταρέσκειας καὶ τῆς αὐθάδειας· ἀλλά, ἀφοῦ θέσῃς μέσα στὴν καρδία [σου] τὸν λόγο τοῦ Κυρίου, ὅτι ἐκεῖνος ὁ ὁποῖος ὑπομένει ἕως τὸ τέλος, αὐτὸς θὰ σωθῇ, τρέχε μὲ ὑπομονὴ τὸν ἀγῶνα, ποὺ βρίσκεται ἐνώπιόν σου, προσηλώνοντας τὸ βλέμμα [σου] στὸν ἀρχηγὸ τῆς πίστεως Ἰησοῦ, ὁ ὁποῖος καὶ [μᾶς ὁδηγεῖ] στὴν τελειότητα.

46. Ὁ μὲν χρυσοχόος, ὅταν βάλῃ τὸν χρυσὸ μέσα στὸ χωνευτήριο, [τὸν] καθιστᾶ καθαρώτερο. Καὶ ὁ νέος Μοναχός, ὁ ὁποῖος παρέδωσε τὸν ἑαυτό του στοὺς ἀγῶνες τῆς ὑποταγῆς καὶ πυροῦται ἀπὸ ὅλα τὰ λυπηρὰ τοῦ κατὰ Θεὸν βίου, καὶ μὲ κόπο καὶ πολλὴ ὑπομονὴ μαθαίνει ἀκριβῶς τὴν ὑπακοή, ἀφοῦ ἀναμορφωθῇ ὡς πρὸς τὰ ἤθη, μαθαίνει τελείως τὴν ταπείνωσι καὶ

φαιδρὸς ἀποκαθίσταται, καὶ ἄξιος γίνεται τῶν οὐρανίων θησαυρῶν, τῆς ἀνωλέθρου διαγωγῆς, καὶ μακαρίας λήξεως, ἔνθα ἀπέδρα ὀδύνη καὶ στεναγμός[40]*, εὐφροσύνη δέ, καὶ διηνεκὴς θυμηδία πεφύτευται.*

μζ΄. Πίστις ὀρθὴ καὶ ἐνδιάθετος, γεννᾷ τὸν τοῦ Θεοῦ φόβον. Ὁ δὲ τοῦ Θεοῦ φόβος, τήρησιν ἐντολῶν ἡμᾶς ἐκδιδάσκει. Οὗ γάρ, φησί, φόβος, ἐντολῶν τήρησις. Ἐκ τῆς τῶν ἐντολῶν τηρήσεως, συνίσταται ἡ πρακτικὴ ἀρετή, ἀρχὴ οὖσα τῆς θεωρητικῆς. Τούτων δὲ καρπός ἐστιν ἡ ἀπάθεια. Δι᾽ ἀπαθείας δὲ ἐγγίνεται ἡμῖν ἡ ἀγάπη. Περὶ δὲ τῆς ἀγάπης, φησὶν ὁ ἠγαπημένος μαθητής, ὁ Θεὸς ἀγάπη ἐστί, καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ Θεῷ μένει, καὶ ὁ Θεὸς ἐν αὐτῷ[41]*.*

μη΄. Ὡς ὡραία ὄντως καὶ καλὴ ἡ τῶν Μοναχῶν πολιτεία. Ὡς ὡραία ὄντως καὶ καλή, εἴπερ κατὰ τοὺς ὅρους καὶ νόμους, οὓς οἱ ἀρχηγοὶ ταύτης καὶ ἡγεμόνες ἐκ τοῦ Ἁγίου διδαχθέντες Πνεύματος ἔθεντο, γίνε-

γίνεται φωτεινὸς καὶ καθίσταται ἄξιος τῶν οὐρανίων θησαυρῶν, τοῦ ἀφθάρτου τρόπου ζωῆς καὶ τῆς μακαρίας καταπαύσεως, ἀπὸ ὅπου ἀπουσιάζει ἡ ὀδύνη καὶ ὁ στεναγμός, καὶ ἔχει φυτευθῆ ἡ εὐφροσύνη καὶ ἡ παντοτινὴ χαρά.

47. Ἡ ὀρθὴ καὶ βαθειὰ ριζωμένη πίστι, γεννᾶ τὸν φόβο τοῦ Θεοῦ. Ὁ δὲ φόβος τοῦ Θεοῦ, μᾶς διδάσκει τὴν τήρησι τῶν ἐντολῶν. Διότι λέγει, ὅπου ὁ φόβος, ἐκεῖ ἡ τήρησι τῶν ἐντολῶν. Ἀπὸ τὴν τήρησι τῶν ἐντολῶν, συγκροτεῖται ἡ πρακτικὴ ἀρετή, ἡ ὁποία εἶναι ἡ ἀρχὴ τῆς θεωρητικῆς. Αὐτῶν δὲ ὁ καρπὸς [εἶναι] ἡ ἀπάθεια. Διὰ δὲ τῆς ἀπαθείας, γεννᾶται μέσα μας ἡ ἀγάπη. Σχετικὰ δὲ μὲ τὴν ἀγάπη, λέγει, ὁ ἀγαπημένος μαθητής, [ὁ Ἅγιος Ἰωάννης ὁ Θεολόγος, ὅτι] ὁ Θεὸς εἶναι ἀγάπη καὶ ἐκεῖνος ὁ ὁποῖος μένει στὴν ἀγάπη, μένει στὸν Θεὸ καὶ ὁ Θεὸς σ᾽ αὐτόν.

48. Πόσο ὡραία πράγματι καὶ καλὴ ἡ πολιτεία τῶν Μοναχῶν! Ὄντως πολὺ ὡραία καὶ καλή, ἐὰν πράγματι γίνεται σύμφωνα μὲ τοὺς ὅρους καὶ τοὺς κανόνες, τοὺς ὁποίους ἐθέσπισαν οἱ ἀρχηγοὶ αὐτῆς καὶ οἱ κορυφαῖοι, καθὼς ἐδιδάχθησαν ἀπὸ τὸ Ἅγιο Πνεῦ-

ται. Τὸν γὰρ Χριστοῦ στρατιώτην ἄϋλον δεῖ ὑπάρχειν, καὶ ἀμέριμνον πάσης ἐννοίας καὶ πράξεως κοσμικῆς, ὥς φησιν ὁ Ἀπόστολος· οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ[42].

μθ΄. Χρὴ τοίνυν τὸν Μοναχὸν ἄϋλον εἶναι, ἀπαθῆ, πάσης ἐπιθυμίας πονηρᾶς ἐκτός, μὴ τρυφητήν, μὴ πάροινον, μὴ νωθρόν, μὴ ῥάθυμον, μὴ φιλάργυρον, μὴ φιλήδονον, μὴ φιλόδοξον· εἰμὴ γάρ τις τούτων ἑαυτὸν ὑπεξάρῃ, οὐκ ἂν δυνηθῇ τὴν ἀγγελικὴν ταύτην πολιτείαν κατορθῶσαι. Τοῖς δέ γε ἁρμοδίως κατορθοῦσιν, ἔστιν ὁ ταύτης ζυγὸς χρηστός, καὶ τὸ φορτίον ἐλαφρόν[43], *τῆς θείας ἐλπίδος ἐπικουφιζούσης πάντα. Ἡδὺς ὁ τοιοῦτος βίος, ἡ πρᾶξις τερπνή, ἡ μερὶς ἀγαθή, ἥτις οὐκ ἀφαιρεθήσεται*[44] *τῆς ταύτην κεκτημένης ψυχῆς.*

ν΄. Ὁ τῶν βιωτικῶν ἀποταξάμενος μεριμνῶν, καὶ τὸν ἀσκητικὸν ἐνδυσάμενος ἀγῶνα, μὴ ἐπιθυμήσῃς πλοῦτον ἔχειν πρὸς διάδοσιν τῶν πενή-

μα. Διότι ὁ στρατιώτης τοῦ Χριστοῦ πρέπει νὰ εἶναι ἀπεξαρτοποιημένος ἀπὸ τὴν ὕλη καὶ ἀμέριμνος ἀπὸ κάθε σκέψι καὶ πρᾶξι κοσμική, ὅπως λέγει ὁ Ἀπόστολος: «κανεὶς ποὺ εἶναι στρατευμένος δὲν ἐμπλέκεται στὶς βιοτικὲς ὑποθέσεις, γιὰ νὰ ἀρέσῃ σ᾽ αὐτὸν ποὺ τὸν στρατολόγησε».

49. Πρέπει ἑπομένως ὁ Μοναχός, νὰ εἶναι ἐλεύθερος ἀπὸ τὴν ὕλη, ἀπαθής, ἔξω ἀπὸ κάθε πονηρὴ ἐπιθυμία, οὔτε ἀβροδίαιτος, οὔτε οἰνοπότης, οὔτε νωθρός, οὔτε ῥάθυμος, οὔτε φιλάργυρος, οὔτε φιλήδονος· διότι ἐὰν κανεὶς δὲν ἀποσπάσῃ βαθμιαῖα τὸν ἑαυτόν του ἀπ᾽ αὐτά, δὲν θὰ μπορέσῃ νὰ κατορθώσῃ αὐτὴν τὴν ἀγγελικὴ πολιτεία. Ἀλλὰ γι᾽ αὐτοὺς βέβαια οἱ ὁποῖοι [τὴν] φέρουν εἰς πέρας, ὅπως πρέπει, ὁ ζυγός της εἶναι ἀγαθὸς καὶ τὸ φορτίο της ἐλαφρύ, διότι ἡ θεία ἐλπίδα ἐλαφρώνει τὰ πάντα. Γλυκὺς αὐτὸς ὁ βίος [ὁ μοναχικός], ἡ ἐργασία [του] χαροποιός, ἡ μερίδα [του] ἀγαθή, ἡ ὁποία δὲν θὰ ἀφαιρεθῇ ἀπὸ τὴν ψυχή, ἡ ὁποία τὴν ἔχει ἀποκτήσει.

50. [Ἐσύ], ὁ ὁποῖος ἐγκατέλειψες τὶς βιοτικὲς μέριμνες καὶ περιεβλήθης τὸν ἀσκητικὸ ἀγῶνα, νὰ μὴν ἐπιθυμήσῃς νὰ ἔχῃς πλοῦτο γιὰ διανομὴ στοὺς πτω-

των. Ἔστι γὰρ καὶ αὕτη ἀπάτη τοῦ πονηροῦ πρὸς κενοδοξίαν προσερχομένη, ἵνα εἰς πολυπραγματοσύνην ἐμβάλλῃ τὸν νοῦν. Κἂν γὰρ ἄρτον μόνον ἔχῃς, κἂν ὕδωρ, δύνασαι ἐν τούτοις ποιῆσαι τῆς φιλοξενίας τὸν μισθόν. Κἂν μηδὲ ταῦτα ἔχῃς, μόνῃ δὲ προθέσει ἀγαθῇ ὑποδέξῃ τὸν ξένον καὶ λόγον παρακλήσεως αὐτῷ δῷς, ὡσαύτως δύνασαι τὸν τῆς φιλοξενίας μισθὸν πορίσασθαι. Ἔχεις τὴν ἐν τῷ Εὐαγγελίῳ ὑπὸ τοῦ Κυρίου μαρτυρουμένην χήραν, διὰ δύο μόνων λεπτῶν τὴν τῶν πλουσίων ὑπερβεβηκυῖαν προαίρεσίν τε, καὶ δύναμιν[45].

να′. Ταῦτα τοῖς ἐν ἡσυχίᾳ καθεζομένοις εἴρηται. Οἱ δέ γε ἐν ὑποταγῇ πατρὸς ὄντες, ἓν μόνον ἐχέτωσαν ἐπὶ νοῦν, τὸ ἐν μηδενὶ τῆς πατρικῆς ἐκπίπτειν ἐντολῆς. Τοῦτο γὰρ κατορθοῦντες, τὸ πᾶν εἰσι κατωρθωκότες. Ὥς περ τὸ ἔμπαλιν, εἰ τῆς τοιαύτης ἐκπέσωσιν ἀκριβείας, καὶ πολιτείας, ἀδόκιμοι κατὰ πᾶσαν ἰδέαν ἀρετῆς, καὶ πολιτείαν πνευματικὴν ἔσονται.

χούς. Διότι καὶ αὐτὴ εἶναι ἀπάτη τοῦ πονηροῦ, ἡ ὁποία παρουσιάζεται γιὰ κενοδοξία, ὥστε νὰ βάλῃ τὸν νοῦ στὴν πολυπραγμοσύνη. Διότι κι ἂν ἔχῃς μόνο ψωμὶ καὶ νερό, ἔχεις τὴν δυνατότητα μ᾽ αὐτὰ νὰ λάβῃς τὸν μισθὸ τῆς φιλοξενίας. Κι ἂν δὲν ἔχῃς οὔτε αὐτά, καὶ μόνο μὲ ἀγαθὴ πρόθεσι νὰ ὑποδεχθῇς τὸν ξένο καὶ νὰ τοῦ προσφέρῃς παρηγορητικὸ λόγο, κατὰ τὸν ἴδιο τρόπο δύνασαι νὰ κερδίσῃς τὸν μισθὸ τῆς φιλοξενίας. Ἔχεις [ὡς παράδειγμα] τὴν χήρα, ἡ ὁποία μαρτυρεῖται ἀπὸ τὸν Κύριο στὸ Εὐαγγέλιο, νὰ ἔχῃ ξεπεράσει μὲ δύο μόνο λεπτὰ καὶ τὴν προαίρεσι καὶ τὴν δύναμι τῶν πλουσίων.

51. Αὐτὰ ἔχουν λεχθῆ γιὰ ἐκείνους, οἱ ὁποῖοι κάθονται στὴν ἡσυχία. Ἀλλὰ ἐκεῖνοι βέβαια, οἱ ὁποῖοι βρίσκονται στὴν ὑποταγὴ [πνευματικοῦ] πατρός, ἂς ἔχουν μόνον ἕνα στὸ νοῦ [τους], τὸ νὰ μὴν ἐκπίπτουν σὲ τίποτα ἀπὸ τὴν πατρικὴ ἐντολή. Διότι ἐὰν κατόρθωσαν αὐτό, ἔχουν κατορθώσει τὸ πᾶν. Ὅπως καὶ τὸ ἀντίθετο, ἐὰν ἐκπέσουν ἀπὸ αὐτὴ τὴν ἀκρίβεια [τὴν ἐντολὴ τοῦ Γέροντος] καὶ ἀπὸ τὴν πολιτεία [τοῦ ὑποτακτικοῦ], θὰ εἶναι ἀνάξιοι ἐν σχέσει πρὸς κάθε εἶδος ἀρετῆς καὶ πνευματικῆς πολιτείας.

νβ'. Ἔχε καὶ ταύτην μου τὴν συμβουλήν, φιλόχριστε· ξενιτείαν ἀγάπα, ἀπαλλατόμενος τῶν κατὰ τὴν ἰδίαν χώραν περιστάσεων. Γονικαῖς μερίμναις, ἢ συγγενικαῖς φιλίαις μὴ συναπαχθῇς. Τὰς ἐν τῇ πόλει διατριβὰς φεῦγε, καὶ ἐν ἐρημίᾳ καρτέρησον, λέγων μετὰ τοῦ προφήτου· ἰδοὺ ἐμάκρυνα φυγαδεύων καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ[46].

νγ'. Τοὺς ἰδιάζοντας, καὶ ἀπῳκισμένους τοῦ κόσμου δίωκε τόπους, κἂν σπάνις ἔσται καὶ στενοχωρία τῶν ἀναγκαίων χρειῶν ἐκεῖσε, μὴ δειλιάσῃς. Ἐὰν κυκλώσωσί σε οἱ ἐχθροί, καθάπερ μέλισσαι[47]*, ἢ κακοὶ κηφῆνες, παντοδαπούς σοι προσβάλλοντες πολέμους, καὶ παντοίοις σε διαταράσσοντες λογισμοῖς, μὴ πτοηθῇς, μὴ κλίνῃς αὐτοῖς εὐήκοον οὖς, μηδὲ ἀποφύγῃς τὸ τῆς ἀθλήσεως στάδιον. Μακροθύμως δὲ μᾶλλον καρτέρησον, κατεπᾴδων ἑαυτῷ καὶ λέγων· ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι, καὶ εἰσήκουσε τῆς δεήσεώς μου*[48]*. Καὶ τότε ὄψῃ Θεοῦ τά μεγαλεῖα, τὴν ἀν-*

52. Κράτησε φιλόχριστε καὶ αὐτή μου τὴν συμβουλή: ἀφοῦ ἀπαλλαγῇς ἀπὸ τὶς καταστάσεις στὴν πατρίδα σου, ἀγάπα τὴν ξενιτεία. Ἀπὸ γονικὲς φροντίδες καὶ συγγενικὲς ἀγάπες νὰ μὴν παρασυρθῇς. Ἀπόφευγε τὴν παραμονὴ στὴν πόλι καὶ ἐγκαρτέρησε στὴν ἐρημία λέγοντας μαζὶ μὲ τὸν Προφήτη: ἰδού, φεύγοντας, ἀπομακρύνθηκα καὶ κατοίκησα στὴν ἔρημο.

53. Ἐπιζήτησε τοὺς ἀπομονωμένους καὶ ἀπομακρυσμένους ἀπὸ τὸν κόσμο τόπους, καὶ νὰ μὴν δειλιάσῃς ἂν ἐκεῖ θὰ ὑπάρχῃ σπανιότητα καὶ ἀνεπάρκεια ἀπὸ τὰ ἀναγκαῖα χρειώδη. Νὰ μὴν πτοηθῇς, ἐὰν σὲ περικυκλώσουν οἱ ἐχθροὶ σὰν μέλισσες ἢ κακοὶ κηφῆνες, προξενώντας σου κάθε εἴδους πολέμους καὶ ταράσσοντάς σε μὲ ποικίλους λογισμούς, νὰ μὴν γίνῃς πρόθυμος νὰ εἰσακούσῃς αὐτούς, οὔτε νὰ ἀποφύγῃς τὸ στάδιο τοῦ ἀγῶνα. Μᾶλλον δὲ ὑπόμεινε μὲ μακροθυμία, ἐπαναλαμβάνοντας συνεχῶς στὸν ἑαυτόν σου καὶ λέγοντας: «ὑπομένοντας ὑπέμεινα τὸν Κύριο καὶ μὲ πρόσεξε καὶ εἰσήκουσε τὴν προσευχή μου». Καὶ τότε θὰ δῇς τὰ μεγαλεῖα τοῦ Θεοῦ, τὴν βοή-

τίληψιν, τὴν κηδεμονίαν, τὴν ἄλλην ἅπασαν ἐπὶ σωτηρίᾳ πρόνοιαν.

νδ΄. Φίλους ἔχειν σε δεῖ, φιλόχριστε, τοὺς ὠφελίμους, καὶ συμβαλλομένους σου τῇ πολιτείᾳ. Ἄνδρες γάρ, φησίν, εἰρηνικοί, ἔστωσαν οἱ φίλοι σου, ἀδελφοὶ πνευματικοί, πατέρες ἅγιοι, περὶ ὧν καὶ ὁ Κύριος ἡμῶν ἔφη˙ μήτηρ μου, καὶ ἀδελφοί μου οὗτοι εἰσιν, οἱ ποιοῦντες τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς[49].

νε΄. Μὴ ἔσο ἐπιθυμητὴς βρωμάτων ἐνηλλαγμένων καὶ πολυτελῶν, καὶ σπαταλῶν θανατηφόρων. Ἡ σπαταλῶσα γάρ, φησί, ζῶσα τέθνηκε[50]*. Καὶ αὐτῶν δὲ τῶν εὐποριστων, εἰ δυνατόν, παραιτοῦ τὸν κόρον. Γέγραπται γάρ, μὴ ἀπατᾶσθε χορτασίᾳ κοιλίας*[51].

νς΄. Ἡ ἔξω τοῦ κελλίου σου συνεχὴς διατριβὴ ἔστω σοι παραιτητέα, εἴπερ ἡσυχάζειν ἡρετήσω. Ἔστι γὰρ ἐπιζήμιος πάνυ, ἀφαιρεῖται τὴν χάριν, σκοτοῖ τὸ φρόνημα, μαραίνει τὸν πόθον˙ διὰ τοῦτο εἴρηται, ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκα-

θεια, τὴν φροντίδα, [καὶ] ὅλη τὴν ἄλλη πρόνοιά [Του] γιὰ τὴν σωτηρία [σου].

54. Ἐσὺ φιλόχριστε, πρέπει νὰ ἔχης φίλους τοὺς ὠφέλιμους, καὶ ἐκείνους οἱ ὁποῖοι συντελοῦν στὴν [μοναχική σου] πολιτεία. Ἂς εἶναι, λέγω, βέβαια οἱ φίλοι σου ἄνδρες εἰρηνικοί, πνευματικοὶ ἀδελφοί, πατέρες ἅγιοι, γιὰ τοὺς ὁποίους καὶ ὁ Κύριός μας εἶπε: «μητέρα μου καὶ ἀδελφοί μου εἶναι ἐκεῖνοι, οἱ ὁποῖοι κάνουν τὸ θέλημα τοῦ ἐπουρανίου Πατέρα μου».

55. Ἂς μὴν εἶσαι φίλος τῶν περίτεχνων καὶ πολυτελῶν φαγητῶν καὶ τῶν σπαταλῶν ποὺ προξενοῦν τὸν θάνατο. Διότι λέγει [ἡ Ἁγία Γραφή]: «ἐκείνη ἡ ὁποία σπαταλᾶ ἂν καὶ εἶναι ζωντανή, ἔχει πεθάνει». Καὶ ἀπὸ αὐτὰ τὰ συνηθισμένα, ἐπίσης ἀπόφυγε τὸν κορεσμό. Διότι ἔχει γραφῆ: «νὰ μὴν πλανηθῆτε ἀπὸ τὸν χορτασμὸ τῆς κοιλίας».

56. Ἡ συνεχὴς παραμονὴ ἔξω ἀπὸ τὸ κελλί σου, ἐὰν πράγματι ἐξέλεξες νὰ ἡσυχάζης, ἂς εἶναι γιὰ σένα ἐκεῖνο τὸ ὁποῖο πρέπει νὰ ἀποφεύγης, ἐπειδὴ εἶναι πολὺ ἐπιζήμια, ἀποστερεῖ τὴν Χάρι, σκοτίζει τὸ φρόνημα, μαραίνει τὸν πόθο. Γι᾽ αὐτὸ ἔχει λεχθῆ: «ἡ περιπλάνησι τῆς ἐπιθυμίας διαστρέφει τὸν ἄκακο

κον[52]*. Τοιγαροῦν κόπτε τῶν πολλῶν τὰς σχέσεις, μή σου ὁ νοῦς περιστατικὸς γένηται, καὶ καταῤῥάξῃ τὸν τῆς ἡσυχίας τρόπον.*

νζ΄. Καθεζόμενος ἐν τῷ κελλίῳ σου, μὴ ἄλογον ποιήσῃς σου τὸ ἔργον, καὶ ἀργίας πεπληρωμένον. Ὁ ἀσκόπως γάρ, φησί, ὁδοιπορῶν, ματαιοπονήσει. Ἀλλὰ κτῆσαι ἐργασίαν ἀγαθήν, συνάγαγε τὸν νοῦν, πρὸ ὀφθαλμῶν ἔχε ἀεὶ τὴν τελευταίαν τοῦ θανάτου ὥραν, μνήσθητι τῆς τοῦ κόσμου ματαιότητος, ὡς ἀπατηλή ἐστιν, ὡς ἀσθενής, ὡς οὐδαμινή, ἐννόει τοῦ φρικτοῦ λογοθεσίου τὴν συμφοράν, ὅπως μέλλουσιν οἱ πικροὶ φορολόγοι κατ᾽ εἶδος παριστᾷν [recte: παραστῆναι] τὰς πράξεις ἡμῶν, τοὺς λόγους, τὰς ἐνθυμήσεις, ἃς αὐτοὶ μὲν ὑπέβαλλον, ἡμᾶς δὲ ὑποδεχομένους εἶχον. Μνημόνευε καὶ τῶν ἐν τῷ ᾅδη κολάσεων· καὶ πῶς ἆρά εἰσιν ἐκεῖσε κατακλεισθεῖσαι αἱ ψυχαί· μνημόνευε καὶ τῆς μεγάλης καὶ φοβερᾶς ἡμέρας ἐκείνης, τῆς κοινῆς, φημί, ἀναστάσεως, καὶ παραστάσεως πρὸς

νοῦ». Ἑπομένως κόβε τὶς σχέσεις μὲ τοὺς πολλούς, μήπως γίνῃ ὁ νοῦς σου πολυάσχολος καὶ διαταράξῃ τὸν ἡσυχαστικὸ τρόπο ζωῆς.

57. Ὅταν κάθεσαι στὸ κελλί σου, νὰ μὴν ἐπιτελῇς τὸ ἔργο σου δίχως φρόνησι καὶ γεμάτο ὀκνηρία. Διότι, λέγει [ἡ λαϊκὴ σοφία]: «θὰ κοπιάσῃ μάταια, ἐκεῖνος ὁ ὁποῖος ὁδοιπορεῖ ἄσκοπα». Ἀλλὰ ἀπόκτησε ἀγαθὴ ἐργασία, συμμάζεψε τὸν νοῦ, ἔχε πάντοτε πρὸ ὀφθαλμῶν τὴν τελευταία ὥρα τοῦ θανάτου, θυμήσου τὴν ματαιότητα τοῦ κόσμου, πόσο εἶναι ἀπατηλή, πόσο ἀσθενική, πόσο μηδαμινή, ἐννόησε τὴν συμφορὰ τῆς φρικτῆς λογοδοσίας, μὲ ποιὸ τρόπο πρόκειται οἱ πικροὶ φοροεισπράκτορες [τὰ τελώνια] νὰ παρουσιάσουν τὶς πράξεις μας, τοὺς λόγους, τοὺς λογισμούς, τοὺς ὁποίους αὐτοὶ μὲν ὑπέβαλλαν, ἐμᾶς ὅμως εἶχαν ἀποδέκτες. Μνημόνευε καὶ τὶς κολάσεις στὸν Ἅδη· καὶ πῶς εἶναι ἄραγε οἱ ψυχές, οἱ ὁποῖες ἔχουν κλεισθῆ μέσα ἐκεῖ· μνημόνευε καὶ τὴν μεγάλη καὶ φοβερὴ ἐκείνη ἡμέρα τῆς κοινῆς, λέγω, ἀναστάσεως καὶ παραστάσεως ἐνώπιον

τὸν Θεόν, τῆς τελευταίας ἀποφάσεως τοῦ ἀπαραλογίστου κριτοῦ. Λογίζου τὴν καταληψομένην τοὺς ἁμαρτωλοὺς τιμωρίαν, τὸ ὄνειδος, τὸν ἔλεγχον τῆς συνειδήσεως, τὸ ἐξωσθῆναι τοῦ Θεοῦ, καὶ ἀποῤῥιφῆναι εἰς τὸ αἰώνιον πῦρ, εἰς τὸν ἀτελεύτητον σκώληκα, εἰς τὸ σκότος τὸ ἀφεγγές, ὅπου ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων[53]*, τά τε ἄλλα κολαστήρια πάντα ἀνιστορῶν, μὴ διαλίπῃς καὶ σταλαγμοῖς δακρύων καταβρέχειν σου τὰς παρειάς, τὴν ἐσθῆτα, τὸν τόπον ἔνθα καθέζῃ. Ταύταις γὰρ ταῖς ἐννοίαις, πολλοὺς ἑώρακα δακρύων πλῆθος πολὺ κτησαμένους, καὶ πάσας τὰς τῆς ψυχῆς δυνάμεις θαυμαστῶς ἐκκαθάραντας.*

νη΄. Ἀλλὰ καὶ τὰ τοῖς δικαίοις ἀποκείμενα ἀγαθὰ ἐννοοῦ, τὴν ἐκ δεξιῶν τοῦ Χριστοῦ παράστασιν, τὴν εὐλογημένην φωνὴν τοῦ Δεσπότου, τὴν κληρονομίαν τῆς Οὐρανίου Βασιλείας, τῆς ὑπὲρ νοῦν δωρεᾶς, τὸ φῶς ἐκεῖνο τὸ γλυκύτατον, τὴν χαράν, τὴν τέλος οὐκ ἔχουσαν, τὴν λύπῃ μὴ διακο-

τοῦ Θεοῦ, τὴν τελευταία ἀπόφασι τοῦ Κριτοῦ, ὁ ὁποῖος δὲν ἐξαπατᾶται. Συλλογίζου τὴν τιμωρία, ἡ ὁποία θὰ καταλάβῃ τοὺς ἁμαρτωλούς, τὴν ντροπή, τὸν ἔλεγχο τῆς συνειδήσεως, τὸ χωρισμὸ ἀπὸ τὸν Θεὸ καὶ τὴν ἀπόρριψι στὸ αἰώνιο πῦρ, στὸν ἀτελεύτητο σκώληκα, στὸ πυκνὸ σκοτάδι, ὅπου ὁ κλαυθμὸς καὶ ὁ τριγμὸς τῶν ὀδόντων. [Αὐτὰ] καὶ ὅλα τὰ ἄλλα κολαστήρια ἀναλογιζόμενος, νὰ μὴν σταματᾷς νὰ καταβρέχῃς μὲ τὶς σταλαγματιὲς ἀπὸ τὰ δάκρυά [σου] τὸ πρόσωπο, τὸ ἔνδυμά [σου], τὸν τόπο ὅπου κάθεσαι. Διότι μ᾽ αὐτὲς τὶς σκέψεις ἔχω δεῖ πολλοὺς νὰ ἀποκτοῦν συνήθως πλῆθος πολὺ δακρύων καὶ νὰ καθαρίζουν θαυμαστὰ ὅλες τὶς δυνάμεις τῆς ψυχῆς.

58. Ἀλλὰ σκέψου καὶ τὰ ἀγαθά, τὰ ὁποῖα ἐπιφυλάσσονται στοὺς δικαίους, τὴν ἐκ δεξιῶν τοῦ Θεοῦ παράστασι, τὴν εὐλογημένη φωνὴ τοῦ Κυρίου, τὴν κληρονομία τῆς Οὐρανίου Βασιλείας, τὴν δωρεὰ ἡ ὁποία ξεπερνᾶ τὸν νοῦ, τὸ φῶς ἐκεῖνο τὸ γλυκύτατο, τὴν ἀτελεύτητη χαρά, ἡ ὁποία δὲν διακό-

πτομένην, τὰς μονὰς ἐκείνας τὰς οὐρανίους, τὴν μετὰ Ἀγγέλων διαγωγήν, τὰ ἄλλα πάντα τὰ ἐπηγγελμένα τοῖς φοβουμένοις τὸν Κύριον.

νθ΄. Οὗτοι οἱ λογισμοὶ συνδιαιτάσθωσάν σοι, συγκαθευδέτωσαν, καὶ συνανιστάτωσαν· ὅρα μὴ ἐπιλάθῃ τούτων ποτέ, ἀλλ᾽ ὅπου περ ἂν ᾖς, τῆς τούτων μνήμης μὴ ἐξάγῃς σου τὸν νοῦν, ἵνα καὶ οἱ πονηροὶ φύγωσι λογισμοί, καὶ παρακλήσεως θείας πεπληρωμένος ἔσῃ. Ἡ δὲ μὴ ταύταις ταῖς ἐννοίαις τετειχισμένη ψυχή, ἡσυχίαν κατορθῶσαι οὐ δύναται. Πηγὴ γὰρ ὕδωρ μὴ ἔχουσα, μάτην ἐπιφέρεται τὸ ὄνομα.

ξ΄. Καὶ αὕτη δὲ ἡ πολιτεία τοῖς ἐν ἡσυχίᾳ κατορθοῦσθαι νενομοθέτηται. Νηστεία, ὅση δύναμις, ἀγρυπνία τε, καὶ χαμευνία, καὶ ἄλλη πᾶσα κακοπάθεια διὰ τὴν μέλλουσαν ἀνάπαυσιν. Οὐ γὰρ ἄξια, φησί, τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς[54]*. Ἐξαιρέτως δὲ προσευχὴ καθαρά,*

πτεται ἀπὸ τὴν λύπη, τὶς οὐράνιες ἐκεῖνες μονές, τὴν συνύπαρξι μὲ τοὺς ἀγγέλους, ὅλα τὰ ὑπόλοιπα, τὰ ὁποῖα ἔχουν προσφερθῆ σ᾽ ἐκείνους, οἱ ὁποῖοι φοβοῦνται τὸν Κύριο.

59. Αὐτοὶ οἱ λογισμοὶ ἂς σὲ συντροφεύσουν, ἂς κοιμοῦνται καὶ ἂς ξυπνοῦν μαζί σου. Πρόσεξε νὰ μὴν τοὺς λησμονήσῃς ποτέ, ἀλλὰ ὁπουδήποτε κι ἂν εἶσαι, νὰ μὴν βγάλῃς τὸν νοῦ σου ἀπὸ τὴν μνήμη τους, ὥστε καὶ οἱ πονηροὶ λογισμοὶ νὰ φύγουν καὶ νὰ εἶσαι γεμάτος ἀπὸ τὴν θεία παρηγορία. Ἡ δὲ ψυχή, ἡ ὁποία δὲν ἔχει ὀχυρωθῆ μὲ αὐτοὺς τοὺς λογισμούς, δὲν δύναται νὰ κατορθώσῃ τὴν ἡσυχία. Διότι ἡ πηγὴ ἡ ὁποία δὲν ἔχει νερό, ἀδίκως φέρει τὸ ὄνομα [πηγή].

60. Καὶ αὐτὸς μάλιστα ὁ τρόπος τῆς ζωῆς ἔχει νομοθετηθῆ, γιὰ νὰ κατορθωθῆ ἀπὸ τοὺς ἡσυχαστές. Νηστεία, ὅση [ἐπιτρέπει] ἡ δύναμί [τους] καὶ ἀγρυπνία καὶ χαμαικοιτία καὶ κάθε ἄλλη κακοπάθεια, ἕνεκα τῆς μελλοντικῆς ἀναπαύσεως. Διότι δὲν εἶναι ἄξια, λέγει [ἡ Ἁγία Γραφή], τὰ παθήματα τοῦ παρόντος καιροῦ, ἐν σχέσει πρὸς τὴν δόξα, ἡ ὁποία πρόκειται νὰ μᾶς ἀποκαλυφθῇ. Ἰδιαιτέρως δὲ καθαρὴ

σχεδὸν εἰπεῖν ἄπαυστος, καὶ ἀδιάλειπτος. Αὕτη τεῖχός ἐστιν ἀσφαλές, αὕτη λιμὴν εὔδιος, ἀρρετῶν φυλακτήριον, παθῶν ἀναίρεσις, ψυχῆς εὐτονία, νοὸς καθαρτήριον, κεκμηκότων ἀνάπαυσις, πενθούντων παράκλησις. Προσευχὴ Θεοῦ ὁμιλία, τῶν ἀοράτων θεωρία, τῶν ἐπιθυμούντων πληροφορία, τῶν Ἀγγέλων διαγωγή, τῶν καλῶν προτροπή, τῶν ἐλπιζομένων ὑπόστασις[55]*. Ταύτης τῆς βασιλίδος τῶν ἀρετῶν ἐπιλαβοῦ, ἀσκητά, πάσῃ δυνάμει. Προσεύχου ἡμέρας τε, καὶ νυκτός, ἐν ἀθυμίᾳ, ἐν εὐθυμίᾳ. Προσεύχου δὲ ἐμφόβως καὶ ἐντρόμως, νηφαλαίῳ τε, καὶ ἐγρηγορότι νοΐ, ἵνα δεκτὴ Κυρίῳ γένηται ἡ προσευχή σου˙ ὀφθαλμοὶ γάρ, φησί, Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν*[56]*.*

ξα΄. Εἴρηταί τινι τῶν ἀρχαίων εὐστόχως, καὶ μάλα ἐπιτετευγμένως, ὅτι τῶν ἀντικειμένων ἡμῖν, φησί, δαιμόνων πρῶτοι κατὰ τὸν πόλεμόν εἰσιν οἱ τὰς τῆς γαστριμαργίας ὀρέξεις πεπιστευμένοι, καὶ οἱ τὴν φιλαργυρί-

προσευχή, ἂς ποῦμε σχεδὸν ἀδιάκοπη καὶ ἀδιάλειπτη. Αὐτὴ εἶναι ἀσφαλὲς τεῖχος, αὐτὴ ὑπήνεμο λιμάνι, τὸ φρούριο τῶν ἀρετῶν, ὁ ἀφανισμὸς τῶν παθῶν, ἡ δύναμι τῆς ψυχῆς, τὸ καθαρτήριο τοῦ νοός, ἡ ἀνάπαυσι τῶν κουρασμένων, ἡ παρηγορία ἐκείνων ποὺ πενθοῦν. Προσευχὴ [εἶναι] κοινωνία τοῦ Θεοῦ, θεωρία τῶν ἀοράτων, ἡ πληροφορία ἐκείνων ποὺ ἐπιθυμοῦν [νὰ μάθουν τὰ μυστήρια τῆς πνευματικῆς ζωῆς], ὁ τρόπος ζωῆς τῶν Ἀγγέλων, προτροπὴ γιὰ τὰ καλά, ἡ πραγματοποίησι τῶν ἐλπιζομένων. Ἄδραξε ἀσκητά, αὐτὴ τὴν βασίλισσα τῶν ἀρετῶν, μὲ ὅλη [σου] τὴν δύναμι. Προσευχήσου καὶ ἡμέρα καὶ νύκτα μὲ καλὴ καὶ κακὴ διάθεσι. Προσευχήσου δὲ μὲ φόβο καὶ τρόμο, μὲ νηφάλιο καὶ ἄγρυπνο νοῦ γιὰ νὰ γίνῃ ἡ προσευχή [σου] δεκτὴ ἀπὸ τὸν Κύριο· διότι, λέγει [ἡ Ἁγία Γραφή]: «οἱ ὀφθαλμοὶ τοῦ Κυρίου [εἶναι στραμμένοι] πάνω στοὺς δικαίους καὶ τὰ αὐτιά Του [εἶναι ἀνοιχτὰ γιὰ νὰ ἀκούσουν] στὴν προσευχή τους».

61. Ἔχει εἰπωθῆ εὔστοχα καὶ πολὺ πετυχημένα ἀπὸ κάποιον ἀπὸ τοὺς παλαιούς, ὅτι ἀπὸ τοὺς δαίμονες, λέγει, ποὺ μᾶς ἐπιτίθενται, πρῶτοι στὸν πόλεμο εἶναι ἐκεῖνοι στοὺς ὁποίους ἔχουν ἀνατεθεῖ οἱ ὀρέξεις τῆς γαστριμαργίας καὶ ἐκεῖνοι οἱ ὁποῖοι μᾶς ὑποβάλ-

αν ἡμῖν ὑποβάλλοντες, καὶ οἱ πρὸς κενοδοξίαν ἡμᾶς ἐκκαλούμενοι. Οἱ δὲ ἄλλοι πάντες κατόπιν τούτων βαδίζοντες, τοὺς ὑπὸ τούτων τιτρωσκομένους διαδέχονται.

ξβ'. Καὶ ὄντως ἐπισημηνάμενοι ἔγνωμεν, ὅτι οὐκ ἔστιν ἄνθρωπον περιπεσεῖν ἁμαρτίᾳ, ἢ πάθει τινί, μὴ πρότερον ὑπό τινος τῶν τριῶν τούτων κατατρωθέντα. Διὸ καὶ τοὺς τρεῖς τούτους λογισμοὺς ὁ διάβολος τότε τῷ Σωτῆρι προσήγαγεν[57]*. Ὧν ὁ Κύριος ἡμῶν κρείττων φανείς, εἰς τὰ ὀπίσω χωρεῖν τῷ διαβόλῳ προσέταττεν, διδοὺς ἡμῖν τὴν κατ᾽ αὐτοῦ νίκην, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Δεσπότης, ὁ κατὰ πάντα ὁμοιοπαθὲς ἡμῖν περιθέμενος σῶμα, χωρὶς ἁμαρτίας*[58]*, καὶ δείξας ἡμῖν τὴν τῆς ἀναμαρτησίας τρίβον ἀπλανῆ, ἐν ᾗ πορευόμενοι ἀναμορφοῦμεν ἑαυτοῖς τὸν νέον ἄνθρωπον, τὸν ἀνακαινούμενον κατ᾽ εἰκόνα τοῦ κτίσαντος αὐτόν*[59]*.*

ξγ'. Τέλειον μῖσος μισεῖν τοὺς δαίμονας, ὡς ἅτε τῆς σωτηρίας ἡμῶν ἐχθρούς, ὁ δαβιτικὸς διδάσκει λόγος[60]*, καὶ ἔστι*

λουν τὴν φιλαργυρία καὶ ὅσοι μᾶς ἐξωθοῦν στὴν κενοδοξία. Καὶ ὅλοι οἱ ὑπόλοιποι [δαίμονες], ἐπειδὴ βαδίζουν πίσω ἀπὸ αὐτούς, ἀναλαμβάνουν κατόπιν ἐκείνους ποὺ ἔχουν πληγωθῆ ἀπὸ αὐτοὺς [τοὺς πρώτους].

62. Καὶ πράγματι, ἔχοντας κατάδηλα τὰ σημεῖα τῆς ἐμπειρίας μας, γνωρίσαμε, ὅτι δὲν εἶναι δυνατὸν νὰ περιπέσῃ ἄνθρωπος σὲ ἁμαρτία ἢ σὲ κάποιο πάθος, ἐὰν προηγουμένως δὲν καταπληγωθῇ ἀπὸ κάποιο ἀπὸ αὐτὰ τὰ τρία. Γι᾽ αὐτὸ τότε στὸν Σωτῆρα, καὶ τοὺς τρεῖς αὐτοὺς λογισμούς, παρουσίασε ὁ διάβολος. Ὁ Κύριός μας, ἀφοῦ ἀποδείχθηκε ἰσχυρότερος ἀπ᾽ αὐτοὺς τοὺς λογισμούς, ἐπρόσταζε τὸν διάβολο νὰ ὑποχωρῇ πίσω, παραδίδοντας σὲ μᾶς τὴν νίκη ἐναντίον του, [τὸν τρόπο τοῦ πολέμου ἐναντίον τοῦ διαβόλου] ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Κύριος, ὁ ὁποῖος περιεβλήθη σῶμα ὁμοιοπαθὲς κατὰ πάντα μ᾽ ἐμᾶς, ἐκτὸς τῆς ἁμαρτίας, καὶ ἀφοῦ μᾶς ἔδειξε τὴν ἀλάνθαστη ὁδὸ τῆς ἀναμαρτησίας, στὴν ὁποία ἐὰν πορευθοῦμε ἀναμορφώνομε στοὺς ἑαυτούς μας τὸν νέο ἄνθρωπο, ὁ ὁποῖος γίνεται καινούργιος, κατὰ τὴν εἰκόνα Ἐκείνου ποὺ τὸν δημιούργησε.

63. Ὁ λόγος τοῦ Δαυῒδ [μᾶς] διδάσκει, νὰ μισοῦμε μὲ τέλειο μῖσος τοὺς δαίμονες, ὡς ἐχθροὺς πράγματι τῆς σωτηρίας μας, καὶ εἶναι

τοῦτο πάνυ πρὸς ἀρετῆς ἐργασίαν ἐπιτήδειον. Τίς οὖν ἐστιν ὁ τέλειον μῖσος μισῶν τοὺς ἐχθρούς; Ὁ μηκέτι κατ᾽ ἐνέργειαν, ἢ κατὰ διάνοιαν ἁμαρτάνων. Ἐν ὅσῳ δὲ τά σκεύη τῆς αὐτῶν φιλίας, ἤγουν τὰ αἴτια τῶν παθῶν, ἐν ἡμῖν ὦσι, πῶς τὸ πρὸς αὐτοὺς μῖσος ἐν ἡμῖν κατορθωθήσεται; Φιλήδονος γὰρ καρδία τοῦτο ἐκτρέφειν παρ᾽ ἑαυτῇ οὐκ ἰσχύει.

ξδ΄. Ἔνδυμα γαμικόν ἐστιν ἀπάθεια ψυχῆς λογικῆς τῶν κοσμικῶν κεχωρισμένης ἡδονῶν καὶ πάσας ἀρνησαμένης τὰς ἀτόπους ἐπιθυμίας, ἐννοίαις δὲ φιλοθέοις, καὶ μελέτῃ καθαρωτάτῃ θεωριῶν ἀσχολουμένης. Ἐκ δὲ τῶν τῆς ἀτιμίας παθῶν, καὶ τῶν ἐν τούτοις ἀδολεσχιῶν, τὸν χιτῶνα τῆς σωφροσύνης, ταύτης ἐκδύεται, ῥάκεσι δὲ διεῤῥωγόσι, καὶ καταρεῤῥυπωμένοις ἠχρείωται, καθὼς καὶ ἐν τοῖς Εὐαγγελίοις δηλοῦται, ὅτι ὁ δεσμούμενος ἐκεῖνος χεῖρας καὶ πόδας, καὶ εἰς τὸ ἐξώτερον σκότος βαλλόμενος, ἐκ τοιούτων λογισμῶν, καὶ πράξεων εἶχε καθυφασμένον τὸ ἔνδυμα,

αὐτὸ πολὺ κατάλληλο γιὰ τὴν ἐργασία τῆς ἀρετῆς. Ποιὸς εἶναι λοιπὸν ἐκεῖνος, ὁ ὁποῖος μισεῖ μὲ τέλειο μῖσος τοὺς ἐχθρούς; Ἐκεῖνος, ὁ ὁποῖος δὲν ἁμαρτάνει πλέον, οὔτε μὲ τὴν πρᾶξι οὔτε μὲ τὴν διάνοιά [του]. Ἐν ὅσῳ ὅμως τὰ προαπαιτούμενα γιὰ τὴν φιλία τους, δηλαδὴ τὰ αἴτια τῶν παθῶν, βρίσκονται σ᾽ ἐμᾶς, πῶς θὰ κατορθωθῇ σὲ μᾶς τὸ ἐνατίον τους μῖσος; Διότι ἡ φιλήδονος καρδία, δὲν ἔχει τὴν δύναμι νὰ ἀναθρέψῃ αὐτὸ [τὸ μῖσος] κοντά της.

64. Ἔνδυμα γάμου εἶναι ἡ ἀπάθεια τῆς λογικῆς ψυχῆς, ἡ ὁποία ἔχει χωρισθῇ ἀπὸ τὶς κοσμικὲς ἡδονὲς καὶ ἀρνήθηκε ὅλες τὶς ἀνάρμοστες ἐπιθυμίες καὶ ἀσχολεῖται μὲ φιλόθεους λογισμοὺς καὶ τὴν καθαρωτάτη μελέτη [θείων] θεωριῶν. Αὐτῆς ὅμως τῆς σωφροσύνης τὸν χιτῶνα ἀπεκδύεται [ἡ ψυχή], ἕνεκα τῶν παθῶν τῆς ἀτιμίας καὶ τῶν ἐνασχολήσεων μὲ αὐτὰ [τὰ πάθη], ἐξαθλιώνεται δὲ μὲ κουρέλια ξεσχισμένα καὶ καταλερωμένα, καθὼς καὶ στὰ Εὐαγγέλια καταδεικνύεται, ὅτι ἐκεῖνος, ὁ ὁποῖος ἦταν δεμένος στὰ χέρια καὶ στὰ πόδια καὶ ἐρρίπτετο στὸ σκότος τὸ ἐξώτερο, ἀπὸ τέτοιους λογισμοὺς καὶ πράξεις εἶχε ὑφασμένο τὸ ἔνδυμά [του],

ὅνπερ οὐκ ἄξιον τῶν θείων καὶ ἀφθάρτων γάμων ὁ λόγος ἀπεφήνατο εἶναι[61].

ξε΄. Ἀπὸ τῆς φιλαυτίας τῆς πάντας μισούσης, σοφός τις εἰκότως ἐφθέγξατο. Πρῶτος γάρ ἐστι πάντων τῶν λογισμῶν ὁ δεινὸς οὗτος τῆς φιλαυτίας πόλεμος, καθάπερ τις τύραννος ὤν, μεθ᾽ ὧν [recte: ὃν] καὶ οἱ τρεῖς, καὶ οἱ πέντε τὸν νοῦν ἡμῶν ἁρπάζουσι.

ξϛ΄. Θαυμάζω, εἰ βρώματα κορεννύμενος, δυνήσεταί τις ἀπάθειαν κτήσασθαι. Ἀπάθειαν δὲ λέγω, οὐ τὴν ἀποχὴν τῆς κατ᾽ ἐνέργειαν ἁμαρτίας· αὕτη γὰρ ἐγκράτεια λέγεται. Ἀλλὰ τὴν ἀπὸ τῆς διανοίας τὰς ἐμπαθεῖς ἐννοίας προρρίζους ἐκτίλλουσαν, ἥτις καὶ καθαρότης καρδίας ὠνόμασται.

ξζ΄. Ῥᾷον ἀκάθαρτον καθᾶραι ψυχήν, ἢ καθαρθεῖσαν, καὶ πάλιν τραυματισθεῖσαν, εἰς ὑγείαν αὖθις ἀνακαλέσασθαι. Τοῖς γὰρ ἄρτι τῆς τοῦ κόσμου συγχύσεως ἀποταξαμένοις, ὁποίοις ἂν τύχωσι περιπεπτωκότες πλημμελήμασιν, εὐκοπώτερόν ἐστι τῆς ἀπα-

τὸ ὁποῖο ἀκριβῶς ὁ [Θεὸς] Λόγος ἔκρινε, ὅτι δὲν εἶναι ἄξιο τῶν θείων καὶ ἀφθάρτων γάμων.

65. [Λαμβάνοντας ἀφορμὴ] ἀπὸ τὴν φιλαυτία, ἡ ὁποία μισεῖ τοὺς πάντες, κάποιος σοφὸς εὐλόγως εἶπε: «Πρῶτος βέβαια ἀπὸ ὅλους τοὺς [δαιμονικοὺς] λογισμούς, εἶναι αὐτὸς ὁ φοβερὸς πόλεμος τῆς φιλαυτίας, ὅπως ἀκριβῶς εἶναι κάποιος τύραννος. Μετὰ ἀπ᾽ αὐτὸν ἁρπάζουν τὸν νοῦ μας καὶ οἱ τρεῖς [λογισμοί, δηλαδὴ γαστριμαργίας, φιλαργυρίας, κενοδοξίας] καὶ οἱ πέντε [πορνείας, ὀργῆς, λύπης, ἀκηδίας, ὑπερηφανίας]».

66. Ἀπορῶ, ἐὰν θὰ μπορέσῃ νὰ ἀποκτήσῃ τὴν ἀπάθεια ἐκεῖνος, ὁ ὁποῖος χορταίνει ὑπερβολικὰ μὲ τὰ φαγητά. Ἀπάθεια δὲ ὀνομάζω ὄχι τὴν ἀποχὴ ἀπὸ τὴν ἔμπρακτη ἁμαρτία, διότι αὐτὴ λέγεται ἐγκράτεια. Ἀλλὰ [ἀποκαλῶ ἀπαθεια] ἐκείνη, ἡ ὁποία ἐξάγει μαζὶ μὲ τὶς ρίζες [τους] τοὺς ἐμπαθεῖς λογισμοὺς ἀπὸ τὴν διάνοια, ἡ ὁποία ἔχει ὀνομασθῆ καὶ καθαρότητα καρδίας.

67. [Εἶναι] εὐκολώτερο νὰ καθάρῃ [κάποιος] τὴν ἀκάθαρτη ψυχή [του], παρὰ νὰ [τὴν] ἐπαναφέρῃ πάλι στὴν ὑγεία, ἂν ἔχῃ καθαρθῆ καὶ ἐκ νέου λαβωθῇ. Διότι γιὰ ἐκείνους οἱ ὁποῖοι πρόσφατα ἐγκατέλειψαν τὴν σύγχυσι τοῦ κόσμου, σὲ ὅποια κι ἂν τύχῃ νὰ ἔχουν ὑποπέσει παραπτώματα, εἶναι εὐκολώτερο νὰ ἐπι-

θείας ἐπιλαβέσθαι. Τοῖς δὲ γευσαμένοις καλῶν Θεοῦ ῥημάτων, καὶ βαδίσασιν ὁδὸν σωτηρίας, εἶτα παλινδρομήσασι πρὸς τὴν ἁμαρτίαν, δυσκατόρθωτός πως ἡ ἀπάθεια γίνεται. Τοῦτο μὲν διὰ τὴν κακὴν ἕξιν, καὶ πονηρὰν συνήθειαν, τοῦτο δὲ τοῦ δαίμονος τῆς λύπης ἀεὶ ταῖς κόραις τῶν ὀφθαλμῶν ἐμπεδοῦντος, καὶ τὸ τῆς ἁμαρτίας προσφέροντος εἴδωλον. Σπουδαία μέντοι καὶ φιλόπονος ψυχή, καὶ τὸ δυσκατόρθωτον τοῦτο ῥᾳδίως κατώρθωσε, συνεργείᾳ τῆς θείας χάριτος, μακροθύμως φιλανθρωπευομένης εἰς ἡμᾶς, καὶ πρὸς μετάνοιαν προσκαλουμένης, καὶ τοὺς ἐπιστρέφοντας σπλάχνοις ἀῤῥήτοις οἰκτιρμῶν προσδεχομένης, καθὼς ἐν τοῖς Εὐαγγελίοις διὰ τῆς τοῦ ἀσώτου παιδὸς παραβολῆς ἐδιδάχθημεν[62].

ξη΄. Οὐδεὶς ἡμῶν ἐκ τῆς οἰκείας ἰσχύος δύναται περιγενέσθαι τῶν μεθόδων καὶ τεχνῶν τοῦ πονηροῦ, ἀλλ᾽ ἐκ τῆς ἀηττήτου δυνάμεως τοῦ Χριστοῦ. Μάτην οὖν πεπλάνηνται οἱ φυσιούμε-

τύχουν τὴν ἀπάθεια. Γιὰ ἐκείνους ὅμως οἱ ὁποῖοι γεύθηκαν τὰ ἀγαθὰ λόγια τοῦ Θεοῦ, καὶ βάδισαν τὴν ὁδὸ τῆς σωτηρίας, ἂν ἔπειτα ἐπέστρεψαν πάλι πρὸς τὴν ἁμαρτία, γίνεται κάπως δυσκατόρθωτη ἡ ἀπάθεια, ἐν μέρει μὲν ἐξ αἰτίας τῆς κακῆς ἐσωτερικῆς καταστάσεως καὶ πονηρῆς συνηθείας, ἐν μέρει δέ, ἐξ αἰτίας τοῦ δαίμονος τῆς λύπης, ὁ ὁποῖος πάντοτε καιροφυλακτεῖ στὶς κόρες τῶν ὀφθαλμῶν καὶ προβάλλει τὴν εἰκόνα τῆς ἁμαρτίας. Ἀλλὰ ὅμως ἡ ἐπιμελὴς καὶ φιλόπονη ψυχὴ καὶ αὐτὸ τὸ δυσκατόρθωτο εὔκολα [τὸ] κατόρθωσε μὲ τὴν συνεργία τῆς θείας Χάριτος, ἡ ὁποία μακρόθυμα δείχνει φιλανθρωπία σὲ μᾶς καὶ [μᾶς] προσκαλεῖ στὴν μετάνοια καὶ ὑποδέχεται στὴν ἀπερίγραπτη ἀγκάλη τῆς εὐσπλαχνίας [Της] ἐκείνους ποὺ ἐπιστρέφουν, ὅπως διδαχθήκαμε ἀπὸ τὴν παραβολὴ τοῦ ἀσώτου υἱοῦ στὰ Εὐαγγέλια.

68. Κανεὶς ἀπὸ ἐμᾶς δὲν δύναται μὲ τὴν δική του δύναμι, νὰ ὑπερισχύσῃ στὶς μεθόδους καὶ τὰ τεχνάσματα τοῦ πονηροῦ, παρὰ μόνο μὲ τὴν ἀήττητο δύναμι τοῦ Χριστοῦ. Ἀδίκως λοιπὸν ἀπατῶνται ἐκεῖνοι οἱ ὁποῖοι ὑπερηφανεύ-

νοι διὰ τῶν παρ᾽ αὐτοῖς τελουμένων ἀσκήσεων, καὶ τοῦ αὐτεξουσίου, καταργεῖν τὴν ἁμαρτίαν φημίζοντες, τὴν διὰ μόνης τῆς τοῦ Θεοῦ χάριτος καταργουμένην, ὡς ἅτε νεκρωθεῖσαν διὰ τοῦ ἐν τῷ σταυρῷ μυστηρίου. Διὰ τοῦτο καὶ ὁ τῆς Ἐκκλησίας φωστὴρ Ἰωάννης ὁ Χρυσόστομος λέγει, ὅτι οὐκ ἀρκεῖ προθυμία ἀνθρώπου, ἂν μὴ καὶ τῆς ἄνωθεν ἀπολαύσῃ ῥοπῆς. Καὶ ὅτι πάλιν οὐδὲν κερδανοῦμεν ἀπὸ τῆς ἄνωθεν ῥοπῆς, προθυμίας οὐκ οὔσης, καὶ ταῦτα ἀμφότερα δείκνυσι Ἰούδας, καὶ Πέτρος. Ὁ μὲν γὰρ πολλῆς ἀπολαύσας βοηθείας οὐδὲν ὠφελήθη[63]*, ἐπεὶ μὴ ἠθέλησε, μηδὲ τὰ παρ᾽ ἑαυτοῦ συνεισήνεγκεν. Ὁ δὲ Πέτρος, καίπερ προθυμηθείς, ἐπειδή μηδεμιᾶς ἀπήλαυσε βοηθείας, κατέπεσε*[64]*· καὶ γὰρ ἀπὸ τῶν δύο τούτων ἡ ἀρετὴ ὑφαίνεται. Διὸ παρακαλῶ, φησί, μήτε τὸ πᾶν ἐπὶ τὸν Θεὸν ῥίψαντας καθεύδειν, μήτε σπουδάζοντας, νομίζειν οἰκείοις πόνοις τὸ πᾶν κατορθοῦν.*

ξθ′. Οὔτε γὰρ ὑπτίους εἶ-

ονται, ἕνεκα τῶν ἀσκήσεων, οἱ ὁποῖες τελοῦνται ἀπ᾽ αὐτούς, καὶ ἐπαινοῦν τὸ αὐτεξούσιο [τοῦ ἀνθρώπου] ὅτι καταργεῖ τὴν ἁμαρτία, ἡ ὁποία μόνο διὰ τῆς Χάριτος τοῦ Θεοῦ καταργεῖται, δεδομένου ὅτι ὄντως νεκρώθηκε διὰ τοῦ ἐν τῷ σταυρῷ μυστηρίου. Γι᾽ αὐτὸ καὶ ὁ φωστήρας τῆς Ἐκκλησίας, ὁ [Ἅγιος] Ἰωάννης ὁ Χρυσόστομος λέγει, ὅτι δὲν ἀρκεῖ ἡ προθυμία τοῦ ἀνθρώπου, ἂν δὲν λάβῃ καὶ ἄνωθεν τὴν [θεία] ἐνέργεια. Καὶ ὅτι πάλι τίποτα δὲν θὰ κερδίσωμε ἀπὸ τὴν ἄνωθεν [θεία] ἐνέργεια, ἐὰν δὲν ὑπάρχῃ ἡ προθυμία, καὶ αὐτὰ τὰ δύο φανερώνουν ὁ Ἰούδας καὶ ὁ Πέτρος. Διότι ὁ μὲν [Ἰούδας], ἂν καὶ ἀπήλαυσε πολλὴ βοήθεια, δὲν ὠφελήθηκε, ἐπειδὴ δὲν θέλησε, οὔτε καὶ προσέφερε τὰ τοῦ ἑαυτοῦ του. Ὁ δὲ Πέτρος, ἂν καὶ προθυμοποιήθηκε, ἐπειδὴ δὲν ἔλαβε καμία [θεία] βοήθεια, ἐξέπεσε. Διότι ἡ ἀρετὴ συνδυάζεται καὶ ἀπὸ τὰ δύο αὐτά, [καὶ τὴν βοήθεια τοῦ Θεοῦ καὶ τὴν προθυμία τοῦ ἀνθρώπου]. Γι᾽ αὐτό, λέγει [ὁ Ἅγιος Ἰωάννης, ὁ Χρυσόστομος]: «παρακαλῶ [τοὺς ἐν Χριστῷ Ἀδελφούς], οὔτε νὰ κοιμοῦνται ἐναποθέτοντας τὰ πάντα στὸν Θεό, οὔτε ὅταν δείχνουν μὲ ζῆλο ἐπιμέλεια, νὰ νομίζουν ὅτι κατορθώνουν τὰ πάντα, ἕνεκα τῶν δικῶν τους κόπων».

69. Διότι δὲν μᾶς θέλει ὁ Θεός, οὔ-

ναι ἡμᾶς βούλεται ὁ Θεός· διὰ τοῦτο οὐ τὸ πᾶν αὐτὸς κατεργάζεται. Οὔτε ἀλαζόνας βούλεται εἶναι· διὰ τοῦτο οὐ τὸ πᾶν ἡμῖν ἔδωκεν, ἀλλ᾽ ἑκατέρου τὸ βλαβερὸν ἀνελών, τὸ χρήσιμον ἡμῖν εἴασε. Καλῶς δὲ καὶ ὁ ψαλμῳδὸς διδάσκει, ἐὰν μὴ Κύριος, λέγων, οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἀγρυπνεῖ ὁ φυλάσσων καὶ κοπιῶν[65]*. Ἀμήχανον γὰρ ἐπιβῆναι ἐπὶ ἀσπίδα, καὶ βασιλίσκον, καὶ καταπατῆσαι λέοντα, καὶ δράκοντα*[66]*, εἰμὴ πρότερον, καθ᾽ ὅσον δυνατὸν ἀνθρώπῳ, ἐκκαθάρας ἑαυτόν, δυναμωθῇ παρὰ τοῦ εἰπόντος τοῖς Ἀποστόλοις· ἰδοὺ δέδωκα ὑμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων, καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ*[67]*. Διὸ δὴ καὶ προσετάχθημεν ἐν τῇ προσευχῇ δέεσθαι τοῦ Δεσπότου, μὴ εἰσενεγκεῖν ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥύσασθαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ*[68]*. Ἐὰν γὰρ μὴ διὰ τῆς δυνάμεως, καὶ βοηθείας τοῦ Χριστοῦ ῥυσθῶμεν τῶν πεπυρωμένων βελῶν τοῦ πονηροῦ*[69] *καὶ καταξιωθῶμεν*

τε νὰ εἴμαστε ράθυμοι - γι᾽ αὐτὸ δὲν ὁλοκληρώνει ὁ ἴδιος τὰ πάντα- οὔτε θέλει νὰ εἴμαστε ἀλαζόνες – γι᾽ αὐτὸ δὲν μᾶς παρέδωσε τὰ πάντα- ἀλλὰ ἀφοῦ ἐξήλειψε ἀπὸ τὸ καθένα τὸ βλαβερό, μᾶς ἄφησε τὸ χρήσιμο. Καλῶς λοιπὸν καὶ ὁ Ψαλμωδὸς διδάσκει, λέγοντας: «ἐὰν ὁ Κύριος δὲν οἰκοδομήσῃ τὸ σπίτι, μάταια ἀγρυπνεῖ ἐκεῖνος ποὺ [τὸ] φυλάει καὶ κοπιάζει». Διότι [εἶναι] ἀδύνατον [κάποιος] νὰ πατήσῃ ἐπάνω στὰ [δηλητηριώδη φίδια], ἀσπίδα καὶ βασιλίσκο, καὶ νὰ ποδοπατήσῃ τὸ λιοντάρι καὶ τὸν δράκοντα, ἐὰν προηγουμένως, ἀφοῦ καθάρῃ, ὅσο [εἶναι] ἀνθρωπίνως δυνατόν, τὸν ἑαυτό του, δὲν ἐνδυναμωθῇ ἀπὸ Ἐκεῖνον ὁ ὁποῖος εἶπε στοὺς Ἀποστόλους: «ἰδοὺ σᾶς ἔδωσα τὴν ἐξουσία νὰ πατᾶτε ἐπάνω στὰ φίδια καὶ στοὺς σκορπιοὺς καὶ πάνω σὲ ὅλη τὴν δύναμι τοῦ ἐχθροῦ». Γι᾽ αὐτὸ λοιπὸν καὶ μᾶς ἐδόθη ἐντολὴ νὰ παρακαλοῦμε τὸν Κύριο κατὰ τὴν προσευχή, νὰ μὴν μᾶς ἐπιτρέψῃ νὰ περιπέσωμε σὲ πειρασμό, ἀλλὰ νὰ μᾶς λυτρώσῃ ἀπὸ τὸν πονηρό. Διότι, ἐὰν δὲν λυτρωθοῦμε διὰ τῆς δυνάμεως καὶ τῆς βοηθείας τοῦ Χριστοῦ ἀπὸ τὰ φλογισμένα βέλη τοῦ πονηροῦ καὶ καταξιωθοῦμε

τῆς ἀπαθείας τυχεῖν, μάτην κοπιῶμεν, ἐξ οἰκείας δυνάμεως, ἢ σπουδῆς δοκοῦντές τι κατορθῶσαι. Ὁ τοίνυν βουλόμενος ἀντιστῆναι πρὸς τὰς μεθοδίας τοῦ διαβόλου[70] καὶ ταύτας ἀπράκτους ἀπεργάσαι καὶ τῆς θείας δόξης μέτοχος γενέσθαι, ὀφείλει δάκρυσι, καὶ στεναγμοῖς, καὶ ἀκορέστῳ πόθῳ, καὶ ζεούσῃ ψυχῇ νύκτωρ καὶ μεθ' ἡμέραν ζητεῖν τὴν τοῦ Θεοῦ βοήθειαν καὶ θείαν ἀντίληψιν· ταύτης δὲ ὁ θέλων μετασχεῖν καθαρὰν ἀπεργάζεται τὴν ψυχὴν αὐτοῦ πάσης ἡδυπαθείας τοῦ κόσμου, καὶ τῶν ἐναντίων παθῶν καὶ ἐπιθυμιῶν. Περὶ τῶν τοιούτων γὰρ ψυχῶν φησὶν ὁ Θεός· ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω[71]. Καὶ ὁ Κύριος τοῖς μαθηταῖς ἔλεγεν· ὁ ἀγαπῶν με, τὰς ἐντολάς μου τηρήσει, καὶ ὁ πατήρ μου ἀγαπήσει αὐτόν, καὶ ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν[72].

ο'. Συνετὸν ἄγαν καὶ εὔληπτον λόγον πρὸς τοὺς λογισμοὺς εἴρηκέ τις τῶν ἀρχαίων· δίκαζε, λέγων, τοὺς λογισμοὺς ἐν τῷ βήματι τῆς καρδίας,

νὰ ἐπιτύχωμε τὴν ἀπάθεια, μάταια κοπιάζομε, ἐὰν νομίζωμε, ὅτι κατορθώσαμε κάτι, ἕνεκα τῆς δικῆς μας δυνάμεως. Ἐκεῖνος ἑπομένως, ὁ ὁποῖος ἐπιθυμεῖ νὰ ἀντισταθῇ στὶς πανουργίες τοῦ διαβόλου καὶ νὰ τὶς κάνῃ ἀναποτελεσματικὲς καὶ νὰ γίνῃ κοινωνὸς τῆς θείας δόξης, ὀφείλει μὲ δάκρυα καὶ στεναγμοὺς καὶ ἀκόρεστο πόθο καὶ ἔνθερμη ψυχὴ νὰ ἐκζητᾷ, νύκτα καὶ ἡμέρα, τὴν βοήθεια τοῦ Θεοῦ καὶ τὴν θεία ἀντίληψι. Ἐκεῖνος δέ, ὁ ὁποῖος θέλει νὰ μετέχῃ σ' αὐτήν, κάνει τὴν ψυχή του καθαρὴ ἀπὸ κάθε ἡδυπάθεια τοῦ κόσμου καὶ ἀπὸ τὰ ἐνάντια πάθη καὶ τὶς ἐπιθυμίες. Σχετικὰ μ' αὐτὲς τὶς ψυχὲς λέγει ὁ Θεός: «θὰ ἐνοικήσω ἐντός τους καὶ θὰ παραμείνω [σ' αὐτούς]». Καὶ ὁ Κύριος ἔλεγε στοὺς μαθητές [Του]: «ἐκεῖνος, ποὺ μὲ ἀγαπᾶ, θὰ τηρήσῃ τὶς ἐντολές μου καὶ ὁ Πατέρας μου θὰ τὸν ἀγαπήσῃ καὶ θὰ ἔρθωμε καὶ θὰ κατοικήσωμε σ' αὐτόν».

70. Πολὺ συνετὸ καὶ εὐνόητο λόγο, ἐν σχέσει πρὸς τοὺς λογισμούς, ἔχει πεῖ κάποιος ἀπὸ τοὺς παλαιούς, συμβουλεύοντας: «κρῖνε τοὺς λογισμοὺς στὸ δικαστικὸ βῆμα τῆς καρδίας σου,

ἤτοι ἡμέτεροί εἰσιν, ἢ τῶν ὑπεναντίων· καὶ τοὺς μὲν οἰκείους ἡμῖν καὶ ἀγαθοὺς ἐν τῷ ἐνδοτέρῳ τῆς ψυχῆς ταμείῳ ὑποτίθεσο, ἐν ἀσύλῳ θησαυρῷ τούτους φυλάττων· τοὺς δὲ ἐναντίους, μάστιξι λογικῆς διανοίας τιμωρήσας, ἐξόριζε, μὴ τόπον, μὴ κατοίκησιν ἐν τῇ περιχώρῳ τῆς ψυχῆς σου τούτοις διδούς, ἢ μᾶλλον οἰκειότερον εἰπεῖν, τελείως ἀπόσφαττε μαχαίρᾳ προσευχῆς, καὶ θειοτέρας μελέτης· ἵνα τῶν ληστῶν ἀναιρουμένων, ὁ ἀρχιληστὴς φοβηθῇ· καὶ γὰρ ὁ ὤν, φησίν, ἀκριβὴς τῶν λογισμῶν ἐξεταστής, ἔστι καὶ ἀληθὴς τῶν ἐντολῶν ἐραστής.

οα΄. Ὁ τὰ πολεμοῦντα καὶ παρενοχλοῦντα πυκτεύων ἐκκόψαι, πλείονας ὁπλίτας συμμάχους ἐπιστρατηγείτω τῇ μάχῃ· φημὶ δὴ ταπείνωσίν τε ψυχῆς, καὶ κόπον σώματος, καὶ τὴν ἄλλην πᾶσαν τῆς ἀσκήσεως ταλαιπωρίαν, καὶ τὴν ἐκ τεθλιμμένης καρδίας μετὰ πλήθους δακρύων προσευχήν, καθὼς ψάλλει ὁ Δαβίδ· ἴδε τὴν ταπείνωσίν μου, καὶ τὸν

εἶναι δικοί μας ἀληθινὰ ἢ τῶν ἀντιπάλων [δαιμόνων]· καὶ τοὺς μὲν δικούς μας καὶ ἀγαθοὺς θέσε βαθειὰ μέσα στὸ ἐνδότερο ταμεῖο τῆς ψυχῆς [σου], διαφυλάσσοντας αὐτοὺς σὲ ἀπαραβίαστο θησαυροφυλάκιο· τοὺς δὲ ἐχθρικούς, ἀφοῦ τοὺς τιμωρήσῃς μὲ τὶς μάστιγες τῆς λογικῆς διανοίας, ἐξόριζε χωρὶς νὰ δώσῃς σ' αὐτοὺς οὔτε τόπο, οὔτε διαμονὴ γύρω ἀπὸ τὴν ψυχή σου ἢ μᾶλλον γιὰ νὰ μιλήσω πιὸ ταιριαστά, σφάξε τους ἐντελῶς μὲ τὴν μάχαιρα τῆς προσευχῆς καὶ τῆς πνευματικώτερης μελέτης· ὥστε, ὅταν φονευθοῦν οἱ λῃστές, νὰ φοβηθῇ ὁ ἀρχιληστής». Διότι λέγει: «ἐκεῖνος, ὁ ὁποῖος εἶναι ἀκριβὴς ἐξεταστὴς τῶν λογισμῶν, εἶναι καὶ ἀληθινὸς ἐραστὴς τῶν ἐντολῶν».

71. Ἐκεῖνος, ὁ ὁποῖος παλεύει νὰ ἀποκόψῃ ἐκεῖνα τὰ ὁποῖα [τὸν] πολεμοῦν καὶ [τὸν] ἐνοχλοῦν, ἂς ἐπιστρατεύῃ στὴν μάχη περισσοτέρους συμπαραστάτες πολεμιστές· λέγω, βέβαια, καὶ τὴν ταπείνωσι τῆς ψυχῆς καὶ τὸν κόπο τοῦ σώματος καὶ ὅλη τὴν ἄλλη ταλαιπωρία τῆς ἀσκήσεως, καὶ τὴν προσευχὴ μὲ πλῆθος δάκρυα ἀπὸ θλιμμένη καρδία, καθὼς ὁ Δαυῒδ ψάλλει: «Δὲς τὴν ταπείνωσί μου καὶ τὸν

κόπον μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου[73]· καί, τῶν δακρύων μου μὴ παρασιωπήσῃς[74]· καὶ πάλιν, ἐγενήθη τὰ δάκρυά μου ἐμοὶ ἄρτος ἡμέρας καὶ νυκτός[75]· καί, τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων[76].

οβʹ. Ὁ μὲν ἀντίδικος τῆς ζωῆς ἡμῶν διάβολος[77] διὰ πολλῶν λογισμῶν τὰς ἁμαρτίας ἡμῶν κατασμικρύνει, καὶ πολλάκις λήθῃ ταύτας καλύπτει, ἵνα, ὑπενδόντες τοῖς πόνοις, μὴ λογιζώμεθα τῶν πταισμάτων τοὺς θρήνους· ἡμεῖς δέ, ἀδελφοί, μὴ ἀμνημονῶμεν τῶν πταισμάτων ἡμῶν, κἂν ἀδικῶμεν [recte: δοκῶμεν] τῇ μετανοίᾳ ταῦτα συγκεχωρῆσθαι, ἀλλὰ μνημονεύωμεν ἀεὶ τῶν ἁμαρτημάτων, καὶ ὑπὲρ αὐτῶν πενθεῖν μὴ παυσώμεθα· ἵνα τὴν ταπείνωσιν σύνοικον ἀγαθὴν κτησάμενοι, τοὺς τῆς κενοδοξίας καὶ ὑπερηφανίας βρόχους ἐκφύγωμεν.

ογʹ. Μηδεὶς ἐξ οἰκείας ἰσχύος τοὺς πόνους ὑποφέρειν, καὶ ἀρετὴν κατορθοῦν νομιζέτω. Αἴτιος γὰρ ἁπάντων τῶν καλῶν ἡμῖν ὁ Θε-

κόπο μου καὶ συγχώρησε ὅλες τὶς ἁμαρτίες μου» καὶ «μὴν παραβλέψῃς τὰ δάκρυά μου»· καὶ πάλι «μοῦ ἔγιναν τὰ δάκρυά μου τροφή, νύκτα καὶ ἡμέρα» καὶ «ἀνακάτευα μὲ κλάμα ὅ,τι ἔπινα».

72. Ὁ μὲν ἐχθρὸς τῆς ζωῆς μας, ὁ διάβολος, μὲ πολλοὺς λογισμοὺς μικραίνει πολὺ τῆς ἁμαρτίες μας καὶ πολλὲς φορὲς τὶς καλύπτει μὲ τὴν λήθη, ὥστε ἀφοῦ χαλαρώσωμε τοὺς κόπους, νὰ μὴν σκεπτώμεθα [πλέον] τοὺς θρήνους [τῆς μετανοίας] γιὰ τὰ παραπτώματά [μας]. Ἐμεῖς ὅμως, ἀδελφοί, νὰ μὴν λησμονοῦμε τὰ παραπτώματά μας, ἀκόμη κι ἂν θεωροῦμε ὅτι ἔχουν αὐτὰ συγχωρηθῇ μὲ τὴν μετάνοια, ἀλλὰ νὰ ἐνθυμούμεθα πάντοτε τὰ ἁμαρτήματά [μας] καὶ νὰ μὴν παύσωμε νὰ πενθοῦμε γι᾽ αὐτά· γιὰ νὰ ἀπαλλαγοῦμε ἀπὸ τὶς παγίδες τῆς κενοδοξίας καὶ τῆς ὑπερηφανίας, ἀφοῦ ἀποκτήσαμε, ὡς ἀγαθὴ [μας] συγκάτοικο, τὴν ταπείνωσι.

73. Κανεὶς ἂς μὴν νομίζῃ, ὅτι καταβάλλει κόπους ἀπὸ τὴν δική του δύναμι καὶ ὅτι κατορθώνει τὴν ἀρετή. Διότι ὁ αἴτιος γιὰ ὅλα τὰ καλὰ σὲ μᾶς εἶναι ὁ Θε-

ός ἐστιν, ὥς περ οὖν τῶν κακῶν ὁ τῶν ψυχῶν ἡμῶν ἀπατηλὸς δαίμων˙ δι᾽ ἅπερ οὖν διαπράττῃ καλά, τῷ αἰτίῳ τὴν εὐχαριστίαν πρόσφερε˙ ἃ δὲ ὀχλεῖ σοι κακά, τῷ ἀρχηγέτῃ τούτων πρόσριπτε.

οδʹ. Ὁ τὴν πρακτικὴν τῇ γνώσει συζεύξας, γεωργός ἐστιν ἐπαινετός, ἐκ δύο διειδεστάτων πηγῶν τὸ τῆς ψυχῆς χωρίον ἀρδεύων. Ἡ μὲν γὰρ γνωστική, πτεροῖ τὴν νεαρὰν [recte: νοερὰν] οὐσίαν, τῇ τῶν κρειττόνων θεωρίᾳ˙ ἡ δὲ πρακτική, νεκροῖ τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακήν[78]. *Τούτων δὲ νεκρωθέντων, τὰ τῶν ἀρετῶν ἄνθη ὡραίως ἐκβλαστάνει, καρποφοροῦντα τὸν τοῦ Πνεύματος καρπόν, ἀγάπην, χαράν, εἰρήνην, μακροθυμίαν, χρηστότητα, ἀγαθωσύνην, πίστιν, πραότητα, ἐγκράτειαν*[79]˙ *καὶ τότε λοιπὸν ὁ σώφρων οὗτος γεωργός, σταυρώσας τὴν σάρκα σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις*[80], *ἐρεῖ μετὰ τοῦ θεοφόρου κήρυκος˙ ζῶ οὐκ ἔτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ*

ός, ὅπως ἀκριβῶς πράγματι ὁ δαίμονας ποὺ ἐξαπατᾶ τὶς ψυχές μας, [εἶναι ὁ αἴτιος] τῶν κακῶν. Γι᾽ αὐτὰ ἑπομένως τὰ καλὰ τὰ ὁποῖα κάνεις, προσέφερε τὴν εὐχαριστία στὸν Αἴτιο· ἐνῶ ὅσα κακὰ σὲ ἐνοχλοῦν, ἂς [τὰ] ἐπιρρίπτῃς στὸν γεννάρχη τους.

74. Ἐκεῖνος, ὁ ὁποῖος συνέζευξε τὴν πρακτικὴ [ἀρετὴ] μὲ τὴν γνῶσι [περὶ Θεοῦ], εἶναι ἀξιέπαινος γεωργός, γιατὶ ποτίζει τὸ χωράφι τῆς ψυχῆς [του] ἀπὸ δύο διαυγέστατες πηγές. Διότι ἡ μὲν [ἀρετὴ] τῆς γνώσεως δίνει πτερὰ στὴν νοερὰ οὐσία γιὰ τὴν θεωρία τῶν ὑψηλότερων [καταστάσεων]· ἡ δὲ πρακτικὴ [ἀρετὴ] μπορεῖ νὰ νεκρώνῃ τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, πορνεία, ἀκαθαρσία, πάθος, κακὴ ἐπιθυμία. Ὅταν δὲ αὐτὰ νεκρωθοῦν, ἀναφύονται χαριτωμένα τὰ ἄνθη τῶν ἀρετῶν, τὰ ὁποῖα καρποφοροῦν τὸν καρπὸ τοῦ [Παναγίου] Πνεύματος, τὴν ἀγάπη, τὴν χαρά, τὴν εἰρήνη, τὴν μακροθυμία, τὴν χρηστότητα, τὴν ἀγαθοσύνη, τὴν πίστι, τὴν πραότητα, τὴν ἐγκράτεια· καὶ τότε λοιπόν, ὁ σώφρων ἐκεῖνος γεωργός, ἀφοῦ σταύρωσε τὴν σάρκα μαζὶ μὲ τὰ πάθη καὶ τὶς ἐπιθυμίες, θὰ πῇ μαζὶ μὲ τὸν θεοφόρο κήρυκα, [τὸν Ἀπόστολο Παῦλο]: «δὲν ζῶ πλέον ἐγώ, ἀλλὰ ζῇ μέσα μου ὁ

Χριστός˙ ὃ ζῶ, τῇ πίστει ζῷ, τῇ τοῦ υἱοῦ τοῦ Θεοῦ τοῦ ἀγαπήσαντός με, καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ[81].

οε'. Καὶ τοῦτο δέ σε, φιλόχριστε, μὴ λανθανέτω, ὅτι πάθος ἓν τόπον ἐν σοὶ εὑρόν, καὶ ἐν ἕξει ῥιζωθὲν εἰς τὸν αὐτὸν σηκὸν καὶ ἄλλα συνεισφέρει. Κἂν γὰρ ἀλλήλοις ἀντίκεινται τὰ πάθη, καὶ οἱ τούτων δημιουργοὶ δαίμονες, ἀλλὰ τὴν ἡμετέραν ἀπώλειαν πάντες συμφώνως ζητοῦσιν.

ος'. Ὁ τῆς σαρκὸς τὸ ἄνθος τῇ ἀσκήσει μαραίνων, καὶ πᾶν θέλημα αὐτῆς ἐκκόπτων, οὗτος βαστάζει τὰ στίγματα τοῦ Χριστοῦ ἐν τῇ θνητῇ σαρκὶ αὐτοῦ[82].

οζ'. Οἱ τῆς ἀσκήσεως πόνοι τελευτῶσιν εἰς τὴν τῆς ἀπαθείας ἀνάπαυσιν˙ οἱ δὲ τῆς τρυφῆς τρόποι καταντῶσιν εἰς τὰ τῆς ἀτιμίας πάθη.

οη'. Μὴ πολυετεῖς κύκλους τοῦ μονήρους βίου σου ἀνάσχῃ ψηφίζειν˙ μηδὲ ἐν τῇ ὑπομονῇ τῆς ἐρήμου, καὶ τῇ σκληρότητι τῶν ἀγώνων καυχήσει ζωγρηθῇς, ἀλλὰ τὸ δεσποτικὸν λόγιον ἐπὶ

Χριστός· αὐτὸ τὸ ὁποῖο ζῶ [τὴν πρόσκαιρη ζωή, τὸ] ζῶ μὲ τὴν πίστι τοῦ Υἱοῦ τοῦ Θεοῦ, ὁ ὁποῖος μὲ ἀγάπησε καὶ παρέδωσε τὸν Ἑαυτό Του γιὰ χάρι μου».

75. Καὶ αὐτὸ βέβαια ἂς μὴν σοῦ διαφεύγῃ, φιλόχριστε, ὅτι ἕνα πάθος, ἐὰν βρῇ σὲ σένα τόπο καὶ ἐὰν ριζωθῇ μὲ συνήθεια στὴν ἴδια κατοικία, θὰ φέρῃ μαζί του καὶ ἄλλα [πάθη]. Διότι ἀκόμη κι ἂν ἀντιτίθενται μεταξύ τους τὰ πάθη καὶ οἱ δημιουργοὶ αὐτῶν δαίμονες, ὅμως ὅλοι συμφώνως ζητοῦν τὴν ἀπώλειά μας.

76. Ἐκεῖνος, ὁ ὁποῖος μαραίνει τὴν ἀνθηρότητα τῆς σαρκὸς μὲ τὴν ἄσκησι καὶ ἀποκόπτει κάθε θέλημά της, αὐτὸς βαστάζει τὰ στίγματα τοῦ Χριστοῦ στὴν θνητή του σάρκα.

77. Οἱ κόποι τῆς ἀσκήσεως τελειώνουν στὴν ἀνάπαυσι τῆς ἀπαθείας· ἐνῶ οἱ τρόποι τῆς απολαύσεως καταλήγουν στὰ πάθη τῆς ἀτιμίας.

78. Νὰ μὴν δεχθῇς νὰ ὑπολογίζῃς τοὺς πολυετεῖς [χρονικοὺς] κύκλους τοῦ μοναχικοῦ σου βίου· οὔτε νὰ αἰχμαλωτισθῇς ἀπὸ τὴν καύχησι γιὰ τὴν ὑπομονὴ τῆς ἐρήμου καὶ γιὰ τὴν σκληρότητα τῶν ἀγώνων· ἀλλὰ ἂς ἔχῃς στὸν νοῦ τὸν λόγο τοῦ Κυρίου,

νοῦν ἔχε, τό, δοῦλος ἀχρεῖος εἶναι[83], καὶ μήπω τὴν ἐντολὴν πεπληρωκέναι· τῷ ὄντι γάρ, ἐφ᾽ ὅσον ἐν τῷ παρόντι βίῳ ἐσμέν, οὔπω τῆς ἐξορίας ἀνακεκλήμεθα, ἀλλ᾽ ἀκμὴν ἐπὶ τὸν ποταμὸν Βαβυλῶνος καθεζόμεθα[84], ἀκμὴν περὶ τὴν Αἰγύπτιον πλινθουργίαν ταλαιπωροῦμεν[85], μήπω τὴν γῆν τῆς ἐπαγγελίας θεασάμενοι. Ἐπειδὴ οὔπω ἐξεδυσάμεθα τὸν παλαιὸν ἄνθρωπον, τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης[86]· οὔπω ἐφορέσαμεν τὴν εἰκόνα τοῦ ἐπουρανίου· ἔτι γὰρ τὴν εἰκόνα τοῦ χοϊκοῦ φοροῦμεν[87]· οὐκ ἔχομεν τοίνυν ὁδὸν καυχήσεως, ἀλλὰ δακρύειν ὀφείλομεν, δεόμενοι τοῦ δυναμένου σῴζειν[88] ἡμᾶς τῆς μοχθηρᾶς δουλείας τοῦ πικροτάτου Φαραώ, καὶ ἐξελέσθαι τῆς δεινῆς τυρρανίδος, καὶ εἰσαγαγεῖν εἰς τὴν ἀγαθὴν γῆν τῆς ἐπαγγελίας, τοῦ καταπαῦσαι εἰς τὸ ἁγιαστήριον τοῦ Θεοῦ, καὶ εὑρεθῆναι ἐν δεξιᾷ τῆς μεγαλωσύνης τοῦ Ὑψίστου. Τούτων δὲ τῶν ὑπὲρ ἔννοιαν ἀγαθῶν ἐπιτυχεῖν ἡμᾶς οὐκ ἐξ ἔργων ἐστὶν ἡμετέρων, ὧν

τὸ ὅτι εἶσαι ἄχρηστος δοῦλος καὶ ὅτι δὲν ἔχεις ἀκόμη ἐκπληρώσει τὴν ἐντολὴ [τοῦ Θεοῦ]. Διότι πράγματι, ἐφ᾽ ὅσον βρισκόμεθα στὴν παροῦσα ζωή, δὲν ἔχομε ἀκόμη ἀνακληθῆ ἀπὸ τὴν ἐξορία, ἀλλὰ ἀκόμη καθόμαστε στὸν ποταμὸ τῆς Βαβυλῶνος, ἀκόμη ὑπομένομε κόπους γύρω ἀπὸ τὴν κατασκευὴ τῶν πλίνθων τῆς Αἰγύπτου, καὶ δὲν εἴδαμε μέχρι στιγμῆς τὴν γῆ τῆς ἐπαγγελίας· ἐπειδὴ ἀκόμη δὲν ἀπεκδυθήκαμε τὸν παλαιὸ ἄνθρωπο, ὁ ὁποῖος φθείρεται ἀπὸ τὶς ἐπιθυμίες τῆς ἀπατηλῆς ἁμαρτίας· ἀκόμη δὲν φορέσαμε τὴν εἰκόνα τοῦ Ἐπουρανίου· διότι φοροῦμε ἀκόμη τὴν εἰκόνα τοῦ χοϊκοῦ. Δὲν διαθέτομε ἑπομένως ὁδὸ καυχήσεως, ἀλλὰ ὀφείλομε νὰ δακρύζωμε, καθὼς παρακαλοῦμε Ἐκεῖνον ποὺ μπορεῖ νὰ μᾶς σώζῃ ἀπὸ τὴν πολύμοχθη δουλεία τοῦ πικροτάτου Φαραὼ καὶ νὰ [μᾶς] ἀπαλλάξῃ ἀπὸ τὴν τρομερὴ τυρρανία καὶ νὰ [μᾶς] εἰσαγάγῃ στὴν ἀγαθὴ γῆ τῆς ἐπαγγελίας, γιὰ νὰ καταπαύσωμε στὸ ἁγιαστήριο τοῦ Θεοῦ καὶ νὰ βρεθοῦμε στὰ δεξιὰ τῆς μεγαλωσύνης τοῦ Ὑψίστου. Δὲν εἶναι ὅμως δυνατὸν ἐμεῖς νὰ ἐπιτύχωμε αὐτὰ τὰ ἀγαθά, τὰ ὁποῖα ὑπερβαίνουν τὴν [ἀνθρώπινη] σκέψι, ἀπὸ δικά μας ἔργα, τὰ ὁποῖα

δοκοῦμεν ἐν δικαιοσύνῃ ποιεῖν, ἀλλὰ τῷ ἀμετρήτῳ ἐλέει τοῦ Θεοῦ. Τοιγαροῦν μὴ παυσώμεθα καταφέροντες δάκρυα ἡμέρας καὶ νυκτός, κατὰ τὸν λέγοντα· ἐκοπίασα ἐν τῷ στεναγμῷ μου· λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω[89]*· οἱ γὰρ σπείροντες ἐν δάκρυσιν ἐν ἀγαλλιάσει θεριοῦσι*[90].

οθ'. Μακρὰν ἀπὸ σοῦ τὸ πολύῤῥημον ἀποδίωκε πνεῦμα[91]*. Ἐν αὐτῷ γὰρ κεῖνται πάνδεινα πάθη· ἔνθεν τὸ ψεῦδος, ἐκεῖθεν ἡ παῤῥησία, ἄλλοθεν ἡ εὐτραπελία, ἡ αἰσχρότης, ἡ μωρολογία ἑτέρωθεν, καὶ συνελόντι φάναι τὸ εἰρημένον, ὅτι ἐκ τῆς πολυλογίας οὐκ ἐκφεύξεται ἁμαρτία*[92]*· ἀνὴρ δὲ σιωπηλός, θρόνος αἰσθήσεως*[93]*· ἀλλὰ καὶ λόγον ἡμᾶς διδόναι περὶ παντὸς ἀργοῦ ῥήματος, ὁ Κύριος ἔφη*[94]*· ὥστε πάνυ ἀναγκαία καὶ ὠφέλιμός ἐστιν ἡ σιωπή.*

π'. Τοὺς λοιδοροῦντας καὶ ὑβρίζοντας ἡμᾶς, ἢ ἄλλως πως ἐπηρεάζοντας, μὴ ἀντιλοιδορεῖν, ἢ ἀντεπηρεάζειν, εὐφημεῖν δὲ μᾶλλον,

νομίζομε ὅτι κάνομε μὲ ἀρετή, ἀλλὰ ἀπὸ τὸ ἀμέτρητο ἔλεος τοῦ Θεοῦ. Ἑπομένως, νὰ μὴν σταματήσωμε νὰ χύνωμε ἡμέρα καὶ νύκτα δάκρυα, σύμφωνα μ' ἐκεῖνον ποὺ λέγει: «κουράστηκα μέσα στὸν στεναγμό μου· θὰ λούσω κάθε νύκτα τὴν κλίνη μου, θὰ βρέξω μὲ τὰ δάκρυά μου τὸ στρῶμα μου. Διότι ὅσοι σπείρουν μὲ δάκρυα, θερίζουν μὲ ἀγαλλίασι».

79. Ἀποδίωξε μακριὰ ἀπὸ σένα τὸ πολύλογο πνεῦμα. Διότι σ' αὐτὸ συναντῶνται πολὺ φοβερὰ πάθη· ἀπὸ ἐδῶ τὸ ψεῦδος, ἀπὸ ἐκεῖ ἡ παρρησία, ἀπὸ ἄλλο μέρος ἡ ἀστειότητα, ἡ αἰσχρότητα, ἀπὸ διαφορετικὸ ἡ μωρολογία καὶ συμπερασματικὰ ἐκεῖνο, ποὺ ἔχει εἰπωθῆ, ὅτι ἀπὸ τὴν πολυλογία δὲν θὰ ἀποφευχθῆ ἡ ἁμαρτία· ὁ ἄνθρωπος δὲ ὁ σιωπηλός, [εἶναι] θρόνος τῆς αἰσθήσεως· ἀλλὰ καὶ γιὰ κάθε μας περιττὸ λόγο εἶπε ὁ Κύριος, ὅτι θὰ δώσωμε λόγο· ὥστε ἡ σιωπὴ εἶναι πολὺ ἀναγκαία καὶ ὠφέλιμη.

80. Ἔχομε προσταχθῆ, ἐκείνους οἱ ὁποῖοι μᾶς κακολογοῦν καὶ [μᾶς] ὑβρίζουν ἢ μὲ ἄλλο τρόπο [μᾶς] κακομεταχειρίζονται, νὰ μὴν τοὺς ἀνταποδίδωμε τὴν κακολογία καὶ τὴν κακομεταχείρισι, ἀλλὰ μᾶλλον νὰ τοὺς ἐγκωμιάζωμε

καὶ εὐλογεῖν προστετάγμεθα[95]. Καθ' ὅσον γὰρ τοῖς ἀνθρώποις εἰρηνεύομεν, μαχόμεθα τοῖς δαίμοσι· μνησικακοῦντες δὲ τοῖς ἀδελφοῖς καὶ μαχόμενοι, εἰρηνεύομεν μετὰ τῶν δαιμόνων· οὓς τέλειον μῖσος μισεῖν[96], καὶ ἀδιάλλακτον ἔχειν τὸν πρὸς αὐτοὺς πόλεμον ἐδιδάχθημεν.

πα'. Φεῦγε τὸ πτερνίσαι τὸν πλησίον γλώσσῃ δολίᾳ, ἵνα μὴ πτερνισθῇς ὑπὸ τοῦ ὀλετῆρος· ἤκουσα γὰρ τοῦ προφήτου βοῶντος ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται Κύριος[97]. Καὶ ἐξολοθρεύσαι Κύριος πάντα τὰ χείλη τὰ δόλια, γλῶσσαν μεγαλορρήμονα[98]. Ὡσαύτως δὲ φεῦγε τὸ ὀνειδίσαι πταῖσμα τοῦ ἀδελφοῦ σου, ἵνα μὴ τῆς χρηστότητος, καὶ ἀγάπης ἐκπέσῃς· ὁ γὰρ χρηστότητα, καὶ ἀγάπην εἰς τὸν ἀδελφὸν μὴ ἔχων, οὐκ ἔγνω τὸν Θεόν, ὅτι ὁ Θεὸς ἀγάπη ἐστί[99], καθὼς Ἰωάννης βοᾷ ὁ τῆς βροντῆς υἱός, καὶ Χριστοῦ μαθητὴς ἠγαπημένος· εἰ γὰρ Χριστός, φησί, καὶ Σωτὴρ τῶν ἁπάντων, ὑπὲρ ἡμῶν τὴν ψυχὴν

καὶ νὰ τοὺς εὐλογοῦμε. Διότι ἀνάλογα μὲ τὸ πόσο εἰρηνεύομε μὲ τοὺς ἀνθρώπους, πολεμοῦμε τοὺς δαίμονες. Ὅταν ὅμως μνησικακοῦμε καὶ φιλονεικοῦμε μὲ τοὺς ἀδελφούς, εἰρηνεύομε μὲ τοὺς δαίμονες· τοὺς ὁποίους διδαχθήκαμε νὰ μισοῦμε μὲ τέλειο μῖσος καὶ νὰ ἔχωμε ἀδιάλλακτο τὸν ἐναντίον τους πόλεμο.

81. Ἀπόφευγε τὸ νὰ ὑποσκελίζῃς τὸν πλησίον σου μὲ δόλια γλῶσσα, γιὰ νὰ μὴν ὑποσκελισθῇς ἀπὸ τὸν ἐξολοθρευτὴ [διάβολο]· διότι ἄκουσα τὸν Προφήτη νὰ βοᾷ: «ἄνθρωπο αἱμοχαρῆ καὶ δόλιο ἀποστρέφεται ὁ Κύριος». Καὶ «ἂς ἐξολοθρεύσῃ ὁ Κύριος ὅλα τὰ δόλια χείλη καὶ κάθε γλῶσσα ποὺ λέγει μεγάλα λόγια». Κατὰ τὸν ἴδιο τρόπο, μάλιστα, ἀπόφευγε νὰ κακίσῃς τὸ παράπτωμα τοῦ ἀδελφοῦ σου, γιὰ νὰ μὴν ἐκπέσῃς ἀπὸ τὴν ἀγαθότητα καὶ τὴν ἀγάπη. Διότι ἐκεῖνος, ὁ ὁποῖος δὲν ἔχει ἀγαθότητα καὶ ἀγάπη στὸν ἀδελφό, δὲν γνώρισε τὸν Θεό, διότι ὁ Θεὸς εἶναι ἀγάπη, καθὼς βοᾷ ὁ Ἰωάννης, ὁ υἱὸς τῆς βροντῆς καὶ ὁ ἀγαπημένος μαθητὴς τοῦ Χριστοῦ. Διότι ἐάν, λέγει, ὁ Χριστὸς καὶ Σωτήρας ὅλων ἔχῃ δώσει τὴν ζωή Του

αὐτοῦ τέθεικε, καὶ ἡμεῖς ὀφείλομεν ὑπὲρ τῶν ἀδελφῶν τὰς ψυχὰς τιθέναι[100].

πβ´. Εἰκότως κέκληται ἡ ἀγάπη τῶν ἀρετῶν μητρόπολις, κεφάλαιόν τε νόμου καὶ προφητῶν[101]*˙ ἅπαντα τοίνυν πόνον ἐπιδειξώμεθα, ἕως τῆς ὁσίας ἀγάπης ἐπιτευξώμεθα˙ καὶ δι᾽ αὐτῆς καὶ τῶν παθῶν τυρρανίδα ἐκτιναξώμεθα, καὶ εἰς οὐρανοὺς ὑψωθῶμεν, πτεροῖς ἀρετῶν κουφιζόμενοι, καὶ Θεὸν ὀψώμεθα, ὡς δυνατὸν ἀνθρωπίνη φύσει.*

πγ´. Εἰ ὁ Θεὸς ἀγάπη ἐστίν, ὁ τὴν ἀγάπην ἔχων τὸν Θεὸν ἔχει ἐν ἑαυτῷ. Ταύτης δὲ ἀπούσης, ὄφελος ἡμῖν ἐστι τὸ παράπαν οὐδέν, οὐδὲ λέγειν δυνάμεθα ὅτι ἀγαπῶμεν τὸν Θεόν˙ ἐὰν γάρ τις, φησίν, εἴπῃ ὅτι ἀγαπῶ τὸν Θεόν, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῇ, ψεύστης ἐστί[102]*. Καὶ πάλιν λέγει˙ Θεὸν οὐδεὶς ἑώρακε πώποτε*[103]*˙ ἐὰν ἀγαπῶμεν ἀλλήλους, ὁ Θεὸς ἐν ἡμῖν μένει, καὶ ἡ ἀγάπη αὐτοῦ τετελειωμένη ἐστὶν ἐν ἡμῖν*[104]*. Ἐντεῦθεν δῆλον, ὅτι ἡ ἀγάπη πρᾶγμά ἐστι τῶν ἀγαθῶν ἁπάντων*

γιὰ χάρι μας, καὶ ἐμεῖς ὀφείλομε νὰ δίδωμε τὶς ζωές μας γιὰ χάρι τῶν ἀδελφῶν [μας].

82. Δικαίως ἡ ἀγάπη ἔχει ὀνομασθῆ ἡ μητρόπολι τῶν ἀρετῶν καὶ ἡ κορωνίδα τοῦ νόμου καὶ τῶν προφητῶν. Νὰ ἐπιδείξωμε λοιπὸν κάθε κόπο, ἕως νὰ ἐπιτύχωμε τὴν ἁγία ἀγάπη· καὶ δι᾽ αὐτῆς ἂς ἀποτινάξωμε καὶ τὴν τυρρανία τῶν παθῶν καὶ ἀφοῦ πετάξωμε μὲ τὰ πτερὰ τῶν ἀρετῶν, νὰ ὑψωθοῦμε στοὺς οὐρανούς, καὶ θὰ δοῦμε τὸν Θεό, ὅσον [εἶναι] δυνατὸν στὴν ἀνθρώπινη φύσι.

83. Ἐφ᾽ ὅσον ὁ Θεὸς εἶναι ἀγάπη, ἐκεῖνος, ὁ ὁποῖος ἔχει τὴν ἀγάπη, ἔχει μέσα του τὸν Θεό. Ὅταν ὅμως αὐτὴ ἀπουσιάζῃ, δὲν ὑπάρχει ἀπολύτως κανένα ὄφελος σ᾽ ἐμᾶς, οὔτε μποροῦμε νὰ λέμε ὅτι ἀγαποῦμε τὸν Θεό. Διότι, λέγει [ὁ Ἅγιος Ἰωάννης ὁ Θεολόγος]: «ἐὰν κάποιος πῆ ὅτι ἀγαπῶ τὸν Θεὸ καὶ μισῆ τὸν ἀδελφό του, εἶναι ψεύτης». Καὶ πάλι λέγει: «Κανεὶς δὲν ἔχει δεῖ ποτὲ τὸν Θεό· ἐὰν ἀγαποῦμε ὁ ἕνας τὸν ἄλλο, ὁ Θεὸς μένει μέσα μας καὶ ἡ ἀγάπη του βρίσκεται μέσα μας, πλήρης καὶ τελεία». Ἀπὸ αὐτὸ [εἶναι] φανερό, ὅτι ἡ ἀγάπη εἶναι τὸ κορυφαῖο καὶ πλέον

περιεκτικώτατον καὶ ἀκρότατον, τῶν διὰ τῆς ἁγίας Γραφῆς εἰρημένων. Καὶ οὐκ ἔστιν ἀρετῆς εἶδος, δι᾽ ἧς ἄνθρωπος οἰκειοῦται Θεῷ καὶ συνάπτεται, ὃ μὴ τῆς ἀγάπης ἐξήρτηται, καὶ ὑπ᾽ αὐτῆς περιείληπται, ἀρρήτῳ λόγῳ συνεχόμενον, καὶ φρουρούμενον.

πδ΄. Τοὺς παραβάλλοντας ἡμῖν ἀδελφοὺς ἀποδεχόμενοι, μὴ ὄχλησιν τοῦτο, καὶ ἐκκοπὴν τῆς ἡσυχίας λογιζώμεθα, ἵνα μὴ τοῦ θεσμοῦ τῆς ἀγάπης ἐκπέσωμεν˙ μήτε δὲ ὡς χάριν αὐτοῖς παρέχοντες δεξιωσώμεθα, ἀλλ᾽ ὡς ἡμεῖς μᾶλλον δεχόμενοι χάριν, καὶ ὑπόχρεοι ὄντες τοῦ πράγματος, μεθ᾽ ἱκεσίας καὶ ἱλαρότητος ξενίζωμεν, καθὼς ἡμῖν ὑπέδειξεν Ἀβραὰμ ὁ πατριάρχης˙ διὰ τοῦτο καὶ ὁ θεολόγος αὖθις διδάσκει˙ τεκνία, λέγων, μὴ ἀγαπῶμεν λόγῳ, μηδὲ γλώσσῃ, ἀλλ᾽ ἔργῳ καὶ ἀληθείᾳ˙ καί, ἐν τούτῳ γινώσκομεν, ὅτι ἐκ τῆς ἀληθείας ἐστέ [recte: ἐσμέν][105].

πε΄. Ὁ πατριάρχης τὴν φιλοξενίαν ἐργασίαν κεκτημένος, πρὸ τῆς σκηνῆς ἐκα-

περιεκτικὸ ὅλων τῶν ἀγαθῶν, ἀπ᾽ ὅσα ἔχουν ἀναφερθῆ στὴν Ἁγία Γραφή. Καὶ δὲν ὑπάρχει εἶδος ἀρετῆς, διὰ τῆς ὁποίας ὁ ἄνθρωπος οἰκειώνεται καὶ ἑνώνεται μὲ τὸν Θεό, τὸ ὁποῖο δὲν ἔχει ἐξαρτηθῆ ἀπὸ τὴν ἀγάπη καὶ δὲν ἔχει περιληφθῆ μέσα σ᾽ αὐτήν, ἐμπερικλειόμενο καὶ φυλασσόμενο μὲ ἀνέκφραστο τρόπο.

84. Ὅταν δεχώμεθα τοὺς ἀδελφοὺς ποὺ φθάνουν σ᾽ ἐμᾶς, νὰ μὴν λογαριάζωμε αὐτὸ ὡς ἐνόχλησι καὶ διακοπὴ τῆς ἡσυχίας, γιὰ νὰ μὴν ἐκπέσωμε ἀπὸ τὴν ἐντολὴ τῆς ἀγάπης· οὔτε καὶ νὰ τοὺς δεξιωνώμεθα ὡς νὰ [τοὺς] προσφέρωμε χάρι, ἀλλὰ μᾶλλον ὡς ἐμεῖς νὰ δεχώμεθα χάρι καὶ σὰν νὰ εἴμαστε ὑποχρεωμένοι γι᾽ [αὐτό] τὸ ἔργο, νὰ [τοὺς] φιλοξενοῦμε μὲ παράκλησι καὶ ἱλαρότητα, κατὰ τὸν τρόπο τὸν ὁποῖο μᾶς ὑπέδειξε ὁ Πατριάρχης Ἀβραάμ. Γι᾽ αὐτὸ καὶ ὁ Θεολόγος [Ἰωάννης] πάλι διδάσκει, λέγοντας: «παιδάκια [μου], νὰ μὴν ἀγαπᾶμε μὲ τὸν λόγο, οὔτε μὲ τὴν γλῶσσα, ἀλλὰ μὲ ἔργο καὶ ἀλήθεια. Καὶ μ᾽ αὐτὸ γνωρίζομε, ὅτι καταγόμεθα ἀπὸ τὴν Ἀλήθεια».

85. Ὁ Πατριάρχης [Ἀβραὰμ] καθόταν μπροστὰ ἀπὸ τὴν σκηνή [του] καὶ εἶχε κάνει ἔργο του τὴν φιλοξε-

θέζετο, τοὺς παριόντας προσκαλούμενος, καὶ πᾶσιν ἐξήπλου τὴν τράπεζαν ἀσεβέσι τε, καὶ βαρβάροις, μὴ διακρινόμενος· διὸ δὴ καὶ τῆς θαυμαστῆς ἐκείνης ἑστιατορίας κατηξιώθη, ξενίσας Ἀγγέλους, καὶ τὸν τῶν ὅλων Δεσπότην[106]*. Καὶ ἡμεῖς τοίνυν τῆς φιλοξενίας μετὰ πολλῆς τῆς σπουδῆς καὶ τῆς προθυμίας ἐπιμελώμεθα, ἵνα μὴ μόνον Ἀγγέλους, ἀλλὰ καὶ τὸν Θεὸν ὑποδεξώμεθα. Ἐφ᾽ ὅσον γάρ, φησὶν ὁ Κύριος, ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε*[107]*. Πάντας μὲν οὖν εὐεργετεῖν καλόν, μάλιστα δὲ τοὺς μὴ δυναμένους ἀμείβεσθαι.*

πς΄. Οὗτινος ἡ καρδία μὴ καταγινώσκει αὐτοῦ[108]*, ἐπὶ ἐντολῆς Θεοῦ ἀθετήσει, ἢ ἀμελείᾳ ἢ ἐναντίας ἐννοίας ὑποδοχῇ, οὗτος ἂν εἴη ὁ καθαρὸς τῇ καρδίᾳ, καὶ ἄξιος τοῦ ἀκοῦσαι· μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται*[109]*.*

πζ΄. Λόγῳ παιδαγωγεῖν τὰς αἰσθήσεις κατορθῶσαι σπουδάσωμεν, καὶ μάλιστά γε ὀφθαλμούς, καὶ ὦτα, καὶ γλῶσσαν, μὴ ἐμπαθῶς, ἀλλ᾽

νία, προσκαλώντας τοὺς διερχομένους, καὶ ἔστρωνε τὴν τράπεζα σὲ ὅλους, χωρὶς νὰ ξεχωρίζῃ οὔτε τοὺς ἀσεβεῖς, οὔτε καὶ τοὺς βαρβάρους. Γι᾽ αὐτὸ βέβαια καὶ ἀξιώθηκε ἐκείνου τοῦ θαυμαστοῦ συμποσίου, φιλοξενώντας Ἀγγέλους καὶ τὸν Κύριο τῶν πάντων. Καὶ ἐμεῖς λοιπόν, νὰ ἐπιμελούμεθα τὴν φιλοξενία μὲ πολλὴ ἐπιμέλεια καὶ προθυμία, γιὰ νὰ ὑποδεχθοῦμε ὄχι μόνον Ἀγγέλους ἀλλὰ καὶ τὸν Θεό. Διότι λέγει ὁ Κύριος: «ἐφόσον κάνατε [ἔργο ἀγαθὸ] σὲ κάποιον ἀπὸ αὐτοὺς τοὺς ἐλαχίστους, σ᾽ ἐμένα τὸ κάνατε». Ἑπομένως [εἶναι] μὲν καλὸ νὰ εὐεργετοῦμε τοὺς πάντες, περισσότερο ὅμως ἐκείνους, ποὺ δὲν μποροῦν νὰ ἀνταποδώσουν.

86. Ἐκείνου τοῦ ὁποίου ἡ καρδία δὲν τὸν κατηγορεῖ γιὰ ἀθέτησι κάποιας ἐντολῆς τοῦ Θεοῦ, ἢ γιὰ ἀμέλεια καὶ ἀποδοχὴ κάποιου ἐχθρικοῦ [πονηροῦ] λογισμοῦ, αὐτὸς ἤθελε εἶναι ὁ καθαρὸς στὴν καρδία καὶ ἄξιος γιὰ νὰ ἀκούσῃ: «μακάριοι οἱ καθαροὶ στὴν καρδία, διότι αὐτοὶ θὰ δοῦν τὸν Θεό».

87. Νὰ φροντίσωμε μὲ ζῆλο νὰ κατορθώσωμε νὰ παιδαγωγήσωμε μὲ φρόνησι τὶς αἰσθήσεις καὶ μάλιστα βέβαια τοὺς ὀφθαλμούς, καὶ τὰ αὐτιὰ καὶ τὴν γλῶσσα, ἐπιτρέ-

εἰς κέρδος ἡμέτερον ὁρᾶν τε, καὶ ἀκούειν, καὶ λαλεῖν ἐπιτρέποντες· οὐδὲν γὰρ τούτων τῶν ὀργάνων πρὸς ἁμαρτίαν ἐστὶν εὐολισθότερον, μὴ τῷ λόγῳ παιδαγωγουμένων. Καὶ οὐδὲν πάλιν πρὸς σωτηρίαν αὐτῶν ἑτοιμότερον, ἡνιοχοῦντος αὐτὰ τοῦ λόγου, καὶ ῥυθμίζοντος, καὶ ἐφ᾽ ἃ δεῖ, καὶ βούλεται ἄγοντος. Τούτων γὰρ ἀτακτούντων, καὶ ὄσφρησις ἐκθηλύνεται, καὶ ἁφὴ προπετῶς ἐκτείνεται, καὶ ἀναριθμήτων παθῶν ἑσμὸς ἐπεισέρχεται. Εὐτάκτως δὲ τῷ λόγῳ τασσομένων αὐτῶν, πολλή τις εἰρήνη καὶ γαλήνη σταθηρὰ πανταχόθεν διαδείκνυται.

πη΄. Καθάπερ μύρον πολύτιμον, κἂν εἰς ἄγγος ἀποκλείηται, τὸν ἀέρα τῆς οἰκείας ἀποχρῖσαν εὐωδίας, οὐ τοὺς πλησίον ἑστῶτας μόνον, ἀλλὰ καὶ τοὺς πέριξ ἐμπίπλησι τῆς ἡδονῆς· οὕτω καὶ ἡ τῆς ἐναρέτου καὶ θεοφιλοῦς ψυχῆς εὐωδία, διὰ πασῶν τῶν αἰσθήσεων ἀναδιδομένη τοῦ σώματος, ἐνδείκνυσι τοῖς ὁρῶσι τὴν ἔνδον ἀποκειμένην

ποντας καὶ νὰ βλέπουν καὶ νὰ ἀκούουν καὶ νὰ ὁμιλοῦν, ὄχι ἐμπαθῶς, ἀλλὰ γιὰ δικό μας ὄφελος. Διότι τίποτα δὲν γλιστρᾶ πιὸ εὔκολα πρὸς τὴν ἁμαρτία, ἀπὸ αὐτὰ τὰ ὄργανα, ἐὰν δὲν παιδαγωγοῦνται μὲ τὴν φρόνησι. Καὶ τίποτα πάλι δὲν [εἶναι] πιὸ βέβαιο γιὰ τὴν σωτηρία ἀπὸ αὐτὰ [τὰ ὄργανα], ἐὰν τὰ ἡνιοχῇ ἡ φρόνησι καὶ [τὰ] ρυθμίζῃ καὶ [τὰ] ὁδηγῇ, σ᾽ ἐκεῖνα τὰ ὁποῖα χρειάζεται καὶ ἀποφασίζει. Διότι, ὅταν αὐτὰ παρεκτρέπωνται, καὶ ἡ ὄσφρησι ἐκθηλύνεται καὶ ἡ ἀφὴ μὲ θρασύτητα ἁπλώνεται καὶ ἀναρίθμητα πάθη εἰσέρχονται μέσα μας. Ἐὰν ὅμως αὐτὰ ὑποτάσσωνται μὲ εὐταξία στὴν φρόνησι, διαφαίνεται παντοῦ μιὰ πλούσια εἰρήνη καὶ σταθερὴ γαλήνη.

88. Ὅπως ἀκριβῶς τὸ πολύτιμο μύρο, ἀκόμη κι ἂν μένῃ κλεισμένο σὲ δοχεῖο, μυρώνοντας μὲ τὴν χαρακτηριστική του εὐωδία τὸν ἀέρα, πλημμυρίζει ἀπὸ ἡδονή, ὄχι μόνον ὅσους στέκονται κοντά, ἀλλὰ καὶ τοὺς γύρω· κατὰ τὸν ἴδιο τρόπο ἡ εὐωδία τῆς ἐναρέτου καὶ θεοφιλοῦς ψυχῆς, ἡ ὁποία ἀναδύεται ἀπὸ ὅλες τὶς αἰσθήσεις τοῦ σώματος, καταδεικνύει σ᾽ ἐκείνους, ποὺ τὴν βλέπουν, τὴν ἀρετή, ἡ ὁποία φυλάσσεται ἐντός της

ἀρετήν. Τίς γὰρ ὁρῶν γλῶτταν μὲν μηδὲν ἀπηχὲς καὶ ἀνάρμοστον φθεγγομένην, ἀλλὰ πᾶν εἴ τι καλὸν καὶ ὠφέλιμον τοῖς ἀκούουσιν, ὀφθαλμοὺς δὲ συνεσταλμένους, ἀκοὴν δὲ τῶν οὐ προσηκόντων μελῶν τε, καὶ ῥημάτων μηδὲν δεχομένην, πόδας δὲ κοσμίως βαδίζοντας, καὶ πρόσωπον μὴ διακεχυμένον γέλωτι, πρὸς δάκρυα δὲ μᾶλλον, καὶ πένθος παρεσκευασμένον, οὐ γνώσεται πολλὴν ἔνδον ἀποκεῖσθαι τῶν ἀρετῶν εὐωδίαν; Διὸ καὶ ὁ Σωτὴρ λέγει˙ οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς[110].

πθ΄. Ἥνπερ ἐν Εὐαγγελίοις ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν στενὴν ἐκάλεσεν ὁδόν[111], *ταύτην πάλιν καὶ ζυγὸν χρηστόν, καὶ φορτίον ἐλαφρὸν εἶπε*[112]. *Πῶς οὖν τὰ ἀμφότερα συναριθμηθείη, ἐνάντια δοκοῦντα εἶναι; Ἀλλ᾽ ἢ πάντως τῇ μὲν φύσει, σκληρά ἐστι, καὶ ἀνάντης ἡ ταύτης ὁδός, τῇ δὲ τῶν κατορθούν-*

[τὴν ἐσωτερικὴ ἀρετή]. Διότι ποιός, ἐὰν βλέπῃ γλῶσσα μὲν νὰ μὴν προφέρῃ τίποτα τὸ ἄπρεπο καὶ ἀνάρμοστο, ἀλλὰ [μόνον] κάθε τι ἐὰν [εἶναι] καλὸ καὶ ὠφέλιμο γιὰ ἐκείνους οἱ ὁποῖοι ἀκούουν, ὀφθαλμοὺς δὲ περιορισμένους, καὶ ἀκοὴ νὰ μὴν δέχεται τίποτα ἀπὸ τὰ ἄπρεπα, καὶ τραγοῦδια καὶ λόγια, ἀλλὰ πόδια νὰ βαδίζουν μὲ κοσμιότητα καὶ πρόσωπο νὰ μὴν ἐκλύεται ἀπὸ τὸ γέλιο, ἀλλὰ μᾶλλον νὰ εἶναι ἑτοιμασμένο γιὰ δάκρυα καὶ πένθος, [ποιὸς] δὲν θὰ ἀντιληφθῇ, ὅτι φυλάσσεται ἐντὸς [τῆς ψυχῆς] πολλὴ εὐωδία ἀπὸ τὶς ἀρετές; Γι᾽ αὐτὸ καὶ ὁ Σωτήρας λέγει: «κατ᾽ αὐτὸν τὸν τρόπο ἂς λάμψῃ τὸ φῶς σας, ἐνώπιον τῶν ἀνθρώπων, γιὰ νὰ δοῦν τὰ καλά σας ἔργα καὶ νὰ δοξάσουν τὸν Πατέρα σας στοὺς οὐρανούς».

89. Ἐκείνη ἀκριβῶς, τὴν ὁποία στὰ Εὐαγγέλια ὁ Χριστὸς καὶ Θεός μας ὀνόμασε στενὴ ὁδό, αὐτὴν πάλι εἶπε καὶ ἀγαθὸ ζυγὸ καὶ ἐλαφρὺ φορτίο. Πῶς λοιπὸν εἶναι δυνατὸν νὰ συνταιριασθοῦν καὶ τὰ δύο, ἐνῶ θεωροῦνται ὅτι εἶναι ἀντίθετα; Ὁπωσδήποτε [συνταιριάζονται διότι], γιὰ μὲν τὴν [ἀνθρώπινη] φύσι εἶναι σκληρὴ καὶ ἀνηφορικὴ ἡ ὁδὸς αὐτῆς, γιὰ δὲ

των προαιρέσει, καὶ ταῖς ἐλπίσι ταῖς χρησταῖς, ποθεινή ἐστι, καὶ ἐπέραστος, καὶ ἡδονὴν μᾶλλον, οὐ θλῖψιν, ταῖς φιλαρέτοις προξενοῦσα ψυχαῖς. Διὸ τῆς εὐρυχώρου καὶ πλατείας τὴν στενὴν καὶ τεθλιμμένην, μετὰ πλείονος ἄν τις ἴδοι προθυμίας ὁδεύοντας τοὺς ἑλομένους αὐτήν. Ἄκουσον γοῦν τοῦ μακαρίου Λουκᾶ λέγοντος, ὅτι μαστιχθέντες οἱ Ἀπόστολοι, ἀνεχώρουν ἀπὸ προσώπου τοῦ συνεδρίου χαίροντες[113], καίτοι οὐ τοιαύτη τῶν μαστίγων ἡ φύσις. Οὐ γὰρ ἡδονὴν καὶ χαρὰν, ἀλλ᾽ ὀδύνην καὶ πόνον ἐργάζεσθαι εἴωθεν. Εἰ δὲ μάστιγες ἡδονὴν ἔτεκον διὰ Χριστόν, τί θαυμαστόν, εἰ καὶ ἡ λοιπὴ κακοπάθεια, καὶ ὁ ὑπωπιασμὸς τοῦ σώματος τὸ αὐτὸ ἐργάζεσθαι διὰ τὸν αὐτόν;

ϟ'. Τυραννούμενοι, καὶ αἰχμαλωτιζόμενοι ὑπὸ τῶν παθῶν, διαποροῦμεν πολλάκις καθ᾽ ἑαυτούς, διατί ταῦτα πάσχομεν; Χρὴ τοιγαροῦν γινώσκειν, ὡς ἐκ τοῦ ἀπασχολεῖσθαι ἡμᾶς ἀπὸ τῆς εἰς Θεὸν θεωρίας αἱ τοι-

τὴν προαίρεσι ἐκείνων ποὺ [τὴν] φέρουν εἰς πέρας, καὶ γιὰ τὶς ἀγαθὲς ἐλπίδες [τῆς αἰωνίου ζωῆς], εἶναι ποθητὴ καὶ ἀξιολάτρευτη καὶ προξενεῖ ἡδονὴ μᾶλλον, ὄχι θλῖψι, στὶς ψυχὲς ποὺ ἀγαποῦν τὴν ἀρετή. Γι᾽ αὐτὸ εἶναι δυνατὸν νὰ δῇ κανείς, ὅτι πορεύονται μὲ μεγαλύτερη προθυμία ἐκεῖνοι, οἱ ὁποῖοι ἐξέλεξαν αὐτὴν τὴν στενὴ καὶ δύσκολη [ὁδό, παρὰ ἐκεῖνοι ποὺ ἐξέλεξαν] τὴν εὐρύχωρη καὶ πλατιά. Ἄκουσε λοιπὸν τὸν μακάριο [Ἀπόστολο] Λουκᾶ ὁ ὁποῖος λέγει, ὅτι ἐνῷ μαστιγώθηκαν οἱ Ἀπόστολοι, ἀνεχώρησαν ἀπὸ τὸ συνέδριο πλήρεις χαρᾶς, μολονότι ἡ φύσι τῶν μαστιγώσεων δὲν εἶναι τέτοια. Διότι δὲν συνηθίζει νὰ προκαλῇ ἡδονὴ καὶ χαρά, ἀλλὰ ὀδύνη καὶ πόνο. Ἐὰν λοιπὸν οἱ μαστιγώσεις, γιὰ χάρι τοῦ Χριστοῦ, προξένησαν ἡδονή, ποιὸ [εἶναι] τὸ θαυμαστό, ἐὰν καὶ ἡ ὑπόλοιπη κακοπάθεια καὶ ἡ ταλαιπωρία τοῦ σώματος, γιὰ χάρι Ἐκείνου, προκαλοῦν τὸ ἴδιο;

90. Ὅταν κυριευώμεθα καὶ αἰχμαλωτιζώμεθα ἀπὸ τὰ πάθη, πολλὲς φορὲς ἀποροῦμε ἔντονα μέσα μας, γιατὶ παθαίνομε αὐτά; Πρέπει λοιπὸν νὰ γνωρίζωμε, ὅτι συμβαίνουν σ᾽ ἐμᾶς αὐτοῦ τοῦ εἴδους οἱ αἰχμαλωσίες,

αὗται γίνονται ἡμῖν αἰχμαλωσίαι. Εἰδέ γε προσηλώσει τις τὸν νοῦν αὐτοῦ ἀπερισπάστως τῷ Δεσπότῃ καὶ Θεῷ ἡμῶν, πιστός ἐστιν αὐτὸς ὁ Σωτὴρ τῶν ἁπάντων, ῥύσασθαι τὴν τοιαύτην ψυχὴν ἀπὸ πάσης ἐμπαθοῦς αἰχμαλωσίας, καθά φησιν ὁ προφήτης˙ προωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντός, ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ[114]*. Τί δὲ γλυκύτερον, ἢ ἀσφαλέστερον τοῦ ἔχειν ἀεὶ τὸν Κύριον ἐκ δεξιῶν σκέποντα, καὶ φρουροῦντα, καὶ μὴ ἐῶντα σαλευθῆναι; Τὸ δὲ τυχεῖν τούτου, τῶν ἐφ᾽ ἡμῖν ἐστι.*

ϟα΄. Καλῶς εἶπον οἱ πατέρες, καὶ ἀναντιῤῥήτως, ὅτι, φησίν, οὐχ εὑρίσκει ἄνθρωπος ἀνάπαυσιν ἄλλως, εἰ μὴ τοιαύτην ἐνδιαθέτως κτήσηται ἔννοιαν, αὐτὸν μόνον καὶ τὸν Θεὸν εἶναι ἐν τῷ κόσμῳ, πρὸς μηδ᾽ ὁτιοῦν ὅλως τὸν νοῦν ῥεμβόμενος, ἀλλ᾽ ἐκεῖνον ποθῶν, ἐκείνῳ μόνῳ κεκολλημένος˙ ὁ τοιοῦτος εὑρήσει τὴν ὄντως ἀνάπαυσιν καὶ ἐλευθερίαν, τῆς τῶν παθῶν τυραννίδος˙ ἐκολλήθη γάρ, φησίν, ἡ ψυ-

ἐξ αἰτίας τοῦ ὅτι ἀποσπασθήκαμε ἀπὸ τὴν θεωρία πρὸς τὸν Θεό. Ἐὰν ὅμως πράγματι κάποιος προσηλώσῃ τὸν νοῦ του ἀπερίσπαστα στὸν Κύριο καὶ Θεό μας, ὁ Σωτήρας τῶν ὅλων εἶναι ὁ ἴδιος δυνατὸς νὰ ἀπαλλάξῃ αὐτὴ τὴν ψυχὴ ἀπὸ κάθε ἐμπαθῆ αἰχμαλωσία, καθὼς λέγει ὁ Προφήτης [Δαυΐδ]: «Ἔβλεπα πάντοτε τὸν Κύριο ἐνώπιόν μου, ὅτι εἶναι στὰ δεξιά μου, γιὰ νὰ μὴν σαλευθῶ». Τί [εἶναι] λοιπὸν γλυκύτερο ἢ ἀσφαλέστερο ἀπὸ τὸ νὰ ἔχῃ [κανεὶς] πάντοτε στὰ δεξιά του τὸν Κύριο, νὰ [τὸν] σκεπάζῃ καὶ νὰ [τὸν] προστατεύῃ καὶ νὰ μὴν [τὸν] ἀφήνῃ νὰ σαλευθῇ; Τὸ νὰ ἀπολαύσωμε ὅμως αὐτὸ ἐξαρτᾶται ἀπὸ ἐμᾶς.

91. Καλῶς εἶπαν οἱ πατέρες καὶ ἀναμφισβήτητα, ὅτι ὁ ἄνθρωπος - λέγει [ὁ Ἀββᾶς Ἀλώνιος]- δὲν βρίσκει μὲ ἄλλο τρόπο ἀνάπαυσι, ἐὰν δὲν ἀποκτήσῃ ἐνδομύχως αὐτὸν τὸν λογισμό, ὅτι μέσα στὸν κόσμο εἶναι μόνος αὐτὸς καὶ ὁ Θεός, χωρὶς ὁ νοῦς νὰ περιπλανᾶται καθόλου πρὸς ὁτιδήποτε, ἀλλὰ Ἐκεῖνον νὰ ποθῇ, σ᾽ Ἐκεῖνον μόνον νὰ ἔχῃ προσκολληθῇ. Αὐτὸς θὰ βρῇ τὴν ὄντως ἀνάπαυσι καὶ ἐλευθερία ἀπὸ τὴν τυρρανία τῶν παθῶν· διότι λέγει [ὁ Ψαλμωδός]: «προσκολλήθηκε ἡ ψυ-

χή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου[115].

ϟβ´. Ἡ φιλαυτία, καὶ ἡ φιληδονία, καὶ ἡ φιλοδοξία, ἐκδιώκουσιν ἐκ τῆς ψυχῆς τὴν τοῦ Θεοῦ μνήμην. Ἡ φιλαυτία ἀνεικάστων κακῶν γεννήτρια τυγχάνει, τῆς δὲ μνήμης τοῦ Θεοῦ ἐκλειπούσης, ὁ τῶν παθῶν τάραχος ἐν ἡμῖν χώραν λαμβάνει.

ϟγ´. Ὁ τὴν φιλαυτίαν τῆς ἑαυτοῦ καρδίας προθέλυμνον ἀνασπάσας, εὐχερῶς καὶ τῶν λοιπῶν πάντων κυριεύσει παθῶν, τοῦ Κυρίου συνεργοῦντος. Ἐξ αὐτῆς γὰρ ἥ τε ὀργή, καὶ λύπη, καὶ μνησικακία, καὶ φιληδονία, καὶ παῤῥησία γεννᾶσθαι πεφύκασιν. Ὁ γὰρ ταύτης ἡττώμενος, ὑπόσπονδος καὶ τῶν λοιπῶν παθῶν ὑπάρχει. Φιλαυτίαν δὲ λέγομεν, τὴν πρὸς τὸ σῶμα ἐμπαθῆ διάθεσιν, καὶ φιλίαν, καὶ τὴν τῶν σαρκικῶν θελημάτων ἐκπλήρωσιν.

ϟδ´. Ὅπερ τις ἀγαπᾷ τούτῳ ἀδιαστάτως συνεῖναι πάντως καὶ ἀδιαλείπτως ἐφίεται, καὶ πάντα τὰ κωλύοντα αὐτὸν τῆς τοῦ φίλου προσ-

χή μου πίσω σου καὶ τὸ δεξί Σου χέρι μὲ βοήθησε».

92. Ἡ φιλαυτία καὶ ἡ φιληδονία καὶ ἡ φιλοδοξία, ἐξορίζουν ἀπὸ τὴν ψυχὴ τὴν μνήμη τοῦ Θεοῦ. Ἡ φιλαυτία συμβαίνει νὰ εἶναι πρόξενος ἀφαντάστων κακῶν, ὅταν δὲ ἐκλείψῃ ἡ μνήμη τοῦ Θεοῦ, λαμβάνει χώρα μέσα μας ἡ ταραχὴ ἀπὸ τὰ πάθη.

93. Ἐκεῖνος, ὁ ὁποῖος ἀπέσπασε μὲ ὅλες τὶς ρίζες τὴν φιλαυτία ἀπὸ τὴν καρδία του, μὲ τὴν βοήθεια τοῦ Θεοῦ, εὔκολα θὰ ἐξουσιάσῃ καὶ ὅλα τὰ ὑπόλοιπα πάθη. Διότι ἀπὸ αὐτὴν συνηθίζουν νὰ γεννῶνται καὶ ἡ ὀργὴ καὶ ἡ λύπη καὶ ἡ μνησικακία καὶ ἡ φιληδονία καὶ ἡ παρρησία. Διότι ἐκεῖνος, ὁ ὁποῖος νικᾶται ἀπ᾽ αὐτή, ἀφήνει τὸ πεδίο τῆς μάχης ἐλεύθερο καὶ στὰ ὑπόλοιπα πάθη. Φιλαυτία δέ, ὀνομάζομε τὴν ἐμπαθῆ διάθεσι καὶ φιλία μὲ τὸ σῶμα καὶ τὴν ἐκπλήρωσι τῶν σαρκικῶν θελημάτων.

94. Ἐκεῖνο, ἀκριβῶς, τὸ ὁποῖο κανεὶς ἀγαπᾶ, αὐτὸ συνεχῶς καὶ ἀδιαλείπτως ὁλωσδιόλου ἐπιθυμεῖ, καὶ ὅλα ἐκεῖνα, τὰ ὁποῖα τὸν ἐμποδίζουν ἀπὸ τὴν συνομιλία καὶ τὴν κοινωνία τοῦ

ῥήσεως καὶ συναυλίας ἀποστρέφεται. Δῆλον οὖν ὅτι καὶ ὁ τὸν Θεὸν ἀγαπῶν, ἐπιποθεῖ διαπαντὸς ἐντυγχάνειν αὐτῷ καὶ ὁμιλεῖν. Τοῦτο δὲ προσγίνεται ἡμῖν διὰ τῆς καθαρᾶς προσευχῆς. Ταύτης οὖν ἐπιμελητέον, ὅση δύναμις. Αὕτη γὰρ οἰκειοῦν ἡμᾶς τῷ Δεσπότῃ πέφυκε. Τοιοῦτος ἦν ὁ λέγων· ὁ Θεὸς ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω, ἐδίψησέ σε ἡ ψυχή μου[116]*. Ὀρθρίζει γὰρ πρὸς τὸν Θεὸν ὁ μακρύνας τὸν νοῦν ἀπὸ πάσης κακίας, καὶ ἀπερισπάστως τῷ θείῳ ἔρωτι τετρωμένος.*

ϟε΄. Ἐξ ἐγκρατείας καὶ ταπεινώσεως, τὴν ἀπάθειαν, ἐκ δὲ πίστεως, τὴν γνῶσιν γεννᾶσθαι μεμαθήκαμεν. Ἐκ τούτων δὲ εἰς διάκρισιν, καὶ ἀγάπην ἡ ψυχὴ προκόπτει. Τὴν δὲ θείαν ἐγκολπωσαμένη ἀγάπην, πτέρυξι καθαρᾶς προσευχῆς πρὸς τὸ ταύτης ὕψος ἀλήκτως ἄνεισιν, ἕως καταντήσῃ εἰς τὴν ἐπίγνωσιν τοῦ υἱοῦ τοῦ Θεοῦ, ὥς φησιν ὁ Ἀπόστολος, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ[117].

ἀγαπημένου, [τὰ] ἀποστρέφεται. [Εἶναι] ἑπομένως προφανές, ὅτι καὶ ἐκεῖνος ὁ ὁποῖος ἀγαπᾶ τὸν Θεό, ποθεῖ πάντοτε νὰ τὸν συναντᾷ καὶ νὰ τὸν συναναστρέφεται. Αὐτὸ δὲ γίνεται σ᾽ ἐμᾶς διὰ τῆς καθαρῆς προσευχῆς. Ἑπομένως, πρέπει νὰ ἐπιμεληθοῦμε αὐτή, μὲ ὅλη μας τὴν δύναμι. Διότι αὐτὴ ἔχει ἀπὸ τὴν φύσι της τὸ γνώρισμα, νὰ μᾶς κάνῃ οἰκείους μὲ τὸν Κύριο. Τέτοιος ἦταν [ὁ Δαυΐδ], ὁ ὁποῖος λέγει: «Ὦ Θεέ, ὁ Θεός μου, σ᾽ Ἐσένα ὀρθρίζω· ἡ ψυχή μου Ἐσένα ἐδίψησε». Διότι ὀρθρίζει πρὸς τὸν Θεὸ ἐκεῖνος, ὁ ὁποῖος ἀπομάκρυνε τὸν νοῦ του ἀπὸ κάθε κακία, καὶ εἶναι ἀδιάκοπα πληγωμένος ἀπὸ τὸν θεῖο ἔρωτα.

95. Ἔχομε μάθει ὅτι ἡ ἀπάθεια γεννιέται ἀπὸ τὴν ἐγκράτεια καὶ τὴν ταπείνωσι, ἡ δὲ γνῶσι ἀπὸ τὴν πίστι. Ἀπ᾽ αὐτὰ ἐξάλλου ἡ ψυχὴ προχωρεῖ στὴν διάκρισι καὶ στὴν ἀγάπη. Ὅταν δὲ [ἡ ψυχὴ] ἐγκολπωθῇ τὴν θεία ἀγάπη, ἀνυψώνεται ἀδιάκοπα πρὸς τὸ ὕψος της, μὲ τὰ πτερὰ τῆς καθαρῆς προσευχῆς, ἕως νὰ φθάσῃ στὴν βαθεῖα γνῶσι τοῦ Υἱοῦ τοῦ Θεοῦ, ὅπως λέγει ὁ Ἀπόστολος, σὲ ἄνδρα τέλειο, στὸ μέτρο τῆς ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ.

ϟς΄. Διὰ μὲν τῆς πρακτικῆς ἀρετῆς δουλοῦται ἡ ἐπιθυμία, καὶ ὁ θυμὸς χαλινοῦται. Διὰ δὲ τῆς γνώσεως καὶ θεωρίας, ὁ νοῦς πτεροῦται, καὶ ἀνυψωθεὶς τῶν ἐνύλων, πρὸς τὸν Θεὸν ἐκδημεῖ, τῆς ἀληθοῦς ἐπιτυχῶν μακαριότητος.

ϟζ΄. Οὗτος ἡμῖν ὁ πρῶτος ἀγὼν ὑπάρχει, μειῶσαι τὰ πάθη, καὶ κατὰ κράτος νικῆσαι. Δεύτερος δὲ ἆθλος τὸ κτήσασθαι τὰς ἀρετάς, καὶ μὴ κενήν, μηδὲ ἄπρακτον τὴν ψυχὴν ἡμῶν ἐᾶσαι. Τρίτος δὲ δίαυλος τῆς πνευματικῆς πορείας, τὸ νηφαλίως φυλάττειν τοὺς καρποὺς τῶν ἀρετῶν ἡμῶν, καὶ πόνων. Οὐκ ἐργάζεσθαι γὰρ μόνον ἐμπόνως, ἀλλὰ καὶ φυλάττειν[118] ἀγρύπνως προστετάγμεθα.

ϟη΄. Ἔστωσαν αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι, καὶ οἱ λύχνοι καιόμενοι, φησὶν ὁ Κύριος[119]. Ζώνη μὲν οὖν τῆς ὀσφύος ἀγαθή, δι᾽ ἧς εὐσταλεῖς καὶ κοῦφοι δυνάμεθα γενέσθαι, ἡ ἐγκράτεια ἐστι, σὺν ταπεινώσει καρδίας. Ἐγκράτειαν δέ φημι, τὴν ἀποχὴν πάντων τῶν παθῶν.

96. Διὰ μὲν τῆς πρακτικῆς ἀρετῆς, καθυποτάσσεται ἡ ἐπιθυμία καὶ συγκρατεῖται ὁ θυμός. Διὰ δὲ τῆς γνώσεως καὶ τῆς θεωρίας ὁ νοῦς ἀποκτᾶ πτερά, καὶ ἀφοῦ ἀνυψωθῇ ἀπὸ τὰ ὑλικά, ἐπιτυγχάνει τὴν ἀληθινὴ μακαριότητα καὶ ἀπέρχεται πρὸς τὸν Θεό.

97. Αὐτὸς εἶναι γιὰ μᾶς ὁ πρῶτος ἀγώνας, νὰ μειώσωμε τὰ πάθη καὶ νὰ τὰ νικήσωμε κατὰ κράτος. Δεύτερος δὲ ἀγώνας [εἶναι], τὸ νὰ ἀποκτήσωμε τὶς ἀρετὲς καὶ νὰ μὴν ἀφήσωμε τὴν ψυχή μας οὔτε ἀδειανὴ οὔτε ἄπρακτη. Τρίτο δὲ στάδιο τῆς πνευματικῆς πορείας [εἶναι], τὸ νὰ φυλάττωμε μὲ νηφαλιότητα τοὺς καρποὺς τῶν ἀρετῶν καὶ τῶν κόπων μας. Διότι ἔχομε προσταχθῆ, ὄχι μόνο νὰ ἐργαζώμεθα κοπιάζοντας, ἀλλὰ καὶ νὰ διαφυλάττωμε ἐπαγρυπνώντας.

98. «Νὰ εἶναι ἡ μέση σας περιζωσμένη καὶ τὰ λυχνάρια σας ἀναμμένα», λέγει ὁ Κύριος. Ζώνη μὲν λοιπὸν ἀγαθὴ τῆς μέσης [μας], διὰ τῆς ὁποίας μποροῦμε νὰ γίνωμε ἐλαφροὶ καὶ εὐκίνητοι, εἶναι ἡ ἐγκράτεια μαζὶ μὲ τὴν ταπείνωσι τῆς καρδίας. Ἐγκράτεια δὲ λέγω τὴν ἀποχὴ ἀπὸ ὅλα τὰ πάθη.

Τοῦ δὲ πνευματικοῦ λύχνου φωταγωγός, ἡ καθαρά ἐστι προσευχή, καὶ ἡ τελεία ἀγάπη. Οἱ τοίνυν οὕτως ἑαυτοὺς εὐτρεπίσαντες, ὄντως ὅμοιοί εἰσιν ἀνθρώποις προσδεχομένοις τὸν Κύριον αὐτῶν, οἵ, ἐλθόντος καὶ κρούσαντος αὐτοῦ, εὐθὺς ἀνοίξουσι, καὶ εἰσελθών, σὺν τῷ Πατρί, καὶ τῷ Ἁγίῳ Πνεύματι μονὴν παρ' αὐτοῖς ποιήσει[120]*, καὶ μακάριοι οἱ δοῦλοι ἐκεῖνοι, οὓς ἐλθὼν ὁ Κύριος εὑρήσει ποιοῦντας οὕτως*[121]*.*

ϟθ'. Δεῖ τὸν Μοναχόν, ὡς μὲν υἱόν, ἐξ ὅλης καρδίας, καὶ ἐξ ὅλης τῆς διανοίας ἀγαπᾷν τὸν Θεόν[122]*· ὡς δὲ δοῦλον, εὐλαβεῖσθαι, καὶ ὑπακούειν αὐτῷ, καὶ μετὰ φόβου καὶ τρόμου τὰς ἐντολὰς αὐτοῦ κατεργάζεσθαι*[123]*· τῷ πνεύματι ζέειν*[124]*, ἐνδεδυμένον εἶναι τὴν πανοπλίαν τοῦ Ἁγίου Πνεύματος*[125]*, καὶ τῆς αἰωνίου ζωῆς τυχεῖν τὴν ἀπόλαυσιν, καὶ πάντα τὰ διατεταγμένα ἀνυστερήτως ποιεῖν, νήφειν τε, καὶ τηρεῖν τὴν καρδίαν ἀπὸ λογισμῶν πονηρῶν, καὶ ἐννοίαις ἀγαθαῖς τὴν θείαν ἀπαύστως μελέτην ἐκτελεῖν, ἑαυτόν*

Τοῦ δὲ πνευματικοῦ λύχνου φωταγωγὸς εἶναι ἡ καθαρὴ προσευχὴ καὶ ἡ τελεία ἀγάπη. Ἐκεῖνοι, ἑπομένως, οἱ ὁποῖοι ἑτοίμασαν τοὺς ἑαυτούς τους κατ' αὐτὸν τὸν τρόπο, εἶναι πραγματικὰ ὅμοιοι μὲ ἀνθρώπους ποὺ προσδοκοῦν τὸν Κύριό τους, οἱ ὁποῖοι, ὅταν ἐκεῖνος ἔρθῃ καὶ χτυπήσῃ [τὴν θύρα], ἀμέσως θὰ ἀνοίξουν καί, ἀφοῦ εἰσέλθῃ μαζὶ μὲ τὸν Πατέρα καὶ τὸ Ἅγιο Πνεῦμα, θὰ κατοικήσῃ σ' αὐτούς καὶ μακάριοι οἱ δοῦλοι ἐκεῖνοι, οἱ ὁποῖοι, ὅταν ἔρθῃ ὁ Κύριος, θὰ τοὺς βρῇ νὰ κάνουν ἔτσι.

99. Πρέπει ὁ Μοναχός, ὡς υἱὸς μέν, νὰ ἀγαπᾷ τὸν Θεό, μὲ ὅλη τὴν καρδία καὶ μὲ ὅλο του τὸν νοῦ. Ὡς δὲ δοῦλος, νὰ εὐλαβῆται καὶ νὰ ὑπακούῃ σ' Αὐτόν, καὶ μὲ φόβο καὶ τρόμο νὰ ἐργάζεται τὶς ἐντολές Του· νὰ φλέγεται ὡς πρὸς τὸ πνεῦμα [του], νὰ εἶναι ἐνδεδυμένος τὴν πανοπλία τοῦ Ἁγίου Πνεύματος καὶ νὰ ἐπιτύχῃ τὴν ἀπόλαυσι τῆς αἰωνίου ζωῆς, καὶ νὰ πράττῃ ὅλες τὶς ἐντολὲς ἀνελλιπῶς, καὶ νὰ ἔχῃ νῆψι καὶ νὰ φυλάσσῃ τὴν καρδία [του] ἀπὸ πονηροὺς λογισμούς, καὶ νὰ ἐπιτελῇ μὲ ἀγαθὰ νοήματα ἀδιάλειπτη τὴν μελέτη τοῦ Θεοῦ, καὶ νὰ ἐξετάζῃ

τε ἀνακρίνειν καθ᾽ ἑκάστην περὶ τῶν λογισμῶν τῶν πονηρῶν, καὶ πράξεων, τὰ ἐλλείποντα ἀναπληροῦν. Ἐπὶ δὲ τοῖς κατορθώμασι μὴ ἐπαίρεσθαι, ἀλλὰ δοῦλον ἑαυτὸν ἀχρεῖον λέγειν[126]*· καὶ πάνυ ὑστερούμενον εἰς τὴν τῶν ὀφειλομένων ἐκπλήρωσιν· εὐχαριστεῖν δὲ τῷ Ἁγίῳ Θεῷ, καὶ αὐτῷ τὴν χάριν κατορθωμάτων ἐπιγράφεσθαι, μηδὲν τὸ σύνολον κατὰ κενοδοξίαν ἢ ἀνθρωπαρέσκειαν ποιεῖν, ἀλλ᾽ ἐν κρυπτῷ πάντα πράττειν, καὶ μόνον τὸν παρὰ Θεοῦ ἔπαινον ζητεῖν*[127]*. Πρὸ πάντων δὲ καὶ ἐπὶ πᾶσιν, ὀρθοδόξῳ πίστει περιπεφράχθαι τῇ ψυχῇ κατὰ τὰ θεῖα δόγματα τῆς καθολικῆς Ἐκκλησίας παρὰ τῶν θεοκηρύκων Ἀποστόλων, καὶ τῶν ἁγίων Πατέρων. Τοῖς γὰρ οὕτω πολιτευομένοις ἀνταπόδοσις πολλή, ζωὴ ἀτελεύτητος, μονὴ ἀκατάλυτος παρὰ τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, τῇ Ὁμοουσίῳ καὶ Τρισυποστάτῳ Θεότητι.*

ρ΄. Τέλος λόγου, τὸ πᾶν ἀ-

καθημερινὰ τὸν ἑαυτό του σχετικὰ μὲ τοὺς πονηροὺς λογισμοὺς καὶ πράξεις, ὥστε νὰ ἀναπληρώνῃ τὶς ἐλλείψεις. Νὰ μὴν ὑπερηφανεύεται γιὰ τὰ κατορθώματα, ἀλλὰ νὰ ὀνομάζῃ τὸν ἑαυτό του ἄχρηστο δοῦλο· καὶ ὅτι πολὺ ὑστερεῖ στὴν ἐκπλήρωσι ἐκείνων, τὰ ὁποῖα ὀφείλει· νὰ εἶναι εὐγνώμων στὸν Ἅγιο Θεὸ καὶ νὰ ἀναγνωρίζῃ σ᾽ Ἐκεῖνον τὴν χάρι τῶν κατορθωμάτων, χωρὶς τίποτα νὰ κάνῃ ἀπολύτως ἀπὸ κενοδοξία ἢ ἀνθρωπαρέσκεια, ἀλλὰ ὅλα νὰ τὰ πράττῃ κρυφὰ καὶ μόνο νὰ ἐπιζητῇ ἀπὸ τὸν Θεὸ τὸν ἔπαινο. Πρὶν ἀπ᾽ ὅλα δὲ καὶ πάνω ἀπ᾽ ὅλα, νὰ ἔχῃ ὀχυρώσει ἀπὸ παντοῦ τὴν ψυχή [του] μὲ τὴν ὀρθόδοξη πίστι, σύμφωνα μὲ τὰ θεῖα δόγματα τῆς [Μίας Ἁγίας] Καθολικῆς Ἐκκλησίας, [ὅπως ἐξεφράσθηκαν] ἀπὸ τοὺς θεοκήρυκες Ἀποστόλους καὶ τοὺς Ἁγίους Πατέρες. Γιὰ ἐκείνους, βέβαια, ποὺ πολιτεύονται κατ᾽ αὐτὸν τὸν τρόπο, [ὑπάρχει] πολλὴ ἀνταπόδοσι, ἀτελεύτητος ζωή, διαμονὴ ἀκατάλυτη κοντὰ στὸν Πατέρα καὶ στὸν Υἱὸ καὶ στὸ Ἅγιο Πνεῦμα, στὴν Ὁμοούσιο καὶ Τρισυπόστατη Θεότητα.

100. Ὁ Ἐκκλησιαστὴς εἶπε: «τέ-

κουε, εἶπεν ὁ Ἐκκλησιαστής, τὸν Θεὸν φοβοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ φύλαττε˙ ὅτι τοῦτο πᾶς ἄνθρωπος[128]*˙ ἐγώ σοι, φησί, κεφαλαιώδη καὶ ἐπιτιμότερον σωτηρίας ὁδὸν δείκνυμι˙ τὸν Θεὸν φοβοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ φύλασσε˙ φόβον οὐ τὸν εἰσαγωγικὸν διὰ τὰς κολάσεις, ἀλλὰ τὸν τέλειον, καὶ τελειοποιόν, ὃν διὰ τὴν στοργὴν τοῦ προστάξαντος ἔχειν ὀφείλομεν˙ εἰ μὲν γὰρ διὰ τὸ δέος τῆς κολάσεως μὴ ποιῶμεν τὰς ἁμαρτίας, εὔδηλον, ὡς εἰμὴ προὔκειτο, τὰ τῆς τιμωρίας ἐποιήσαμεν ἄν, φιλαμαρτήμονα ἔχοντες τὴν προαίρεσιν˙ εἰ δὲ μὴ διὰ τὴν ἀπειλὴν τῆς κολάσεως, ἀλλὰ αὐτὰ μισήσαντες τὰ φαῦλα, τούτων ἀποσχώμεθα, φιλίᾳ τῇ πρὸς τὸν Δεσπότην ἐργαζώμεθα τὰς ἀρετάς, φοβούμενοι μὴ παραῤῥυῶμεν*[129]*. Ἐν γὰρ τῷ φοβεῖσθαι, μή τι τῶν ἐντεταλμένων παρίδωμεν, οὗτος ὁ φόβος ἁγνὸς*[130] *τυγχάνει, δι᾽ αὐτὸ τὸ καλὸν γινόμενος˙ καὶ ἁγνίζει τὰς ἡμετέρας ψυχάς, ἰσοδύναμος ὢν τῇ*

λος τοῦ λόγου, ἂς ἀκούῃς τὸ πᾶν: νὰ φοβᾶσαι τὸν Θεὸ καὶ νὰ τηρῇς τὶς ἐντολές Του· διότι αὐτὸ [εἶναι] ὁ ὅλος ἄνθρωπος». Ἐγὼ λέγει [δηλαδή], σοῦ δείχνω θεμελιώδη καὶ πλέον τιμημένη ὁδὸ σωτηρίας· νὰ φοβᾶσαι τὸν Θεὸ καὶ νὰ τηρῇς τὶς ἐντολές Του. [Νὰ ἔχωμε] φόβο, ὄχι τὸν εἰσαγωγικὸ λόγῳ τῶν κολάσεων, ἀλλὰ τὸν τέλειο καὶ πρόξενο τῆς τελειώσεως, τὸν ὁποῖο [μάλιστα] ὀφείλομε νὰ ἔχωμε γιὰ χάρι τῆς στοργῆς Ἐκείνου ποὺ [τὸν] διέταξε. Διότι, ἐὰν μὲν γιὰ τὸν φόβο τῆς κολάσεως δὲν κάνωμε τὶς ἁμαρτίες, εἶναι φανερό, ὅτι, ἐὰν δὲν εἶχαν ἀποφασισθῆ τὰ σχετικὰ μὲ τὴν τιμωρία, θὰ κάναμε [πάλι ἁμαρτίες], ἀφοῦ ἔχομε τὴν προαίρεσι ἐπιρρεπῆ στὶς ἁμαρτίες. Ἐὰν ὅμως ὄχι γιὰ τὴν ἀπειλὴ τῶν κολάσεων, ἀλλὰ ἐπειδὴ μισήσαμε τὰ πονηρά, ἀπέχωμε ἀπὸ αὐτά, [τότε] ἐργαζόμεθα τὶς ἀρετὲς ἀπὸ ἀγάπη πρὸς τὸν Κύριο, φοβούμενοι μήπως παρασυρθοῦμε [στὰ κακά]. Διότι, ὅταν φοβούμεθα μήπως ἀμελήσωμε κάποια ἀπὸ τὶς ἐντολές, αὐτὸς ὁ φόβος εἶναι καλός, ὁ ὁποῖος γίνεται γι᾽ αὐτὸ τὸ καλό· καὶ ἁγνίζει τὶς ψυχές μας, καθὼς εἶναι ἰσοδύναμος μὲ τὴν τελεία ἀγάπη.

τελείᾳ ἀγάπῃ˙ ὁ δὲ τοῦτον ἔχων τὸν φόβον, καὶ τὰς ἐντολὰς φυλάσσων, οὗτός ἐστιν ὁ πᾶς ἄνθρωπος, ἀντὶ τοῦ ὁ τέλειος καὶ ἀνελλιπής˙ ταῦτα οὖν ἐγνωκότες, τὸν Θεὸν φοβηθῶμεν, καὶ τὰς ἐντολὰς αὐτοῦ τηρήσωμεν, ἵνα τέλειοι ὦμεν καὶ ἀπηρτισμένοι ταῖς ἀρεταῖς[131]*˙ ἔχοντες δὲ φρόνημα καταβεβλημένον, καὶ συντετριμμένην καρδίαν*[132]*, καὶ ἀδιαλείπτως τὴν παρὰ τοῦ θείου, καὶ μεγάλου Ἀρσενίου εἰρημένην εὐχὴν προσᾴδοντες τῷ Κυρίῳ˙ ὁ Θεός μου, μὴ ἐγκαταλίπῃς με, οὐδὲν ἐποίησα ἐνώπιόν σου ἀγαθόν, ἀλλὰ δός μοι διὰ τὴν εὐσπλαχνίαν σου βαλεῖν ἀρχήν. Τὸ γὰρ ὅλον ἡμῶν τῆς σωτηρίας ἐν τοῖς οἰκτιρμοῖς κεῖται καὶ τῇ φιλανθρωπίᾳ τοῦ Θεοῦ. Αὐτῷ ἡ δόξα, καὶ τὸ κράτος, καὶ ἡ προσκύνησις τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.*

Ἐκεῖνος δέ, ὁ ὁποῖος ἔχει αὐτὸν τὸν φόβο καὶ τηρεῖ τὶς ἐντολές, αὐτὸς εἶναι ὁ ὅλος ἄνθρωπος, ἀντὶ [νὰ πῇ] ὁ τέλειος καὶ ἄρτιος. Ἔχοντας μάθει λοιπὸν αὐτά, νὰ φοβηθοῦμε τὸν Θεὸ καὶ νὰ τηρήσωμε τὶς ἐντολές Του, γιὰ νὰ εἴμαστε τέλειοι καὶ κατηρτισμένοι ἀπὸ τὶς ἀρετές· ἔχοντας ἐπιπλέον ταπεινωμένο φρόνημα καὶ συντετριμμένη καρδία, καὶ ἀδιαλείπτως ψάλλοντας τὴν εὐχή, ἡ ὁποία ἐλέχθη ἀπὸ τὸν θεῖο καὶ μεγάλο Ἀρσένιο στὸν Κύριο: «ὁ Θεός μου, μὴ μὲ ἐγκαταλείπεις· τίποτα δὲν ἔπραξα ἀγαθὸ ἐνώπιόν Σου, ἀλλὰ δός μου, γιὰ τὴν εὐσπλαχνία Σου, νὰ βάλω ἀρχή». Διότι τὸ πᾶν τῆς σωτηρίας μας, βρίσκεται στοὺς οἰκτιρμοὺς καὶ στὴν φιλανθρωπία τοῦ Θεοῦ. Σ᾽ Αὐτὸν [ἀνήκει] ἡ δόξα καὶ ἡ δύναμι καὶ ἡ προσκύνησι, στὸν Πατέρα καὶ στὸν Υἱὸ καὶ στὸ Ἅγιο Πνεῦμα, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΣΗΜΕΙΩΣΕΙΣ - ΣΧΟΛΙΑ


ΠΑΡΑΠΟΜΠΕΣ

ΣΕ ΧΩΡΙΑ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ

[1] Γένεσ. 1, 31.
[2] Α΄ Κορ. 6, 20.
[3] Πρβ. Ἰακ. 2, 14-26.
[4] Ἰω. 14, 15, Ἰω. 14, 23.
[5] Ματθ. 10, 37.
[6] Πρβ. Παροιμ. 5, 22.
[7] Λουκ. 13, 7.
[8] Ματθ. 3, 10.
[9] Ἡσ. 34, 11,
Ἡσ. 34, 14-15.
[10] Πρβ. Λουκ. 15, 7.
[11] Α΄ Βασ. 2, 9.
[12] Ψαλμ. 93, 10.
[13] Ἑβρ. 12, 14.
[14] Α΄ Θεσσ. 5, 17.
[15] Γαλ. 5, 24.
[16] Ματθ. 16, 24.
[17] Πρβ. Κολασσ. 3, 3 κ.ἑ.
[18] Ῥωμ. 13, 14.
[19] Γαλ. 5, 24.
[20] Β΄ Κορ. 4, 10.
[21] Ψαλμ. 136, 9.
[22] Λουκ. 15, 7.
[23] Πρβ. Ῥωμ. 13, 10.
[24] Α΄ Κορ. 9, 27.
[25] Πρβ. Λευϊτ. 25, 26.
[26] Πρβ. Τωβ. 4, 10.
[27] Παροιμ. 11, 25.
[28] Παροιμ. 14, 33.
[29] Α΄ Τιμόθ. 2, 8.
[30] Ψαλμ. 103, 15.
[31] Ἆσμ. 4, 12.
[32] Παροιμ. 12, 23.
[33] Α΄ Τιμόθ. 6, 10.
[34] Ματθ. 19, 21.
[35] Πρβ. Ἔξοδ. 32, 33,
Ψαλμ. 68, 29.
[36] Πρβ. Α΄ Κορ. 13, 13.
[37] Πρβ. Β΄ Τιμόθ. 4, 7-8.
[38] Ματθ. 10, 22.
[39] Ἑβρ. 12, 1-2.
[40] Ἡσ. 35, 10.
[41] Α΄ Ἰω. 4, 16.
[42] Β΄ Τιμόθ. 2, 4.
[43] Ματθ. 11, 30.
[44] Πρβ. Λουκ. 10, 42.
[45] Λουκ. 21, 1-4.
[46] Ψαλμ. 54, 8.
[47] Πρβ. Ψαλμ. 117, 12
[48] Ψαλμ. 39, 2.
[49] Ματθ. 12, 50.
[50] Α΄ Τιμόθ. 5, 6.
[51] Παροιμ. 24, 15.
[52] Σοφ. Σολ. 4, 12.
[53] Μάρκ. 9, 44,
Ματθ. 8, 12.
[54] Ῥωμ. 8, 18.
[55] Πρβ. Ἑβρ. 11, 1.
[56] Ψαλμ. 33, 16.
[57] Ματθ. 4, 1-10.
[58] Πρβ. Ἑβρ. 4, 15.
[59] Κολασσ. 3, 10.
[60] Ψαλμ. 138, 22.
[61] Ματθ. 22, 11-14 κ.ἑ.
[62] Λουκ. 15, 11-32.
[63] Ματθ. 27, 5.
[64] Ματθ. 26, 70 κ.ἑ.
[65] Ψαλμ. 126, 1.
[66] Ψαλμ. 90, 13.
[67] Λουκ. 10, 19.
[68] Ματθ. 6, 13.
[69] Πρβ. Ἐφεσ. 6, 16.

[70] Πρβ. Ἐφεσ. 6, 11.
[71] Λευϊτ. 26, 11-12,
Β′ Κορ. 6, 16.
[72] Ἰω. 14, 23.
[73] Ψαλμ. 24, 18.
[74] Ψαλμ. 38, 13.
[75] Ψαλμ. 41, 4.
[76] Ψαλμ. 101, 10.
[77] Πρβ. Α′ Πέτρ. 5, 8.
[78] Πρβ. Κολασσ. 3, 5.
[79] Γαλ. 5, 22-23.
[80] Γαλ. 5, 24.
[81] Γαλ. 2, 20.
[82] Πρβ. Γαλ. 6, 17.
[83] Λουκ. 17, 10.
[84] Ψαλμ. 136, 1.
[85] Ἔξοδ. 1, 14,
Ἔξοδ. 5, 7 κ.ἑ.
[86] Ἐφεσ. 4, 22.
[87] Α′ Κορ. 15, 49.
[88] Πρβ. Ἑβρ. 5, 7.
[89] Ψαλμ. 6, 7.
[90] Ψαλμ. 125, 5.
[91] Πρβ. Ἰὼβ 8, 2.
[92] Παροιμ. 10, 19.
[93] Παροιμ. 12, 23.
[94] Ματθ. 12, 36.
[95] Πρβ. Ματθ. 5, 44.
[96] Ψαλμ. 138, 22.
[97] Ψαλμ. 5, 7.
[98] Ψαλμ. 11, 4.
[99] Α′ Ἰω. 4, 8.
[100] Α′ Ἰω. 3, 16.
[101] Πρβ. Ματθ. 22, 40,
Ῥωμ. 13, 9-10.
[102] Α′ Ἰω. 4, 20.
[103] Ἰω. 1, 18.
[104] Α′ Ἰω. 4, 12.
[105] Α′ Ἰω. 3, 18-19.
[106] Πρβ. Γένεσ. 18, 1 κ.ἑ.
[107] Ματθ. 25, 40.
[108] Α′ Ἰω. 3, 21.
[109] Ματθ. 5, 8.
[110] Ματθ. 5, 16.
[111] Ματθ. 7, 14.
[112] Ματθ. 11, 30.
[113] Πράξ. 5, 41.
[114] Ψαλμ. 15, 8.
[115] Ψαλμ. 62, 9.
[116] Ψαλμ. 62, 2.
[117] Ἐφεσ. 4, 13.
[118] Πρβ. Γένεσ. 2, 15.
[119] Λουκ. 12, 35.
[120] Ἰω. 14, 23.
[121] Λουκ. 12, 36-37.
[122] Δευτερ. 6, 5.
[123] Φιλιππ. 2, 12.
[124] Ῥωμ. 12, 11.
[125] Ἐφεσ. 6, 11.
[126] Λουκ. 17, 10.
[127] Πρβ. Ῥωμ. 2, 29.
[128] Ἐκκλησ. 12, 13.
[129] Παροιμ. 3, 21,
Ἑβρ. 2, 1.
[130] Πρβ. Ψαλμ. 18, 10.
[131] Πρβ. Β′ Τιμόθ. 3, 17.
[132] Πρβ. Ψαλμ. 50, 19.





2

ΘΕΩΡΗΤΙΚΟΝ

[1.] Πόσῳ μείζων ἐστὶν ὁ ἀγὼν ῥῆξαι μὲν τὸν στεῤῥὸν τοῦτον δεσμόν, ἐλευθερωθῆναι δὲ τῆς λατρείας τῆς ὕλης, καὶ τὴν τῶν καλῶν ἕξιν κτήσασθαι. Ὄντως γενναίας δεῖ, καὶ ἀνδρικῆς τῆς ψυχῆς, πρὸς τὴν τῆς ὕλης φυγήν. Ἔστι δὲ τὸ σπουδαζόμενον, οὐχὶ τῶν παθῶν κάθαρσις μόνον˙ οὐ γὰρ ἀρετὴ τοῦτό γε καθ᾽ αὑτὸ κυρίως, ἀλλὰ παρασκευὴ ἀρετῆς· δεῖ δέ, πρὸς τῇ καθάρσει τῶν μοχθηρῶν ἕξεων, καὶ τῆς κτήσεως τῶν ἀρετῶν.[2.] Κάθαρσις δὲ ψυχῆς ἐστι, τοῦ μὲν λογιστικοῦ, ἡ τῶν κάτω χαρακτήρων καὶ πλανωμένων, κατὰ τὴν θεολόγον φωνήν, τῶν βιωτικῶν λέγω φροντίδων τε, καὶ θορύβων, καὶ τῶν φαύλων κλίσεων, ἤτουν [recte: ἤγουν] ἀτόπων προλήψεων ἀπαλλαγή, καὶ τελεία ἀπάλειψις˙ τοῦ δὲ ἐπι-

[1.] Πόσο μεγάλος εἶναι ὁ ἀγώνας, νὰ διαρρήξῃ μὲν [κανεὶς] τὸν σκληρὸ αὐτὸ δεσμό, νὰ ἐλευθερωθῇ δὲ ἀπὸ τὴν λατρεία τῆς ὕλης καὶ νὰ ἀποκτήσῃ τὴν συνήθεια τῶν καλῶν! Ἀληθινὰ χρειάζεται γενναία καὶ ἀνδρεία ψυχὴ γιὰ τὴν περιφρόνησι τῆς ὕλης. Εἶναι δὲ τὸ ἐπιδιωκόμενο, ὄχι μόνο ἡ κάθαρσι ἀπὸ τὰ πάθη· διότι αὐτὸ καθ᾽ ἑαυτὸ βέβαια δὲν [εἶναι] κυρίως ἀρετή, ἀλλὰ προετοιμασία γιὰ τὴν ἀρετή· εἶναι ἀπαραίτητο δὲ [αὐτὸ - ἡ περιφρόνησι τῆς ὕλης], γιὰ τὴν κάθαρσι ἀπὸ τὶς κακὲς συνήθειες καὶ γιὰ τὴν ἀπόκτησι τῶν ἀρετῶν.

[2.] Κάθαρσι δὲ τῆς ψυχῆς εἶναι, σύμφωνα μὲ τὴν θεολόγο φωνὴ [τοῦ Ἁγίου Γρηγορίου], γιὰ μὲν τὸ λογιστικό, ἡ ἀπαλλαγὴ καὶ ἡ πλήρης ἐξάλειψι τῶν χοϊκῶν καὶ ἀσταθῶν ἐκφράσεων, ἐννοῶ, τῶν βιοτικῶν καὶ μεριμνῶν καὶ θορύβων καὶ τῶν φαύλων συνηθειῶν, δηλαδή, τῶν προλήψεων [τῶν ἀτόπων ἀκουσίων ἐνθυμήσεων τῶν προγενεστέρων κακῶν]· γιὰ δὲ τὸ ἐπι-

θυμητικοῦ, τὸ μηδὲν πρὸς τὴν ὕλην ὁρμᾷν, μηδὲ πρὸς τὴν αἴσθησιν ἀφορᾷν, ἀλλὰ τῷ λόγῳ γενέσθαι πειθήνιον. Τοῦ δὲ θυμοειδοῦς ἀκολούθως, τὸ πρὸς μηδὲν ἐκταράττεσθαι τῶν συμπιπτόντων. [3.]Μετὰ δὲ τὴν κάθαρσιν ταύτην, καὶ τὴν τῶν αἰσχίστων δυνάμεων νέκρωσιν, ἢ ῥύθμισιν, δεῖ καὶ τῆς ἀναβάσεως, καὶ θεώσεως. Δέον γὰρ ἐκκλίνοντα ἀπὸ κακοῦ, πρᾶξαι τὸ ἀγαθόν[1]· πρὸς δὲ καὶ τὸ ἀπαρνήσασθαι μὲν ἑαυτὸν πρῶτον, καθ᾽ οὕτω τὸν σταυρὸν ἀράμενον, ἀκολουθεῖν τῷ Δεσπότῃ[2], πρὸς τὴν τῆς θεώσεως ἀκροτάτην κατάστασιν. Τίς δὲ ἡ ἀνάβασις καὶ ἡ θέωσις; Τοῦ μὲν νοῦ, ἡ τελεωτάτη ἐπιστήμη τῶν ὄντων, καὶ τοῦ ὑπὲρ τὰ ὄντα, ὡς ἐφικτὸν ἀνθρωπίνῃ φύσει. Τῆς δὲ βουλήσεως, ἡ πρὸς τὸ πρῶτον καλόν, παντελής τε, καὶ συνεχὴς τάσις καὶ κίνησις. Τοῦ δὲ θυμοειδοῦς, ἡ ἐνεργεστάτη καὶ πρακτικωτάτη πρὸς τὸ ποθούμενον κίνησις, ἀνέκλυτός τε καὶ ἀνένδοτος, μηδενὶ τῶν συμπιπτόντων ἀνιαρῶν ἀνακο-

θυμητικό, [κάθαρσι εἶναι], τὸ νὰ μὴν κινῆται καθόλου ὁρμητικὰ πρὸς τὴν ὕλη, οὔτε νὰ στρέφῃ τὴν προσοχὴ πρὸς τὶς αἰσθήσεις, ἀλλὰ νὰ γίνεται ὑπάκουο στὴν λογική. Ἀκολούθως δὲ τοῦ θυμοειδοῦς [κάθαρσι εἶναι], τὸ νὰ μὴν ταράζεται καθόλου ἀπὸ τὰ ἐπερχόμενα.

[3.] Μετὰ δὲ ἀπ᾽ αὐτὴν τὴν κάθαρσι καὶ τὴν νέκρωσι ἢ τὴν ῥύθμισι τῶν πλέον ἁμαρτωλῶν δυνάμεων, εἶναι ἀπαραίτητη καὶ ἡ ἀνάβασι καὶ ἡ θέωσι. Διότι πρέπει, ἀφοῦ [κάποιος] ἀπομακρύνεται ἀπὸ τὸ κακό, νὰ πράξῃ τὸ ἀγαθό· ἀλλὰ καὶ ἐπιπλέον, τὸ νὰ ἀπαρνηθῇ πρῶτα τὸν ἑαυτό του καὶ ἔπειτα, μὲ αὐτὸν τὸν τρόπο, ἀφοῦ σηκώσῃ τὸν σταυρό [του], νὰ ἀκολουθῇ τὸν Κύριο γιὰ τὴν ὑψίστη κατάστασι τῆς θεώσεως. Ποιὰ δὲ εἶναι ἡ ἀνάβασι καὶ ἡ θέωσι; Ἀφ᾽ ἑνὸς γιὰ τὸν νοῦ [εἶναι] ἡ πληρεστάτη γνῶσι τῶν ὄντων καὶ Ἐκείνου [ποὺ εἶναι] πάνω ἀπὸ τὰ ὄντα, ὅσο [εἶναι] ἐφικτὸ στὴν ἀνθρώπινη φύσι. Ἀφ᾽ ἑτέρου γιὰ τὴν βούλησι [εἶναι] ἡ ὁλοκληρωτικὴ καὶ ἐπιπλέον συνεχὴς τάσι καὶ κίνησι πρὸς τὸ Πρῶτο Καλό. Γιὰ δὲ τὸ θυμοειδές, [ἡ ἀνάβασι καὶ ἡ θέωσι εἶναι], ἡ πλέον δυναμικὴ καὶ ἔμπρακτη κίνησι πρὸς τὸ ποθούμενο, ἀλύγιστη καὶ ἐπιπλέον ἀνυποχώρητη, ἡ ὁποία δὲν ἀνακόπτεται ἀπὸ τὴν πρὸς τὰ ἐμπρὸς

πτομένη τοῦ πρόσω, ἀλλὰ μανικῶς τε, καὶ ἀμεταστρόφως ὁδεύουσα. [4.]Τοσούτῳ δὲ δεῖ σφοδροτέραν εἶναι τὴν πρὸς τὰ καλὰ τῆς ψυχῆς κίνησιν, τῆς πρὸς τὰ φαῦλα, ὅσῳ τὰ νοητὰ κάλλη, τῶν αἰσθητῶν ὑπερφέρει. Τοσαύτην δὲ πρὸς τὴν σάρκα ποιεῖσθαι δεῖ τὴν ἐπιστροφήν, ὅση πρὸς κηδεμονίαν καὶ πορισμὸν ἀρκεῖ τῶν ἀναγκαίων πρὸς σύστασιν, ὡς μὴ βιαίως φθαρῆναι τὸ ζῷον. Ταῦτα δὲ κατορθώσασθαι μὲν ῥᾷστον, πρᾶξαι δὲ ἐργωδέστερον· οὐ γάρ ἀμογητὶ τὰς δυσμοχλεύτους ἕξεις ἐκείνας ἐκριζοῦν ἐστι τῆς ψυχῆς, οὔτε μὴν ἡ τῆς ἐπιστήμης κτῆσις, ἀνιδρωτὶ περιγίνεται. Καὶ μέντοι καὶ τὸ πρὸς τὴν μακαρίαν φύσιν ἀτενὲς ὁρᾷν τε καὶ τείνεσθαι, διὰ πολλῶν προσγίνεται μόχθων, καὶ χρόνῳ μακρῷ, μέχρις ἂν εἰς ἕξιν τὸ βουλητικὸν ἔλθοι μετὰ τοῦ ἑπομένου τῆς τοιαύτης ὁρμῆς· καὶ πολλῆς τῆς ἐνστάσεως δεῖ τῷ νῷ πρὸς τὴν αἴσθησιν, ἕλκουσαν πρὸς τὰ κάτω, καὶ αὕτη ἐστὶν ἡ πρὸς τὸ σῶμα πάλη, καὶ μά-

[πορεία της], μὲ κανένα ἀπὸ τὰ δυσάρεστα ποὺ συμβαίνουν, ἀλλὰ προχωρεῖ ὁρμητικὰ καὶ μάλιστα χωρὶς μεταστροφή.

[4.] Πρέπει δέ, νὰ εἶναι τόσο περισσότερο σφοδρότερη ἡ κίνησι τῆς ψυχῆς πρὸς τὰ καλά, ἔναντι ἐκείνης πρὸς τὰ κακά, ὅσο ὑπερτεροῦν τὰ νοητὰ κάλλη τῶν αἰσθητῶν. Τόσο πρέπει [κανεὶς] νὰ φροντίζῃ γιὰ τὴν σάρκα, ὅσο ἀρκεῖ γιὰ τὴν πρόνοια καὶ τὸν πορισμὸ τῶν ἀναγκαίων πρὸς συντήρησί [της], ὥστε νὰ μὴν καταστραφῇ βιαίως ἡ ζῶσα ὕπαρξι. Αὐτά, βέβαια, [εἶναι] εὐκολώτατο νὰ ἀποφασισθοῦν, ἀλλὰ πολὺ ἐπίμοχθο νὰ ἐκπληρωθοῦν. Διότι δὲν γίνεται χωρὶς κόπο, νὰ ἐκριζώσῃ [κανεὶς] ἐκεῖνες τὶς δυσκόλως ἐκριζούμενες συνήθειες τῆς ψυχῆς, οὔτε ἐπέρχεται χωρὶς ἱδρῶτα ἡ ἀπόκτησι τῆς γνώσεως. Καὶ πράγματι, τὸ νὰ ἀτενίζῃ [κανεὶς] καὶ νὰ τείνῃ σταθερὰ πρὸς τὴν Μακαρία [θεία] Φύσι, ἀποκτᾶται διὰ πολλῶν μόχθων καὶ σὲ μακρὸ χρόνο, μέχρι νὰ μπορέσῃ νὰ φθάσῃ τὸ βουλητικὸ στὴν συνήθεια, μαζὶ μ᾽ ἐκεῖνο [τὸ θυμοειδές], τὸ ὁποῖο ἀκολουθεῖ αὐτοῦ τοῦ εἴδους τὴν σφοδρὴ κίνησι. Καὶ χρειάζεται μεγάλη ἀντίστασι ἀπὸ τὸν νοῦ πρὸς τὴν αἴσθησι, ἡ ὁποία [τὸν] ἕλκει πρὸς τὰ κάτω, καὶ αὐτὴ εἶναι ἡ πάλη καὶ ἡ μάχη ἐναντίον τοῦ σώμα-

χη· ἥτις μέχρι θανάτου ἀδιάλειπτός ἐστιν, κἂν ἠλαττῶσθαι δοκεῖ τῇ μαράνσει τοῦ θυμοῦ, καὶ τῆς ἐπιθυμίας, καὶ τῇ δουλώσει τῆς αἰσθήσεως, ὑπὸ τὴν ὑπερβάλλουσαν ἐπιστήμην τοῦ νοῦ. [5.] Πλὴν ἐκεῖνο σημειωτέον· ὅτι ψυχὴ ἀφώτιστος, ἐπειδὴ μὴ πέφυκεν ὑπὸ Θεοῦ βοηθεῖσθαι, οὔτε καθαρθῆναι δύναται γνησίως, οὔτε πρὸς τὸ θεῖον φῶς ἀναβιβασθῆναι, καθάπερ εἴρηται. Τὰ γὰρ εἰρημένα περὶ τῶν πιστῶν ἡγητέον λελέχθαι· εἰς δὲ πλείω τούτων σαφήνειαν, διαληπτέον βραχέα περὶ γνώσεως διαφορᾶς. [6.] Τῶν γὰρ ἐνταῦθα γνώσεων, ἡ μὲν κατὰ φύσιν ἐστίν, ἡ δὲ ὑπὲρ φύσιν. Ἔσται δὲ δῆλον ἐκ τοῦ προτέρου τὸ δεύτερον. Κατὰ φύσιν τοίνυν λέγομεν γνῶσιν, ὅσην δύναται λαβεῖν ἡ ψυχὴ δι᾽ ἐρεύνης τε καὶ ζητήσεως, τοῖς φυσικοῖς χρωμένη μορίοις τε καὶ δυνάμεσι· περί τε τῆς κτίσεως, δηλονότι ὅσον ἐφικτὸν τῇ προσδεδεμένῃ τῇ ὕλῃ ψυχῇ. Καὶ γὰρ εἴρηται ἐν τῷ περὶ αἰσθήσεως

τος, ἡ ὁποία εἶναι ἀδιάλειπτη, μέχρι τοῦ θανάτου καὶ ἂν ἀκόμη φαίνεται, ὅτι ἐλαττώθηκε ἀπὸ τὴν ὑποστολὴ τοῦ θυμοῦ καὶ τῆς ἐπιθυμίας καὶ ἀπὸ τὴν ὑποδούλωσι τῆς αἰσθήσεως, κάτω ἀπὸ τὴν ὑπερέχουσα γνῶσι τοῦ νοός.

[5.] Ὅμως πρέπει νὰ ἐπισημανθῇ αὐτό: ὅτι [δηλαδὴ] ψυχὴ ἀφώτιστη [ἀβάπτιστη], ἐπειδὴ δὲν ἔχει ἀπὸ τὴν φύσι της τὴν δυνατότητα νὰ ἐνισχύεται ἀπὸ τὸν Θεό, οὔτε νὰ καθαρθῇ μπορεῖ γνήσια, οὔτε νὰ ἀνυψωθῇ πρὸς τὸ θεῖο φῶς, ὅπως ἔχει λεχθῆ. Ἐκεῖνα τὰ ὁποῖα ἔχουν εἰπωθῇ, πρέπει βέβαια νὰ θεωρηθῇ, ὅτι ἔχουν λεχθῆ σχετικὰ μὲ τοὺς πιστοὺς [τοὺς βαπτισμένους]· γιὰ περισσότερη δὲ σαφήνεια σχετικὰ μ᾽ αὐτά, πρέπει νὰ διασαφησθοῦν ὀλίγα, περὶ τῆς διαφορᾶς τῆς γνώσεως.

[6.] Διότι ἀπὸ τὶς γνώσεις [ποὺ ὑπάρχουν] ἐδῶ, ἡ [μία] μὲν εἶναι κατὰ φύσιν, ἡ δὲ [ἄλλη] ὑπὲρ φύσιν. Θὰ γίνῃ δὲ ἡ δεύτερη φανερὴ ἀπὸ τὴν πρώτη. Λέγομε λοιπὸν κατὰ φύσιν γνῶσι, ὅση ἡ ψυχὴ δύναται νὰ ἀποκτήσῃ καὶ μὲ τὴν ἔρευνα καὶ μὲ τὴν ἀναζήτησι περὶ τῆς κτίσεως, χρησιμοποιώντας τὰ ὄργανα τοῦ σώματος καὶ τὶς φυσικὲς δυνάμεις, δηλαδὴ ὅσο εἶναι ἐφικτὸ στὴν ψυχή, ἡ ὁποία εἶναι συνδεδεμένη μὲ τὴν ὕλη. Διότι ἔχει ἐπίσης λεχθῆ στὸν σχετικὸ [λόγο] περὶ αἰσθήσεως

καὶ φαντασίας καὶ νοῦ, ἀμβλύνεσθαι τὴν ἐνέργειαν τοῦ νοῦ ἐκ τῆς πρὸς τὸ σῶμα συναφείας, καὶ ἀνακράσεως. Κἀντεῦθεν μὴ δύνασθαι τῶν νοερῶν εἰδῶν ἐν ἐπαφῇ γενέσθαι, ἀλλὰ δεῖσθαι πρὸς τὸ νοεῖν τῆς φαντασίας, εἰδωλικῆς οὔσης φύσεως, καὶ τῆς ὑλικῆς διαστάσεως καὶ παχυμερίας. Δεῖ τοίνυν συμμέτρων εἰδῶν τῷ ἐν τῇ σαρκὶ νῷ, ἵνα τούτων δυνηθείη ἀντιλαβέσθαι. Ὁ τοίνυν οὕτως ἔχων νοῦς, ὅσην ἂν λάβῃ γνῶσιν κατὰ τὴν οἰκείαν μέθοδον τὴν φυσικήν, φυσικὴν τὴν τοιαύτην γνῶσιν καλοῦμεν. Ὑπερφυὴς δέ ἐστι γνῶσις, ἡ ἐγγινομένη τῷ νῷ ὑπὲρ τὴν ἑαυτοῦ μέθοδόν τε καὶ δύναμιν· ἤτοι ὁπηνίκα τὰ νοούμενα τὴν ἀναλογίαν ὑπερβαίνῃ, τοῦ μετὰ σαρκὸς νοῦ, ὡς εἶναι τὴν γνῶσιν προσήκουσαν τῷ χωρὶς σώματος νῷ· αὕτη δὲ ὑπὸ μόνου γίνεται τοῦ Θεοῦ, ὁπηνίκα μάλα κεκαθαρμένον εὕρῃ τὸν τοιοῦτον νοῦν ἀπὸ πάσης ὑλικῆς προσπαθείας, καὶ τῷ θείῳ ἔρωτι κάτοχον· οὐχ ἡ γνῶ-

καὶ φαντασίας καὶ νοός, ὅτι ἀμβλύνεται ἡ ἐνέργεια τοῦ νοός, ἐξ αἰτίας τῆς συναφείας καὶ τῆς κοινωνίας μὲ τὸ σῶμα. Καὶ ἐξ αὐτοῦ, ὅτι δὲν δύναται [ὁ νοῦς] νὰ ἔρθῃ σὲ ἐπαφὴ μὲ τὰ νοερὰ εἴδη, ἀλλὰ ὅτι ἔχει ἀνάγκη γιὰ νὰ νοήσῃ ἀπὸ τὴν φαντασία, τῆς ὁποίας ἡ φύσι εἶναι πλούσια σὲ εἰκόνες, καὶ ὑλικῆς διαστάσεως καὶ παχύτητος. Χρειάζεται λοιπὸν ὁ νοῦς, [ὁ ὁποῖος εὑρίσκεται] ἐντὸς τοῦ σώματος ἀνάλογα εἴδη, γιὰ νὰ μπορέσῃ νὰ ἀντιληφθῇ αὐτὰ [τὰ νοερὰ εἴδη]. Ὅση λοιπὸν γνῶσι τυχὸν λάβῃ ὁ νοῦς, ὁ ὁποῖος βρίσκεται σ᾽ αὐτὴν τὴν κατάστασι [δηλαδὴ ἐντὸς τοῦ σώματος], μὲ τὴν δική του μέθοδο, τὴν φυσική, αὐτὴν τὴν ἀποκαλοῦμε φυσικὴ γνῶσι. Ὑπερφυσικὴ δὲ γνῶσι εἶναι ἐκείνη, ἡ ὁποία ἐπέρχεται μέσα στὸν νοῦ, ὑπερβαίνοντας τὴν δική του καὶ μέθοδο καὶ δύναμι [τὴν φυσική]· δηλαδή, ὅταν συμβῇ νὰ ὑπερβαίνουν τὰ νοούμενα τὴν ἀναλογία [τῆς δυνατότητος] τοῦ νοός, ποὺ εἶναι συνδεδεμένος μὲ τὸ σῶμα, ὥστε ἡ γνῶσι νὰ εἶναι ἡ ἁρμόζουσα στὸν νοῦ χωρὶς σῶμα [στὸν πνευματικὸ νοῦ]· αὐτὴ βέβαια [ἡ γνῶσι], παρέχεται μόνον ἀπὸ τὸν Θεό, ὅταν συμβῇ νὰ εὕρῃ αὐτὸν τὸν νοῦ πάρα πολὺ καθαρμένο ἀπὸ κάθε ὑλικὴ προσπάθεια καὶ κατεχόμενο ἀπὸ τὸν θεῖο ἔρωτα. Κατ᾽ αὐτὸν τὸν

σις δὲ μόνον οὕτω διαιρεῖται, ἀλλὰ καὶ ἡ ἀρετή.[7.] Ἄλλη μὲν γάρ ἐστιν, ὅση τὴν φύσιν οὐχ ὑπερβαίνει, ἣ καὶ φυσικὴ λέγοιτ᾽ ἂν εἰκότως˙ ἄλλη δὲ ἡ ὑπὸ μόνου ἐνεργουμένη τοῦ πρώτου καλοῦ, ὑπὲρ τὴν φυσικὴν οὖσα δύναμιν, καὶ κατάστασιν, ἣν ὑπερφυῆ προσαγορευτέον προσφόρως˙ οὕτως οὖν τούτων διῃρημένων, τὴν μὲν φυσικὴν καὶ γνῶσιν, καὶ ἀρετήν, ἔχοι ἂν καὶ ἀφώτιστος ἴσως, τὴν ὑπερφυῆ δὲ οὐδαμῶς˙ πῶς γάρ, ἄμοιρος ὢν τοῦ ἐνεργοῦντος αἰτίου; [8.] Ὁ δὲ πεφωτισμένος, ἀμφοτέρας ἔχειν δύναται˙ μᾶλλον δέ, τὴν μὲν ὑπερφυῆ ἀρετήν, οὐδ᾽ ἂν ὅλως κτήσαιτο, μὴ πρότερον τὴν κατὰ φύσιν κτησάμενος˙ τῆς δὲ ὑπερφυοῦς γνώσεως ἐν μεθέξει γενέσθαι, χωρὶς τῆς κατὰ φύσιν, τὸ κωλῦον οὐδέν. Πλὴν ἐκεῖνο χρεὼν εἰδέναι, ὅτι ὥς περ αἴσθησιν, καὶ φαντασίαν ἔχει μὲν καὶ τὰ ἄλογα, ἔχει δὲ καὶ ὁ ἄνθρωπος ταύτας τὰς δυνάμεις, πολλῷ κρείττους καὶ ὑψηλοτέρας. [9.] Οὕτω δὴ

τρόπο, δὲν διαιρεῖται μόνον ἡ γνῶσι, ἀλλὰ καὶ ἡ ἀρετή.

[7.] Διότι ἄλλη μὲν εἶναι ἐκείνη, ποὺ δὲν ὑπερβαίνει τὴν φύσι, ἡ ὁποία καὶ δικαίως μπορεῖ νὰ λέγεται φυσική· ἄλλη δὲ ἐκείνη, ἡ ὁποία ἐνεργεῖται μόνον ἀπὸ τὸ Πρῶτο Καλὸ [δίδεται μόνον ἀπὸ τὸν Θεό], ἡ ὁποία εἶναι ὑπεράνω τῆς φυσικῆς δυνάμεως καὶ καταστάσεως, ποὺ πρέπει νὰ ὀνομάζωμε ὑπερφυσική. Ἐπειδὴ λοιπὸν αὐτὲς εἶναι διῃρημένες κατ᾽ αὐτὸν τὸν τρόπο, τὴν μὲν φυσικὴ γνῶσι, ὅσο καὶ τὴν ἀρετή, εἶναι δυνατὸν ἴσως νὰ [τὶς] ἔχῃ καὶ [κάποιος] ἀφώτιστος [ἀβάπτιστος], τὴν ὑπερφυσικὴ ὅμως μὲ κανένα τρόπο. Διότι πῶς [θὰ ἦταν δυνατὸν νὰ τὴν ἔχῃ], ἐνῶ εἶναι ἀμέτοχος τοῦ Αἰτίου ποὺ [τὴν] ἐνεργεῖ;

[8.] Ἐκεῖνος ὅμως, ὁ ὁποῖος εἶναι φωτισμένος, δύναται νὰ ἔχῃ καὶ τὶς δύο· μᾶλλον δέ, τὴν ὑπερφυσικὴ ἀρετή, δὲν μπορεῖ πράγματι νὰ [τὴν] ἀποκτήσῃ καθόλου, ἐὰν δὲν ἀπέκτησε προηγουμένως τὴν κατὰ φύσιν [ἀρετή]. Δὲν [ὑπάρχει] ὅμως τίποτα τὸ ὁποῖο νὰ ἐμποδίζῃ [κάποιον], χωρὶς [νὰ ἔχῃ] τὴν φυσικὴ γνῶσι, νὰ μετέχῃ στὴν ὑπερφυσική. Ἀλλὰ πρέπει νὰ γνωρίζῃ ἐκεῖνο: ὅτι ὅπως ἀκριβῶς τὰ ἄλογα [ζῶα] ἔχουν αἴσθησι καὶ φαντασία, καὶ ὁ ἄνθρωπος βέβαια ἔχει αὐτὲς τὶς δυνάμεις, πολὺ καλλίτερες καὶ ὑψηλότερες. [9.] Τοιουτοτρόπως λοιπόν,

κἀπὶ τῶν φυσικῶν ἀρετῶν τε, καὶ γνώσεων, καὶ ἄμφω λέγονται ἔχειν, ἀλλὰ μακρῷ κρειττόνως ὁ πεφωτισμένος, καὶ ὑψηλότερον ἔχει τοῦ ἀφωτίστου αὐτάς. Ἔτι γε μήν, τῆς φυσικῆς εἰρημένης γνώσεως, ὅση περὶ ἀρετάς, καὶ τὰς ἐναντίας ἕξεις καταγίνεται, δισσὴ καὶ αὕτη δοκεῖ˙ ἡ μὲν ψιλή ἐστιν, ὅτε μὴ πεπείραται ὁ φιλοσοφῶν τῶν τοιούτων διαθέσεων, ἥτις ἔστιν ὅτε διστάζει. Ἡ δὲ ἔμπρακτός ἐστι, καὶ οἷον εἰπεῖν, ἔμψυχος˙ ὅτε διὰ τῆς πείρας τῶν τοιούτων διαθέσεων ἡ γνῶσις βεβαιοῦται. Ἥτις τρανή ἐστι, καὶ πιστή˙ μηδόλως δισταγμὸν καὶ ἀμφιδοξίαν ἐπιδεχομένη τὸ σύνολον. ***[10.]*** *Τούτων οὕτως ἐχόντων, τέσσαρά τινα εἶναι δοκεῖ ἀντιπίπτοντα τῷ νῷ, πρὸς ἀρετῆς κτῆσιν˙ ἓν μέν, ἡ τῶν ἐναντίων ἕξεων πρόληψις, ἥπερ εἴρηται, πείθειν ἐπιχειροῦσα διὰ μακροῦ τοῦ ἔθους, πρὸς τὰ γεηρὰ καταφέρεσθαι. Ἕτερον δέ, ἡ τῆς αἰσθήσεως ἐνέργεια, τοῖς αἰσθητοῖς κάλλεσιν ἐμφαινομένη καὶ συνεφελκομένη*

ὅσον ἀφορᾶ τὶς φυσικὲς καὶ ἀρετὲς καὶ γνώσεις, καὶ οἱ δύο θεωροῦνται ὅτι [τὶς] ἔχουν, ἀλλὰ ὁ φωτισμένος τὶς ἔχει μὲ πολλὴ μεγάλη διαφορά, καλλίτερα καὶ ὑψηλότερα ἀπὸ τὸν ἀφώτιστο. Ἐπιπλέον βεβαίως καὶ γιὰ τὴν λεγομένη φυσικὴ γνῶσι, ὅση ἀσχολεῖται μὲ τὶς ἀρετὲς καὶ τὶς ἀντίθετες συνήθειες, καὶ αὐτὴ διπλῆ φαίνεται· ἡ μὲν [πρώτη] εἶναι κενή, ὅταν ἐκεῖνος ποὺ φιλοσοφεῖ, δὲν ἔχῃ δοκιμάσει αὐτοῦ τοῦ εἴδους τὶς καταστάσεις, ἡ ὁποία μερικὲς φορὲς ἀμφιβάλλει. Ἡ δὲ [ἄλλη], εἶναι ἔμπρακτη, καὶ σὰν νὰ λέμε ἔμψυχη· ὅταν ἐπιβεβαιώνεται ἡ γνῶσι διὰ τῆς ἐμπειρίας αὐτῶν τῶν καταστάσεων· ἡ ὁποία εἶναι καταφανὴς καὶ ἀξιόπιστη, χωρὶς καθόλου νὰ ἐπιδέχεται, ὡς πρὸς τὸ σύνολό της, δισταγμὸ καὶ ἀμφισβήτησι.

[10.] Ἐπειδὴ ἔτσι ἔχουν αὐτά, [μοῦ] φαίνεται ὅτι τέσσερα εἶναι ἐκεῖνα τὰ ὁποῖα ἀντιμάχονται μὲ τὸν νοῦ, γιὰ τὴν ἀπόκτησι τῆς ἀρετῆς. Τὸ μὲν ἕνα [εἶναι] ἡ ἀκούσιος μνήμη τῶν κακῶν συνηθειῶν, ἡ ὁποία ἔχει λεχθῆ, ὅτι πράγματι ἐπιχειρεῖ νὰ πείθῃ [τὸν νοῦ], νὰ τείνῃ πρὸς τὰ γήινα, ἐξ αἰτίας τοῦ μακροῦ [χρονικοῦ διαστήματος] τῆς συνήθειας. Τὸ δὲ ἄλλο [εἶναι] ἡ ἐνέργεια τῆς αἰσθήσεως, ποὺ φανερώνεται μέσα στὰ αἰσθητὰ κάλλη καὶ προσελκύει

τὸν νοῦν ἑαυτῇ. Τρίτον δέ, ἡ τῆς νοερᾶς ἐνεργείας ἀμβλύτης, ἣν διὰ τὴν πρὸς τὸ σῶμα συμπλοκὴν πέπονθε. Οὐ γὰρ ὥς περ ὅρασις πρὸς ὁρατόν, καὶ συλλήβδην εἰπεῖν, αἴσθησις πρὸς αἰσθητόν, οὕτω νοῦς πρὸς νοητόν· νοῦν δὲ λέγω τὸν τῆς ψυχῆς ἐν σαρκὶ οὔσης ἔτι. Ἐπεὶ οἵ γε ἄϋλοι Νόες ἐνεργέστερον προσβάλλουσι τοῖς νοητοῖς, ἢ ὄψις τοῖς ὁρατοῖς· ἀλλὰ καθάπερ ὄψις λημῶσα, τῶν ὁρᾶσθαι πεφυκότων, οὐ τρανά, οὐδὲ σαφῆ, συγκεχυμένα δὲ μᾶλλον καὶ ἀσαφῆ ἐκμάττεται εἴδωλα· οὕτω δὴ καὶ ὁ ἐν ἡμῖν νοῦς ἀντιλαμβάνεται τῶν νοητῶν· μὴ δυνάμενος δὲ τὰ νοητὰ κάλλη ἐναργῶς κατοπτεύειν, ἅμα μὲν οὐδὲν ποθεῖν δύναται· κατὰ γὰρ τὸ μέτρον τῆς γνώσεως, καὶ τὸ μέτρον τῆς ἐφέσεως· ἅμα δὲ πρὸς τὰ αἰσθητὰ κατασύρεσθαι κάλλη, τρανώτερον τούτῳ προσπίπτοντα. Ἐμφορεῖσθαι γὰρ ἀναγκαῖον ἑνός γε τοῦ καλοῦ φαινομένου· εἴτ᾽ οὖν ὄντως, εἴτε καὶ μή. Ἔτι δὲ παρὰ ταῦτα, ἡ τῶν ἀκαθάρτων καὶ μισανθρώπων πνευμάτων ἐπή-

μαζί της καὶ τὸν νοῦ. Τὸ τρίτο δὲ [εἶναι] ἡ ἀτονία τῆς νοερᾶς ἐνεργείας, τὴν ὁποία ἔχει πάθει [ὁ νοῦς], ἐξ αἰτίας τῆς συνυφάνσεώς [του] μὲ τὸ σῶμα. Διότι [δὲν κινεῖται] ὁ νοῦς, ἐν σχέσει πρὸς τὸ νοητό, ὅπως ἀκριβῶς ἡ ὅρασι πρὸς τὸ ὁρατὸ καὶ γιὰ νὰ μιλήσω γενικά, ἡ αἴσθησι πρὸς τὸ αἰσθητό· καὶ ἐννοῶ νοῦν, ἐκεῖνον τῆς ψυχῆς, ἡ ὁποία βρίσκεται ἀκόμη μέσα στὸ σῶμα. Καθόσον, βέβαια, οἱ ἄυλοι Νόες [οἱ Ἄγγελοι] ὀξύτερα ἀντιλαμβάνονται τὰ νοητά, παρὰ ἡ [ἀνθρώπινη] ὅρασι τὰ ὁρατά· ἀλλὰ ὅπως, ὅταν ἡ ὅρασι ἀμβλυωπῇ, δὲν ἐντυπώνει εὐκρινῆ οὔτε σαφῆ ἐκεῖνα τὰ ὁποῖα εἶναι ἐκ φύσεως γιὰ νὰ ὁρῶνται, ἀλλὰ [ἐντυπώνει] μᾶλλον συγκεχυμένες καὶ ἀσαφεῖς εἰκόνες· κατὰ τὸν ἴδιο ἀκριβῶς τρόπο καὶ ὁ ἐντός μας νοῦς ἀντιλαμβάνεται τὰ νοητά. Καθόσον μάλιστα δὲν δύναται νὰ παρατηρῇ μὲ σαφήνεια τὰ νοητὰ κάλλη, συγχρόνως δὲν δύναται βέβαια [καὶ] νὰ [τὰ] ἐπιθυμῇ - διότι σύμφωνα μὲ τὸ μέτρο τῆς γνώσεως [εἶναι] καὶ τὸ μέτρο τῆς ἐπιθυμίας - ταυτοχρόνως δέ, [μπορεῖ ὁ νοῦς] νὰ παρασύρεται πρὸς τὰ αἰσθητὰ κάλλη, ἐπειδὴ [αὐτὰ] εἶναι προσκείμενα καταφανέστερα σ᾽ αὐτόν. Διότι [τοῦ εἶναι] ἀναγκαῖο, νὰ πληροῦται τουλάχιστον ἀπὸ ἕνα, τὸ ὁποῖο [τοῦ] φαίνεται καλό· εἴτε λοιπὸν [εἶναι] πράγματι [καλό], εἴτε καὶ ὄχι. Ἐπιπλέον δέ, πέρα ἀπ᾽ αὐτά, δὲν εἶναι [δυνατὸν] νὰ ἀναφέρῃ [κανεὶς] πόσες καὶ ποιὲς παγί-

ρεια, παγίδας, οὐκ ἔστιν εἰπεῖν, ὅσας καὶ οἵας ἁπανταχοῦ τῆς ὁδοῦ, φεῦ, ταῖς ψυχαῖς προσπηγνῦσα, πολυειδῶς τε καὶ πολυτρόπως, διὰ τῶν αἰσθήσεων, διὰ λόγου, διὰ νοῦ, διὰ πάντων, ὡς εἰπεῖν, τῶν ὄντων˙ ὧν εἰμὴ ὁ τὸ πλανώμενον πρόβατον ἐπ᾽ ὤμων ἀναλαβών[3], ὑψηλοτέρως ἀπείρῳ κηδεμονίᾳ τοὺς πρὸς αὐτὸν ὁρῶντας εἰργάζετο, οὐκ ἂν διέφυγεν οὐδαμῶς οὐδεμία ψυχή. [11.] Πρὸς γοῦν τὸ ταῦτα πάντα διαφυγεῖν, τριῶν ἡμῖν τούτων δεῖ. Ὧν πρῶτον καὶ μέγιστον, τὸ πρὸς τὸν Θεὸν ὁλοψύχως ὁρᾷν˙ καὶ παρ᾽ αὐτοῦ χεῖρα βοηθείας αἰτεῖν, πᾶσαν ἐπ᾽ αὐτῷ τὴν ἐλπίδα ἀνατιθέντας, ὡς ἀκριβῶς πεπεισμένους, ὡς εἰμὴ ἐκεῖνος συνάροιτο, πᾶσα ἀνάγκη ἀνθέλκουσιν ἐνεχθῆναι. Δεύτερον δέ, ὃ καὶ τοῦ προτέρου πρόξενον οἶμαι, ἡ συνεχὴς τοῦ νοῦ δι᾽ ἐπιστήμης τροφή. Ἐπιστήμην δὲ λέγω, τῶν τε ὄντων ἁπάντων αἰσθητῶν καὶ νοητῶν, εἴτε καθ᾽ αὐτά ἐστι, καὶ ὅπως ἔχουσι πρὸς τὴν πρώτην

δες στήνει, ἡ κακὴ ἐπήρεια τῶν ἀκαθάρτων καὶ μισανθρώπων πνευμάτων, γιὰ τὶς ψυχὲς πάνω σὲ ὅλη τὴν ἔκτασι, ἀλλοίμονο, τῆς [ἀνθρώπινης] πορείας, μὲ πολλαπλὰ εἴδη καὶ τρόπους, μέσῳ τῶν αἰσθήσεων, μέσῳ τοῦ λόγου, μέσῳ τοῦ νοός, καὶ γενικῶς, μέσῳ ὅλων τῶν ὄντων· ἀπὸ τὶς ὁποῖες [παγίδες] καμία ψυχή, μὲ κανέναν τρόπο δὲν θὰ διέφευγε, ἐὰν Ἐκεῖνος, ὁ ὁποῖος σήκωσε πάνω στοὺς ὤμους [Του] τὸ πλανώμενο πρόβατο, δὲν φρόντιζε, μὲ ἄπειρη θεϊκὴ κηδεμονία, ἐκείνους οἱ ὁποῖοι στρέφουν τοὺς ὀφθαλμούς [τους] πρὸς Αὐτόν.

[11.] Γιὰ τὴν ἐξ ἅπαντος ἐκφυγή [μας] ἀπὸ ὅλα αὐτά, χρειαζόμαστε αὐτὰ τὰ τρία· ἀπὸ τὰ ὁποῖα, τὸ πρῶτο καὶ μέγιστο [εἶναι], τὸ νὰ στρέφωμε τοὺς ὀφθαλμούς [μας] ὁλόψυχα πρὸς τὸν Θεὸ καὶ νὰ ζητοῦμε ἀπ᾽ Αὐτὸν χεῖρα βοηθείας, ἀφοῦ ἀναθέτομε ὅλη τὴν ἐλπίδα [μας] σ᾽ Ἐκεῖνον, ἐπειδὴ ἔχομε ἀπολύτως πεισθῆ, ὅτι πράγματι, ἐὰν Ἐκεῖνος δὲν ἤθελε βοηθήσῃ, θὰ παρασυρθοῦμε ἀναγκαστικὰ ἀπὸ αὐτούς, οἱ ὁποῖοι μᾶς σύρουν στὴν ἀντίθετη κατεύθυνσι [δηλαδὴ τοὺς δαίμονες]. Δεύτερον δέ, τὸ ὁποῖο νομίζω [ὅτι εἶναι] πρόξενο τοῦ προηγουμένου, ἡ συνεχὴς τροφοδοσία τοῦ νοός, μέσῳ τῆς ἐπιστήμης. Ὀνομάζω δὲ ἐπιστήμη τὴν θεωρία ὅλων τῶν ὄντων, καὶ αἰσθητῶν καὶ νοητῶν· εἴτε [αὐτὰ] νοοῦνται καθ᾽ ἑαυτά, [εἴτε] καὶ πῶς σχετίζονται πρὸς τὴν Πρώτη

ἀρχήν, ὡς ἐκεῖθέν τε καὶ πρὸς τήνδε, καὶ τὴν τοῦ αἰτίου τῶν ὄντων, ἐκ τῶν περὶ αὐτὴν ὡς ἐφικτὸν θεωρίαν. Καθαρτικώτερον γὰρ τὸ τὰς φύσεις τῶν ὄντων περιεργάζεσθαι, τῆς ἐμπαθοῦς πρὸς αὐτὰ διαθέσεως, καὶ τῆς περὶ ταῦτα ἀπάτης ἀπαλλακτικόν, καὶ τὴν [delendum] πρὸς τὴν πάντων ἀρχὴν ἀναγωγικώτατον. Ἀπὸ τῶν καλῶν, καὶ θαυμαστῶν, καὶ μεγάλων, τὸ κάλλιστον, καὶ θαυμαστότατον καὶ μέγιστον, μᾶλλον δὲ τὸ ὑπὲρ τὸ κάλλος, καὶ τὴν θαυμασιότητα, καὶ τὸ μέγεθος διδοῦν ἐνοπτρίζεσθαι. Περὶ ταῦτα δὲ στρεφομένης τῆς διανοίας ἀεί, οἷόν τε ἐστι μὴ ποθῆσαι τὸ ὄντως ἀγαθόν˙ εἰ γὰρ πρὸς ἀλλότριον φέρεται, πολλῷ μᾶλλον πρὸς τὸ οἰκεῖον. Τούτων δὲ ἐρασθεῖσα ψυχή, τίνι ἀνάσχοιτο προσεδρεύειν τῶν κάτω; Καὶ τῶν ἀφέλκειν πεφυκότων τοῦ ἐραστοῦ; Ἀλλὰ μὴ καὶ πρὸς τὴν ἐν σαρκὶ δυσχεράνῃ ζωήν, ὡς ἐμποδιστικὴν τῶν καλῶν. Εἰ γὰρ καὶ ἀμαυρῶς ἐποπτεύειν εἴρηται

Ἀρχή, διότι ἀπὸ ἐκεῖ [προέρχονται] καὶ πρὸς αὐτὴν βέβαια [ἀναφέρονται], καὶ τὴν [θεωρία] τοῦ Αἰτίου τῶν ὄντων, ὅσον [εἶναι] ἐφικτὸ [νὰ γίνῃ μιὰ τέτοια θεωρία], ἀπὸ ὅσα εἶναι γύρω ἀπ᾽ αὐτὴ [τὴν Πρώτη Ἀρχή]. Διότι, τὸ νὰ ἐξετάζῃ [κανεὶς] προσεκτικὰ τὶς φύσεις τῶν ὄντων, [εἶναι] αἰτία ἀκόμη μεγαλύτερης καθάρσεως καὶ ἀπαλλακτικὸ ἀπὸ τὴν ἐμπαθῆ πρὸς αὐτὰ διάθεσι καὶ ἀπὸ τὴν ἀπάτη γύρω ἀπὸ αὐτά, καὶ [μᾶς] ἀνυψώνει πολὺ πρὸς τὴν Ἀρχὴ τῶν πάντων. Ἀπὸ τὰ καλὰ καὶ θαυμαστὰ καὶ μεγάλα, μᾶς παρέχει [τὴν δυνατότητα] νὰ βλέπωμε σὰν σὲ καθρέπτη, τὸ καλλίτερο καὶ θαυμαστότερο καὶ μεγαλύτερο, μᾶλλον δὲ ἐκεῖνο, τὸ ὁποῖο ὑπερβαίνει τὸ κάλλος καὶ τὴν θαυμασιότητα καὶ τὸ μέγεθος. Ἐὰν λοιπὸν ἡ διάνοια στρέφεται πάντοτε γύρω ἀπ᾽ αὐτά, δὲν εἶναι δυνατὸν νὰ μὴν ποθήσῃ τὸ ὄντως Ἀγαθόν· διότι, ἐὰν στρέφεται πρὸς τὸ ξένο, πολὺ περισσότερο [στρέφεται] πρὸς τὸ οἰκεῖο. Ἐὰν λοιπὸν αὐτὰ ἐρωτεύθηκε ἡ ψυχή, μὲ ποιὸν [τρόπο] εἶναι δυνατὸν νὰ ἀνεχθῇ νὰ παραμένῃ στὰ κατώτερα τῆς γῆς, καὶ σ᾽ ἐκεῖνα τὰ ὁποῖα ἀπὸ τὴν φύσι τους εἶναι τέτοια, ὥστε νὰ [τὴν] ἀπομακρύνουν ἀπὸ τὸν Ἐραστή; Ἀλλὰ βέβαια θὰ αἰσθάνεται δυσαρέσκεια, καὶ ὅσον ἀφορᾶ τὴν ζωὴ μὲ τὸ σῶμα, ὅτι δῆθεν [τὴν] ἐμποδίζει ἀπὸ τὰ καλά. Διότι ἂν καὶ ἔχει λεχθῆ, ὅτι ὁ νοῦς, εὑρισκόμενος

νοῦς ἐν ὕλῃ τὴν νοητὴν καλλονήν, ἀλλὰ τοιαῦτα καὶ τηλικαῦτα τὰ νοητὰ ἀγαθά, ὡς καὶ βραχεῖάν τινα ἀποῤῥοήν, καὶ ἀμυδρὰν ἔμφασιν τοῦ πελαγίζοντος κάλλους ἐκείνου, δύνασθαι πείθει τὸν νοῦν, πάντων ὑπερίπτασθαι τῶν μὴ νοητῶν, καὶ πρὸς ἐκεῖνα φέρεσθαι μόνα. Μηδόλως δ' ἀνέχεσθαι τῆς τρυφῆς ἐκείνης ἀποχωρεῖν, οὐδ' ἂν εἴ τι καὶ συμπεσεῖν γένοιτο τῶν ἀνιαρῶν. Τρίτον δὲ προσεῖναι δεῖ τὴν τοῦ συζύγου σώματος νέκρωσιν. Ἄλλως γὰρ ἀδύνατον τὰς ἐμφάσεις ἐκείνας δέχεσθαι σαφεῖς καὶ τρανάς. Νεκροῦται δὲ σὰρξ διὰ νηστείας, καὶ ἀγρυπνίας, καὶ χαμευνίας, καὶ τραχείας περιβολῆς ἀναγκαίας, καὶ πόνων, καὶ μόχθων. Οὕτω νεκροῦται σάρξ, μᾶλλον δὲ συσταυροῦται Χριστῷ. Λεπτύνεταί τε, καὶ καθαίρεται, καὶ κούφη καὶ εὐσταλὴς γινομένη τοῖς τοῦ νοῦ κινήμασιν ἕπεται ῥᾳδίως, οὐκ ἀντιτείνουσα, καὶ συνυψοῦται τῷ ὑψηλῷ, ὡς ταύτης γε χωρίς, ἅπασα

μέσα στὴν ὕλη, παρατηρεῖ ἀσαφῶς τὴν νοητὴ καλλονή, ὅμως τὰ νοητὰ ἀγαθὰ [εἶναι] τέτοια καὶ τόσο μεγάλα, ὥστε καὶ κάποια μικρὴ σταγόνα καὶ [κάποια] ἀμυδρὴ φανέρωσι τοῦ εὐρυτάτου σὰν πέλαγος ἐκείνου κάλλους, διεγείρει τὸν νοῦ, ὥστε νὰ μπορῇ νὰ πετᾷ ὑπεράνω ἀπὸ ὅλα τὰ μὴ νοητά, καὶ νὰ κατευθύνεται πρὸς μόνον ἐκεῖνα [τὰ νοητά]. Καθόλου δὲ νὰ μὴν ἀνέχεται [ὁ νοῦς], νὰ ἀποχωρῇ ἀπὸ ἐκείνη τὴν τρυφή, οὔτε καὶ ἂν τυχὸν ἤθελε συμβῇ νὰ τύχῃ κάποιο ἀπὸ τὰ δυσάρεστα. Τρίτον δέ, πρέπει νὰ προστεθῇ ἡ νέκρωσι [τοῦ φρονήματος] τοῦ συζευγμένου σώματος. Διότι διαφορετικά, [εἶναι] ἀδύνατον νὰ δέχεται [ὁ νοῦς], ἐκεῖνες τὶς ἀποκαλύψεις [τῶν νοητῶν], σαφεῖς καὶ εὐκρινεῖς. Νεκρώνεται δὲ ἡ σάρκα μὲ νηστεῖες καὶ ἀγρυπνίες, καὶ χαμαικοιτίες, καὶ μὲ σκληρὴ τὴν ἀναγκαία περιβολή, καὶ μὲ κόπους καὶ μόχθους. Κατ' αὐτὸν τὸν τρόπο νεκρώνεται ἡ σάρκα, μᾶλλον δὲ συσταυρώνεται μὲ τὸν Χριστό. Λεπτύνεται καὶ ἐπίσης καθαίρεται καί, ἀφοῦ γίνῃ ἐλαφριὰ καὶ εὐκίνητη, ἀκολουθεῖ εὔκολα τὶς κινήσεις τοῦ νοός, χωρὶς νὰ ἐναντιώνεται, καὶ ὑψώνεται μαζὶ μὲ τὸν ὑψηλὸ [νοῦ], ὥστε βέβαια χωρὶς αὐτὴν [τὴν νέκρωσι] κάθε

σπουδὴ ματαία ἐλέγχεται. [12.] Αὕτη ἡ σεβασμία τριάς, ἐπειδὰν πρὸς ἑαυτὴν συμφωνήσῃ, τὸν χορὸν τῶν μακαρίων ἀρετῶν ἐγγενᾷ τῇ ψυχῇ. Ἀδύνατον γὰρ ἐν τοῖς τῇ τριτηῒ [recte: τριτύι] ταύτῃ κεκοσμημένοις, ἢ ἴχνος κακίας εὑρεῖν, ἢ τῶν ἀρετῶν ἀπεῖναί τινα˙ ἀλλ' ἴσως ἐνοχλεῖ τῷ λόγῳ ἡ τῶν χρημάτων ῥῖψις, καὶ ἡ τῆς δόξης διάπτυσις, ὡς ἄχρις ἂν προσδέδεται τούτοις ψυχήν, πολλοῖς περιπείρεται πάθεσιν. Ἐγὼ δέ, ὅτι μὲν ἀδύνατον ἀναπτῆναι ψυχὴν τὴν προσηλωμένην πλούτῳ, καὶ δόξῃ, καὶ πάνυ διϊσχυρίζομαι. Οὐ μὴν δὲ φημὶ δυνατὸν εἶναι τούτοις προσεδρεύειν ψυχήν, τοῖς εἰρημένοις τρισὶν ἐναθλήσασαν ἐφ' ἱκανὸν ὡς εἰς ἕξιν τούτων ἐλθεῖν. Εἰ γὰρ μηδὲν εἰδυῖα τῷ ὄντι καλόν, ἢ τὸ ὑπὲρ πάντα, τῶν δ' ἄλλων, τὸ ὁμοιότερον τῷ πρώτῳ κάλλιον εἶναι πεπεισμένη, καὶ τοῦτο μέχρι τῶν ἐσχάτων, πῶς ἂν ἄργυρον, ἢ χρυσοῦν, ἢ ἄλλο τι τῶν κάτω συρομένων ἀγαπήσειε καὶ ἀποδέ-

ἀγώνας ἀποδεικνύεται μάταιος. [12.] Αὐτὴ ἡ σεβασμία τριάδα, ὅταν ἐναρμονισθῇ μὲ τὸν ἑαυτό της, γεννᾶ μέσα στὴν ψυχὴ τὸν χορὸ τῶν μακαρίων ἀρετῶν. Διότι [εἶναι] ἀδύνατον, σ' ἐκείνους οἱ ὁποῖοι κοσμοῦνται ἀπὸ αὐτὴν τὴν τριπλῆ θυσία, νὰ εὕρῃ [κανεὶς] ἢ ἴχνος κακίας ἢ κάποια ἀπὸ τὶς ἀρετὲς νὰ ἀπουσιάζῃ. Ἀλλά, ἴσως ἐνοχλεῖ τὴν λογική, ἡ ἀπόρριψι τῶν χρημάτων καὶ ἡ ἀποδοκιμασία τῆς δόξης, διότι ἐνόσῳ τυχὸν ἡ ψυχὴ εἶναι ἔντονα δεσμευμένη ἀπὸ αὐτά, βασανίζεται ἀπὸ πολλὰ πάθη. Ἐγὼ δέ, βεβαιώνω μετὰ πολλῆς πεποιθήσεως, ὅτι [εἶναι] πράγματι ἀδύνατον νὰ πετάξῃ ψηλὰ ἡ ψυχή, ἡ ὁποία εἶναι προσηλωμένη στὸν πλοῦτο καὶ στὴν δόξα. Ὁπωσδήποτε λέγω λοιπόν, ὅτι δὲν εἶναι δυνατὸν ἡ ψυχὴ νὰ παραμένῃ σ' αὐτά, ἐὰν ἀσκήθηκε γιὰ ἀρκετὸ διάστημα στὰ τρία ποὺ ἔχουν λεχθῆ, ὥστε νὰ γίνουν συνήθειά της. Διότι, ἐὰν δὲν ἀντιληφθῇ [ἡ ψυχή], ὅτι τίποτα δὲν [εἶναι] ἀληθινὰ καλό, παρὰ [μόνο] ἐκεῖνο τὸ ὁποῖο ὑπερέχει ὅλων [ὁ Θεός], καὶ δὲν ἔχῃ πεισθῆ, ὅτι καλλίτερο ἀπὸ [ὅλα] τὰ ἄλλα, εἶναι ἐκεῖνο ποὺ προσομοιάζει περισσότερο στὸ Πρῶτο [Καλὸ] καὶ αὐτὸ ἕως [καὶ] τὰ τελευταῖα· πῶς εἶναι δυνατὸν νὰ ἀγαπήσῃ καὶ νὰ καταδεχθῆ, ἄργυρο ἢ χρυσὸ ἢ κάτι ἄλλο, ἀπὸ ἐκεῖνα ποὺ σύρονται στὸ χῶμα

ξεται; Ταῦτα δέ μοι καὶ περὶ τῆς δόξης εἰρήσθω. Ἀλλ’ οὐδὲ τὸ καθεκτικώτατον χρῆμα, τὰς φροντίδας λέγω, ἀντιπίπτει τῷ λόγῳ. Περὶ τίνος γὰρ φροντιεῖ ὁ πρὸς μηδὲν τῶν ἐνθάδε παθαινόμενος, καὶ στρεφόμενος; Τὸ γὰρ φροντίδων νέφος, ἀπὸ τῆς οἷον ἀναθυμιάσεως τῶν γενικωτάτων παθῶν, φιληδονίας, λέγω, φιλαργυρίας καὶ φιλοδοξίας συνίσταται˙ ὡς ὅ γε τούτων ἐλεύθερος, καὶ φροντίδος ἀλλότριος. Ἀλλ’ οὐδ’ ἡ φρόνησις ἕτερον εἶναι τῆς σοφίας πεπιστευμένη˙ καί, τὸ κράτιστον οὖσα τῶν πρὸς τὰ ἄνω φερόντων, τοῖς εἰρημένοις ἐλλείπει. Τῇ μὲν γὰρ τῶν ἀρετῶν ἐπιστήμῃ, συμπεριέχεται καὶ ἡ τοῦ ἀγαθοῦ, καὶ τουναντίου ἀκριβεστάτη διάκρισις˙ ὧν προὔργου φρόνησις δεῖται. Τρόπους δὲ χρήσεως καὶ πάλης, ἡ πεῖρα καὶ ἡ πρὸς τὸ σῶμα πάλη διδάξει. Ὁ δὲ τοῦ φόβου λόγος οὐκ ἐκλείπει τῷ λόγῳ. Ὅσῳ γὰρ μείζων ὁ ἔρως, καὶ ὁ φόβος συναύξεται. Τοῦ γὰρ ἀγαθοῦ, ὅση ἐλπὶς πρὸς τὸ τυ-

[γήινο]; Αὐτὰ δὲ ἂς ἔχουν λεχθῆ ἀπὸ μένα καὶ γιὰ τὴν δόξα. Ἀλλὰ στὸν λόγο [αὐτὸ] δὲν ἀντίκειται οὔτε τὸ τυραννικώτατο [ἐκεῖνο] πρᾶγμα, τὶς μέριμνες ἐννοῶ. Διότι σχετικὰ μὲ τί θὰ μεριμνήσῃ ἐκεῖνος, ὁ ὁποῖος δὲν κυριεύεται ἐμπαθῶς καὶ δὲν στρέφεται σὲ κανένα ἀπὸ τὰ ἐγκόσμια; Τὸ νέφος βέβαια τῶν μεριμνῶν συνίσταται ἀπὸ τὴν μεγάλη ἀναθυμίασι τῶν κυριωτάτων παθῶν, ἐννοῶ [δηλαδὴ] τὴν φιληδονία, τὴν φιλαργυρία καὶ τὴν φιλοδοξία· διότι ἐκεῖνος, ὁ ὁποῖος [εἶναι] ἐλεύθερος ἀπὸ αὐτά, [εἶναι] καὶ ξένος ἀπὸ τὶς μέριμνες. Ἀλλὰ οὔτε ἡ φρόνησι, ἡ ὁποία ἔχει θεωρηθῆ ὅτι δὲν εἶναι [κάτι] διαφορετικὸ ἀπὸ τὴν σοφία, λείπει ἀπὸ ὅσα ἔχουν λεχθῆ · καὶ εἶναι τὸ σπουδαιότερο ἀπὸ ἐκεῖνα ποὺ ὁδηγοῦν στὸν οὐρανό. Διότι στὴν γνῶσι τῶν ἀρετῶν, συμπεριλαμβάνεται καὶ ἡ ἀκριβεστάτη διάκρισι τοῦ καλοῦ καὶ τοῦ ἀντιθέτου· τὰ ὁποῖα χρειάζεται γιὰ τὸ ἔργο [της] ἡ φρόνησι. Τοὺς τρόπους δὲ τῆς ἀσκήσεως καὶ τῆς πάλης θὰ [τοὺς] διδάξῃ ἡ πεῖρα καὶ ἡ πάλη μὲ τὸ σῶμα. Ὁ δὲ λόγος περὶ τοῦ φόβου, δὲν παραλείπεται ἀπὸ τὸν λόγο [μας]. Διότι ὅσο μεγαλύτερος [εἶναι] ὁ [θεῖος] ἔρως, [τόσο] συναυξάνεται καὶ ὁ [θεῖος] φόβος. Διότι, ὅση ἐλπίδα [ὑπάρχει] γιὰ τὴν ἀπόλαυσι τοῦ Ἀγαθοῦ - [γεγο-

χεῖν, ὃ μᾶλλον οἶδε δάκνειν τοὺς τετρωμένους, ἢ μυρίων κολάσεων ἀπειλαί. Τὸ γὰρ αὐτοῦ τυχεῖν μακαριώτατον, τοσοῦτος ὁ φόβος ἀποτυχεῖν, ὅπερ ἐστὶν ἀθλιώτατον. Ἵνα δὲ καθ᾽ ὁδὸν ἡμῖν ὁ λόγος καὶ ἄλλος προΐῃ, ληπτέον ἀπὸ τοῦ τέλους. Οὕτω γὰρ δοκεῖ πᾶν τὸ γενόμενον ἀπὸ τοῦ οἰκείου τέλους, τήν τε τῶν μερῶν διάκρισιν, καὶ τὴν τούτων τάξιν λαμβάνειν. [13.]Τὸ τοίνυν τέλος τῆς ζωῆς ἡμῶν, μακαριότης ἐστίν, ὃ ταὐτόν ἐστιν εἰπεῖν, καὶ Βασιλείαν Οὐρανῶν, ἢ Θεοῦ. Τοῦτο δὲ οὐκ ἔστι τὸ ὁρᾶν μόνον τὴν βασιλικωτάτην εἰπεῖν τριάδα, ἀλλὰ πρὸς τοῦτο καὶ τὴν θείαν δέχεσθαι ἐπιῤῥοήν, καὶ οἱονεί, πάσχειν τὴν θέωσιν˙ καὶ τὸ ἐν ἡμῖν ἐνδεές τε καὶ ἀτελές, τῇ ἀναπληροῦσθαί τε, καὶ τελειοῦσθαι ἐπιῤῥοῇ. Καὶ τοῦτό ἐστι τῶν νοερῶν ἡ τροφή, ἡ τοῦ ἐνδεοῦς ἀναπλήρωσις διὰ τῆς θείας ἐκείνης ἐπιῤῥοῆς. Καὶ ἔστι κύκλος τις ἀΐδιος, ἀπὸ τοῦ αὐτοῦ ἀρχόμενος καὶ εἰς τὸ αὐτὸ καταλήγων. Ὅσον γὰρ νοεῖ, καὶ

νός], τὸ ὁποῖο γνωρίζει νὰ κεντᾷ τοὺς πληγωμένους [ἀπὸ τὸν θεῖο ἔρωτα], περισσότερο παρὰ οἱ ἀπειλὲς μυρίων κολάσεων, ἐπειδὴ ἡ ἀπόλαυσι αὐτοῦ [τοῦ Ἀγαθοῦ εἶναι] τὸ ὕψιστο - τόσος φόβος [ὑπάρχει] γιὰ τὴν ἀστοχία, τὸ ὁποῖο εἶναι βέβαια τὸ ἐλεεινώτερο [ποὺ μπορεῖ νὰ συμβῇ]. Γιὰ νὰ [προχωρήσῃ] ὁ λόγος μας μεθοδικὰ καὶ νὰ ἐξαχθῇ ἄλλος [λόγος], πρέπει νὰ ξεκινήσωμε ἀπὸ τὸν σκοπό. Διότι μ᾽ αὐτὸν τὸν τρόπο φαίνεται, ὅτι κάθε τι, τὸ ὁποῖο ἔγινε, ἀποκτᾶ ἀπὸ τὸν σκοπό του καὶ τὴν διάκρισι τῶν μερῶν [του] καὶ τὴν τάξι αὐτῶν.

[13.]Ὁ σκοπὸς ἑπομένως τῆς ζωῆς μας εἶναι ἡ μακαριότητα, τὸ ὁποῖο εἶναι τὸ ἴδιο καὶ μὲ τὸ νὰ πῇ [κανείς], ἡ Βασιλεία τῶν Οὐρανῶν ἢ τοῦ Θεοῦ. Αὐτὸ ὅμως, δὲν εἶναι μόνον τὸ νὰ βλέπῃ, ἂς ποῦμε, [κανεὶς] τὴν βασιλικωτάτη Τριάδα, ἀλλὰ ἐπιπλέον νὰ δέχεται καὶ τὴ θεία πλημμύρα [τῆς Χάριτος] καὶ κατὰ κάποιο τρόπο νὰ πάσχῃ τὴν θέωσι· καὶ ἡ ἔλλειψι καὶ ἡ ἀτέλεια ἐντός μας, νὰ συμπληρώνεται καὶ νὰ ὁλοκληρώνεται μὲ τὴν πλημμύρα [τῆς Χάριτος]. Καὶ αὐτὸ εἶναι ἡ τροφὴ τῶν νοερῶν [λειτουργιῶν], ἡ ἀναπλήρωσι τῆς ἐλλείψεως διὰ τῆς θείας ἐκείνης πλημμύρας. Καὶ ὑπάρχει κάποιος αἰώνιος κύκλος, ὁ ὁποῖος ἀρχίζει ἀπὸ τὸ ἴδιο καὶ καταλήγει στὸ ἴδιο. Διότι ὅσο νοεῖ, [τόσο] καὶ

ἐφίεται. Καὶ ὅσον ἐφίεται, ἀπολαύει. Ὅσον δὲ ἀπολαύει, πρὸς τὸ νοεῖν πάλιν ῥώννυται καὶ αὖθις ἄρχεται τῆς ἀκινήτου κινήσεως, εἴτ᾽ οὖν τῆς ἀκινήτου ἀκινησίας. Τὸ μὲν οὖν τέλος, ὅσον ἡμῖν ἐφικτόν, τοιοῦτον. [14.] Ὅπως δὲ πρὸς τὸ αὐτὸ τέλος ἰτέον, σκεπτέον. Ταῖς λογικαῖς ψυχαῖς, νοεραῖς οὔσαις οὐσίαις, καὶ μικροῦ τῶν Ἀγγέλων ἀποδεούσαις νοῶν, ὁ ἐνταῦθα βίος, ἆθλόν ἐστι, καὶ ἀγὼν δεδομένος, ὁ ἐν σαρκὶ βίος. Ἔπαθλον δὲ ἡ ῥηθεῖσα κατάστασις. Δῶρον ὁμοῦ ἀγαθότητος θείας, καὶ δικαιοσύνης ἐπάξιον. Τὸ μέν, ὅτι ἐξ ἰδίων ἱδρώτων δοκεῖ τούτων τυγχάνειν τῶν ἀγαθῶν, τὸ δ᾽ ὅτι πάντα πόνον ἡ ἀπειρόδωρος δύναμις ὑπερβαίνει. Ἄλλως θ᾽ ὅτι καὶ αὐτὸ τὸ δύνασθαί τε τὸ ἀγαθόν, καὶ πρᾶξαι, αὐτοῦ ἐστι δώρημα. Τίς οὖν ὁ ἐνταῦθα ἀγών; Ψυχὴ λογικὴ ζῳώδει συνέζευκται σώματι, γῆθεν τὴν ὕπαρξιν ἔχοντι, καὶ πρὸς τὰ κάτω βρίθοντι. Οὕτω δὲ πρὸς αὐτὸ ἀ-

ἐπιθυμεῖ. Καὶ ὅσον ἐπιθυμεῖ, [τόσο] ἀπολαμβάνει. Ὅσο δὲ ἀπολαμβάνει, [τόσο] ἐνισχύεται γιὰ νὰ νοῇ, καὶ πάλι στὸ ἑξῆς, ἀρχίζει τὴν ἀκίνητη κίνησι, ἑπομένως ὕστερα, [ἀρχίζει] τὴν ἀκίνητη ἀκινησία. Ὁ μὲν σκοπός [μας] λοιπόν, ὅσο εἶναι ἐφικτὸ σ᾽ ἐμᾶς, [εἶναι] αὐτός.

[14.] Πῶς ὅμως πρέπει νὰ φθάσῃ [κανεὶς] σ᾽ αὐτὸν τὸν σκοπό, πρέπει νὰ [τὸ] σκεφθῇ. Στὶς λογικὲς ψυχές, οἱ ὁποῖες εἶναι νοερὲς οὐσίες καὶ λίγο ὑστεροῦν ἀπὸ τοὺς νόες τῶν Ἀγγέλων, ὁ παρὼν βίος, ὁ ἐν σαρκὶ βίος, ἔχει δοθῆ ὡς ἄθλημα καὶ ἀγώνας. Ἔπαθλο δὲ ἡ ἀναφερθεῖσα κατάστασι, ἐπάξιο δῶρο τῆς θείας ἀγαθότητος μαζὶ καὶ δικαιοσύνης, ἀφ᾽ ἑνὸς διότι νομίζει [κανεὶς] ὅτι ἀπολαμβάνει αὐτὰ τὰ ἀγαθὰ ἀπὸ τοὺς δικούς του ἱδρῶτες, ἀφ᾽ ἑτέρου, διότι ἡ ἀφθονοπάροχος δύναμι ὑπερβαίνει κάθε κόπο. Καὶ ἄλλωστε, διότι καὶ αὐτὴ ἡ ἴδια ἡ δυνατότητα, νὰ πράξῃ [κανεὶς] τὸ ἀγαθό, εἶναι δικό Του δώρημα. Ποιὸς ἑπομένως [εἶναι] ὁ ἐδῶ ἀγώνας; Ἡ λογικὴ ψυχὴ ἔχει συνδεθῆ μὲ ζῳῶδες σῶμα, τὸ ὁποῖο ἔχει πάρει τὴν ὀντότητά [του] ἀπὸ τὴν γῆ καὶ βαραίνει πρὸς τὰ κάτω. Κατ᾽ αὐτὸν δὲ τὸν τρό-

νακέκραται, ὡς ἓν ἐκ τῶν δύο γίνεσθαι τούτων ψυχῆς καὶ σώματος τῶν ἐναντιωτάτων, οὐκ ἐπακολουθούσης τροπῆς, ἢ συγχύσεως τῶν μερῶν, ἄπαγε, ἀλλ᾽ ἐκ δύο τῶν κατὰ φύσιν φερόντων, μίαν ὑπόστασιν γίνεσθαι ἐν δυσὶ τελείαις ταῖς φύσεσιν. Οὕτω γοῦν διφυές τι γενόμενον τὸ μεικτὸν τοῦτο ζῶον ὁ ἄνθρωπος, ἑκατέρας φύσεως παρὰ μέρος τὰ οἰκεῖα πέφυκεν ἐνεργεῖν. Καὶ τῷ μὲν σώματι προσφυές, τὸ τῶν ὁμοίων ἐφίεσθαι. Ὁ ἔρως γὰρ οὗτος φυσικὸς τοῖς οὖσι πρὸς τὰ ὅμοια, ὡς δῆθεν βοηθουμένου τοῦ εἶναι, ὑπὸ τῆς τῶν ὁμοίων συνουσίας, καὶ τὸ ἀπολαύειν αὐτῶν διὰ τῆς αἰσθήσεως. Ἔτι τε βαρεῖ ὄντι φίλον ἡ ἄνεσις. Τῇ μὲν δὴ ζῳώδει φύσει, προσφυῆ καὶ ἐράσμια ταῦτα. Τῇ δὲ λογικῇ ψυχῇ, καθὸ νοερᾷ οὐσίᾳ, φυσικά τε καὶ ὀρεκτά, ταῦτα δή τὰ νοητά· καὶ τούτων ἀπολαύειν κατὰ τὸν οἰκεῖον τρόπον. Πρὸ πάντων δὲ καὶ ἐπὶ πᾶσιν, ὁ πρὸς Θεὸν ἔρως αὐτῇ φυσικῶς

πο, ἔχει ἀναμειχθῆ [ἡ ψυχὴ] πρὸς αὐτὸ [τὸ σῶμα], ὥστε ἀπὸ αὐτὰ τὰ δύο τὰ ἀπολύτως ἀντίθετα, ψυχῆς καὶ σώματος, νὰ γίνῃ ἕνα, χωρὶς νὰ ἐπακολουθῇ μετατροπὴ ἢ σύγχυσι τῶν [δύο] μερῶν - σὲ καμία περίπτωσι - ἀλλὰ ἀπὸ ἐκεῖνα ποὺ κατὰ φύσι εἶναι δύο, νὰ γίνεται μία ὑπόστασι μὲ δύο τέλειες φύσεις. Κατ᾽ αὐτὸν λοιπὸν τὸν τρόπο, ἀφοῦ βεβαίως ἡ μεικτὴ αὐτὴ ζωντανὴ ὕπαρξι, ὁ ἄνθρωπος, ἔγινε κάτι διφυές, ἔχει τὸ χαρακτηριστικὸ ἀπὸ τὴν φύσι του, νὰ ἐνεργῇ ἐκ μέρους καθεμιᾶς φύσεως, τὰ δικά της. Καὶ γιὰ μὲν τὸ σῶμα, [εἶναι] ταιριαστὸ τὸ νὰ ἐπιθυμῇ τὰ ὅμοιά [του]. Διότι, ὁ φυσικὸς αὐτὸς ἔρωτας πρὸς τὰ ὅμοια, [συμβαίνει] στὰ ὄντα, ἐπειδὴ δῆθεν ἐνισχύεται ἡ ὕπαρξί [τους], ἀπὸ τὴν ἕνωσι μὲ τὰ ὅμοια καὶ ἡ ἀπόλαυσί τους [ἐνισχύεται] μέσῳ τῆς αἰσθήσεως. Ἐπίσης ἀκόμη, ἐπειδὴ εἶναι βαρὺ [τὸ σῶμα], τοῦ ἀρέσει ἡ ἄνεσι. Στὴν μὲν λοιπὸν ζωώδη φύσι αὐτὰ [εἶναι] ταιριαστὰ καὶ ἀγαπητά. Στὴν λογικὴ ὅμως ψυχή, ἐπειδὴ [εἶναι] ὡς πρὸς τὴν οὐσία [της] νοερά, αὐτὰ τὰ νοητὰ [εἶναι] φυσικὰ καὶ ἐπιθυμητὰ· καὶ [συμβαίνει] νὰ τὰ ἀπολαμβάνῃ κατὰ τὸν δικό της τρόπο. Πρὶν ἀπὸ ὅλα ὅμως καὶ πάνω ἀπὸ ὅλα ἔχει ριζωθῆ ἐκ φύσεως μέσα σ᾽ αὐτὴν ὁ θεῖος

ἐνεῤῥίζωται. Καὶ βούλεται μὲν ἀπολαύειν αὐτοῦ τε καὶ τῶν ἄλλων νοητῶν, οὐ δύναται δὲ ἀνεμποδίστως τοῦτο ποεῖν. [15.] Ὁ μὲν δὴ πρῶτος ἄνθρωπος ἀνεμποδίστως, ὥς περ διὰ τῆς αἰσθήσεως τῶν αἰσθητῶν, οὕτω δὴ τῶν νοητῶν διὰ τοῦ νοῦ, ἀντιλαμβάνεσθαί τε, καὶ ἀπολαύειν ἠδύνατο. Χρεὼν δὲ ἦν ἐκείνῳ, τὸ μὴ τοῖς χείροσιν, ἀλλὰ τοῖς κρείττοσιν ἐνασχολεῖσθαι. Ἀμφότερα γὰρ δυνάμενος ἐπ᾽ αὐτῷ ἦν, εἴτε τοῖς νοητοῖς συνεῖναι διὰ τοῦ νοῦ, εἴτε τοῖς αἰσθητοῖς διὰ τῆς αἰσθήσεως. Λέγω δέ, οὐχ ὅτι οὐκ ἐχρῆν τὸν Ἀδὰμ αἰσθήσει κεχρῆσθαι. Οὐ γὰρ μάτην αὐτῷ περιέκειτο τὸ σῶμα. Ἀλλ᾽ ὅτι τῶν αἰσθητῶν ἐντρυφᾷν, οὐκ ἐχρῆν, ἀλλὰ τῆς καλλονῆς ἀντιλαμβανόμενον τῶν κτισμάτων, πρὸς τὸ αἴτιον ἀνατρέχειν ἔδει. Καὶ τούτου κἀντεῦθεν κατατρυφᾷν μετὰ θαύματος, διπλᾶς ἔχοντα τὰς ἀφορμὰς τοῦ θαυμάζειν τὸν κτίσαντα. Οὐ μὴν δέ, τοῖς αἰσθητοῖς προσπαγῆναι, καὶ ταῦτα

ἔρωτας. Καὶ ἐπιθυμεῖ μὲν νὰ ἀπολαμβάνῃ καὶ αὐτὸν καὶ τὰ ἄλλα νοητά, ἀλλὰ δὲν μπορεῖ νὰ κάνῃ αὐτὸ ἀνεμπόδιστα.

[15.] Ὁ μὲν λοιπὸν πρῶτος ἄνθρωπος [ὁ Ἀδὰμ] μποροῦσε βέβαια καὶ νὰ ἀντιλαμβάνεται καὶ νὰ ἀπολαμβάνῃ διὰ τοῦ νοὸς τὰ νοητά, κατὰ τὸν ἴδιο τρόπο, ὅπως ἀκριβῶς διὰ τῆς αἰσθήσεως τὰ αἰσθητά. Ἦταν μάλιστα γιὰ ἐκεῖνον ἀνάγκη, νὰ ἀσχολῆται ὄχι μὲ τὰ χειρότερα, ἀλλὰ μὲ τὰ καλλίτερα. Διότι ὑπῆρχε ἡ δυνατότης σ᾽ αὐτὸν καὶ γιὰ τὰ δύο, εἴτε νὰ συναφθῇ μὲ τὰ νοητὰ διὰ τοῦ νοός, εἴτε μὲ τὰ αἰσθητὰ διὰ τῆς αἰσθήσεως. Δὲν λέγω, βέβαια, ὅτι δὲν ἔπρεπε ὁ Ἀδὰμ νὰ χρησιμοποιῇ τὴν αἴσθησι. Διότι δὲν περιέβαλλε αὐτὸν μάταια τὸ σῶμα. Ἀλλά, ὅτι δὲν ἔπρεπε νὰ ἐντρυφᾷ [ἀπολαυστικὰ] στὰ αἰσθητά, ἀλλὰ ἀντιλαμβανόμενος τὴν καλλονὴ τῶν κτισμάτων ἔπρεπε νὰ ἀνυψώνεται πρὸς τὸ Αἴτιο [τὸν Δημιουργό]. Καὶ ἀπὸ ἐκεῖ καὶ εἰς τὸ ἑξῆς νὰ ἀπολαμβάνῃ Αὐτὸν μὲ θαυμασμό, ἔχοντας διπλὲς τὶς ἀφορμὲς γιὰ νὰ θαυμάζῃ τὸν Δημιουργό. Ἀλλὰ [δὲν ἔπρεπε] βέβαια νὰ προσκολληθῇ στὰ αἰσθητὰ καὶ νὰ θαυμάζῃ αὐτὰ

θαυμάζειν, οὐ τὸν ποιήσαντα, τοῦ νοητοῦ κάλλους ἀφέμενον. Ὁ μὲν οὖν Ἀδὰμ οὕτως. [16.] Ἐπεὶ δὲ κακῶς ἐκεῖνος τῇ αἰσθήσει χρησάμενος, τὸ αἰσθητὸν ἐθαύμαζε κάλλος, ὡραίου δόξαντος αὐτῷ τοῦ καρποῦ πρὸς ὅρασιν καὶ καλοῦ εἰς βρῶσιν[4], οὗ γευσάμενος, ἀφῆκε τὴν ἀπόλαυσιν τῶν νοητῶν. Ἐντεῦθεν ὁ δίκαιος Κριτής, ὧν αὐτὸς κατεφρόνησε, τῆς θεωρίας, φημί, τοῦ Θεοῦ καὶ τῶν ὄντων, ἀνάξιον ἑαυτὸν [recte: ἑαυτοῦ] κρίνας, ἀφείλετο αὐτόν, θέμενος σκότος ἀποκρυφὴν αὐτοῦ, καὶ τῶν ἀΰλων οὐσιῶν[5]. Οὐκ ἔδει γὰρ τοῖς βεβήλοις ἀνεῖσθαι τὰ ἅγια. Ὧν δ᾽ ἠράσθη, τούτων συνεχώρησε τὴν ἀπόλαυσιν, αἰσθήσει ζῆν ἐάσας, καὶ μικροῖς νοὸς ἴχνεσιν. [17.] Ἐντεῦθεν ἡμῖν ὁ πρὸς τὰ τῇδε ἀγών, βαρύτερος γέγονεν, οὐ γὰρ ἐπ᾽ ἐξουσίας ἀπολαύειν τῶν νοητῶν, ὥς περ τῶν αἰσθητῶν τῇ αἰσθήσει, καθάπερ εἴρηται. Εἰ καὶ διὰ τοῦ βαπτίσματος ὅτι μάλιστα βοηθούμεθα, καθαιρόμενοι,

[καὶ] ὄχι τὸν Δημιουργό, ἐγκαταλείποντας τὸ νοητὸν Κάλλος. Ὁ μὲν λοιπὸν Ἀδάμ, κατ᾽ αὐτὸν τὸν τρόπο [δημιουργήθηκε].

[16.] Ἐπειδὴ ὅμως, ἀφοῦ ἐκεῖνος χρησιμοποίσε κακῶς τὴν αἴσθησι, ἐθαύμαζε τὸ αἰσθητὸ κάλλος, καθὼς τοῦ φάνηκε ὡραῖος ὁ καρπὸς ὡς πρὸς τὴν ὅρασι καὶ καλὸς γιὰ βρῶσι, γευόμενος αὐτόν, ἐγκατέλειψε τὴν ἀπόλαυσι τῶν νοητῶν. Ἕνεκα τούτου ὁ δίκαιος Κριτής, κρίνοντάς [τον] ἀνάξιο τοῦ Ἑαυτοῦ Του, ἀφήρεσε ἀπ᾽ αὐτὸν ἐκεῖνα, τὰ ὁποῖα αὐτὸς κατεφρόνησε, [δηλαδὴ] τὴν θεωρία, λέγω, τοῦ Θεοῦ καὶ τῶν ὄντων, ἀφοῦ ἔθεσε σκότος ὡς κρύπτη τοῦ Ἑαυτοῦ Του καὶ τῶν ἀΰλων οὐσιῶν. Διότι δὲν ἔπρεπε τὰ Ἅγια, νὰ ἔχουν παραδοθῆ στοὺς βεβήλους. Ἐκεῖνα δὲ τὰ ὁποῖα ἀγάπησε, αὐτῶν τὴν ἀπόλαυσι [τοῦ] ἐπέτρεψε [ὁ Θεός], ἀφήνοντάς [τον] νὰ ζῇ μὲ τὴν αἴσθησι καὶ μὲ μικρὰ ἴχνη τοῦ νοός [του].

[17.] Ἔκτοτε ὁ ἀγώνας ἀπὸ ἐμᾶς, γιὰ αὐτὰ ἐδῶ [τῆς καθημερινῆς μας ζωῆς], ἔχει γίνει βαρύτερος, διότι δὲν [ἔχομε] ἐξουσία νὰ ἀπολαμβάνωμε τὰ νοητά, ὅπως ἀκριβῶς τὰ αἰσθητὰ μὲ τὴν αἴσθησι, καθὼς ἔχει λεχθῆ. Ἐὰν καὶ διὰ τοῦ Βαπτίσματος [εἶναι φανερό], ὅτι τὰ μέγιστα βοηθούμεθα, ἐπειδὴ καθαιρόμεθα καὶ

καὶ ὑψούμενοι. Πλήν, ὡς ἐφικτὸν ἡμῖν, τούτοις ἐνασχολεῖσθαι χρή, οὐ τοῖς αἰσθητοῖς˙ κἀκεῖνα θαυμάζειν καὶ βούλεσθαι. Τῶν δ᾽ αἰσθητῶν μηδὲν καθ᾽ αὑτὸ θαυμάσαι, μηδ᾽ ἀπολαῦσαι θελῆσαι. Τῷ ὄντι γὰρ οὐδένα πρὸς τὰ νοητὰ λόγον ἔχειν δοκεῖν. Ὅσῳ δὲ τῆς οὐσίας ἡ οὐσία, τοσούτῳ καὶ τοῦ κάλλους τό κάλλος θαυμασιώτερον. Τοῦ καλλίονος δὲ τὸ αἴσχιον, καὶ τοῦ τιμιωτέρου τὸ ἀτιμότερον ποθῆσαι, ποίαν οὐχ ὑπερβάλλει παραπληξίαν; Καὶ ταῦτα μὲν περὶ τῶν αἰσθητῶν τε, καὶ νοητῶν κτισμάτων ἀμφοῖν. Τί δ᾽ ἂν εἴποις περὶ τοῦ ὑπὲρ ταῦτα, ὅταν καὶ τούτου τὴν ἄμορφον ὕλην καὶ ἀκαλλῆ προτιθέαμεν; Οὗτος οὖν ἐστιν ὁ ἀγών, τὸ προσέχειν ἑαυτοῖς μετ᾽ ἀκριβείας, ἵνα τῶν τε νοητῶν ἀεὶ ἀπολαύομεν, πρὸς αὐτὰ καὶ νοῦν, καὶ ὄρεξιν ἀνατείναντες, μηδέποτε ὑπὸ τούτων κλαπῶμεν τῶν αἰσθητῶν, ὑποσπασθέντες πρὸς αὐτὸ διὰ τῆς αἰσθήσεως, ὡς θαυμάσαι αὐτὸ καθ᾽ αὑτό. Ἀλλ᾽ εἴ τι χρὴ

ὑψωνόμεθα [πρὸς τὸν Θεό]. Ἀλλά, ὅσο εἶναι σ᾽ ἐμᾶς ἐφικτό, πρέπει μ᾽ αὐτὰ νὰ ἐνασχολούμεθα [τὰ νοητά], ὄχι μὲ τὰ αἰσθητά· καὶ ἐκεῖνα νὰ θαυμάζωμε καὶ νὰ ἐπιθυμοῦμε. Ἀπὸ δὲ τὰ αἰσθητά, νὰ μὴν θελήσωμε νὰ θαυμάσωμε κανένα αὐτὸ καθ᾽ ἑαυτό, οὔτε νὰ ἀπολαύσωμε, διότι πράγματι εἶναι προφανές, ὅτι καμία σχέσι δὲν ἔχουν πρὸς τὰ νοητά. Στὸν βαθμὸ βέβαια ποὺ [εἶναι] θαυμασιώτερη ἡ οὐσία [τῶν νοητῶν] ἀπὸ τὴν οὐσία [τῶν αἰσθητῶν], στὸν ἴδιο βαθμὸ [εἶναι θαυμασιώτερο] καὶ τὸ κάλλος [τῶν νοητῶν] ἀπὸ τὸ κάλλος [τῶν αἰσθητῶν]. Τὸ νὰ ἐπιθυμήσῃ βέβαια [κανεὶς] ἀπὸ τὸ ὡραιότατο τὸ πλέον αἰσχρὸ καὶ ἀπὸ τὸ τιμιώτατο τὸ πλέον ἀτιμασμένο, ποιὰ παραφροσύνη δὲν ξεπερνᾶ; Καὶ αὐτὰ μὲν περὶ τῶν δύο, καὶ περὶ τῶν αἰσθητῶν καὶ περὶ τῶν νοητῶν κτισμάτων. Τί εἶναι ὅμως δυνατὸν νὰ πῇς, ὅταν κι ἀπ᾽ Ἐκεῖνον ὁ ὁποῖος εἶναι ὑπεράνω αὐτῶν [τῶν κτισμάτων], προτιμοῦμε τὴν ἄμορφη καὶ ἄσχημη ὕλη; Ἑπομένως αὐτὸς εἶναι ὁ ἀγώνας: τὸ νὰ προσέχωμε τοὺς ἑαυτούς μας μὲ ἀκρίβεια, ὥστε καὶ τὰ νοητὰ νὰ ἀπολαμβάνωμε, πάντοτε ὑψώνοντας πρὸς αὐτὰ καὶ τὸν νοῦ καὶ τὴν ἐπιθυμία [μας], χωρὶς ποτὲ νὰ πλανηθοῦμε ἀπὸ τὰ αἰσθητά, ἀφοῦ ἑλκυσθοῦμε πρὸς αὐτὸ [τὸ εἶδος τους] μέσῳ τῆς αἰσθήσεως, ὥστε νὰ τὸ θαυμάσωμε αὐτὸ καθ᾽ ἑαυτό. Ἀλλά, ἐὰν γιὰ κάτι πρέπει

καὶ αἰσθήσει χρήσασθαι, διὰ τοῦτο χρηστέον, ἵνα ἐκ τῶν κτισμάτων τὸν κτίστην καταλαμβάνωμεν, ἐν αὐτοῖς ὁρῶντες ἐκεῖνον, ὡς ἐν ὕδασιν ἥλιον˙ ἐπειδὴ εἰκόνες εἰσὶν ἐν τοῖς οὖσι τοῦ πρώτου πάντων αἰτίου, κατὰ τὸ αὐτοῖς χορητόν. Τὸ μὲν οὖν κατόρθωμα τοῦτό ἐστιν.

[18.] Ὅπως δὲ τοῦτο κατορθωτέον, σκεπτέον˙ εἴρηται γάρ, ὅτι τὸ σῶμα ἀπολαύειν ἐφίεται τῶν οἰκείων διὰ τῆς αἰσθήσεως. Ὅπερ ἐναντίον ἐστὶ τῇ προθέσει τῆς ψυχῆς, καὶ ὅσῳ μᾶλλον ἔρρωται, μᾶλλον ἐφίεται. Πρὸς τοῦτο τοίνυν πεφρόντιστο τῇ ψυχῇ, τὸ πάσαις αἰσθήσεσι χαλινὸν ἐπιτιθεῖναι [recte: ἐπιτιθέναι], ἵνα μὴ τῶν αἰσθητῶν ἀπολαύσομεν, ὡς εἴρηται. Ἐπεὶ δὲ μᾶλλον ἐρρωμένον τὸ σῶμα, μᾶλλον ὁρμᾷ, μᾶλλον δὲ ὁρμῶν, δυσκάθεκτον γίνεται, ἐσπούδασται τῇ ψυχῇ ἡ αὐτοῦ νέκρωσις διὰ νηστείας, ἀγρυπνίας, στάσεως, χαμευνίας, ἀλουσίας, καὶ πάσης ἄλλης κακοπαθείας. Ἵνα, καταμαράνασα τὴν δύναμιν αὐτοῦ, εὐήνιον

νὰ χρησιμοποιήσωμε καὶ τὴν αἴσθησι, πρέπει νὰ τὴν χρησιμοποιήσωμε γι᾽ αὐτό, γιὰ νὰ ἀντιλαμβανώμεθα ἀπὸ τὰ κτίσματα τὸν Κτίστη, βλέποντας μέσα σ᾽ αὐτὰ Ἐκεῖνον, ὅπως τὸν ἥλιο μέσα στὰ νερά, ἐπειδὴ εἶναι εἰκόνες τοῦ Πρώτου Αἰτίου τῶν πάντων μέσα στὰ ὄντα. Τὸ μὲν λοιπὸν κατόρθωμα, εἶναι αὐτό.

[18.] Πρέπει ὅμως νὰ σκεφθοῦμε, πῶς πρέπει νὰ τὸ κατορθώσωμε. Διότι ἔχει εἰπωθῆ, ὅτι τὸ σῶμα ἐπιθυμεῖ νὰ ἀπολαμβάνῃ τὰ συγγενῆ [πρὸς αὐτό], μέσῳ τῆς αἰσθήσεως· πρᾶγμα, ποὺ εἶναι ἀντίθετο στὴν πρόθεσι τῆς ψυχῆς, καὶ ὅσο περισσότερο ἐνδυναμώνεται [τὸ σῶμα, τόσο] περισσότερο ἐπιθυμεῖ. Γιὰ τοῦτο λοιπόν, κάνε ἀντικείμενο φροντίδος γιὰ τὴν ψυχή, τὸ νὰ ἐπιθέτῃ σὲ ὅλες τὶς αἰσθήσεις χαλινάρι, γιὰ νὰ μὴν ἀπολαύσωμε, ὅπως ἔχει λεχθῆ, τὰ αἰσθητά. Ἐπειδὴ λοιπόν, ἐνισχυόμενο τὸ σῶμα, περισσότερο ὁρμᾶ, ὁρμώντας δέ περισσότερο, γίνεται ἀσυγκράτητο, [γιὰ τοῦτο] ἐπιδιώκεται ἀπὸ τὴν ψυχὴ ἡ νέκρωσί του, διὰ νηστείας, ἀγρυπνίας, ὀρθοστασίας, χαμαικοιτίας, ἀλουσίας καὶ κάθε ἄλλης κακοπαθείας· ὥστε νὰ [τὸ] κρατᾷ πειθαρχικὸ

ἔχῃ καὶ εὐπειθὲς πρὸς τὰς ἑαυτῆς πράξεις τὰς νοεράς. Τοῦτο γὰρ ἦν τὸ προκείμενον εἰς κατόρθωσιν. Ἐπεὶ δὲ ταῦτα, εὔξασθαι μὲν ῥᾷστον, ποιῆσαι δὲ δυσχερές, καὶ πολλαπλάσιά ἐστι τῶν κατορθωμάτων τὰ σφάλματα, κἂν πάνυ προσέχῃ τις, πυκνὰ τῆς αἰσθήσεως ὑποκλεπτούσης, τρίτον ἐπινενόηται φάρμακον, ἡ προσευχή, καὶ τὸ δάκρυον. [19.] Ἡ μὲν γὰρ προσευχή, εὐχαριστίαν ἔχει τῶν δεδομένων ἀγαθῶν, καὶ αἴτησιν τῆς τε τῶν σφαλμάτων ἀφέσεως, καὶ δυναμοποιοῦ πρὸς τὸ μέλλον δυνάμεως. Ὡς ἄνευ γε τῆς θείας ῥοπῆς, καθάπερ καὶ πρότερον εἴρηται, οὐδὲν ἂν κατορθώσοι ψυχή. Ἔτι τε ἕνωσιν πρὸς τὸν ποθούμενον, καὶ ἀπόλαυσιν, καὶ τῆς βουλητικῆς δυνάμεως πρὸς ἐκεῖνον νεῦσιν ὁλικήν, ὃ τοῦ κατορθώματος μέρος ἦν τὸ κράτιστον· τὸ πεῖσαι τὴν βούλησιν ταῦτα βούλεσθαι, ὡς οἷόν τε σφόδρα. [20.] Τὸ δὲ δάκρυον, πολλὴν ἔχει τὴν δύναμιν. Ὑπέρ τε γὰρ τῶν ἐσφαλμένων ἱλεοῦται τὸν

καὶ πρόθυμο γιὰ τὰ νοερά της ἔργα, ἀφοῦ ἐξασθενήσῃ τὴν δύναμί του. Αὐτὸ βέβαια εἶναι τὸ προκείμενο τοῦ ἀγῶνος [μας]. Ἐπειδὴ ὅμως αὐτὰ [εἶναι] μὲν εὐκολώτατο νὰ [τὰ] ποθήσῃ [κανείς], ἀλλὰ δύσκολο νὰ [τὰ] ἐφαρμόσῃ, καὶ εἶναι πολὺ περισσότερα τὰ σφάλματα ἀπὸ τὰ κατορθώματα, ἀκόμη κι ἂν κανεὶς προσέχῃ πολύ, ἐπειδὴ ἡ αἴσθησι συχνὰ ἐξαπατᾶ, ἔχει ἐπινοηθῆ τρίτο φάρμακο, ἡ προσευχὴ [δηλαδὴ] καὶ τὸ δάκρυ.

[19.] Διότι ἡ μὲν προσευχὴ περιέχει εὐχαριστία γιὰ τὰ ἀγαθά, τὰ ὁποῖα ἔχουν χορηγηθῆ, καὶ αἴτησι καὶ γιὰ τὴν ἄφεσι τῶν ἁμαρτιῶν, καὶ γιὰ ἐνισχυτικὴ δύναμι στὸ μέλλον. Διότι πράγματι, χωρὶς τὴν θεία ἐνίσχυσι, καθὼς ἔχει λεχθῆ καὶ προηγουμένως, τίποτε δὲν δύναται νὰ κατορθώσῃ ἡ ψυχή. Καὶ ἐπιπλέον, [ἡ προσευχὴ παρέχει] ἕνωσι μὲ τὸν Ποθούμενο καὶ ἀπόλαυσι καὶ ὁλοκληρωτικὴ συγκατάνευσι πρὸς Ἐκεῖνον τῆς βουλητικῆς δυνάμεως, τὸ ὁποῖο εἶναι τὸ σημαντικώτερο μέρος τοῦ κατορθώματος, [δηλαδὴ] τὸ νὰ πείσωμε τὴν βούλησι νὰ ἐπιθυμῇ αὐτά, ὅσο τὸ δυνατὸν ἐντονώτερα.

[20.] Καὶ τὰ δάκρυα ἔχουν πολλὴ δύναμι. Διότι ἐξιλεώνουν τὸν Κύ-

Δεσπότην, καὶ τὰς προσγενομένας ἡμῖν ἀπὸ τῆς αἰσθητῆς ἡδονῆς κηλῖδας καθαίρει, καὶ πρὸς τὰ ἄνω πτεροῖ τὴν ὄρεξιν· ταῦτα μὲν οὕτως. [21.] Τὸ μὲν οὖν κατόρθωμα, ἡ τῶν νοητῶν θεωρία καὶ πόθησις παντελής. Διὰ δὲ τούτου [recte: τοῦτο] ἡ τῆς σαρκὸς δουλαγώγησις, ἧς μέρη, καὶ νηστεία, καὶ σώφροσύνη, καὶ ἕτερα, πάντα δι᾿ ἕτερον ἐπιτηδευόμενα. Διὰ δὲ ταῦτα, καὶ μετὰ τούτων ἡ προσευχή. Ἑκάτερον δὲ τούτων εἰς πλείω μέρη διείληπται. Ὥσπερ γὰρ αὐτὰ δι᾿ ἄλλα, οὕτω δι᾿ αὐτὰ ἕτερα. [22.] Μηδεὶς δὲ οἰέσθω τὴν φιλοδοξίαν, καὶ τὴν φιλαργυρίαν σώματι προσήκειν· ἡ γὰρ φιληδονία, τῷ σώματι μόνῳ, ἥτις φάρμακον εὗρεν ἁρμόδιον, τὴν τοῦ σώματος κάκωσιν. Τὰ δὲ ῥηθέντα δύο, ἀγνοίας ἐστὶ γεννήματα. Ἀπειρίᾳ γὰρ τῶν ὄντως καλῶν ἡ ψυχή, καὶ ἀνεπιστημοσύνῃ τῶν νοητῶν, τὰ νόθα εἰσεποιήσατο. Τῷ μὲν πλούτῳ δοκοῦσα παραμυθεῖσθαι τὸ ἐνδεές, ἅμα δὲ καὶ διὰ φιλη-

ριο γιὰ τὶς ἁμαρτίες [μας], καὶ μᾶς καθαρίζουν ἀπὸ τὶς κηλῖδες οἱ ὁποῖες ἔγιναν σὲ μᾶς ἀπὸ τὴν αἰσθητὴ ἡδονή, [τὶς ἀποκτήσαμε μὲ αἰσθήσεις μας] καὶ ἀναπτερώνουν τὴν ἐπιθυμία γιὰ τὰ ὑψηλά. Αὐτὰ λοιπὸν ἔτσι [ἔχουν].

[21.] Τὸ μὲν κατόρθωμα, ἑπομένως, [εἶναι] ἡ θεωρία τῶν νοητῶν καὶ ἡ τελεία ἐπιπόθησί τους. Γιὰ νὰ [κατορθώσωμε] δὲ αὐτό, [χρειάζεται] ἡ δουλαγωγία τῆς σαρκός, τῆς ὁποίας οἱ ἐπιμέρους ἐκφράσεις, καὶ ἡ νηστεία καὶ ἡ σωφροσύνη καὶ ἄλλα, τὰ ὁποῖα ὅλα, διαπράττονται μὲ τὴν ἄσκησι γιὰ ἕνα ἄλλον [σκοπὸ – τὴν θεωρία καὶ τὸν πόθο τῶν νοητῶν]. Γιὰ νὰ [ἐπιτύχωμε] ὅμως αὐτά, καὶ μαζὶ μ᾿ αὐτά, [χρειάζεται] ἡ προσευχή. Καθένα δὲ ἀπ᾿ αὐτὰ ἔχει διαιρεθῆ σὲ περισσότερα μέρη. Διότι, ὅπως ἀκριβῶς αὐτὰ [χρειάζονται] γιὰ τὰ ἄλλα, κατὰ τὸν ἴδιο τρόπο γι᾿ αὐτά, [χρειάζονται] ἄλλα.

[22.] Κανεὶς λοιπόν, ἂς μὴν νομίσῃ, ὅτι ἡ φιλοδοξία καὶ ἡ φιλαργυρία, ἔχει σχέσι μὲ τὸ σῶμα. Γιατὶ μόνον ἡ φιληδονία [ἔχει σχέσι] μὲ τὸ σῶμα, ἡ ὁποία βρῆκε τὸ κατάλληλο φάρμακο, τὴν κακοπάθεια τοῦ σώματος. Τὰ δὲ δύο τὰ ὁποῖα εἰπώθηκαν, [δηλαδὴ ἡ φιλοδοξία καὶ ἡ φιλαργυρία], εἶναι ἀπότοκα τῆς ἀγνοίας. Διότι ἡ ψυχή, ἐξ αἰτίας τῆς ἐλλείψεως ἐμπειρίας γιὰ τὰ ὄντως καλά, καὶ τῆς ἐλλείψεως βαθείας γνώσεως γιὰ τὰ νοητά, υἱοθέτησε τὰ νόθα, γιατὶ νομίζει ὅτι ἡ μὲν πτωχεία παρηγορεῖται ἀπὸ τὸν πλοῦτο, ἐνῶ ταυ-

δονίαν ὁ πλοῦτος σπουδάζεται, καὶ διὰ φιλοδοξίαν καὶ καθ᾽ αὐτὸ ὡς ἄλλο τι καλόν. Περὶ οὗ φαμέν, ὅτι ἀγνοίᾳ τῶν ὄντως καλῶν γίνεται τοῦτο. Ἡ δὲ φιλοδοξία, οὐ δι᾽ ἔνδειαν μὲν σωματικήν, παραμυθεῖται γὰρ οὐδὲν τῶν τοῦ σώματος, ἀπειρίᾳ δὲ καὶ ἀγνοίᾳ τοῦ πρώτου καλοῦ, καὶ τῆς ἀληθινῆς δόξης. Καὶ ταύτης αἴτιον, καὶ συλλήβδην εἰπεῖν, πάντων ῥίζα τῶν κακῶν ἡ ἄγνοια πέφυκεν. Οὐκ ἔστι γὰρ ὡς δεῖ τῶν πραγμάτων τὴν φύσιν κατειληφότα, ὅθεν τε προῆλθεν ἕκαστον καὶ πῇ καταστρέφει, εἶτα τοῦ οἰκείου τέλους ἀλογήσαντα πρὸς τὰ γήϊνα καταφέρεσθαι. Οὐκ ὀρέγεται γὰρ ψυχὴ τοῦ φαινομένου καλοῦ. Εἰ δὲ ὑπὸ τῆς ἕξεως τυραννεῖται, μάλιστα μὲν καὶ τῆς ἕξεως κρατῆσαι δύναται. Πλήν, ἀλλ᾽ ὅτε οὔπω ἡ ἕξις ἦν, δι᾽ ἄγνοιαν ἠπατᾶτο, ὥστε τῶν μάλιστα πρῶτον σπουδάσαι δεῖ, καὶ περὶ τῶν ὄντων ὀρθῶς δοξάσαι, εἶθ᾽ ἑπομένως πτερῶσαι μὲν τὴν βούλησιν, πρὸς τὸ πρῶ-

τοχρόνως ὁ πλοῦτος ἐπιδιώκεται γιὰ τὴν φιληδονία καὶ τὴν φιλοδοξία, καὶ σὰν νὰ ἦταν κάτι ἄλλο καθ᾽ ἑαυτὸν καλό. Σχετικὰ μὲ τὸ ὁποῖο λέμε, ὅτι αὐτὸ γίνεται ἀπὸ ἄγνοια τῶν ὄντως καλῶν. Ἡ δὲ φιλοδοξία δὲν [ἐπιδιώκεται] βέβαια λόγῳ σωματικῆς ἐλλείψεως, διότι δὲν ἀνακουφίζει καμία ἀπὸ τὶς [ἀνάγκες] τοῦ σώματος, ἀλλὰ λόγῳ ἐλλείψεως ἐμπειρίας καὶ ἀγνοίας τοῦ Πρώτου Καλοῦ καὶ τῆς ἀληθινῆς δόξας. Καὶ αἰτία καὶ αὐτῆς [τῆς φιλοδοξίας], καὶ γιὰ νὰ ποῦμε ἐν συνόλῳ, ρίζα ὅλων τῶν κακῶν, ἀπὸ τὴν φύσι της, εἶναι ἡ ἄγνοια. Διότι δὲν εἶναι δυνατὸν ἐκεῖνος, ὁ ὁποῖος ἔχει ἀντιληφθῆ, ὅπως πρέπει, τὴν φύσι τῶν πραγμάτων - καὶ ἀπὸ ποῦ προῆλθε τὸ καθένα καὶ ποῦ καταλήγει - ἔπειτα ἀδιαφορώντας γιὰ τὸ δικό του σκοπό, νὰ στρέφεται στὰ γήινα. Διότι ἡ ψυχή, δὲν ἐπιθυμεῖ τὸ φαινομενικὰ καλό. Καὶ ἐὰν καταδυναστεύεται ἀπὸ τὴν συνήθεια, μπορεῖ πράγματι νὰ κυριαρχήσῃ κατ᾽ ἐξοχὴν καὶ στὴν συνήθεια. Ἀλλὰ ὅμως, ὅταν ἀκόμη δὲν ὑπῆρχε ἡ συνήθεια, ἐξηπατᾶτο ἀπὸ τὴν ἄγνοια, ὥστε πρέπει νὰ φροντίσῃ γιὰ τὸ κατ᾽ ἐξοχὴν πρῶτο καὶ νὰ ἀποκτήσῃ ὀρθὴ γνώμη περὶ τῶν ὄντων, ἔπειτα ἀκολούθως νὰ δώσῃ πτερὰ στὴν βούλησί [της] πρὸς τὸ

τον καλόν, καταφρονῆσαι δὲ τῶν παρόντων ἁπάντων, καταγνόντα [recte: καταγνοῦσα] πολλὴν τούτων τὴν ματαιότητα. Τί γὰρ πρὸς τὸ οἰκεῖον ἡμῖν τέλος συμβάλλεται; [23.] Καὶ ἵνα ἐν βραχεῖ συνέλω τὸ πᾶν, ἓν μόνον ἐστὶν ἔργον τῆς λογικῆς ἐν σώματι ψυχῆς, τὸ τοῦ οἰκείου τέλους ἐφίεσθαι. Ἐπεὶ δὲ τῆς βουλήσεως ἡ ἐνέργεια, νοήσεως ἄτερ, ἀκίνητός ἐστι, διὰ τοῦτο τὸ νοερῶς ἐνεργεῖν προσλαμβάνομεν. Εἴτ᾽ οὖν διὰ τὸ βούλεσθαι τὸ νοεῖν, εἴτε καὶ δι᾽ αὐτό, καὶ διὰ τὸ βούλεσθαι. Ὃ καὶ μᾶλλον δοκεῖ. Καὶ γὰρ ἡ μακαριότης, ἧς οὐ πρόξενος μόνον, ἀλλὰ καὶ τύπος ἡ ἐνταῦθα τοῦ σπουδαίου ζωή, ἀμφοτέρας ἔχει τὰς ἐνεργείας, τήν τε νόησιν, καὶ τὴν βούλησιν˙ ἤγουν ἀγάπην, καὶ ἡδονήν. Εἴτ᾽ οὖν ἄμφω αἱ ἐνέργειαι, εἴτε θατέρα κυριωτάτη, φιλοσοφείτωσαν μὲν οἱ βουλόμενοι. [24.] Πρὸς δὲ τὸ παρόν, ἄμφω τιθέαμεν τὰς ἐνεργείας. Ὧν τὴν μὲν θεωρίαν, τὴν δὲ πρᾶξιν καλοῦμεν. Ἀδύ-

Πρῶτο Καλό, γιὰ νὰ περιφρονήση δὲ ὅλα τὰ παρόντα, ἐπειδὴ γνώρισε καλὰ τὴν πολλή τους ματαιότητα, διότι τί μᾶς παρέχουν γιὰ τὸν δικό μας σκοπό;

[23.] Καὶ γιὰ νὰ συνοψίσω τὰ πάντα ἐν συντομίᾳ, ἕνα εἶναι μόνον τὸ ἔργο τῆς λογικῆς ψυχῆς μέσα στὸ σῶμα, τὸ νὰ ἐπιθυμῆ τὸν ἀληθινὸ σκοπό της. Ἐπειδὴ ὅμως, ἡ ἐνέργεια τῆς θελήσεως χωρὶς τὴν νόησι εἶναι ἀκίνητη, γι᾽ αὐτὸ προσλαμβάνομε τὴν νοερὰ ἐνέργεια. Ἡ νόησι ἑπομένως [εἶναι], εἴτε ἕνεκα τῆς θελήσεως, εἴτε καὶ ἕνεκα τοῦ ἑαυτοῦ της καὶ τῆς θελήσεως, τὸ ὁποῖο [μοῦ] φαίνεται ὅτι εἶναι περισσότερο [σωστό]. Διότι καὶ ἡ μακαριότητα, τῆς ὁποίας ἡ ἐδῶ ζωὴ τοῦ ἀγωνιστοῦ δὲν [εἶναι] μόνον πρόξενος, ἀλλὰ καὶ τύπος [της], ἔχει καὶ τὶς δύο ἐνέργειες, καὶ τὴν νόησι καὶ τὴν θέλησι· δηλαδὴ τὴν ἀγάπη καὶ τὴν [πνευματικὴ] ἡδονή. Εἴτε λοιπὸν καὶ οἱ δύο ἐνέργειες, εἴτε μία ἀπὸ τὶς δύο, [εἶναι] ἡ πλέον κυριαρχικὴ - ἂς φιλοσοφήσουν ἐκεῖνοι ποὺ ἐπιθυμοῦν.

[24.] Πρὸς τὸ παρὸν δὲ μελετοῦμε καὶ τὶς δύο ἐνέργειες· ἀπὸ τὶς ὁποῖες τὴν μὲν ὀνομάζομε θεωρία, τὴν δὲ πρᾶξι. Καὶ [εἶ-


νατον δὲ θατέραν χωρὶς τῆς ἄλλης εὑρίσκεσθαι, ἐπὶ τῶν ἀκροτάτων τούτων ἐνεργειῶν· ἐπὶ δὲ τῶν ὑποδεεστέρων, καὶ μετ᾽ ἐκείνας ἐνδέχεται. Ὅσα δὲ τούτων ἐμποδιστικὰ τῶν ἐνεργειῶν, ἢ καὶ πρὸς τὰ ἐναντία ὁρῶσι, κακίας καλοῦμεν· ὅσα δὲ βοηθητικά, ἢ καὶ τῶν ἐμποδιστικῶν ἀπαλλακτικά, ἀρετάς. Ἐνεργείας δὲ τὰς μὲν ἀπὸ τῶν ἀρετῶν, κατορθώματα· τὰς δὲ τῶν ἐναντίων, διαπτώματα καὶ ἁμαρτήματα. Πάσης δὲ ἐνεργείας εἰδοποιόν, εἴτε πρὸς τὸ χεῖρον, εἴτε πρὸς τὸ βέλτιον, ὁ σκοπὸς ὁ ἀκρότατος, ὃν ἐνέργειαν ἴσμεν σύνθετον ἐκ νοήσεως, καὶ βουλήσεως.

ναι] ἀδύνατον νὰ βρίσκεται ἡ μία ἀπὸ τὶς δύο χωρὶς τὴν ἄλλη, ὅσον ἀφορᾶ αὐτὲς τὶς ὑψηλότατες ἐνέργειες. Ὅσον ἀφορᾶ δὲ τὶς ὑποδεέστερες, [οἱ ὁποῖες] καὶ [ἀκολουθοῦν] μετὰ ἀπὸ ἐκεῖνες, ἐνδέχεται [νὰ βρίσκεται ἡ μία χωριστὰ ἀπὸ τὴν ἄλλη]. Ὅσα δὲ εἶναι κωλυτικὰ αὐτῶν τῶν ἐνεργειῶν καὶ κοιτάζουν πρὸς τὰ ἀντίθετα, [τὰ] ὀνομάζομε κακίες· ἐνῶ ὅσα [εἶναι] βοηθητικὰ αὐτῶν [τῶν ἐνεργειῶν] ἢ καὶ ἀπαλλακτικὰ τῶν κωλυτικῶν, [τὰ ὀνομάζομε] ἀρετές. Τὶς ἐνέργειες δὲ ἐκ τῶν ἀρετῶν, [τὶς ὀνομάζομε] κατορθώματα, ἐνῶ [τὶς ἐνέργειες] τῶν ἀντιθέτων, [τὶς ὀνομάζομε] παραπτώματα καὶ ἁμαρτήματα. Διακριτικὸ γνώρισμα κάθε ἐνεργείας, εἴτε πρὸς τὸ χειρότερο, εἴτε πρὸς τὸ καλλίτερο, [εἶναι] ἡ ἀκροτάτη ἐπιδίωξί [της], τὴν ὁποία γνωρίζομε ὡς σύνθετη ἐνέργεια ἀπὸ νόησι καὶ θέλησι.

ΠΑΡΑΠΟΜΠΕΣ

ΣΕ ΧΩΡΙΑ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ

[1] Ψαλμ. 33, 15.
[2] Ματθ. 16, 24.
[3] Λουκ. 15, 5.
[4] Γένεσ. 3, 6.
[5] Πρβ. Β′ Βασ. 22, 12.



ΒΙΒΛΙΟΓΡΑΦΙΑ

Πηγαια Βοηθητικα Κειμενα

ΑΡΙΣΤΟΤΕΛΟΥΣ, *Ἠθικὰ Νικομάχεια*, 1107A 7.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ, *Περὶ τὰ Ζῶα Ἱστορίαι*, 505b 19.

ΒΑΣΙΛΕΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ, «Ὅροι κατὰ πλάτος», *PG* 31, 400B.

ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ Αγ., «Λόγος Μ′- Εἰς τὸ ἅγιον Βάπτισμα», *PG* 36, 416C.

ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ Αγ., «Λόγος Μ′- Εἰς τὸ ἅγιον Βάπτισμα», *Γρηγορίου Θεολόγου Ἔργα, ΕΠΕ* 1976, τόμ. 4, σ.σ. 362 – 365).

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ Αγ., «Εἰς τὸ Ἅγιον Πάσχα καὶ περὶ τῆς τριημέρου προθεσμίας τῆς Ἀναστάσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, Λόγος Α′», *PG* 46, 605D.

ΘΕΟΔΩΡΗΤΟΥ ΚΥΡΡΟΥ, «Εἰς τὸν Ἀμώς», *PG* 81, 1418A κ.ἑ.

ΘΕΟΔΩΡΗΤΟΥ ΚΥΡΡΟΥ, «Εἰς τὸ Δευτερονόμιο», *PG* 80, 280D.

ΘΕΟΔΩΡΗΤΟΥ ΚΥΡΡΟΥ, «Ἑρμηνεία εἰς τὴν Ἔξοδον», *PG* 80, 272B.

ΘΕΟΔΩΡΗΤΟΥ ΚΥΡΡΟΥ, «Ἑρμηνεία εἰς τὸν Ἰεζεκιήλ», *PG* 81, 761D κ.ἑ.

ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ Αγ., «Ἑρμηνεία εἰς τὴν Α΄ πρὸς Κορινθίους Ἐπιστολήν, Ὁμιλία ΚΗ΄», *PG* 61, 334.

ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ Αγ., «Ὁμιλία ΚΗ΄, (Α΄ Κορ. 11, 24 - 34)», *Ἰωάννου Χρυσοστόμου Ἔργα, ΕΠΕ* 1980, τόμ. 18Α, σ.σ. 218 – 219.

ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ Αγ., «Ὁμιλία ΝΖ΄ εἰς τὴν Γένεσιν», *PG* 54, 553.

ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ Αγ., «Ὁμιλία ΝΘ΄ εἰς τὴν Γένεσιν», *PG* 54, 572.

ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ Αγ., «Ὁμιλία ΝΘ΄ εἰς τὴν Γένεσιν», *PG* 54, 575.

ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ Αγ., «Ἑρμηνεία εἰς τὴν πρὸς Ρωμαίους Ἐπιστολήν, Ὁμιλία ΙΓ΄», *PG* 60, 512.

ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ Αγ., «Ὁμιλία ΙΔ΄, (Ρωμ. 7,14 - 8,11)», *Ἰωάννου Χρυσοστόμου Ἔργα, ΕΠΕ* 1985, τόμ. 17, σ.σ. 144 - 147.

ΝΙΚΟΔΗΜΟΥ ΑΓΙΟΡΕΙΤΟΥ, «Ἑρμηνεία εἰς τὰς ΙΔ΄ Ἐπιστολὰς τοῦ Ἀποστόλου Παύλου», Ἔκδ. Ὀρθόδοξος Κυψέλη 1990, τόμ. 2, σ. 331.

ΟΛΥΜΠΙΟΔΩΡΟΥ ΔΙΑΚΟΝΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ, «Ὑπομνήματα εἰς τὸν Μακάριον Ἰώβ», *PG* 93, 292D – 293A.

ΟΠΠΙΑΝΟΥ, *Ἁλιευτικά*, 1, 212.

ΕΛΛΗΝΙΚΗ ΒΙΒΛΙΟΓΡΑΦΙΑ

ΑΙΜΙΛΙΑΝΟΥ ΣΙΜΩΝΟΠΕΤΡΙΤΟΥ ΑΡΧ., *Λόγος περὶ Νήψεως*, Ἴνδικτος 2007.

ΒΕΪΚΟΥ Θ., *Οἱ Προσωκρατικοί*, Ἑλληνικὰ Γράμματα 1998.

ΙΕΡΕΜΙΟΥ ΦΟΥΝΤΑ ΜΗΤΡ., «Βασιλειῶν Α΄», *Ἑρμηνεία Παλαιᾶς Διαθήκης*, Ἀποστολικὴ Διακονία 2011.

ΙΕΡΕΜΙΟΥ ΦΟΥΝΤΑ ΜΗΤΡ., «Γένεσις», *Ἑρμηνεία Παλαιᾶς Διαθήκης*, Ἀποστολικὴ Διακονία 2004.

ΙΕΡΕΜΙΟΥ ΦΟΥΝΤΑ ΜΗΤΡ., «Δευτερονόμιο», *Ἑρμηνεία Παλαιᾶς Διαθήκης*, Ἀποστολικὴ Διακονία 2007.

ΙΕΡΕΜΙΟΥ ΦΟΥΝΤΑ ΜΗΤΡ., «Ἔξοδος», *Ἑρμηνεία Παλαιᾶς Διαθήκης*, Ἀποστολικὴ Διακονία 2005.

Κ. ΝΙΑΡΧΟΥ, *Ἀρχαία Ἑλληνικὴ Φιλοσοφία μετὰ τῶν θεμελιωδῶν αὐτῆς ἐννοιῶν*, Ἀθῆναι 2008.

ΞΕΝΟΓΛΩΣΣΗ ΒΙΒΛΙΟΓΡΑΦΙΑ

Burkett W., *Weisheit und Wissenschaft: Studien zu Pythagoras, Philolaus, und Platon*, Nürnberg 1962.

I. Mendelson, "Slavery in the Ancient Near East", *Biblical Archaeologist* 9 [1946], σ. 78 .

ΛΕΞΙΚΑ

Δ. ΔΗΜΗΤΡΑΚΟΥ, *Μέγα Λεξικὸν ὅλης τῆς ἑλληνικῆς γλώσσης*, Ἐκδ. Δομὴ 1953.

ΚΑΤΑΛΟΓΟΙ ΠΕΡΙΛΗΨΕΩΝ

ΤΩΝ ΕΝΟΤΗΤΩΝ ΤΩΝ ΛΟΓΩΝ

ὑπὸ

Δημητρίου Τσελεγγίδη

Καθηγητοῦ τῆς Δογματικῆς Θεολογίας
στὸ Τμῆμα Θεολογίας
τοῦ Ἀριστοτελείου Πανεπιστημίου Θεσσαλονίκης

ΚΑΤΑΛΟΓΟΣ
ΠΕΡΙΛΗΨΕΩΝ ΤΩΝ ΕΝΟΤΗΤΩΝ

ΤΟΥ ΛΟΓΟΥ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΗΣΥΧΙΟΥ ΤΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ

ΠΡΟΣ ΘΕΟΔΟΥΛΟΝ
ΛΟΓΟΣ ΨΥΧΩΦΕΛΗΣ ΚΑΙ ΣΩΤΗΡΙΟΣ
ΠΕΡΙ ΝΗΨΕΩΣ ΚΑΙ ΑΡΕΤΗΣ
ΚΕΦΑΛΑΙΩΔΗΣ

(σ.σ. 13 – 120 *τοῦ παρόντος τόμου*)

ΑΡ. ΚΕΦ.		ΣΕΛ.	ΣΤ.
1.	Τι Ειναι Νηψι	13	1
2.	Η Αφετηρια της Νηψεως	14	19
3.	Καρδιακη Ησυχια	15	8
4.	Νηψι και Πνευματικη Ορασι	15	14
5.	Προσοχη Νοος	15	26
6.	Εμμονη Προσηλωσι του Λογισμου στην Πυλη της Καρδιας	16	16
7.	Τι Γεννα τη Νηψι	16	32
8.	Νηψι, ως Ευχομενη Διανοια	17	24
9.	Νηψι και Θεοπτια	18	5
10.	Ακρα Νηψι και Καθαρα Ευχη	18	11
11.	Ευχη και Μισος κατα των Πονηρων Λογισμων	18	24

ΑΓΙΟΣ ΗΣΥΧΙΟΣ Ο ΠΡΕΣΒΥΤΕΡΟΣ

ΑΡ. ΚΕΦ.		ΣΕΛ.	Σ
12.	ΥΠΟΔΕΙΓΜΑ ΖΩΗΣ	19	3
13.	ΤΡΟΠΟΙ ΝΗΨΕΩΣ	19	28
14.	ΠΡΟΣΕΚΤΙΚΗ ΠΑΡΑΚΟΛΟΥΘΗΣΙ ΤΗΣ ΦΑΝΤΑΣΙΑΣ	20	9
15.	ΣΙΩΠΗ ΚΑΡΔΙΑΣ	20	17
16.	ΣΥΝΕΧΗΣ ΤΑΠΕΙΝΗ ΕΠΙΚΛΗΣΙ	20	22
17.	ΑΔΙΑΛΕΙΠΤΗ ΜΝΗΜΗ ΘΑΝΑΤΟΥ	20	26
18.	ΦΡΟΥΡΗΣΙ ΚΑΡΔΙΑΣ	20	29
19.	ΠΡΩΤΙΣΤΩΣ ΑΠΟΚΟΠΗ ΤΩΝ ΑΙΤΙΩΝ ΤΩΝ ΠΑΘΩΝ	21	4
20.	ΣΥΝΕΧΗΣ ΠΑΡΟΥΣΙΑ ΤΗΣ ΤΑΠΕΙΝΩΣΕΩΣ, ΤΗΣ ΠΡΟΣΟΧΗΣ, ΤΗΣ ΑΝΤΙΡΡΗΣΕΩΣ, ΤΗΣ ΠΡΟΣΕΥΧΗΣ	21	16
21.	ΚΑΘΑΡΑ ΕΥΧΗ	22	18
22.	ΣΥΝΤΟΝΙΣΜΕΝΗ ΔΡΑΣΙ ΤΟΥ ΝΗΦΟΝΤΟΣ ΝΟΟΣ	22	26
23.	Η ΠΝΕΥΜΑΤΙΚΗ ΘΕΑ	23	4
24.	Η ΠΕΡΙΟΡΙΣΜΕΝΗ ΔΥΝΑΜΙ ΤΟΥ ΝΟΟΣ	23	18
25.	Ο ΚΙΝΔΥΝΟΣ ΤΗΣ ΟΙΗΣΕΩΣ	23	30
26.	Η ΑΣΘΕΝΕΙΑ ΤΟΥ ΝΟΟΣ ΚΑΙ Η ΕΝΙΣΧΥΣΙ ΤΟΥ	24	5
27.	ΠΡΟΤΥΠΟ ΚΑΡΔΙΑΚΗΣ ΗΣΥΧΙΑΣ	24	25
28.	Ο ΚΑΘΑΡΤΙΚΟΣ ΧΑΡΑΚΤΗΡΑΣ ΤΗΣ ΕΥΧΗΣ	25	9
29.	ΝΗΨΙ ΚΑΙ ΦΩΤΙΣΜΟΣ ΝΟΟΣ	25	22
30.	ΑΠΟΚΡΥΨΙ ΤΟΥ ΝΟΗΤΟΥ ΠΟΛΕΜΟΥ	26	18
31.	ΑΠΟΚΟΠΗ ΤΟΥ ΙΔΙΟΥ ΘΕΛΗΜΑΤΟΣ	27	15

ΑΡ. ΚΕΦ.		ΣΕΛ.	ΣΤ.
32.	Τι Οδηγει στη Ληθη του Εσωτερικου Πολεμου	28	28
33.	Η Τοποθετησι εναντι του Σωματος	29	26
34.	Η Ορθη Λειτουργια των Κυριων Δυναμεων της Ψυχης	30	25
35.	Η Θεοπτια δια του Νοος	31	8
36.	Η Αμαρτια του Νοος και η Αμεθεξια του Θεου	31	21
37.	Αυτοπεποιθησι και Πνευματικη Πτωσι	31	28
38.	Αντι της Απογνωσεως Ταπεινωσι και Μετανοια	32	5
39.	Το καλλιτερο Βοηθημα κατα του Διαβολου	32	13
40.	Ο Αηττητος Βοηθος	32	29
41.	Η Επιδρασι της Ευχης στην Καρδια	33	5
42.	Αριστη Διδασκαλια για Απειρους και Εμπειρους	33	15
43.	Η Ψυχη και οι Φαντασιες των Δαιμονων	34	8
44.	Αμεση Απορριψι των Λογισμων	35	5
45.	Πως Εισερχεται η Αμαρτια στην Καρδια	35	33
46.	Αρχη και Ολοκληρωσι της Αμαρτιας	36	8
47.	Η Αορατη Συμπλοκη του Δαιμονικου και του Ανθρωπινου Νοος	37	2
48.	Προτυπο Καρδιακης Ησυχιας	37	11
49.	Απορριψι και των Αγαθων Λογισμων απο την Καρδια	37	18
50.	Ο Χαρακτηρας της Νηψεως	37	26
51.	Η Δραστικοτητα της Νηψεως	38	12

ΑΡ. ΚΕΦ.		ΣΕΛ.	ΣΤ
52.	Η Καθαροτητα της Καρδιας, Προϋποθεσι της Αποκαλυψεως του Θεου	38	24
53.	Καρπος της Νηψεως	39	12
54.	Υπομονη στα Επερχομενα	39	30
55.	Πνευματικη Θεραπεια	40	2
56.	Πνευματικη Φυσιολογια	40	7
57.	Που Οφειλεται η Τυφλωσι του Νοος	40	17
58.	Η Αποδυναμωσι της Γνωσεως και της Πιστεως	40	21
59.	Ο Λογος Ισχυροποιησεως του Κακου	40	25
60.	Σχεσι Γνωσεως και Πιστεως	40	31
61.	Αρχη της Πνευματικης Εργασιας, η Προσευχη	41	5
62.	Η Καθαρσι του Νοος δια της Προσευχης	42	4
63.	Η Ταπεινοφροσυνη και Τροποι Αποκτησεως της	42	30
64.	Πως Γενναται και Τροφοδοτειται η Ταπεινοφροσυνη	44	5
65.	Αυτοεπισκεψι και Αυτοκριτικη	45	1
66.	Αρχη της Ασκησεως, η Εγκρατεια	45	19
67.	Προϋποθεσεις Θεοπτιας	46	3
68.	Καρπος της Νηψεως, η Θεοπτια και η Θεολογια	46	7
69.	Απουσια Νηψεως, Σκοτωσι Νοος και Δουλεια των Παθων	46	17
70.	Οι Προϋποθεσεις του Αληθινου Μοναχου	46	30
71.	«Σημειο» του Εσω Μοναχου	47	11

ΑΡ. ΚΕΦ.		ΣΕΛ.	ΣΤ
72.	ΠΟΤΕ ΑΝΑΙΡΟΥΝΤΑΙ ΤΑ ΠΑΘΗ	47	19
73.	ΕΜΜΕΤΡΗ ΑΣΚΗΣΙ ΤΟΥ ΣΩΜΑΤΟΣ ΚΑΙ ΕΝΔΟΝ ΣΤΡΟΦΗ ΤΟΥ ΝΟΟΣ	47	23
74.	ΠΟΤΕ ΕΜΦΑΝΙΖΕΤΑΙ Η ΥΠΕΡΗΦΑΝΙΑ	47	32
75.	ΤΙ ΕΛΕΥΘΕΡΩΝΕΙ ΑΠΟ ΤΗΝ ΑΜΑΡΤΙΑ	48	5
76.	ΤΗΡΗΣΙ ΝΟΟΣ	48	19
77.	ΠΩΣ ΒΛΑΠΤΟΜΕΘΑ ΚΑΤΑ ΤΟΝ ΝΟΥ	48	25
78.	ΦΥΛΑΞΙ ΤΗΣ ΚΑΡΔΙΑΣ	48	29
79.	ΥΙΟΘΕΣΙΑ ΚΑΙ ΕΛΕΥΘΕΡΙΑ	49	1
80.	ΥΠΑΚΟΗ ΚΑΙ ΕΛΕΥΘΕΡΙΑ	49	19
81.	ΣΤΑΣΙ ΣΤΑ ΕΠΕΡΧΟΜΕΝΑ ΔΕΙΝΑ	49	33
82.	ΠΕΙΡΑΣΜΟΙ ΚΑΙ ΦΙΛΟΠΟΝΙΑ	50	8
83.	ΙΔΙΟΝ ΤΟΥ ΘΕΟΣΕΒΟΥΣ, Η ΕΥΤΕΛΕΙΑ ΚΑΙ Η ΤΑΠΕΙΝΩΣΙ	50	12
84.	ΚΑΤΑΞΙΩΣΙ ΤΩΝ ΚΑΛΩΝ ΕΡΓΩΝ ΜΕ ΤΗΝ ΤΑΠΕΙΝΟΦΡΟΣΥΝΗ	50	30
85.	Η ΤΗΡΗΣΙ ΤΩΝ ΕΝΤΟΛΩΝ	51	11
86.	ΠΩΣ ΕΝΕΡΓΕΙ Ο ΕΣΩΤΕΡΙΚΑ ΦΩΤΙΖΟΜΕΝΟΣ	51	23
87.	ΣΥΝΕΠΕΙΕΣ ΤΗΣ ΦΥΛΑΚΗΣ ΤΟΥ ΝΟΟΣ	52	5
88.	ΚΑΘΑΡΟΤΗΤΑ ΛΟΓΙΣΜΩΝ, ΘΕΟΠΤΙΑ ΚΑΙ ΘΕΟΓΝΩΣΙΑ	52	19
89.	ΚΑΘΑΡΟΤΗΤΑ ΝΟΟΣ ΚΑΙ ΘΕΙΑ ΕΛΛΑΜΨΙ	53	3
90.	ΣΧΕΣΙ ΠΡΟΣΟΧΗΣ ΚΑΙ ΠΡΟΣΕΥΧΗΣ	53	15
91.	ΤΟ ΓΕΝΕΣΙΟΥΡΓΟΝ ΑΙΤΙΟΝ ΤΗΣ ΕΙΡΗΝΗΣ	54	4

ΑΡ. ΚΕΦ.		ΣΕΛ
92.	ΔΟΞΟΛΟΓΙΑ ΚΑΙ ΕΥΧΑΡΙΣΤΙΑ	54
93.	ΘΕΑΣΙ ΤΟΥ ΕΣΩ ΑΝΘΡΩΠΟΥ	54
94.	ΣΧΕΣΙ ΝΗΨΕΩΣ ΚΑΙ ΠΡΟΣΕΥΧΗΣ	55
95.	Η ΣΥΝΕΧΗΣ ΜΝΗΜΗ ΘΑΝΑΤΟΥ, ΠΑΙΔΑΓΩΓΟΣ ΨΥΧΗΣ ΚΑΙ ΣΩΜΑΤΟΣ	55
96.	ΔΙΑΡΚΗΣ ΝΗΨΙ	55
97.	ΚΑΤΑΣΤΑΣΙ ΤΟΥ ΝΟΟΣ ΜΕ ΤΗ ΣΥΝΕΧΗ ΝΗΨΙ ΚΑΙ ΕΥΧΗ	56
98.	ΠΟΝΗΡΟΙ ΛΟΓΙΣΜΟΙ ΚΑΙ ΕΥΧΗ	56
99.	ΤΑΠΕΙΝΩΣΙ ΚΑΙ ΠΡΟΣΕΥΧΗ	57
100.	ΝΟΕΡΑ ΗΣΥΧΙΑ ΚΑΙ ΕΥΧΗ	57
101.	ΜΥΣΤΗΡΙΑ ΚΑΙ ΝΗΨΙ	58
102.	ΑΝΑΛΩΣΙ ΤΗΣ ΛΗΘΗΣ	59
103.	ΚΟΠΟΣ ΓΙΑ ΤΗΝ ΦΥΛΑΞΙ ΤΟΥ ΝΟΟΣ ΚΕΝΟΥ ΑΠΟ ΚΑΘΕ ΕΙΔΟΥΣ ΛΟΓΙΣΜΟ	59
104.	ΝΗΨΙ ΚΑΙ ΘΕΩΡΙΑ	60
105.	ΣΤΡΑΤΗΓΙΚΗ ΚΑΙ ΤΑΚΤΙΚΗ ΤΗΣ ΝΟΕΡΑΣ ΕΡΓΑΣΙΑΣ	60
106.	ΕΠΙΜΟΝΗ ΣΤΗΝ ΕΥΧΗ	61
107.	ΑΔΙΑΛΕΙΠΤΗ ΠΡΟΣΕΥΧΗ ΚΑΙ ΠΝΕΥΜΑΤΙΚΕΣ ΣΥΝΕΠΕΙΕΣ ΤΗΣ	61
108.	ΤΟ ΦΩΣ ΤΗΣ ΚΑΡΔΙΑΣ	62
109.	ΝΗΨΙ ΚΑΙ ΔΙΑΝΟΗΤΙΚΗ ΑΜΑΡΤΙΑ	62
110.	ΒΙΑΣΤΑΙ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΤΩΝ ΟΥΡΑΝΩΝ	62
111.	Η ΑΠΟΤΕΛΕΣΜΑΤΙΚΟΤΗΤΑ ΤΗΣ ΝΗΨΕΩΣ ΚΑΤΑ ΤΗΣ ΑΜΑΡΤΙΑΣ	62

	ΣΕΛ.	ΣΤ.
ΥΑΓΓΕΛΙΟ ΚΑΙ ΚΑΘΑΡΟΤΗΤΑ ΚΑΡΔΙΑΣ	63	9
ΣΥΝΕΠΕΙΕΣ ΤΗΣ ΦΥΛΑΚΗΣ ΤΟΥ ΝΟΟΣ	64	19
ΣΥΝΕΧΗΣ Ο ΠΟΛΕΜΟΣ ΤΩΝ ΔΑΙΜΟΝΩΝ ΣΤΗΝ ΚΑΡΔΙΑ	65	3
ΙΟΗΤΗ ΦΙΛΟΣΟΦΙΑ ΚΑΙ ΘΕΟΦΑΝΕΙΑ	65	12
Ι ΝΟΗΤΗ ΦΙΛΟΣΟΦΙΑ	65	26
) ΚΑΡΠΟΣ ΤΗΣ ΝΟΗΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ	66	16
ΣΧΕΣΙ ΤΗΣ ΦΑΝΤΑΣΙΑΣ ΜΕ ΤΗΝ ΑΜΑΡΤΙΑ	67	1
Ι ΕΠΙΚΙΝΔΥΝΟΤΗΤΑ ΤΗΣ ΦΑΝΤΑΣΙΑΣ	67	20
ΣΥΝΕΠΕΙΕΣ ΤΗΣ ΣΥΝΕΧΟΥΣ ΕΥΧΗΣ ΚΑΙ ΤΗΣ ΛΗΘΗΣ ΤΗΣ	68	1
ΙΟΗΤΗ ΘΕΑ ΤΗΣ ΠΡΟΣΒΟΛΗΣ	68	19
ΙΗΨΙ, ΠΡΟΣΕΥΧΗ, ΗΣΥΧΙΑ ΚΑΙ ΚΑΘΑΡΣΙ ΚΑΡΔΙΑΣ	68	34
Ι ΚΑΚΗ ΣΥΜΦΩΝΙΑ ΣΩΜΑΤΟΣ ΚΑΙ ΨΥΧΗΣ	69	23
ΚΑΘΗΜΕΡΙΝΗ ΕΠΙΣΚΟΠΗΣΙ ΤΩΝ ΕΡΓΩΝ ΜΑΣ	70	9
Ι ΖΗΜΙΑ ΤΩΝ ΣΥΝΤΥΧΙΩΝ	70	24
Ι ΟΡΘΗ ΚΙΝΗΣΙ ΤΩΝ ΤΡΙΩΝ ΔΥΝΑΜΕΩΝ ΤΗΣ ΨΥΧΗΣ	71	1
ΣΧΕΣΙ ΤΗΣ ΠΡΟΣΟΧΗΣ ΤΟΥ ΝΟΟΣ ΜΕ ΤΟΝ ΦΩΤΙΣΜΟ ΚΑΙ ΤΗ ΣΚΟΤΩΣΙ ΤΟΥ	72	3
ΙΣΥΧΙΑ ΚΑΙ ΚΑΤΑΦΡΟΝΗΣΙ ΤΩΝ ΑΙΣΘΗΤΩΝ	72	20
Ι ΕΥΚΟΛΙΑ ΕΠΑΝΑΦΟΡΑΣ ΤΗΣ ΝΗΨΕΩΣ	72	34
Ι ΠΡΟΤΕΡΑΙΟΤΗΤΑ ΑΝΑΤΑΞΕΩΣ ΤΩΝ ΕΣΩ	73	7
ΦΩΤΟΦΑΝΕΙΑ ΚΑΙ ΘΕΟΦΑΝΕΙΑ ΣΤΗΝ ΝΗΦΟΥΣΑ ΚΑΡΔΙΑ	73	16

ΑΡ. ΚΕΦ.		ΣΕΛ.	Σ'
132.	Καρδιακη Ησυχια και Νηπτικη Εμπειρια	74	6
133.	Η Σοφια της Νηψεως	74	12
134.	Η Φυσιολογια της Νηψεως	74	25
135.	Θλιψι και Εξομολογησι της	75	6
136.	Η Δυναμι της Εξομολογησεως	75	22
137.	Καθαιρεσι των Λογισμων με την Ευχη	75	31
138.	Αυτομεμψια και Εξομολογησι	76	4
139.	Ενεργηματα του Νοος	76	15
140.	Εικονα του Εξω Ανθρωπου	76	29
141.	Πνευματικες Συνεπειες της Αυτομεμψιας	77	6
142.	Η Εκδιωξι των Λογισμων δια της Ευχης	77	19
143.	Η Δρασι της Αντιρρησεως και της Ευχης κατα των Λογισμων	77	26
144.	Οι Δυσλειτουργιες του Νοος χωρις Νηψι	78	31
145.	Το Ευολισθον του Νοος	80	11
146.	Θεωρια και Γνωσι	80	21
147.	Ο εν Χριστω Βιος Γεννητορας Θεοπτιας και Θεογνωσιας	80	29
148.	Ο Χαρακτηρας της Ψυχικης Ησυχιας	81	8
149.	Η Προσδιοριστικη Σημασια της Ευχης για την Παρουσα και την Μελλουσα Ζωη	82	2
150.	Σταθερη Πεποιθησι στον Ιησου	82	24
151.	Ευφροσυνη Ειρηνη	83	19

ΑΡ. ΚΕΦ.		ΣΕΛ.	ΣΤ
152.	Η Αποτελεσματικοτητα της Συνδυασμενης Ευχης	84	13
153.	Η Θεα της Φαντασιας των Λογισμων και ο Τροπος Διαλυσεως της	85	13
154.	Τι Ειναι οι Λογισμοι καθ᾽ Εαυτοι και η Καθαιρεσι τους	86	4
155.	Αδιαλειπτη Μνημη Θανατου και Πνευματικες Συνεπειες της	86	24
156.	Γεννησι Θεϊκων και Μυστικων Νοηματων στην Καρδια	87	4
157.	Πριν την Νηψι, Διχασμενη η Γνωμη	87	20
158.	Νηψι κατα των Πρωτων Λογισμων δια της Ευχης	88	1
159.	Αληθινος Μοναχος, ο Νηπτικος	88	17
160.	Η Καλλιτερη Αξιοποιησι του Χρονου της Ζωης μας	88	22
161.	Η Γνωσι του Θεληματος του Θεου	89	1
162.	Επιμελεια και Σπουδη	89	15
163.	Απορριψι ολων των Λογισμων, Εμπαθων και Απαθων	89	20
164.	Ο κατα την Προαιρεσι Διχασμος του Ανθρωπου	89	28
165.	Προϋποθεσεις Πνευματικης Καρποφοριας	90	24
166.	Οι Διαβαθμισεις των Φωτοφανειων απο τη Νηψι	90	30
167.	Η Εσωτερικη Διδασκαλια απο την Επιμελεια της Νηψεως	91	12
168.	Οι Προϋποθεσεις Προοδου της Τηρησεως του Νοος	91	32
169.	Θεμελιο και Οροφη της Νηψεως, το Ονομα του Ιησου Χριστου	92	6
170.	Διδασκαλια Εμπειρικου και Βιωματικου Χαρακτηρα	92	24
171.	Φωτοτοκος, η Φυλακη του Νοος	93	13

ΑΡ. ΚΕΦ.		ΣΕΛ.	Σ'
172.	Εσωτερικος και Εξωτερικος Ανθρωπος	94	21
173.	Ο Οργανωτικος Σχεδιασμος των Αμαρτιων μας στο Πεδιο των Λογισμων και στο Πεδιο των Εργων	94	30
